γέγραπται γὰρ περὶ αὐτοῦ· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. εἰ δὲ τῇ
θειότητι, παυσάμενος τῆς βλασφημίας, ἐπιγνῶθι τοῦ πνεύματος
τὴν ἀξίαν. οὕτως ἀσύνετος εἶ, ὡς μὴ δὲ ὑπ' αὐτῆς προσά-
γεσθαι τῆς φωνῆς, εἰς τὰς ἀξίας ἔννοιαν, περὶ τοῦ πνεύ-
ματος, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

τέλος.

* α β γ δ ε ζ η θ ι κ λ μ ν ξ ο π ρ σ τ υ φ χ ψ

Omnes sunt quaterniones preter * & ρ qui sunt terniones
& vltimum quinternionesu.

X. X. Y.

VENETIIS PER STEPHANVM DE SABIO SVMPTV EX,
PENSIS VERO D. DAMIANI DE SANCTA MARIA
MDXXXV. MENSIS OCTOBRIS.

X X V

θεοῦ, κατ' αὐτὴν τὴν φύσιν. δουλείας ταπείνωσιν. διακονίας λειτουργικῆς, ἁγιασμοῦ χορηγίας, τῆς κατὰ φύσιν οὐ προσόντος. καὶ προσθετόν ἐστι τῷ πνεύματι· οὕτω μετέχειν, ἁγιασμοῦ ἐκ τῆς κατὰ χάριν διανομῆς, ὡς καὶ τὰ λοιπὰ ἔχει ὅσα ἡγίασται. καὶ ὥσπερ δίδοται ἡμῖν ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον. καὶ ὡς ἑκάστῳ μεμέρισται ἑκάστῳ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, οὕτως ἔσται καὶ τὸ πνεῦμα τοῦ ἁγιασμοῦ μέτοχον. ὥσπερ ὄντος κτιστὸν, κατὰ τὴν πνευματομάχον ὑπόληψιν. ἀλλὰ γὰρ μὴ συγχωρήσωμεν τὴν ἄνοιαν αὐτῶν ἀνέλεγκτον τῶν οἰομένων πάντα τῇ ἑαυτῶν διανοίᾳ κατειληφέναι. ἀποκρινάσθωσαν τοίνυν ἡμῖν. τί ποτε ἄρα ἡ τοῦ αἰσθητοῦ ἡλίου οὐσία. πότερον ἕν τι τῶν τεσσάρων ἐστὶν, ἢ σύνθετός ἐστιν ἐκ τῶν τεσσάρων. ἀλλὰ μὴν οὔτε γῆ ἐστὶν, οὔτε ἀὴρ. οὔτε ὕδωρ ἐστὶν, οὔτε πῦρ. ταῦτα γὰρ ἐπ' εὐθείας κινεῖται. τὰ μὲν, ἄνω φερόμενα. τὰ δὲ, κάτω. γῆ μὲν γὰρ καὶ ὕδωρ, κατωφερῆ ἐστι διὰ τὸ βάρος. ἀὴρ δὲ καὶ πῦρ τὴν ἄνω φορὰν κινεῖται διὰ τὴν κουφότητα. τοῦ δὲ ἡλίου κυκλοφορική ἐστιν ἡ κίνησις, οὐ τοίνυν ἐστὶν ἓν τῶν τεσσάρων, ἀλλὰ μὴν οὐδὲ σύνθετός ἐστιν ἐκ τούτων. διότι τὰ σύνθετα, καὶ μάτως συνέχεται. ἐκ μὲν τῶν ἐναντίων τὴν σύστασιν ἔχοντα. ἀντιτασσόντων δὲ ἀλλήλοις τῶν ἐναντίων κατὰ τὴν κίνησιν. ἀκάματος δὲ τοῦ ἡλίου ἡ κίνησις, διὰ τοῦτο καὶ ἄπαυστος. ὥστε οὐ σύνθετος. ἀλλὰ μὴν ἐν τοῖς σώμασιν, ἢ ἁπλοῦν τί ἐστιν, ἢ σύνθετον. οὔτε δὲ ἁπλοῦν σῶμα ὁ ἥλιος. οὐ γὰρ ἐπ' εὐθείας κινεῖται, οὔτε σύνθετον. οὐ γὰρ κάμνει κινούμενος. οὐκ ἄρα ἐστὶν ὁ ἥλιος. τοιαῦται ὑμῶν αἱ σφοδραὶ διαιρέσεις. ἀπὸ τῶν ὀφθαλμοῖς ἐχόντων, καταγελώμεναι πάλιν πῶς ὁρῶμεν οἱ ἄνθρωποι. πότερον εἰσδεχόμενοι τοὺς τύπους τῶν ὁρατῶν, ἢ ἀφιέντες δύναμιν ἐξ ἑαυτῶν. ἀλλὰ μὴν, οὔτε δεχόμεθα τῶν ὁρατῶν τὰς εἰκόνας. πῶς γὰρ τὸ ἡμισφαίριον τοῦ οὐρανοῦ, τῇ μικρᾷ πόρρω τῆς κόρης ἐμφαίνεται, οὔτε μὴν ἀφίεμέν τι παρ' ἑαυτῶν. πῶς γὰρ πάλιν τὸ ἐκπεμπόμενον ἐξαρκεῖ τῷ οὐρανῷ ἐφαπλοῦσθαι. εἰ δὲ μήτε δεχόμεθα τῶν ὁρατῶν τὰς εἰκόνας. μήτε τινὰ δύναμιν ἐξ ἑαυτῶν ἀποπέμπομεν, οὐκ ἄρα ὁρῶμεν. τί οὖν. ἐλέγξω ὑμῶν τοὺς συλλογισμοὺς, ἢ ἐπάξομαι ὑμῖν ἀληθῆ εἶναι τὰ συμπεράσματα. τί διαφέρει τῶν τοιούτων λόγων, καὶ ἡ περὶ τοῦ πνεύματος ὑμῶν τεχνολογία. ἣν γυναικωνίτιδος ἀθλίοις, ἢ τοῖς γείτοσι τῶν γυναικῶν ἀνσύχοις ἐντιθέασιν. μὴ δὴ ἐπηρεαστικῶς ἄκουε. εἰ ἐκ τοῦ θεοῦ τὸ πνεῦμα, πῶς ἀπὸ τὴν κτίσιν ἄγεις. οὐ γὰρ δὴ ἐκεῖνο ἐρεῖς, ὅτι καὶ τὰ πάντα ἐκ τοῦ θεοῦ. ὥσπερ γὰρ ὁ Χριστὸς, θεοῦ λέγεται. οὐχὶ δὲ καὶ κτίσμα ὡς καὶ ἡμεῖς. ἡμεῖς γὰρ Χριστοῦ. Χριστὸς δὲ θεοῦ. ἀλλ' ἄλλως μὲν ἡμεῖς Χριστοῦ λεγόμεθα ὡς δοῦλοι δεσπότου. ἄλλως δὲ Χριστὸς, θεοῦ λέγεται. ὡς υἱὸς τοῦ πατρὸς, οὕτω καὶ τὸ πνεῦμα. οὐκ ἐπειδὴ τὰ πάντα ἐκ τοῦ θεοῦ, καὶ αὐτὸς ὡς τὰ πάντα. οὐ γὰρ ἐπειδὴ καὶ τὰ λειτουργικὰ πνεύματα, ἤδη καὶ τὸ πνεῦμα τὸ ἅγιον ὅμοιον αὐτοῖς, διὰ τὴν προσηγορίαν. οὐ γάρ ἐστι τὸ ἀληθινῶς πνεῦμα. ὡς γὰρ πολλοὶ μὲν υἱοί. εἷς δὲ ὁ ἀληθινὸς υἱὸς οὕτω κἂν πάντα λέγηται ἐκ τοῦ θεοῦ, ἀλλὰ κυρίως ὁ υἱὸς ἐκ τοῦ θεοῦ. καὶ τὸ πνεῦμα ἐκ τοῦ θεοῦ. ἐπειδὴ καὶ ὁ υἱὸς, παρὰ τοῦ πατρὸς ἐξῆλθε. καὶ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεται. ἀλλ' ὁ μὲν υἱὸς, ἐκ τοῦ πατρὸς γεννητῶς, τὸ δὲ πνεῦμα ἀρρήτως ἐκ τοῦ θεοῦ. ὅρα οὖν ἡλίκος ὁ κίνδυνος, κατασμικρύνειν τὴν δόξαν τοῦ παρακλήτου. οὐ δέχεται τὴν εἰς αὐτὸν τιμὴν ὁ υἱὸς ἀθετουμένου τοῦ πνεύματος. ἐκεῖνος γάρ φησιν ἐμὲ δοξάσει. οὐχ ὡς δοῦλον, κατὰ τὴς κτίσεως. εἰ γὰρ μηδὲ πάντων ἐδόξαζον, οὐκ ἂν ἐρρέθη ἐκεῖνος. νῦν δὲ ἡ ἐπὶ τὸ ἐναντίον ἀναφορὰ, τὴν καθ' ὑπεροχὴν τῶν ἄλλων προσαγομένην δόξαν παρίστησιν. οὐ γὰρ ὡς οἱ λέγοντες, δόξα ἐν ὑψίστοις θεῷ. ἀλλ' ὡς ὁ εἰπὼν περὶ δόξασόν σε. τὸ ἔργον ὃ δέδωκας ἐτελείωσα. καὶ ὡς πατὴρ δοξάζει υἱὸν λέγων. καὶ ἐδόξασά σε καὶ πάλιν δοξάσω, οὕτω καὶ ὁ υἱὸς τὸ πνεῦμα ἀεὶ εἰς τὴν ἑαυτοῦ καὶ πατρὸς κοινωνίαν παραλαμβάνει. ἢ δειξάτω μοι τίς, μείζονα ταύτης δόξαν. καὶ πάντα δίδωμι ἀληθινὸν, τοὺς ἀντιλέγοντας. ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ. διατί; διὰ τὸ πνεῦμα τὸ ἐνοικοῦν ἐν αὐτοῖς δηλονότι. ὥστε ὁ μὴ τιμῶν τὸ πνεῦμα, οὐ τιμᾷ τὸν υἱόν. ὁ δὲ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα. οὕτως ἄρα ἡ περὶ ἕν τι τῶν πιστευομένων ἀγνωμοσύνη, ὅλης ἐστὶ τῆς θεότητος ἄρνησις. εἰ κτιστόν ἐστι τὸ πνεῦμα, οὐ θεῖον. ἀλλὰ μὴν πνεῦμα φησι θεῖον τὸ ποιῆσάν με. καὶ ἐνέπλησεν ὁ θεὸς φησὶ τὸν Βεσελεὴλ, πνεῦμα θεῖον σοφίας καὶ συνέσεως. ποῦ τοίνυν ἐνεργὸς προσεγγίζειν τὸ θεῖον, τῇ κτίσει, ἢ τῇ θεότητι. εἰ μὲν γὰρ τῇ κτίσει, καὶ τὸν πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κτίσμα ἐρεῖς.

τα. δύο καὶ οὗτος λέγει θεούς· διὰ τὴν τῆς οὐσίας ἀνομοιότητα, τὸ πολύθεον παρεισάγων· εἰ γὰρ μία μὲν θεότης ἀγέννητος· μία δὲ γεννητή, σὺ εἶ ὁ τὴν πολυθεΐαν κηρύσσων· ἐναντίον μὲν λέγων εἶναι τὸ ἀγέννητον τῷ γεννητῷ, ἐναντίας δηλονότι καὶ τὰς οὐσίας τιθέμενος· ἐπειδὴ οὐσία μὲν τοῦ πατρὸς, ἡ ἀγεννησία· οὐσία δὲ τοῦ υἱοῦ, ἡ γέννησις· ὥστε οὐ δύο μόνον θεοὺς, ἀλλὰ καὶ μαχομένους ἀλλήλοις, λέγεις· καὶ τὸ δεινότατον, οὐ προαιρέσει διδοὺς τὴν χάριν, ἀλλὰ φυσικῇ διαστάσει, μηδέποτε ἐλθεῖν εἰς εἰρηνικὴν σύμβασιν δυναμένην· ἀλλ' ὁ τῆς ἀληθείας λόγος, ἑκατέρωθεν τὰ ἐναντιώματα διαπέφευγεν· ὅπου γὰρ μία μὲν ἡ ἀρχή· ἓν δὲ τὸ ἐξ αὐτῆς, καὶ ἓν μὲν τὸ ἀρχέτυπον· μία δὲ ἡ εἰκὼν ὁ τῆς ἑνότητος λόγος οὐ διαφθείρεται· διότι γεννητῶς ὑποστὰς ἐκ τοῦ πατρὸς ὁ υἱός· καὶ φυσικῶς ἐκτυπῶν ἐν ἑαυτῷ τὸν πατέρα· ὡς μὲν εἰκὼν, τὸ ἀπαράλλακτον ἔχει· ὡς δὲ γέννημα, τὸ ὁμοούσιον διασώζει· οὐδὲ γὰρ ὁ κατὰ τὴν ἀγορὰν τῇ βασιλικῇ εἰκόνι ἐνατενίζων, καὶ βασιλέα λέγων τὸν ἐν τῷ πίνακι, δύο βασιλέας ὁμολογεῖ· τήν τε εἰκόνα, καὶ τὸν οὗ ἐστιν ἡ εἰκὼν, οὔτε ἐὰν δείξας τὸν ἐν τῷ πίνακι γεγραμμένον, εἴπῃ οὗτός ἐστιν ὁ βασιλεὺς, ἀπεστέρησε τὸν πρωτότυπον τῆς τοῦ βασιλέως προσηγορίας· μᾶλλον μὲν οὖν ἐκείνῳ τὴν τιμὴν ἐβεβαίωσε, διὰ τῆς τούτου ὁμολογίας· εἰ γὰρ ἡ εἰκὼν βασιλεὺς, πολλῷ δήπου εἰκὸς βασιλέα εἶναι, τὸν τῇ εἰκόνι παρασχόμενον τὴν αἰτίαν· ἀλλ' ἐνταῦθα μὲν, ξύλα καὶ κηρὸς, καὶ ζωγράφου τέχνη τὴν εἰκόνα ποιεῖ· φθαρτὴν φθαρτοῦ μίμημα, καὶ τέχνην τὴν τοῦ ποιοῦντος· ἐκεῖ δὲ ὅταν ἀκούσῃς εἰκόνα, ἀπαύγασμα νόει τῆς δόξης· τί δὲ τὸ ἀπαύγασμα καὶ τίς ἡ δόξα, αὐτὸς εὐθὺς ἡρμήνευσεν ὁ ἀπόστολος· ἐπάγων, καὶ χαρακτὴρ τῆς ὑποστάσεως· τουτέστιν οὖν ἐστι, τὸ δόξη μὲν ἡ ὑπόστασις· τῷ ἀπαυγάσματι δὲ, ὁ χαρακτήρ· ὥστε τελείας μὲν οὔσης, καὶ μηδὲν μειουμένης τῆς δόξης, τέλειον πρόεισι τὸ ἀπαύγασμα· καὶ οὕτως ὁ τῆς εἰκόνος λόγος θεοπρεπῶς παραληφθεὶς, τὴν ἑνότητα ἡμῖν παρίστησι τῆς θεότητος· οὗτος γὰρ ἐν ἐκείνῳ, κἀκεῖνος ἐν τούτῳ· ὅτι καὶ οὗτος, τοιοῦτός ἐστιν οἷος ἐκεῖνος· κἀκεῖνος, οἷος οὗτος· οὕτως ἐν οὗτοι τὰ δύο, τὸ μὴ διαλλάττειν, μὴ δὲ καθ' ἕτερον εἶδος καὶ ξένον χαρακτῆρα νοεῖσθαι τὸν υἱόν· πάλιν οὖν λέγω· εἷς καὶ εἷς· ἀλλ' ἡ φύσις ἀμέριστος, καὶ ἡ θεότης ἀνελλιπής· εἷς οὖν θεός, ἐπειδὴ δι' ἀμφοτέρων, οὐ εἶδος θεωρεῖται, ὁλοκλήρως ἐν ἀμφοτέροις δεικνύμενον· ἀλλὰ γὰρ πάλαι ὁρῶ δυσχεραίνοντας ὑμᾶς πρὸς τὸν λόγον, καὶ μονονουχὶ ἀκούειν δοκῶ, ὅτι τοῖς ὁμολογουμένοις ἐνδιατρίβων, τῶν πολυθρυλλήτων ζητημάτων οὐχ ἅπτομαι· πᾶσα γὰρ ἀκοὴ νῦν, πρὸς τὴν ἀκρόασιν τῶν λόγων τῶν περὶ τοῦ ἁγίου πνεύματος ἀνῄρτηται· ἐγὼ δὲ μάλιστα ἐβουλόμην ὡς παρέλαβον ἁπλοϊκῶς· ὡς συνεθέμην ἀνεπιτηδεύτως, οὕτω παραδιδόναι τοῖς ἀκούουσι μὴ ἀεὶ περὶ τῶν αὐτῶν ἀπαιτούμενος τὰς εὐθύνας, ἀλλ' ἐκ μιᾶς ὁμολογίας, πεπεισμένους ἔχειν τοὺς διδαχθέντας· ἐπειδὴ δὲ περιεστήκατε ἡμᾶς δικασταὶ μᾶλλον ἢ μαθηταὶ, ἡμᾶς δοκιμάσαι βουλόμενοι· οὐκ αὐτοί τι λαβεῖν ἐπιζητοῦντες, ἀνάγκη ἡμᾶς ὥσπερ ἐν δικαστηρίῳ τὴν ἀντιλογίαν προτείνεσθαι· καὶ ἀεὶ μὲν ἀνακρίνεσθαι, ἀεὶ δὲ λέγειν ἃ παρειλήφαμεν· ὑμᾶς δὲ παρακαλοῦμεν, μὴ ἐκ παντὸς τρόπου ζητεῖν τὸ ὑμῖν ἀρέσκον παρ' ἡμῶν ἀκοῦσαι, ἀλλ' ὃ τῷ κυρίῳ ἀρεστόν ἐστι καὶ σύμφωνον ταῖς γραφαῖς, καὶ μὴ μαχόμενον τοῖς πατράσιν· ἃ τοίνυν ἐλέγομεν περὶ τοῦ υἱοῦ· ὅτι δεῖ ὁμολογεῖν ἴδιον αὐτοῦ πρόσωπον, ταῦτ' ἔχομεν λέγειν καὶ περὶ τοῦ πνεύματος τοῦ ἁγίου· οὐ γὰρ ταυτόν ἐστι τῷ πατρὶ τὸ πνεῦμα, διὰ τὸ γεγράφθαι ὅτι πνεῦμα ὁ θεός· οὐδὲ πάλιν υἱοῦ καὶ πνεύματος ἓν πρόσωπόν ἐστιν· ἐπειδὴ εἴρηται· εἰ δέ τις πνεῦμα χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ· εἰ δὲ χριστὸς ἐν ὑμῖν· ἐντεῦθεν γὰρ ὑπετόπησάν τινες, πνεῦμα καὶ χριστὸν ἓν αὐτὸν εἶναι· ἀλλὰ τί φαμέν; ὅτι τὸ τῆς φύσεως οἰκεῖον, ἐντεῦθεν ἐμφαίνεται, οὐχὶ προσώπων σύγχυσις· ἔστι μὲν γὰρ ὁ πατὴρ, τέλειον ἔχων τὸ εἶναι καὶ ἀνενδεὴς· ῥίζα καὶ πηγὴ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἔστι δὲ ὁ υἱὸς, ἐν πληρώσει τῇ θεότητι· ζῶν λόγος καὶ γέννημα τοῦ πατρὸς ἀπροσδεές· πλῆρες δὲ καὶ τὸ πνεῦμα· οὐ μέρος ἑτέρου, ἀλλὰ τέλειον καὶ ὁλόκληρον ἐφ' ἑαυτοῦ θεωρούμενον· καὶ συνῆπται μὲν ὁ υἱὸς τῷ πατρὶ, ἀδιαστάτως· συνῆπται δὲ τῷ υἱῷ τὸ πνεῦμα· τὸ γὰρ διορίζον, οὐκ ἔστιν οὐδὲ τὸ διατέμνον τὴν ἐξ ἀϊδίου συνάφειαν· αἰὼν γὰρ οὐδεὶς μεταξὺ παρεμπέπτωκεν· οὐδὲ μὴν δέχεται ἡ ψυχὴ ἡμῶν ἐπίνοια χωρισμοῦ· ὡς ἢ τοῦ μονογενοῦς μὴ συνόντος ἀεὶ τῷ πατρὶ, ἢ τοῦ ἁγίου πνεύματος, μὴ συνυπάρχοντος τῷ υἱῷ·

» ἐγὼ καὶ ὁ πατὴρ, ἕν ἐσμεν. ἄκουε καὶ σὺ ὁ σαβέλλιος. ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ πρὸς αὐ-
» τὸν ὑπάγω. καὶ ἑκάτερος ὑμῶν τὸ ἴδιον τραῦμα, ἐκ τοῦ εὐαγγελικοῦ διδασκαλίου θε-
ραπευέσθω. καὶ σὺ μὲν τὴν ἑνότητα λάμβανε ἐπὶ τὸ τῆς φύσεως ἀπαράλλακτον.
σὺ δὲ τὸ ἀπ' αὐτοῦ ἐξῆλθον καὶ πρὸς αὐτὸν πορεύομαι, ἐπὶ τὸ τῶν προσώπων διάφορον.
συμβῶμεν οὖν ἐπὶ τούτοις, καὶ εἰρηνεύσωμεν, καὶ καταθώμεθα τὸν μακρὸν κατὰ τῆς
εὐσεβείας πόλεμον. ῥίψατε τοὺς μὲν τὰ ἠκονημένα ταῦτα τῆς ἀσεβείας ὅπλα. καὶ με-
ταχαλκεύσατε τοὺς τὰς ζιβύνας, εἰς ἄροτρα. καὶ τὰς μαχαίρας, εἰς δρέπανα. μήτε
σὺ λέγε μόνον, ἀλλ' ἀκολούθει τῷ λέγοντι. οὐκ εἰμὶ μόνος ἐπεὶ ὁ πέμψας με πατὴρ, με-
τ' ἐμοῦ ἐστιν. ἄλλος οὖν ὁ πέμψας πατὴρ, καὶ ἄλλος ὁ πεμφθεὶς υἱός. καὶ πάλιν.
ἐγώ φησι μαρτυρῶ περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ, ὁ πέμψας με πατήρ. καὶ ἐν
τῷ νόμῳ δέ φησι τῷ ὑμετέρῳ γέγραπται. ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία, ἀληθής ἐστιν.
ἀρίθμησον εἰ βούλει τὰ πρόσωπα. ἐγώ φησιν εἰμὶ ὁ μαρτυρῶν εἷς, καὶ μαρτυρεῖ περὶ
ἐμοῦ ὁ πέμψας με. δύο καὶ οὐκ ἐγὼ οὕτω τολμηρῶς ἀριθμῶ, ἀλλ' αὐτὸς ὁ κ͞ς ἐδίδαξεν εἰ-
πών. ἐν τῷ νόμῳ τῷ ὑμετέρῳ γέγραπται. ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία, ἀληθής ἐστι.
καὶ σὺ δὲ ὁ κατ' ἄλλο εἶδος τῆς ἀσεβείας θεομαχῶν. ὁ ἀνόμοιον εἶναι λέγων τῇ φύσει, τὸν
υἱὸν τῷ θεῷ. ὁ τὴν ἰσότητα μὴ διδοὺς, ὁ διάστασιν ζωῆς ἐμποιῶν, δυσωπήθητι τὸν παῦλον
λέγοντα. ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου. καὶ δὸς τῇ ζώσῃ εἰκόνι, ἀπαραλλάκτως ἔ-
χειν πρὸς τὴν ζωὴν τὴν ἀρχέτυπον. ὁμολόγει, πατέρα υἱοῦ, μὴ κτίσματος δημιουργόν.
καὶ ἐν τῇ ἀληθινῇ τοῦ πατρὸς ὁμολογίᾳ, δὸς τὴν τοῦ γεννήσαντος πρὸς αὐτὸν ὁμοτιμίαν.
μνησθεὶς τῆς τοῦ εὐαγγελιστοῦ μαρτυρίας. ὅτι πατέρα ἔλεγεν ἑαυτοῦ τὸν θεὸν, ἴσον ἑαυ-
τὸν ποιῶν τῷ θεῷ. τὸ δὲ ἰσάζειν τῷ γεγεννηκότι, κατὰ φύσιν νοεῖται, οὐ κατὰ μεγέθους
σωματικοῦ παραμέτρησιν. πῶς δὲ οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα θεῷ, εἰ ὡς σὺ βλα-
σφημεῖς. οὐδέποτε ἴσος. πῶς δὲ καὶ ἐν μορφῇ θεοῦ ὑπάρχων, ὁ κατὰ τὸν σὸν λόγον μη-
δέποτε ὅμοιος. ἀλλ' ὁ μὲν πόλεμος, ἑκατέρωθεν ὑμῖν τοιοῦτος. ἡ δὲ ἀλήθεια. τῆς μήτε
σὺ φοβοῦ τὴν τῶν προσώπων ὁμολογίαν, ἀλλὰ λέγε πατέρα, λέγε καὶ υἱόν. μὴ ἑνὶ πρά-
γματι, δύο ὀνόματα ἐπιφθεγγόμενος. ἀλλ' ἐξ ἑκατέρας τῆς προσηγορίας, ἰδίαν ἔννοιαν
διδασκόμενος. δεινὴ γὰρ ἀγνωμοσύνη, μὴ καταδέχεσθαι τὰ διδάγματα τοῦ κ͞υ. ἀκριβῶς
διϊστῶντος ἡμῖν τῶν προσώπων τὴν ἑτερότητα. ἐὰν γὰρ ἀπέλθω φησὶ, παρακαλέσω τὸν
πατέρα, καὶ ἄλλον πέμψει παράκλητον ὑμῖν. οὐκοῦν υἱὸς μὲν ὁ παρακαλῶν, πατὴρ δὲ
ὁ παρακαλούμενος, παράκλητος δὲ ὁ ἀποστελλόμενος. ἆρα οὖν οὐ φανερῶς ἀναισχυν-
τεῖς, ἀκούων ἐγὼ περὶ τοῦ υἱοῦ. ἐκεῖνος δὲ περὶ τοῦ πατρός. ἄλλος περὶ τοῦ πνεύματος τοῦ
ἁγίου καὶ πάντα φύρων, καὶ πάντα συγχέων, καὶ ἑνὶ πράγματι τὰς πάσας προσηγορίας
περιτιθείς; μὴ μέντοι μηδὲ σὺ ἅρπαγμα πρὸς τὴν ἀσέβειαν λάβῃς, τὴν τῶν προσώ-
πων διαίρεσιν. εἰ γὰρ καὶ δύο τῷ ἀριθμῷ, ἀλλὰ τῇ φύσει οὐ διέζευκται. οὐδὲ ὁ τὰ δύο
λέγων, ἀλλοτρίωσιν ἐπεισάγει. εἷς θεὸς ὅτι καὶ πατήρ. εἷς θεὸς δὲ καὶ ὁ υἱὸς, καὶ οὐ δύο
θεοί. ἐπειδὴ ταυτότητα ἔχει ὁ υἱὸς πρὸς τὸν πατέρα. οὐ γὰρ ἄλλην ἐν πατρὶ καθορῶ
θεότητα, καὶ ἄλλην ἐν υἱῷ. οὐδὲ ἑτέραν φύσιν ἐκείνην, καὶ ἑτέραν ταύτην. ἵνα μὲν
οὖν τρανωθῇ σοι τῶν προσώπων ἡ ἰδιότης, ἀρίθμει ἰδίᾳ πατέρα, καὶ ἰδίᾳ υἱόν. ἵνα δὲ μὴ
εἰς πολυθεΐαν ἀποσχισθῇς, μίαν ὁμολόγει ἐπ' ἀμφοῖν τὴν οὐσίαν. οὕτω καὶ σαβέλλιος
πέπτωκε, καὶ ὁ ἀνόμοιος συντετρίψεται. ὅταν δὲ εἴπω μίαν οὐσίαν, μὴ δύο ἐξ ἑνὸς μερι-
σθέντα νόει, ἀλλ' ἐκ τῆς ἀρχῆς τοῦ πατρὸς, τὸν υἱὸν ὑποστάντα. οὐ πατέρα καὶ υἱὸν, ἐκ
τῆς μιᾶς οὐσίας ὑπερκειμένης. οὐ γὰρ ἀδελφὰ λέγομεν, ἀλλὰ πατέρα καὶ υἱὸν ὁμολογοῦ-
μεν. τὸ δὲ τῆς οὐσίας ταυτὸν, ἐπειδὴ ἐκ τοῦ πατρὸς ὁ υἱὸς, οὐ προστάγματι ποιηθεὶς, ἀλ-
λ' ἐκ τῆς φύσεως γεννηθείς. οὐκ ἀπομερισθεὶς τοῦ πατρὸς, ἀλλὰ μένοντος, τελείου τέ-
λειος ἀπολάμψας. καὶ μή μοι παραδραμόντες, ὅσοι ἢ μὴ τελείως τοῖς λεγομέ-
νοις ἠκολουθήσατε. ἢ πρὸς ἐπήρειαν ἡμᾶς περιεστήκατε. οὐ λαβεῖν τι παρ' ἡμῶν ὠ-
φέλιμον ἐπιζητοῦντες, ἀλλὰ λαβέσθαι τινὸς τῶν λεγομένων ἐπιτηροῦντες, εἴπητε.
δύο θεοὺς κηρύσσει. πολυθεΐαν καταγγέλλει. οὐ δύο θεοί. οὐδὲ γὰρ δύο πατέρες. ὁ μὲν
ἀρχὰς εἰσάγων δύο, δύο κηρύττει θεούς. τοιοῦτος δέ ἐστι μαρκίων, καὶ εἴ τις ἐκείνου τὴν ἀσέ-
βειαν παραπλήσιος. καὶ πάλιν. ὁ ἑτερούσιον λέγων τὸν γεγεννημένον πρὸς τὸν γεννήσαν-

Τοῦ αὐτοῦ κατὰ σαβελλιανῶν καὶ ἀρείου καὶ τῶν ἀνομοίων.

Ἤχθρευται ἰουδαϊσμὸς, ἑλληνισμῷ, καὶ ἀμφότεροι χριστιανισμῷ· ὥσπερ αἰγύπτιοι καὶ ἀσσύριοι, καὶ ἀλλήλοις εἰσὶ πολέμιοι, καὶ τῷ ἰσραήλ· ὡς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν, δειλίαν καὶ θράσος καὶ ἀλλήλοις ἀντικείμενα, καὶ τῇ ἀνδρείᾳ· τοιαύτη τίς ἐστι καὶ πρὸς τὴν ὀρθότητα τῆς ὁμολογίας, ἑκατέρωθεν παρακειμένη μάχη· ἐντεῦθεν μὲν σαβελλίου, ἑτέρωθεν δὲ τῶν τὸ ἀνόμοιον κηρυσσόντων· ἡμεῖς δὲ ὥσπερ ἀπεφύγομεν ἑλληνισμὸν, καὶ τὴν πονηρὰν εἰδωλολατρείαν ἐξετράπημεν, καὶ τὸ πολύθεον αὐτῶν, ἄθεον εἶναι κατέγνωμεν, οὕτως ἀποφύγομεν καὶ τὴν τῶν ἰουδαίων βλασφημίαν τῶν τὸν υἱὸν τοῦ θεοῦ ἀρνουμένων· φοβηθέντες ἐκείνην τὴν ἀπειλήν· ὃς ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀπαρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· φεύγομεν δὲ οὖν ὡς τὸ εἰκὸς, καὶ τὰ συγγενῆ τούτοις κατὰ τοῦ λόγου τῆς ἀληθείας ἐπεξευρίσκοντα· ἐπειδὴ γὰρ εἶδεν ὁ σοφὸς τῆς κακοποιήσεως διάβολος, τὴν πρὸς ἕλληνας καὶ ἰουδαίους τῶν χριστιανῶν ἀλλοτρίωσιν, καὶ ὅτι εὐθὺς ἐκ τῶν ὀνομάτων ἔχομεν πρὸς αὐτοὺς πολεμίως, τὸ ἡμέτερον ἐπιθεὶς ἑκατέροις ὄνομα, οὕτως ἐπεισάγειν ἐπιχειρεῖ πάλιν τὴν ἰουδαϊκὴν ἄρνησιν καὶ τὴν ἑλληνικὴν πολυθεΐαν· οἱ μὲν γὰρ ἔργον θεοῦ εἶναι λέγοντες τὸν μονογενῆ καὶ ποίημα· εἶτα προσκυνοῦντες καὶ θεολογοῦντες, ἐκ τοῦ λατρεύειν τῇ κτίσει, καὶ μὴ τῷ κτίσαντι, τὰ τῶν ἑλλήνων ἄντικρυς ἐπεισάγουσιν· οἱ δὲ τὸν, ἐκ θεοῦ θεὸν ἀρνούμενοι· καὶ ὀνόματι μὲν ὁμολογοῦντες υἱόν· ἔργῳ δὲ καὶ ἀληθείᾳ τὴν ὕπαρξιν ἀθετοῦντες, τὸν ἰουδαϊσμὸν πάλιν ἀνακαινοῦνται· καὶ γὰρ ὅταν ὁμολογῶσι λόγον, τῷ ἐνδιαθέτῳ αὐτὸν παρεικάζουσι, καὶ σοφίαν λέγοντες, ὁμοίαν εἶναι λέγουσι τῇ ἕξει τῇ ἐν ψυχῇ τῶν παιδευομένων συνισταμένῃ· καὶ διὰ τοῦτο πρόσωπον ἓν πατρὸς καὶ υἱοῦ· ἐπειδὴ καὶ ἄνθρωπος εἷς λέγεται, οὐ διαιρούμενος ἀπὸ τοῦ ἐνυπάρχοντος αὐτῷ λόγου καὶ τῆς σοφίας· καίτοιγε ὁ εὐαγγελιστὴς εὐθὺς ἐκ προοιμίων, βοᾷ· καὶ θεὸς ἦν ὁ λόγος, ἰδίαν ὕπαρξιν διδοὺς τῷ υἱῷ· εἰ γὰρ ἐν καρδίᾳ ἦν ὁ λόγος, πῶς ἂν ἐνοήθη θεός· πῶς δ' ἂν ἦν πρὸς τὸν θεόν· ἐπειδὴ ὁ ἐν ἀνθρώπῳ λόγος, οὔτε πρὸς αὐτὸν εἶναι λέγεται, ἀλλ' ἐν αὐτῷ· οὔτε ζῶν ἐστιν, οὔτε ὑφεστώς· ὁ δὲ τοῦ θεοῦ λόγος, ζωή ἐστι καὶ ἀλήθεια· καὶ ὁ μὲν λόγος ὁ ἡμέτερος, ὁμοῦ τε ἐλέχθη, καὶ οὐκ ἔστι· περὶ δὲ τοῦ θεοῦ λόγου, τί φησιν ὁ ψαλμὸς, εἰς τὸν αἰῶνα κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ· καὶ ἐντεῦθεν μὲν, οὗτος ὁ πόλεμος· ἑτέρωθεν δὲ, τίς καὶ ποῖός ἐστιν ὁ κατὰ τῆς ἀληθείας ἀγών· τὴν μὲν ὕπαρξιν συγχωροῦσι, καὶ ἴδιον εἶναι πρόσωπον υἱοῦ· καὶ ἴδιον πατρὸς, συντίθενται· ἀνομοιότητα δὲ τῆς φύσεως παρεισάγουσι· καὶ τὸ τοῦ υἱοῦ ὄνομα, μέχρι φωνῆς συγχωροῦσι· τῇ δὲ ἀληθείᾳ πρὸς τὴν κτίσιν αὐτὸν κατάγουσιν· οὐ δυσωπούμενοι τὴν φωνὴν τοῦ κυρίου· ἑαυτὸν προδεικνύντος, τῷ πρὸς τὴν τοῦ πνεύματος θεωρίαν ἐπειγομένων· ὁ ἑωρακὼς γὰρ ἐμὲ φησὶν ἑώρακε τὸν πατέρα· αὕτη δὲ ἡ φωνὴ ὀρθῶς λογιζομένοις, ἀμφοτέρων ἐμφράττει τὰς βλασφημίας· οὔτε γὰρ ἑαυτὸν εἶναι τὸν πατέρα φάσκει· ὅς γε διαιρεῖ τὰ πρόσωπα φανερῶς, ἐν τῷ λέγειν ὁ ἑωρακὼς ἐμέ· δείκνυσι γὰρ ἐκ τούτου τὸ ἴδιον αὐτοῦ πρόσωπον, ἑώρακε τὸν πατέρα· ἀναφέρων ἐπὶ τὸ πατρικὸν πρόσωπον καὶ διαιρῶν ἀφ' ἑαυτοῦ προδήλως· καὶ ἐν τῷ λέγειν, εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε· οὐ γὰρ σύγχυσιν τῶν προσώπων ἐμφαίνει ταῦτα, ἀλλὰ τὸ ἀπαράλλακτον τῆς θεότητος παρίστησιν· ἀκουέτωσαν δὲ τῶν αὐτῶν λόγων καὶ οἱ ἐναντίοι· ὅτι ὁ τῆς τοῦ υἱοῦ κατηξιωμένος κοινωνίας, οὐκ ἀπεστέρηται τοῦ πατρός· οὐ γὰρ ἀλλοῖον ὁ γεννήτωρ ἐγέννα, ἀλλὰ τοιοῦτον, οἷος αὐτός ἐστιν· ἄκουε ὁ ἀνόμοιος·

ἔξω παντελῶς ἐστὶ τῶν φρενῶν, ὥστε τολμῆσαι ἕτερον πλὴν τοῦ θεοῦ τῶν ὅλων προσαγορεῦσαι. ἀλλὰ μὴν οὐδὲ υἱόν, τῷ ἕνα εἶναι τὸν μονογενῆ. τί οὖν αὐτὸ χρὴ καλεῖν. πνεῦμα ἅγιον, καὶ πνεῦμα θεοῦ. καὶ πνεῦμα ἀληθείας, ἀποστελλόμενον παρὰ θεοῦ, διὰ υἱοῦ χορηγούμενον. οὐ δοῦλον, ἀλλ' ἅγιον, ἀγαθόν, ἡγεμονικόν. πνεῦμα ζωοποιοῦν, πνεῦμα υἱοθεσίας, ἐπιστάμενον πάντα τὰ τοῦ θεοῦ. οὕτω δ' ἂν καὶ ἐν τῇ τριάδι, ὁ τῆς μονάδος διασωθήσεται λόγος. ἕνα μὲν πατέρα ὁμολογούντων, καὶ ἕνα υἱόν, καὶ ἓν πνεῦμα ἅγιον. κομίζουσι δὲ ἀποδείξεις περὶ τὸ κτίσμα εἰρῆσθαι τὸ πνεῦμα τὸ ἅγιον. μίαν μὲν ἐκ τοῦ προφήτου λέγοντος, ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα. ἑτέραν δέ, τὴν ἐκ τοῦ εὐαγγελίου. ὅτι πάντα δι' αὐτοῦ ἐγένετο. ἡμεῖς δὲ τὸν προφητικὸν λόγον, οὐκ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' εἰς τὴν κοινὴν ταύτην πνοὴν τὸ τοῦ ἀέρος πνεῦμα πεπείσμεθα φέρειν. δῆλον δὲ ἐκεῖθεν. οὐ γὰρ εἶπεν ὁ κτίσας πνεῦμα, ἀλλ' ὁ κτίζων πνεῦμα. ὡς γὰρ ἡ βροντὴ οὐκ ἐν ὑποστάσει τινὶ ἐστὶ σωματικῇ ἅπαξ κτισθεῖσα, ἀλλ' ἀεὶ πρὸς τὸ τοῦ θεοῦ βούλημα ἐπὶ φόβῳ τῶν ἀνθρώπων ἐνεργουμένη, γίνεσθαι καὶ διαλύεσθαι πέφυκεν, οὕτω καὶ τὸ πνεῦμα. νῦν μὲν γίνεται δίκην ποταμοῦ ῥέοντος τοῦ ἀέρος. πάλιν δὲ παύεται ἀτρεμοῦντος τοῦ πρότερον κινουμένου, κατὰ βούλημα τοῦ τὰ πάντα ἐπὶ σωτηρίᾳ καὶ συστάσει τῶν ὅλων οἰκονομοῦντος. ὥστε διὰ πάσης τῆς κτίσεως. ἔκ τε βροντῶν καὶ ἀνέμων καὶ τῆς λοιπῆς δημιουργίας, τὸν δημιουργὸν ἀναγγέλλεσθαι. διὸ προφήτης μετὰ τὸ εἰπεῖν ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα φησίν, καὶ ἀπαγγέλλων τοῖς ἀνθρώποις τὸν Χριστὸν αὐτοῦ. ὡς γὰρ οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, τοῖς δυναμένοις ἐξ αὐτῶν τὴν τοῦ δημιουργοῦ τέχνην ἀναλογίζεσθαι, οὕτω καὶ βροντῆς ἦχοι, καὶ πνευμάτων κινήσεις, τὸν δημιουργὸν αὐτῶν ἀνακηρύττουσι. τάχα δ' ἂν τοῦτο καὶ προφητεία εἴη, πρὸς τὴν ἐνανθρώπησιν τοῦ κυρίου φέρουσα. ὅτι ἡ μὲν φωνὴ ἡ γενομένη ἐξ οὐρανοῦ, βροντὴ ἐδόκει τοῖς ἀκούουσιν εἶναι, ἥντινα ἀφῆκεν ὁ θεὸς καὶ πατήρ. ὥστε δι' αὐτῆς ἀναγγέλλει τὸν Χριστὸν τοῖς ἀνθρώποις.
τὰ δὲ πνεύματα τὰ κινούμενα, καὶ τὴν θάλασσαν συνταράσσοντα. εἶτα κοπάσαντα τῷ προστάγματι τοῦ κυρίου, σαφῶς καὶ αὐτὰ ἀνήγγελλε τοῖς
ἀνθρώποις, τὸν Χριστὸν αὐτοῦ. τὸ δὲ πάντα δι' αὐτοῦ ἐγένετο, οὐδαμῶς ἡμῖν κτιστὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον παρίστησιν, ὡς συ-
ναριθμουμένου τοῖς πᾶσι τοῦ πνεύματος. εἰ γὰρ ἓν
πνεῦμα ἅγιον καὶ μόνον, πῶς ὁ τῆς μοναδικῆς
ἐστὶ φύσεως, τοῖς πᾶσι συμπαραλαμ-
βάνεσθαι δύναται; καὶ μηδεὶς
οἰέσθω ἀπόδειξιν εἶναι τῆς
ὑποστάσεως, τὴν ἄρ-
νησιν τοῦ κτίσμα
εἶναι τὸ
πνεῦμα. ὥστε
βαρὺς γάρ ἐστι διάνοιαν
τὰ ἀποσιωπηθέντα ἐν ταῖς
ἁγίαις γραφαῖς, ἀναλαβέσθαι ἐθέλ-
ειν, καὶ φιλονεικεῖν περὶ τῷ ἁγίῳ πνεύματι.
τι. πιστεύεσθαι δὲ τὴν
ἐμπειρίαν αὐ-
τοῦ καὶ ἀ-
κριβῆ κατάλη-
ψιν, εἰς τὸν ὕστερον
ἡμῖν ἀποκεῖσθαι αἰῶνα.
ὅταν διαβάντες τὸ δι' ἐσόπτρου
καὶ αἰνίγματος ὁρᾶν τὴν ἀλήθειαν,
τῆς πρὸς πρόσωπον θεωρίας ἀξιωθῶμεν ἐν

ἐν αὐτῇ· ὧν δὲ ξένον διερευνᾶν τὰ βάθη τῶν κριμάτων τοῦ θεοῦ δύναται. εἶτα καὶ ἡ ζωὴ
ἡμῶν, ἀπὸ τοῦ θεοῦ διὰ Χριστοῦ ἐν ἁγίῳ πνεύματι χορηγεῖται. ζωοποιεῖ μὲν γὰρ ὁ θεὸς ὥς φη-
σι Παῦλος· παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα. ζωὴν δὲ δίδω-
» σιν ὁ Χριστός· τὰ πρόβατα γάρ φησι τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι. κἀγὼ ζωὴν αἰώνιον
» δίδωμι αὐτοῖς. ζωοποιούμεθα διὰ πνεύματος ὥς φησι Παῦλος· ὁ ἐγείρας Χριστὸν ἐκ νε-
» κρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν
» ὑμῖν. ἀλλ' ὁ πάντα τολμηρὸς οὗτος καὶ μὴ ὑποπτήσσων τὸν ἠπειλημένον κίνδυνον τοῖς
τολμῶσι βλάσφημόν τι ῥῆμα εἰς τὸ πνεῦμα τὸ ἅγιον ἀπορρῖψαι, ἀμέτοχον αὐτὸ θεότητος
» ἀποφαίνεται· γράφων οὕτω περὶ τοῦ πνεύματος. τρίτον τάξει καὶ φύσει, καὶ προσ- εὐνόμιος
» τάγματι μὲν τοῦ πατρός· ἐνεργείᾳ δὲ τοῦ υἱοῦ γενόμενον. τρίτῃ χώρᾳ τιμώμενον, ὡς πρῶ-
» τον καὶ μεῖζον ἁπάντων. καὶ μόνον τοιοῦτον τοῦ μονογενοῦς ποίημα. θεότητος καὶ δη-
» μιουργικῆς δυνάμεως, ἀπολειπόμενον. ὁ δὲ τοῦτο λέγων, ἔοικε, μηδὲ τὴν θεότητα πε- εὐνόμιος
» πιστευκέναι ἐν ἡμῖν, τοῦ Ἰωάννου λέγοντος περὶ θεοῦ· ἐκ τούτου γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν,
» ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκε. καὶ τοῦ ἀποστόλου, οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε καὶ τὸ
» πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; καὶ πάλιν· ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη, αὔ-
» ξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον θεοῦ ἐν πνεύμα-
τι. εἰ τοίνυν ἐν ἡμῖν ὁ θεὸς ἐνοικεῖν λέγεται διὰ τοῦ πνεύματος, πῶς οὐχὶ φανερᾶς ἀσε-
βείας ἐστίν, αὐτὸ τὸ πνεῦμα λέγειν ἀμέτοχον τῆς θεότητος. καὶ εἰ θεοὺς ὀνομάζομεν τοὺς κα-
τ' ἀρετὴν τελείους, ἡ δὲ τελείωσις δι' αὐτοῦ πνεύματος, πῶς τὸ ἑτέρους θεοποιοῦν, αὐτὸ τῆς
θεότητος ἀπολείπεται, ἀλλὰ μὴν οὐδ' ὥσπερ ἐπὶ τῶν ἀνθρώπων, οὕτω καὶ ἐπὶ
τοῦ πνεύματος, μαθητὴν λέγειν αὐτοῦ τὴν θεότητα τετιμῆσθαι. καὶ οὐχὶ φύσει αὐτῷ
συνυπάρχειν. ὁ γὰρ χάριτι θεοποιούμενος, τῆς μεταπτωτῆς ἐστι φύσεως· διὰ προσεξίας
ποτὲ, καὶ ἀπορρεούσης τοῦ κρείττονος. τοῦτο δὲ σαφῶς μάχεται τῇ παραδόσει τοῦ σωτη-
» ρίου βαπτίσματος. πορευθέντες φησὶ βαπτίζετε εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύ-
» ματος. ἔστι γὰρ τὸ βάπτισμα, σφραγὶς τῆς πίστεως, ἡ δὲ πίστις, θεότητος συγκατάθεσις. πι-
στεῦσαι γὰρ δεῖ πρότερον, εἶτα τῷ βαπτίσματι ἐπισφραγίσασθαι. τὸ δὲ βάπτισμα ἡ-
μῶν ἐστι κατ' αὐτὴν τὴν τοῦ κυρίου παράδοσιν, εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.
οὐδενὸς κτίσματος, οὐδὲ δούλου πατρὶ καὶ υἱῷ συντεταγμένου, ὡς τῆς θεότητος ἐν
τριάδι συμπληρουμένης. τὸ δὲ ἔξω τούτων, ὁμόδουλον ἅπαν ἐστί. κἂν τὰ μάλιστα ὑπερ-
βολαῖς ἀξιωμάτων ἄλλα ἄλλων προτετιμημένα τυγχάνῃ. καὶ μήμοι πάλιν τὰ σο-
» φὰ ταῦτα. εἰ μὴ κτίσμα ἐστίν, οὐκοῦν γέννημα ἢ ἀγέννητον. εἷς δὲ ἄναρχος θεὸς καὶ βασίλειος
» ἀγέννητος, οὔτε μὴν γέννημα. λείπεται οὖν κτίσμα καὶ ποίημα αὐτὸ ὀνομάζεσθαι.
» ἐγὼ δὲ εἰ μὲν πάντα διισχυριζόμην καταληπτὰ ἡμῖν εἶναι τῇ γνώσει, ᾐσχύνθην ἂν ἴσως ὁ- βασίλειος
μολογῆσαι τὴν ἄγνοιαν. νῦν δὲ μυρία οὐ τῶν ἐν τῷ μέλλοντι αἰῶνι ἀποκειμένων ἡμῖν
μόνον, οὔτε τῶν νῦν ὄντων ἐν τοῖς οὐρανοῖς ἀποκέκρυπται, ἀλλ' οὔτε τῶν ὑπαρχόντων
ἡμῖν ἐν τῷ σώματι ἔχει καὶ ἀναντίρρητός ἐστιν ἡ κατάληψις. οἷον ἀμέλει περὶ τῆς ὄψεως
πρότερον εἰσδεχόμενοι τὰς εἰκόνας τῶν ὁρατῶν, οὕτω τὰς ἀντιλήψεις ποιούμεθα. καὶ
πῶς ὁρῶν τε παμμεγέθων γῆς τε ἀπλέτου, καὶ ἀπείρου θαλάσσης, ἔτι δὲ καὶ αὐτοῦ τοῦ
οὐρανοῦ ἡ εἰκών, τῷ βραχεῖ μέτρῳ τῆς κόρης ἡμῶν περιέχεται. ἢ ἐκπέμποντε ὅτι πα-
ρ' ἑαυτῶν· καὶ προσπλεονάζοντες τούτου τοῖς ὁρατοῖς, οὕτως αὐτῶν, τὴν αἴσθησιν ἴσχο-
μεν. καὶ τί ἐστι τοῦτο καὶ πόσον. ὥστε γῇ καὶ θαλάσσῃ ἐξαρκεῖν ἐφαπλούμενον. καὶ πε-
ρᾶν μὲν τὸν μεταξὺ γῆς καὶ οὐρανοῦ τόπον, αὐτῷ τε προσβάλλειν τῷ οὐρανῷ τοσούτῳ
τάχει κινούμενον, ὥστε ἐν ἴσῳ χρόνῳ τό, τε περικείμενον σῶμα, καὶ τοὺς ἐν οὐρανῷ ἀστέ-
ρας καταμανθάνεσθαι. καὶ τί δεῖ τ' ἄλλα λέγειν. ἀλλ' αὐτὰ τὰ τοῦ νοῦ κινήματα, πότε-
ρον κτίζειν ἢ γεννᾶν πέφυκεν ἡ ψυχή, τίς ἂν ἀκριβῶς εἴποι; τί οὖν θαυμαστόν. εἰ καὶ περὶ
τοῦ ἁγίου πνεύματος ἀνεπαισχύντως ἡμᾶς τὴν ἄγνοιαν ὁμολογεῖν; τὴν μέντοι ἀναντί-
ρητον αὐτῷ προσμαρτυρουμένην δοξολογίαν ἀποδιδόναι. ὅτι μὲν γὰρ ὑπὲρ τὴν κτίσιν
ἐστίν, ἱκανῶς ἡμῖν παρίστησι τὰ διὰ τῶν γραφῶν παραδιδόμενα. ἐπειδή γε ἀδύνατον
τῆς αὐτῆς εἶναι φύσεως τό τε ἁγιάζον καὶ τὰ ἁγιαζόμενα, τὸ διδάσκον καὶ τὰ διδασκόμε-
να, τὸ ἀποκαλύπτον, καὶ τὰ τῆς ἀποκαλύψεως προσδεόμενα, ἀγέννητον δέ. οὐδεὶς οὕτως

ἀνεπίδεκτος. πῶς οὖν εὐσεβὲς τῇ κτίσει αὐτὸ συντάττειν, τοσούτῳ μέτρῳ διωρισμένον
τῆς κτίσεως. ἡ μὲν γὰρ κτίσις πέφυκεν ἆθλον προκοπῆς καὶ τῆς πρὸς τὸ βέλτιστον παρασκευῆς
τὸν ἁγιασμὸν ἔχουσα. φύσει τε χρωμένη αὐτεξουσίῳ, καὶ μεταρρέπειν ἐφ᾽ ἑκάτερα δυ-
ναμένη πρὸς ἐκλογὴν τοῦ ἀγαθοῦ καὶ τοῦ χείρονος. τὸ δὲ πνεῦμα τὸ ἅγιον, πηγὴ ἁγιασμοῦ.
καὶ ὥσπερ φύσει ἅγιος ὁ πατὴρ, καὶ φύσει ἅγιος ὁ υἱὸς, οὕτω φύσει ἅγιον, καὶ τὸ πνεῦμα
τὸ τῆς ἀληθείας. διὸ καὶ ἐξαιρέτου καὶ διαφερούσης τῆς τοῦ ἁγίου προσηγορίας ἠξίωται.
εἰ οὖν φύσις αὐτῷ ὁ ἁγιασμός ἐστιν ὥσπερ πατρὶ καὶ υἱῷ, πῶς τρίτον ἐστὶ, καὶ ἀλλοτρίας
φύσεως. διὰ τοῦτο γὰρ οἶμαι καὶ παρὰ τῷ Ἡσαΐᾳ τὰ σεραφὶμ τρίτον ἐκβοῶντα τὸ ἅγιος
ἀναγέγραπται, ὅτι ἐν τρισὶ ταῖς ὑποστάσεσιν ὁ κατὰ φύσιν ἁγιασμὸς θεωρεῖται. οὐ τοῦ-
το δὲ μόνον αὐτῷ κοινὸν πρὸς πατέρα καὶ υἱὸν τὸ τῆς ἁγιωσύνης ὄνομα, ἀλλὰ καὶ αὐτὴ
ἡ τοῦ πνεύματος προσηγορία. πνεῦμα γὰρ ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύμα-
τι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. καὶ ὁ προφήτης φησὶ, πνεῦμα πρὸ προσώπου ἡμῶν, Χριστὸς ὁ κύριος.
οὗ εἴπαμεν ἐν τῇ σκιᾷ τῶν πτερύγων αὐτοῦ ζησόμεθα. καὶ ὁ ἀπόστολος τὴν τοῦ πνεύμα-
τος προσηγορίαν ἐπὶ τὸν κύριον ἀναφέρει λέγων. ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν. ἐκ δὲ τούτων παν-
τὶ δῆλον ὅτι οὐκ ἀλλοτριώσειν τῆς φύσεως, ἀλλ᾽ οἰκειώσειν πρὸς τὸν πατέρα καὶ υἱὸν, ἡ κοι-
νωνία τῶν ὀνομάτων παρίστησι. καὶ ἀγαθὸς ὁ θεὸς εἴρηται, καὶ ἔστιν. ἀγαθὸν δὲ καὶ τὸ
πνεῦμα τὸ ἅγιον, οὐκ ἐπίκτητον ἔχον τὴν ἀγαθότητα, ἀλλ᾽ ἐκ φύσεως αὐτῷ συνυπάρχου-
σαν. ἢ πάντων ἂν εἴη ἀλογώτατον, τὸ φύσει ἅγιον, μὴ φύσει λέγειν τὴν ἀγαθότητα ἔχειν.
ἀλλ᾽ ἐπιγεννηματικὴν καὶ ἔξωθεν προσγεγενημένην αὐτῷ. ἐν ᾧ δὲ εἶπεν ὁ κύριος ὅτι ἐγὼ ἐρω-
τήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, καὶ αὐτὸς εἶναι παράκλητος ἡμῶν ἐν-
δείκνυται. ὥστε καὶ ἡ τοῦ παρακλήτου προσηγορία, οὐ μικρὸν εἰς ἀπόδειξιν τῆς δόξης
τοῦ ἁγίου πνεύματος συντελεῖ. καὶ τὰ μὲν ὀνόματα τοιαῦτα τῆς μεγαλείου τῆς φύσεως ἐνδεικτι-
» κά. αἱ δὲ ἐνέργειαι τοῦ πνεύματος οἷαι. τῷ λόγῳ κυρίου φησὶν οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ
» στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. ὡς τοίνυν ὁ θεὸς λόγος δημιουργός ἐστι τῶν οὐρανῶν, οὕ-
τω καὶ τὸ πνεῦμα τὸ ἅγιον τὸ στερρὸν καὶ πάγιον παρέχεται ταῖς οὐρανίαις δυνάμεσι. καὶ πάλιν
ὁ Ἰώβ. πνεῦμα κυρίου τὸ ποιῆσάν με. οὐκ ἐπὶ τῆς δημιουργίας ὡς οἶμαι, ἀλλ᾽ ἐπὶ τῆς κατὰ τὴν
ἀνθρωπείαν ἀρετὴν πλάσεως λέγων. ὁ δὲ Ἡσαΐας ἐκ προσώπου κυρίου διαλεγόμενος
» κατὰ τὸ ἀνθρώπειον αὐτοῦ δηλονότι. κύριος ἀπέσταλκέ με φησὶ, καὶ τὸ πνεῦμα αὐτοῦ. καὶ πάλιν ὁ
» ψαλμὸς δι᾽ ὅλων κεχορηγηκυῖαν τὴν δύναμιν τοῦ πνεύματος παριστάς. ποῦ πορευθῶ φησὶν ἀπὸ τοῦ
» πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; αἳ δὲ εἰς ἡμᾶς ἀπ᾽ αὐτοῦ φθάνουσαι εὐερ-
γεσίαι, ὁποῖαί τινές εἰσι καὶ ἡλίκαι. ὥσπερ αὐτὸς ὁ κύριος ἔδωκεν ἐξουσίαν τοῖς δεξαμένοις αὐ-
τὸν τέκνα θεοῦ γενέσθαι, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα υἱοθεσίας ἐστί. καὶ ὥσπερ διδάσκαλός
» ἐστιν ἀληθινὸς ὁ κύριος ἡμῶν κατὰ τὸ εἰρημένον. ὑμεῖς δὲ μὴ καλέσητε διδάσκαλον ὑμῶν ἐπὶ
» τῆς γῆς. εἷς γὰρ καθηγητὴς ὑμῶν ἐστιν ὁ Χριστός. οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον διδάσκειν πάντας τοὺς
εἰς τὸ ὄνομα τοῦ κυρίου πεπιστευκότας, ὑπ᾽ αὐτοῦ τοῦ κυρίου μεμαρτύρηται, εἰπόντος. ὁ δὲ παρά-
κλητος τὸ πνεῦμα τὸ ἅγιον. ὃ πέμψει ὁ πατὴρ, ἐκεῖνος ὑμᾶς διδάξει πάντα. καὶ ὥσπερ διαιρεῖν
τὰ ἐνεργήματα εἰς τοὺς ἀξίους τῆς ὑποδοχῆς τῶν ἐνεργημάτων ὁ πατὴρ λέγεται, καὶ διαι-
ρεῖν τὰς διακονίας ὁ υἱὸς ἐν τοῖς τῆς διακονίας ἀξιώμασιν, οὕτω διαιρεῖν καὶ τὰ χαρίσμα-
τα τὸ πνεῦμα τὸ ἅγιον εἰς τοὺς ἀξίους τῆς τῶν χαρισμάτων ὑποδοχῆς, μαρτυρεῖται. διαι-
» ρέσεις δὲ χαρισμάτων εἰσί. τὸ δὲ αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν εἰσί. δὲ ὁ αὐτὸς κύριος. καὶ
» διαιρέσεις ἐνεργημάτων εἰσίν. ὁ δὲ αὐτὸς θεός ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ὁρᾷς πῶς
καὶ ἐνταῦθα ἡ τοῦ ἁγίου πνεύματος ἐνέργεια συντεταγμένη ἐστὶ τῇ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐνερ-
γείᾳ. εἶτα καὶ ἐκ τοῦ ἐπαγομένου, μειζόνως τὸ θεῖον τῆς φύσεως τοῦ ἁγίου πνεύματος φανεροῦται.
τί γάρ φησι ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ αὐτὸ πνεῦμα. διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς
βούλεται. οὐδὲν ἕτερον, ἢ αὐθεντικὴν καὶ δεσποτικὴν ἐξουσίαν αὐτῷ μαρτυρεῖ. διόπερ ἐν
τῇ καινῇ διαθήκῃ οἱ προφῆται κεκράγασι, τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον. τὸ δὲ ἐρευνᾷν τὰ
βάθη τοῦ θεοῦ, πόθεν τῷ πνεύματι πρόσεστιν, ὥσπερ φησὶν οὐδεὶς οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώ-
που εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ
πνεῦμα τοῦ θεοῦ. ὡς γὰρ οὐδεὶς ἀλλότριος οὐδὲ ξένος τοὺς οἰκείους λογισμοὺς ἐποπτεύειν δύνα-
ται τῆς ψυχῆς, οὕτω δηλονότι, καὶ ἐπὶ τῶν ἀπορρήτων κοινωνεῖ τῷ θεῷ, οὐκ ἀλλότριον

χον φύσεως, καὶ τὸ ἀκόλουθον ἐκεῖθεν δῆλον. ἄγγελοι πάντες ὥσπερ προσηγορίας
μιᾶς, οὕτω καὶ φύσεως πάντως τῆς αὐτῆς τυγχάνουσιν. ἀλλ' ὅμως οἱ μὲν, αὐτῶν ἐθνῶν
προεστήκασιν. οἱ δὲ, ἑνὶ ἑκάστῳ τῶν πιστῶν εἰσὶ παρεπόμενοι. ὅσῳ μέντοι προτιμότε-
ρον ἔθνος ὅλον ἑνὸς ἀνδρὸς, τοσούτῳ δήπου μεῖζον ὑπάρχειν ἀνάγκη τὸ ἀξίωμα τοῦ ἐθνάρ-
χου ἀγγέλου, παρὰ τὸ τοῦ ἑνὸς ἑκάστου τὴν προστασίαν πεπιστευμένου. τὸ δὲ συνεῖναι ἑ-
κάστῳ τῶν πιστῶν ἄγγελον, οἷον παιδαγωγόν τινα καὶ νομέα τὴν ζωὴν διευθύνοντα, οὐδεὶς
» ἀντερεῖ. μεμνημένος τῶν τοῦ κυρίου λόγων εἰπόντος, μὴ καταφρονήσητε ἑνὸς τῶν ἐλαχί-
» στων τούτων, ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ
» ἐν τοῖς οὐρανοῖς. καὶ ὁ ψαλμῳδὸς φησὶ, παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβου-
» μένων αὐτόν. καὶ ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητός μου καὶ ὅσα τοιαῦτα. ὅτι δὲ πάλιν
» εἰσί τινες ἄγγελοι, καὶ ὅλων ἐθνῶν προεστῶτες, μωσῆς ἡμᾶς διδάσκει διὰ τῆς ᾠδῆς λέγων,
» ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς ἀδὰμ ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγ-
» γέλων αὐτοῦ. καὶ ὁ σοφὸς δανιὴλ ἐν τῇ τοῦ ἀγγέλου ὀπτασίᾳ, ἤκουσεν αὐτοῦ λέγοντος,
» ὅτι ἄρχων βασιλείας περσῶν εἱστήκει ἐξεναντίας μου. καὶ ἰδοὺ μιχαὴλ εἷς τῶν ἀρχόν-
» των τῶν πρώτων, ἦλθε βοηθῆσαι μοι. καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βα-
» σιλείας περσῶν. καὶ μετ' ὀλίγα φησὶν ὁ αὐτός. καὶ ἄρχων τῶν ἑλλήνων ἤρχετο. ἀλλὰ
καὶ ἀρχιστράτηγός τις τῆς δυνάμεως κυρίου λέγεταί τις. ὁ ἰησοῦ τῷ τοῦ ναυῆ ἐπὶ τοῦ ἰορδά-
νου φανερωθείς. καὶ πάλιν τινὲς λέγονται λεγεῶνες τῶν ἀγγέλων, τοῦ κυρίου εἰπόντος τοῖς μα-
» θηταῖς, ἢ δοκεῖτε ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα μου καὶ παραστήσει μοι ὧδε
» πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; ὁ τοίνυν ἀρχιστράτηγος τῶν ἐν ταῖς λεγεῶσι κα-
τατεταγμένων ἀγγέλων, ἄρχων ἐστὶ δηλονότι. πρὸς τί οὖν ὁ λόγος ἡμῖν φέρει; ὅτι οὐ
πάντως εἴ τι τῇ τάξει καὶ τῷ ἀξιώματι δεύτερόν ἐστι καὶ τρίτον, τοῦτο καὶ τὴν φύσιν ἑτέ-
ραν ἔχει. ὡς γὰρ ἐπὶ τῶν ἀγγέλων, ὁ μέν τις αὐτῶν ἄρχων, ὁ δὲ ὑπήκοος. ἄγγελοι δὲ ὅ-
μως τῇ φύσει πάντες. καὶ κατὰ μὲν τὸ ἀξίωμα, ἡ διαφορά, κατὰ δὲ τὴν φύσιν ἡ κοινω-
νία. καὶ γὰρ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ. φύσις δὲ πάντων ἀστέρων μία. καὶ πολλαὶ μο-
ναὶ παρὰ τῷ πατρὶ, τουτέστιν ἀξιωμάτων διαφοραὶ, φύσις δ' ὁμοία τῶν δοξαζομένων, οὕ-
τω δηλονότι καὶ τὸ πνεῦμα τὸ ἅγιον. εἰ καὶ ἀξιώματι καὶ τάξει ὑποβέβηκεν ὥς λέγου-
σι. παρειλήφαμεν γὰρ αὐτό φησι τρίτον ἀπὸ πατρὸς καὶ υἱοῦ ἀριθμούμενον. αὐτοῦ τοῦ κυρίου
» ἐν τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος παραδεδωκότος τὴν τάξιν, ἐν οἷς εἶπε. πορευ-
» θέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἀλλ' ὡς
φύσιν τινὰ τρίτην ἀπὸ υἱοῦ καὶ πατρὸς ἐκβαλλόμενον, οὐδαμοῦ μεμαθήκαμεν. δύο γὰρ λε-
γομένων πραγμάτων, θεότητος καὶ κτίσεως, καὶ δεσποτείας καὶ δουλείας, καὶ ἁγια-
στικῆς δυνάμεως, καὶ τῆς ἁγιαζομένης, τῆς τε ἐκ φύσεως ἐχούσης τὴν ἀρετὴν, καὶ τῆς ἐκ
προαιρέσεως κατορθούσης, ἐν ποίᾳ μερίδι τὸ πνεῦμα τάξομεν; ἐν τοῖς ἁγιαζομένοις; ἀλ-
λ' αὐτό ἐστιν ἁγιασμός. ἀλλ' ἐν τοῖς ἐξ ἀνδραγαθημάτων τὴν ἀρετὴν κτωμένοις; ἀλλὰ
φύσει ἐστὶν ἀγαθόν. ἀλλ' ἐν τοῖς λειτουργικοῖς; ἀλλ' ἕτερά εἰσι λειτουργικὰ πνεύματα πρὸς
διακονίαν ἀποστελλόμενα. οὐ τοίνυν ὁμόδουλον ἡμῖν λέγειν αὐτὸ θεμιτὸν, τὸ ἡγεμονι-
κὸν τῇ φύσει. οὔτε τῇ κτίσει συναριθμεῖν, τὸ τῇ θείᾳ καὶ μακαρίᾳ τριάδι συναριθμούμε-
νον. ἀρχαὶ μὲν γὰρ καὶ ἐξουσίαι, καὶ πᾶσα ἡ τοιαύτη κτίσις, ἐκ προσοχῆς καὶ ἐπιμε-
λείας τὸν ἁγιασμὸν ἔχουσαι, οὐκ ἂν εἰκότως φύσει ἅγιαι εἶναι λέγοιντο. ἐπορεγόμεναι
γὰρ τοῦ καλοῦ, κατὰ τὴν ἀναλογίαν τῆς πρὸς τὸν θεὸν ἀγάπης, καὶ τοῦ μέτρου τῆς ἁγιω-
σύνης μεταλαμβάνουσι. καὶ ὥσπερ ὁ σίδηρος ἐν μέσῳ τῷ πυρὶ κείμενος, τὸ μὲν σίδη-
ρος εἶναι, οὐκ ἀποβέβληκε, τῇ δὲ σφοδροτάτῃ πρὸς τὸ πῦρ ὁμιλίᾳ ἐκπυρακτωθεὶς, καὶ
πᾶσαν εἰς ἑαυτὸν τὴν τοῦ πυρὸς φύσιν ὑποδεξάμενος, καὶ χρώματι καὶ ἐνεργείᾳ πρὸς τὸ
πῦρ μεταβέβηκεν, οὕτω καὶ αἱ ἅγιαι δυνάμεις, ἐκ τῆς πρὸς τὸ φύσει ἅγιον κοινωνίας,
δι' ὅλης τῆς ἑαυτῶν ὑποστάσεως κεχωρηκότα ἤδη καὶ συμπεφυσιωμένον τὸν ἁγιασμὸν ἔ-
χουσι. διαφορὰ δὲ αὐταῖς πρὸς τὸ πνεῦμα τὸ ἅγιον αὕτη. ὅτι τῷ μὲν φύσει ἡ ἁγιωσύνη.
ταῖς δὲ, ἐκ μετουσίας ὑπάρχει τὸ ἁγιάζεσθαι. οἷς δὲ ἐπισκιαστὸν καὶ ἑτέρωθεν ἐπιδε-
δομένον ὑπάρχει τὸ ἀγαθὸν, τῆς μεταπτωτῆς εἰσι φύσεως. οὐ γὰρ ἂν ἐξέπεσεν ὁ ἑωσ-
φόρος ὁ πρωῒ ἀνατέλλων, οὔτε συνετρίβη ἐπὶ τῆς γῆς, εἰ φύσει ὑπῆρχε τοῦ χείρονος

τίς οὕτω περιφανῶς εἰς τὸ ἄφυκτον κρίμα τῆς εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημίας κατέ-
πεσε; μονονουχὶ ἦν μόνον τοσοῦτον μανῆναι κατὰ τοῦ πνεύματος, καὶ ὀνόμασί τε αὐτὸ
ταπεινοῖς καθυβρίσαι, καὶ τὴν φύσιν αὐτοῦ τοσοῦτον διαβαλεῖν, ὥστε ἀδοξίαν εἰ-
πεῖν τῷ πεποιηκότι προστρίβεσθαι. μᾶλλον δὲ κἀκεῖνος ἔφυγεν ἂν ταπεινῶς εἰπεῖν τι
περὶ τοῦ πνεύματος, ὡς ἂν μὴ τὸν τῦφον ἑαυτοῦ καταβάλλοι. καὶ περὶ μὲν τούτου κα-
τὰ σχολὴν ἐροῦμεν. ἐκεῖνο δὲ τίνι τῶν πάντων ἄδηλος ὅτι οὐδεμία ἐνέργεια τοῦ υἱοῦ ἀπο-
τετμημένη ἐστὶ τοῦ πατρός. οὐδὲ ἔστι τι ἐν τοῖς οὖσι τῷ υἱῷ ὑπάρχον, ὃ τοῦ πατρὸς ἠλλο-
τρίωται. πάντα γὰρ φησὶ τὰ ἐμὰ, σά ἐστι, καὶ τὰ σὰ ἐμά. πῶς οὖν τοῦ πνεύματος τὴν
αἰτίαν, τῷ μονογενεῖ μόνῳ περιτίθησι, καὶ κατηγόρημα τῆς φύσεως αὐτοῦ, τὴν τού-
του λαμβάνει δημιουργίαν; εἰ μὲν οὖν δύο ἀρχὰς ἀντιπαρεξάγων ἀλλήλαις ταῦτα φη-
σὶ, μετὰ μανιχαίου καὶ μαρκίωνος συντριβήσεται. εἰ δὲ μιᾶς ἐξάπτει τὰ ὄντα, τὸ παρὰ
τοῦ υἱοῦ γεγενῆσθαι λεγόμενον, πρὸς τὴν πρώτην αἰτίαν τὴν ἀναφορὰν ἔχει. ὥστε καὶ
πάντα εἰς τὸ εἶναι παρῆχθαι διὰ τοῦ θεοῦ λόγου πιστεύομεν, ἀλλὰ τὸ πάντων αἴτιον εἶναι
τὸν θεὸν τῶν ὅλων, οὐκ ἀφαιρούμεθα. πῶς δὲ οὐ φανερὸν ἔχει τὸν κίνδυνον, διαιρεῖν ἀπὸ
τοῦ θεοῦ τὸ πνεῦμα; τοῦτο μὲν τοῦ ἀποστόλου συνημμένως ἡμῖν παραδιδόντος, καὶ νῦν μὲν
χριστοῦ λέγοντος, νῦν δὲ τοῦ θεοῦ. ἐν οἷς γράφει, εἰ δέ τις πνεῦμα χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐ-
τοῦ. καὶ πάλιν. ὑμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβετε, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ.
τοῦτο δὲ, τοῦ κυρίου τὸ πνεῦμα τῆς ἀληθείας λέγοντος. ἐπειδὴ αὐτὸς ἡ ἀλήθεια. καὶ παρὰ τοῦ
πατρὸς ἐκπορεύεσθαι. ἀλλ' οὗτος εἰς καθαίρεσιν τῆς δόξης τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἀφαι-
ρεῖ μὲν αὐτὸ τοῦ πνεύματος. τῷ μονογενεῖ δὲ διαφερόντως, ἐπὶ καθαιρέσει τῆς δόξης προσ-
τίθησιν ἐφυβρίζων ὡς οἴεται οὐδεμίαν ἐκ δίκης ἐπὶ τοῖς πονηροῖς δόγμασιν ἐν τῇ ἡμέ-
ρᾳ τῆς ἀνταποδόσεως ἀναμένων.

τοῦ αὐτοῦ κατ' ἀνομίου, περὶ τοῦ ἁγίου πνεύματος. λόγος τρίτος.

Μόλις δέ ποτε κορεσθεὶς τῶν εἰς τὸν μονογενῆ υἱὸν βλασφημιῶν, ἐπὶ τὸ πνεῦμα τὸ ἅγιον μετε-
λήλυθεν. ἀκόλουθα τῇ ἑαυτοῦ περὶ αἱρέσει καὶ περὶ τούτου διαλεγόμενος. γράφει δὲ
οὕτως. (εὐνόμιος) λ' ἐκπουώτων δ' ἡμῖν τοσοῦτον περὶ τοῦ μονογενοῦς, ἀκόλουθον ἂν εἴη καὶ πε-
ρὶ τοῦ παρακλήτου λοιπὸν εἰπεῖν. οὐ ταῖς ἀνεξετάστοις τῶν πολλῶν ἀκολουθοῦντας δό-
» ξαις, τὴν δὲ τῶν ἁγίων ἐν ἅπασι φυλάσσοντας διδασκαλίαν παρ' ὧν τρίτον αὐτὸ ἀξιώμα-
» τι καὶ τάξει μαθόντας, τρίτον εἶναι καὶ τῇ φύσει πεπιστεύκαμεν. (βασίλειος) ὅτι μὲν γὰρ οὐκ ἀρκεῖ-
ται μόνῃ τῇ ἁπλῇ καὶ ἀνεπιτηδεύτῳ πίστει τῶν πολλῶν ἐμμένειν, ἀλλὰ τεχνικοῖς τισὶ
καὶ σεσοφισμένοις λόγοις, πάλιν πρὸς τὸ δοκοῦν ἑαυτῷ παρακρούεσθαι τὴν ἀλήθειαν,
ἱκανῶς ἤδη ἄν εἴποι τις ἐδήλωσεν, ἀτιμάζων γὰρ τὴν τῶν πολλῶν δόξαν, ἣ δοξάζουσι τὸ πνεῦμα
τὸ ἅγιον, προσποιεῖται τὴν τῶν ἁγίων φυλάσσειν διδασκαλίαν, καὶ τοὺς ταύτην αὐτῷ πα-
ραδεδωκότας, σιωπᾷ. ἐγὼ νῦν ἀπορῶ κἀν τοῖς περὶ τοῦ μονογενοῦς λόγοις, ποίων ἀπελά-
χου. εἶτα φησὶ παρὰ μὲν τῶν ἁγίων μεμαθηκέναι τὸ τρίτον εἶναι τῇ τάξει καὶ τῷ ἀξιώ-
ματι παρ' ἑαυτοῦ δὲ πεπιστευκέναι καὶ τρίτον εἶναι τῇ φύσει. τίνες δὲ οἱ ἅγιοι, καὶ ἐν ποίοις
λόγοις τὴν διδασκαλίαν πεποίηνται. ἆρα γέγονεν οὕτω τολμηρὸς ἄνθρωπος, τὰς περὶ
τῶν θείων δογμάτων καινοτομίας εἰσηγούμενος; τίς γὰρ ἀνάγκη εἰ τῷ ἀξιώματι καὶ τῇ
τάξει τρίτον ὑπάρχει τὸ πνεῦμα, τρίτον εἶναι αὐτὸ καὶ τῇ φύσει. ἀξιώματι μὲν γὰρ δεύ-
τερεύειν τοῦ υἱοῦ παραδίδωσιν ἴσως ὁ τῆς εὐσεβείας λόγος. φύσει δὲ τῇ τρίτῃ χρῆσθαι,
οὔτε παρὰ τῶν ἁγίων γραφῶν δεδιδάγμεθα, οὔτε ἐκ τῶν προειρημένων κατὰ τὸ ἀκόλου-
θον δυνατὸν συλλογίσασθαι. ὡς μὲν γὰρ υἱὸς, τάξει μὲν δεύτερος τοῦ πατρὸς, ὅτι ἀπ' ἐκεί-
νου, καὶ ἀξιώματι, ὅτι ἀρχὴ καὶ αἰτία τοῦ εἶναι αὐτοῦ πατέρα, καὶ ὅτι δι' αὐτοῦ ἡ πρόσο-
δος καὶ προσαγωγὴ πρὸς τὸν θεὸν καὶ πατέρα. φύσει δὲ οὐκέτι δεύτερος, διότι ἡ θεότης
ἐν ἑκατέρῳ μία, οὕτω δηλονότι καὶ τὸ πνεῦμα τὸ ἅγιον, εἰ καὶ ὑποβέβηκε τὸν υἱὸν τῇ τε τά-
ξει καὶ τῷ ἀξιώματι, ἵν' ὅλως καὶ συγχωρήσωμεν οὐκέτ' ἂν εἰκότως ὡς ἀλλοτρίας ὑπάρ-

βασίλειος

τὴν τοῦ λαμβάνει καὶ τῆς κατ' οὐσίαν παραλλαγῆς τὴν ἀπόδειξιν. πρῶτον μὲν οὖν πῶς δυνατὸν ἐκ τῶν δημιουργημάτων τὰς οὐσίας ἀναλογίζεσθαι· ἐγὼ μὲν οὐχ ὁρῶ, δυνάμεως γὰρ καὶ σοφίας καὶ τέχνης, οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι τὰ ποιήματα. καὶ οὐδὲ αὐτὴν πᾶσαν τοῦ δημιουργοῦ τὴν δύναμιν ἀναγκαίως παρίστησιν. ἐνδεχομένου ποτὲ τὸν τεχνίτην μὴ πᾶσαν ἑαυτοῦ τὴν ἰσχὺν ἐναποτίθεσθαι τοῖς ἐνεργείαις· ἀλλ' ὑφειμένοις πολλάκις ἐπὶ τῶν ἔργων τῆς τέχνης τοῖς τόνοις χρῆσθαι. εἰ δὲ καὶ ὅλην τὴν δύναμιν ἐπὶ τὸ ἔργον ἀνακινήσειε, καὶ οὕτως ἂν ἐξαρκοῖ τὴν ἰσχὺν αὐτοῦ διὰ τῶν ἔργων ἀναμετρεῖσθαι, οὐχὶ δὲ τὴν οὐσίαν ἥτις ποτέ ἐστι καταλαμβάνεσθαι. εἰ δὲ διὰ τὸ ἁπλοῦν καὶ ἀσύνθετον τῆς θείας φύσεως τῇ μὲν δυνάμει σύνδρομον τίθεται τὴν οὐσίαν, καὶ διὰ τὴν πρέπουσαν ἀγαθότητα τῷ θεῷ, ὅλην μὲν κεκινῆσθαι λέγοι τὴν τοῦ πατρὸς δύναμιν εἰς τὴν γέννησιν τοῦ υἱοῦ· ὅλην δὲ πάλιν τὴν τοῦ μονογενοῦς εἰς τὴν ὑπόστασιν τοῦ ἁγίου πνεύματος· ὥστε ἐκ μὲν τοῦ πνεύματος τὴν τοῦ μονογενοῦς δύναμιν θεωρεῖσθαι· ὁμοῦ δὲ καὶ τὴν οὐσίαν· ἐκ δὲ τοῦ μονογενοῦς πάλιν, τὴν τοῦ πατρὸς δύναμίν τε καὶ οὐσίαν καταλαμβάνεσθαι, σκοπεῖτε τὸ συναγόμενον. ὅθεν γὰρ ἐπιχείρησε τὸ ἀνόμοιον συστῆσαι τῆς οὐσίας, ἐκ τούτων ἐφάνη κατασκευάζων τὴν ὁμοιότητα. εἰ μὲν οὐδὲν ἔχει κοινὸν ἡ δύναμις πρὸς τὴν οὐσίαν, πῶς ἐκ τῶν δημιουργημάτων ἃ τῆς δυνάμεώς ἐστιν ἀποτελέσματα, πρὸς τὴν κατάληψιν αὐτῆς ὡδηγήθη; εἰ δὲ ταυτόν ἐστιν οὐσία τε καὶ δύναμις, τὸ τὴν δύναμιν χαρακτηρίζον, χαρακτηρίσει πάντως καὶ τὴν οὐσίαν. ὥστε τὰ δημιουργήματα ὡς σὺ φῄς, οὐ πρὸς τὸ ἀνόμοιον τῆς οὐσίας, ἀλλὰ πρὸς τὴν ἀκρίβειαν τῆς ὁμοιότητος φέρει. πάλιν μέντοι καὶ τοῦτο τὸ ἐπιχείρημα, τὸ ἡμέτερον μᾶλλον, ἢ τὸ αὐτοῦ λόγον συνίστησιν. ἢ γὰρ οὐδαμόθεν ἔχει παρασχέσθαι τῶν εἰρημένων τὰς ἀποδείξεις, ἢ εἴπερ ἐκ τῶν ἀνθρωπίνων τὰς εἰκόνας λαμβάνοι, εὑρήσει οὐκ ἐκ τῶν ἔργων τοῦ τεχνίτου, ἐν περινοίᾳ τῆς οὐσίας αὐτοῦ γινομένους ἡμᾶς, ἀλλ' ἐκ τοῦ γεννηθέντος τὴν τοῦ γεγεννηκότος φύσιν ἐπιγινώσκοντας. οὐ γὰρ ἐκ τῆς οἰκίας, τὴν οὐσίαν τοῦ οἰκοδόμου καταλαβεῖν δυνατόν, ἐκ μέντοι τοῦ γεννήματος, νοῆσαι ῥᾴδιον τοῦ γεγεννηκότος τὴν φύσιν. ὥστε εἰ μὲν δημιούργημα ὁ μονογενής, οὐ παρίστησιν ἡμῖν τοῦ πατρὸς τὴν οὐσίαν. εἰ δὲ γνωρίζει ἡμῖν δι' ἑαυτοῦ τὸν πατέρα, οὐχὶ δημιούργημα, ἀλλὰ υἱὸς ἀληθὴς καὶ εἰκὼν τοῦ θεοῦ, καὶ ὑποστάσεως χαρακτήρ. καὶ ταῦτα μὲν τοιαῦτα. ἡ δὲ παρενθήκη τῆς βλασφημίας, ὅση, καταφρονήσας τῆς ἐν τοῖς εὐαγγελίοις ἀπειλῆς, ἣν ὁ κύριος τοῖς εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσασι φοβερωτάτην ἐπανετείνατο· δημιούργημα τὸ πνεῦμα λέγει τὸ ἅγιον, μικροῦ μὴ δὲ ζῶον αὐτὸ εἶναι διδούς, τοῖς ἀψύχοις ὡς τὰ πολλὰ τῆς προσηγορίας ταύτης ἐφαρμοζούσης. οὐ γὰρ δὴ ὅτι προσέλαβε τῇ βλασφημίᾳ ταύτῃ τὸν υἱόν, καθυφεῖναί τι ἡμᾶς τῆς ἀγανακτήσεως, ἄξιον. οὐ γὰρ παραμυθία τοῦτο τῆς ἀσεβείας, ἀλλὰ προσθήκη τῆς κατακρίσεως. ἐπεὶ καὶ ὁ κύριος τὴν μὲν εἰς αὐτὸν βλασφημίαν, δι' ἀγαθότητα συνεχώρησε· τὴν δὲ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἀναπόδραστον εἶναι τοῖς τολμήσασιν ἀπεφήνατο. πρῶτος τοίνυν τῶν ἀφ' οὗ τὸ κήρυγμα τῆς εὐσεβείας διαγγέλλεται ἀντιφωνούντων τῇ ἀληθείᾳ, ταύτην ἐτόλμησε τὴν φωνὴν ἀφεῖναι περὶ τοῦ πνεύματος. οὐδενὸς γὰρ τινὸς μέχρι σήμερον ἀκηκόαμεν δημιούργημα τὸ πνεῦμα τὸ ἅγιον προσειπόντος, ἢ ἐν τοῖς καταλειφθεῖσιν ὑπ' αὐτῶν λόγοις τὴν προσηγορίαν ταύτην εὑρήκαμεν. εἶτα φησίν.

εὐνόμιος

„ Εἰ ἐκ τῶν δημιουργημάτων δεῖ
„ ἀνάγοι τό τις πρὸς τὴν τῆς οὐσίας κατάληψιν, εὑρήσει τοῦ μὲν ἀγεννήτου, τὸν υἱὸν ποίη-
„ μα· τοῦ δὲ μονογενοῦς τὸ παράκλητον.

βασίλειος

Ἄλλος οὗτος τρόπος τῆς ἀσεβείας. διπλᾶ βλασφημεῖν ἐν ἑνὶ ῥήματι, καὶ τὴν τοῦ ἁγίου πνεύματος ἐξουδένωσιν ὡς ὁμολογουμένην λαβόντα ἐντεῦθεν ὁρμῆσαι πρὸς τὴν ἀπόδειξιν τῆς τοῦ μονογενοῦς ἐλαττώσεως. καὶ ὡς ἔοικεν, οἱ μὲν οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ. τὸ δὲ πνεῦμα τὸ ἅγιον, τὴν τῆς δόξης ἐλάττωσιν τοῦ μονογενοῦς ἀναγγέλλει. καὶ ὁ μὲν κύριος περὶ τοῦ παρακλήτου λέγων, ἐκεῖνος ἐμὲ δοξάσει φησίν. ἡ δὲ κατήγορος γλῶττα, ἐμπόδιον εἶναι τῷ υἱῷ τῆς πρὸς τὸν πατέρα συγκρίσεως ἀποφαίνεται. ἐπειδὴ γὰρ τοῦ πνεύματος φησὶ ποιητὴς ὁ υἱός. ἵλεως δὲ ἡμῖν κύριε τοῖς λαλουμένοις εἴης. τοῦτο δὲ τοιοῦτόν ἐστιν, ὡς μηδεμίαν σεμνότητα τῷ δημιουργήσαντι προστιθέναι, διὰ τοῦτο οὐδὲ συγκρίνεσθαι τῷ πατρὶ ἄξιος ἐκ τῆς ὧν ἐποίησεν εὐτελείας τὸ ὁμότιμον τῆς ἀξίας ἀφῃρημένος. ἆρα ἀκηκόατε ποτὲ βλασφημίας χαλεπωτέρας; ἆρα

πατέρα, νόμῳ φύσεως ἠλλοτριωμένην ἔχειν πρὸς τὸν υἱὸν τὴν οὐσίαν. καίτοιγε οἱ τῆς
φύσεως νόμοι, οὐχὶ διάστασιν ἀπ᾿ ἀλλήλων υἱῷ πρὸς πατέρα, ἀλλ᾿ ἀναγκαίαν καὶ ἄρρη-
κτον τὴν κοινωνίαν τῆς φύσεως ὑποβάλλουσιν. εἰ μὲν γὰρ βουλήσει ἔλεγε τὸ πρὸς ἑαυ-
τὸν ἀκοινώνητον κατεσκευακέναι τὸν θεὸν τῶν ὅλων, οὐδ᾿ οὕτω μὲν ἂν ὁ τῆς ἀγαθότητος τοῦ
θεοῦ συνεχώρει λόγος, πιθανὸν εἶναι τὸν λέγοντα ἀκοινώνητον εἶναι τὸν πατέρα, τῶν αὐ-
τῷ παρόντων πρὸς τὸν ἐξ αὐτοῦ. εἶχε δ᾿ ἂν ὅμως ἀκολουθίαν τὰ εἰρημένα. νόμῳ δὲ φύ-
σεως λέγων ὑπάρχειν τὴν ἀλλοτρίωσιν, οὐδὲ τὴν ἐν τοῖς αἰσθητοῖς ἔτι φύσιν ἐπισκεμ-
μένος. καθ᾿ ἣν οὐχὶ τὰ ἀλλότρια, οὐδὲ τὰ ἐναντία, τὰ οἰκεῖα δὲ μᾶλλον καὶ τὰ προσήκον-
τα ἀπογεννᾶσθαι πέφυκεν ὑφ᾿ ἑκάστου. πάλιν οὖν καὶ ἐνταῦθα, οὐ συνεῖδε τὴν πρὸς
ἑαυτὰ τῶν εἰρημένων ἐναντιότητα. ἐν γὰρ τοῖς κατόπιν ἀγανακτῶν, πρὸς τοὺς ὅμοιον κα-

Εὐνόμιος » τ᾿ οὐσίαν τὸν μονογενῆ τῷ πατρὶ λέγοντας ἔγραψεν οὕτως. τὴν ἀρχὴν δὲ δοκοῦσί μοι οἱ
» τὴν ἀδέσποτον καὶ πάσης μὲν αἰτίας κρείττονα, πάντων δὲ νόμων ἐλευθέραν οὐσίαν τῷ
» γεννητῷ καὶ νόμοις πατρικοῖς δουλευούσῃ συγκρίνειν τολμήσαντες, ἢ μὴ δὲ ὅλως τὴν τῶν
» ὅλων φύσιν ἐπεσκέφθαι ἢ μὴ καθαρᾷ τῇ διανοίᾳ τὰς περὶ τούτων ποιεῖσθαι κρίσεις.

Βασίλειος » Πῶς οὖν ἡ ἀδέσποτος, καὶ πάντων νόμων ἐλευθέρα, ἀνεφάνη νῦν οὐχ ἑκούσιον ἔχουσα τὸ
ἀσύγκριτον, ἀλλὰ νόμῳ φύσεως περιειλημμένη. καὶ ἀπροαιρέτως τῆς πρὸς ἑαυτὸ κοινω-
νίας τὸ γεννητὸν ἀπελαύνουσα. ὥστε διὰ τοῦτο καὶ αὐτῷ τυγχάνειν τῷ μονογενεῖ ἀπρόσ-
πελαστος. τοσοῦτον μὲν οὖν ἐν τοῖς λεγομένοις ὑπ᾿ αὐτοῦ τὸ ἀσύμφωνον. τὸ δὲ ἀσεβὲς
ὅσον, ἀδέσποτον μὲν καὶ ἐλευθέραν τὴν τοῦ πατρὸς οὐσίαν προσαγορεύει. εἴπερ οὖν ἀ-
δέσποτος ἡ τῷ νόμῳ τῆς φύσεως μὴ ὑποκύπτουσα; δουλικὴν δὲ εἶναι ἐξ ἀντιθέτου τὴν
τοῦ μονογενοῦς ἀποφαίνεται, καὶ ἐντεῦθεν τὸ ὁμότιμον τῆς φύσεως ἀφαιρούμενος. δύο
γὰρ ὄντων πραγμάτων κτίσεώς τε καὶ θεότητος, καὶ τῆς μὲν κτίσεως, ἐν δουλείᾳ καὶ ὑ-
πακοῇ τεταγμένης, ἀρχικῆς δὲ οὔσης καὶ δεσποτικῆς τῆς θεότητος, ὁ ἀφαιρούμενος τῆς
δεσποτείας τὸ ἀξίωμα, καὶ εἰς τὸ τῆς δουλείας ταπεινὸν καταβάλλων, οὐχὶ δῆλός ἐστιν
καὶ διὰ τοῦτο συστοιχοῦντα αὐτὸν τῇ πάσῃ κτίσει δεικνύς; οὐ γὰρ δὴ τοῦτο σεμνὸν αὐτῷ εἰ τῶν
ὁμοδούλων περιέξει. ἀλλ᾿ εἰ μὴ βασιλεὺς καὶ δεσπότης ὁμολογοῖτο. οὐ τῇ τῆς φύσεως ἐ-
λαττώσει, τῇ ἀγαθότητι δὲ τῆς προαιρέσεως καταδεχόμενος τὸ ὑπήκοον, τοῦτο χαλεπὸν

Εὐνόμιος » καὶ φρικτὸν καὶ ὄλεθρον φέρον τοῖς ἀρνουμένοις. ὃ δὲ περιτίθησιν, ὅτι τοῖς νόμοις τῆς
» φύσεως ἑπομένη ἡ τοῦ θεοῦ οὐσία, οὔτε τὴν πρὸς ἕτερον σύγκρισιν ἐπιδέχεται, καὶ πα-
» ρέχει ἡμῖν ἀκόλουθον καὶ προσήκουσαν τῷ ἰδίῳ ἀξιώματι νοεῖν αὐτῆς τὴν ἐνέργειαν.

Βασίλειος » τοῦτο εἴρηται μὲν εἰς ἀπόδειξιν ἐκείνου τῆς ἀλλοτριώσεως τοῦ μονογενοῦς πρὸς τὸν πατέ-
ρα. συνίστησι δὲ τὸν ἡμέτερον λόγον. εἰ γὰρ ἀκόλουθον καὶ προσήκουσαν τῷ ἰδίῳ ἀξιώ-
ματι παρέχει νοεῖν καὶ τὴν ἐνέργειαν ἡ τοῦ θεοῦ οὐσία, ἀξίωμα μέν ἐστιν ἡ ἀγεννησία ὡς αὐ-
τῷ μάλα δοκεῖ. τὸ δὲ αὐτὸ τοῦτο καὶ οὐσία κατὰ τὸν τούτων λόγον. ἐνέργεια δὲ τοῦ θεοῦ ὁ μο-
νογενής, ἢ ἐνεργείας εἰκών. καὶ τοῦτο κατὰ τὸν τούτων λόγον. ὥστε τούτοις ἀντιλέγειν πα-
ρέλκον ἂν εἴη οὐδὲν ἔχουσιν, ἢ πολλοῦ ἂν τιμησαίμην ἀρνεῖσθαι αὐτοὺς τὴν βλασφημίαν
ταύτην. πλὴν ἐπειδήπερ εἰρήκασιν ἐξ αὐτῶν τούτοις εἰρημένων συλλογισόμεθα, ὅτι εἰ
ἀξίωμα μὲν θεοῦ ἀγεννησία. τὸ δὲ αὐτὸ καὶ οὐσία ἀκόλουθος δὲ καὶ προσήκουσα τῷ ἀξιώ-
ματι τοῦ θεοῦ ἐνέργεια, αὕτη δέ ἐστιν ὁ Χριστὸς κατὰ τὴν τούτων ὑπόληψιν, οἰκεῖος ἄρα καὶ προσήκων
τῇ οὐσίᾳ ἔσται τοῦ θεοῦ. καὶ τούτων οὐδέν ἐστιν ἡμέτερον. αὐτὰ γὰρ τὰ τούτων συνθέντες
ῥήματα, ἐπ᾿ αὐτῶν τὴν λέξιν ποιούμεθα, τῇ οὐσίᾳ φησὶ τοῦ θεοῦ ἀκολουθεῖ τὸ ἀξίωμα.
τῷ ἀξιώματι ἀναλογοῦσά ἐστιν ἡ ἐνέργεια. τῆς ἐνεργείας εἰκών, ὁ μονογενής. καὶ ἀνάπα-
λιν. εἰ τῆς ἐνεργείας ὁ μονογενὴς εἰκών, ἡ δὲ ἐνέργεια τοῦ ἀξιώματος, τὸ δὲ ἀξίωμα τῆς οὐ-
σίας ὁ μονογενὴς ἔσται τῆς οὐσίας εἰκών. οὕτω καὶ αὐτοὶ πολλάκις οἱ ἐργάται τοῦ ψεύ-
δους ὑπὸ τῆς ἐνεργείας ἀγχόμενοι μαρτυροῦσι τῇ ἀληθείᾳ καὶ μὴ βουλόμενοι ἐπεὶ καὶ οἱ δαί-
μονες, οὐχὶ εὐαγγελιστῶν ἐποίουν ἔργον, ἀλλ᾿ αὐτὴν βλέπειν μὴ δυνάμενοι τῷ τῆς ἀλη-
θείας φωτὶ ἐβόων. οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. ἴδωμεν δὲ καὶ τὰ ἀκόλουθα.

Εὐνόμιος » εἴτε γάρ φησιν ἐκ τῶν δημιουργημάτων σκοπούμενός τις ἐκ τούτων ἐπὶ τὰς οὐσίας ἀνά-
» γοιτο. τοῦ μὲν ἀγεννήτου τὸν υἱὸν εὑρήσει ποίημα. τοῦ δὲ μονογενοῦς τὸν παράκλητον.
» καὶ τῆς τοῦ μονογενοῦς ὑπεροχῆς τὴν τῆς ἐνεργείας διαφορὰν πιστούμενος, ἀναμφισβή-

ἐπιθεωρουμένης τῆς ἀντιθέσεως. αὕτη γὰρ τῶν ἰδιωμάτων ἡ φύσις, ἐν τῇ τῆς οὐσίας ταυτότητι, δεικνύναι τὴν ἑτερότητα. καὶ αὐτὰ μὲν πρὸς ἄλληλα ἀντιδιαιρούμενα πολλάκις τὰ ἰδιώματα, πρὸς τὸ ἐναντίον διΐστασθαι. τήν γε μὴν ἑνότητα τῆς οὐσίας μὴ διασπᾶν. ὡς τὸ πτηνὸν καὶ τὸ πεζὸν καὶ τὸ ἔνυδρον καὶ τὸ χερσαῖον, καὶ λογικὸν, καὶ τὸ ἄλογον. μιᾶς γὰρ οὐσίας τοῖς πᾶσιν ὑποκειμένης, τὰ ἰδιώματα ταῦτα, οὐκ ἀλλοτριοῖ τὴν οὐσίαν. οὐδὲ οἱονεὶ συστασιάζειν ἑαυτοῖς ἀναπείθει. τῇ ἐνεργείᾳ δὲ τῶν γνωρισμάτων, οἷόν τι φῶς ταῖς ψυχαῖς ἡμῶν ἐντιθέντα, πρὸς τὴν ἐφικτὴν ταῖς διανοίαις σύνεσιν ὁδηγεῖ. ἀλλ' οὗτος τὴν τῶν ἰδιωμάτων ἀντίθεσιν, πρὸς τὴν οὐσίαν μετακομίσας, ἐντεῦθεν τὴν ἀφορμὴν τῆς ἀσεβείας ἐφέλκεται. ὥσπερ παῖδας ἡμᾶς μορμολυττόμενος τοῖς σοφίσμασιν. ὅτι εἴπερ ἕτερόν τι ἐστὶ τὸ φῶς παρὰ τὸ ἀγέννητον, ἀναγκαίως ἡμῖν σύνθετος ὁ θεὸς ἀποδειχθήσεται. ἐγὼ δὲ τί φημι. ὅτι εἰ μὴ ἕτερόν τι ἐστὶ τοῦ ἀγεννήτου τὸ φῶς, οὐκέτι τῷ υἱῷ δύναται τὸ φῶς ἐπιλέγεσθαι. ὥσπερ οὐδὲ αὐτῷ τὸ ἀγέννητον. μάθοι δ' ἄν τις κἀκεῖθεν τῶν σημαινομένων ἀπὸ τῶν φωνῶν τὴν διαφοράν. φῶς εἶναι εἴρηται ὁ θεός. καὶ ἀναβάλλεσθαι φῶς οὐδαμοῦ οἰκεῖν αὐτὸν τῇ ἑαυτοῦ ἀγεννησίᾳ, οὐδὲ ἔξωθεν ἑαυτῷ περικειμένην ἔχειν, τοῦ λόγου λέγοντος. εἰ ταῦτα μὲν καταγέλαστα, τὸ δὲ γεννητὸν καὶ ἀγέννητον, γνωριστικαί τινές εἰσιν ἰδιότητες. εἰ γὰρ μηδὲν εἴη τὸ τὴν οὐσίαν χαρακτηρίζον, οὐδενὶ ἂν τρόπῳ πρὸς τὴν σύνεσιν ἡμῶν διακρίνοιτο. μιᾶς γὰρ οὔσης θεότητος, ἀμήχανον ἔννοιαν ἰδιάζουσαν πατρὸς λαβεῖν, ἢ υἱοῦ, μὴ τῇ τῶν ἰδιωμάτων προσθήκῃ τῆς διανοίας διαρθρουμένης, ἀλλὰ μὴν πρός γε τὸ σύνθετον ἀναφανήσεσθαι τὸν θεόν. εἰ μὴ ταὐτὸν λέγοιμι τῷ ἀγεννήτῳ τὸ φῶς, ἐκεῖνο εἰπεῖν ἔχομεν. ὅτι εἰ μὲν ὡς μέρη τῆς οὐσίας τὸ ἀγέννητον ἐλαμβάνομεν, εἶχεν ἂν αὐτῷ χώραν ὁ λόγος σύνθετον εἶναι λέγων τὸ ἐκ διαφόρων συγκείμενον. εἰ δὲ οὐσίαν μὲν θεοῦ τὸ φῶς τιθέμεθα τὴν ζωὴν, ἢ τὸ ἀγαθὸν ὅλον, ὅπερ ἐστὶ ζωὴν ὄντα καὶ ὅλον φῶς καὶ ὅλον ἀγαθὸν, παρεπόμενον δὲ ἔχει ἡ ζωὴ τὸ ἀγέννητον, πῶς οὐκ ἀσύνθετος ὁ κατὰ τὴν οὐσίαν ἁπλοῦς. οὐ γὰρ δὴ αἱ δεικτικαὶ τῆς ἰδιότητος αὐτοῦ φωναὶ, τὸν τῆς ἁπλότητος λόγον παραλυπήσουσιν, ἢ οὕτω γε πάντα ὅσα περὶ θεοῦ λέγεται σύνθετον τὸν θεὸν ἡμῖν ἀναδείξει. καὶ ὡς ἔοικεν ἀμήχανον τὴν τοῦ ἁπλοῦ καὶ ἀμεροῦς ἔννοιαν διασώζειν, ἢ οὐδὲν ἐροῦμεν περὶ θεοῦ πλὴν τὸ ἀγέννητον, καὶ παραιτησόμεθα αὐτὸν ὀνομάζειν, ἀόρατον, ἄφθαρτον, ἀναλλοίωτον, δημιουργὸν, κριτὴν, καὶ πάντα ὅσα νῦν εἰς δοξολογίαν παραλαμβάνομεν, ἢ δεχόμενοι τὰ ὀνόματα ταῦτα. τί καὶ ποιήσομεν; πότερον εἰς τὴν οὐσίαν ἅπαντα φέροντες καταθήσομεν; οὐκοῦν οὐχὶ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν αὐτὸν συγκείμενον ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι. ἀλλ' ἔξω τῆς οὐσίας ἐκληψόμεθα; οὐκοῦν ὥσπερ ἂν ἐπ' ἐκείνων ἑκάστου λόγον ἐπινοήσωσι, τοῦτον καὶ ἐπὶ τῆς τοῦ ἀγεννήτου προσηγορίας καταδεξάσθωσαν. ἐμπλήσας δὲ τὸν λόγον φλυαρίας κενῆς καὶ πάντων ὁμοῦ τῶν πώποτε περὶ τὴν τοῦ θεοῦ γνῶσιν ἐσχολακότων καταπαρθεὶς, ὡς αὐτὸς ὁδόν τινα καινὴν καὶ πρόσφατον τετμηκὼς πρὸς τὸν θεὸν φέρουσαν ἣν οὐδεὶς τῶν προτέρων ἐξεῦρε, τελευταῖον ἐπάγει, ὡς παρ' αὐτῆς δεδιδαγμένος τοῦ θεοῦ τῆς οὐσίας, τὴν κατὰ τοῦ υἱοῦ

„ βλασφημίαν. ὅτι ἡ μὲν ἀνωτέρω βασιλείας καὶ πάντη γενέσεως ἀνεπίδεκτος, τούτοις

„ που διαβοῶσα τὴν μετ' ἐννοίας προσιοῦσαν διάνοιαν, ἀπωθεῖν ὡς πορρωτάτω παρακε-

„ λεύεται νόμῳ φύσεως τὴν πρὸς ἑτέραν σύγκρισιν. ἆρα οὐχὶ σαφῶς ἐνδείκνυται, ὅτι αὐτὸς ἠξιώθη τῆς τῶν ἀπορρήτων ἀποκαλύψεως μετ' ἐννοίας τὴν διάνοιαν προσαγαγὼν τῷ θεῷ; καὶ διὰ τοῦτο ἀπωθεῖται ὡς πορρωτάτω τὸν μονογενῆ τῆς τοῦ πατρὸς κοινωνίας μηδὲ σύγκρισιν αὐτῶν ἀξιῶν παραδέχεσθαι, ἀλλὰ καὶ νόμῳ φύσεως τὴν τοῦ μονογενοῦς οὐσίαν ἀπὸ τῆς τοῦ πατρὸς διαιρεῖσθαι φησί. τί τοῦτο λέγων; ὅτι ὁ θεὸς τῶν ὅλων, οὐ δὲ βουλόμενος ἐδύνατο πρὸς τὴν τῆς οὐσίας οἰκειότητα τὸν μονογενῆ παραδέξασθαι νόμῳ φύσεως, τῆς συναφείας τῆς πρὸς αὐτὸν διειργόμενος. οὐκ ὢν, ὡς ἔοικεν αὐτὸς ἑαυτοῦ κύριος, ἀλλὰ τοῖς τῆς ἀνάγκης ὅροις ὑποζευγνύμενος. τοιαῦτα γάρ ἐστι τὰ τῷ τῆς φύσεως νόμῳ κατειλημμένα. ἀπροαιρέτως εἰς τὸ τῇ φύσει δοκοῦν ὑπαγόμενα. ὡς γὰρ τῷ πυρὶ φύσει τὸ θερμαίνειν, οὐ προαιρέσει, καὶ ἀναγκαίως ἀνεπίδεκτόν ἐστι τῆς ψυχρότητος τῷ τῆς φύσεως νόμῳ τὴν πρὸς αὐτὸ κοινωνίαν ἀφῃρημένον, οὕτω βούλεται καὶ τὸν θεὸν καὶ

Εὐνόμιος

Βασίλειος

πάγει εἰπών· ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλ-
λάχθαι τὸ φῶς πρὸς τὸ φῶς, καὶ τὴν ζωὴν πρὸς τὴν ζωὴν, καὶ τὴν δύναμιν πρὸς τὴν
δύναμιν· οὐκοῦν, οὔτε ζωὴ κατὰ σὲ οὔτε δύναμις ὁμογενής· ἀλλὰ παραγραφὴ μὲν
αὐτὸν τὸν κύριον λέγοντα, ἐγώ εἰμι ἡ ζωὴ, παραγραφὴ δὲ παῦλον τὸν εἰπόντα· χριστὸς θεοῦ δύναμις·
ἃ γὰρ ἐν τοῖς κατόπιν ἐδείκνυτο, ταῦτα καὶ τοῖς νῦν ἐφαρμόσει· οὔτε γὰρ τὴν ζωὴν, οὔτε
δύναμιν, τῇ ζωῇ καὶ τῇ δυνάμει ἀντικεῖσθαι φαίη τις ἄν· ἀλλὰ θάνατον καὶ ἀδυναμίαν,
τὴν τελειοτάτην ἀντίθεσιν ἐκπληροῦν· ἅπερ οὗτος ἐν πανουργίᾳ τὸν δόλον λόγων ἀπο-
κρυψάμενος, βαθέως καὶ συγκεκαλυμμένως τὸ κρυπτὸν τῆς ἀσεβείας κατασκευάζει· καὶ
τοῖς τῶν λόγων τεχνάσμασι, πρὸς τὸ ἐναντίον τῷ πατρὶ τὴν φύσιν τοῦ μονογενοῦς ἀποστή-
σας, μόνην καταλείπει τὴν εὐφημίαν τῶν ὀνομάτων· τί οὖν ἡμεῖς· πῶς καὶ ἀγέννητον τὸν
πατέρα, καὶ γεννητὸν τὸν υἱὸν ὁμολογοῦντες, τὴν κατ' αὐτὸ τὸ εἶναι διαφύγοιμεν ἐναντίωσιν;
τί λέγοντες, ὅτι ἀγαθοῦ μὲν πατρὸς, ἀγαθὸς ὁ υἱός· φωτὸς δὲ τοῦ ἀγεννήτου, φῶς ἐξέλαμψε
τὸ ἀΐδιον· καὶ ἐκ τῆς ὄντως ζωῆς, ἡ ζωοποιὸς προῆλθε πηγή· καὶ ἐκ τῆς αὐτοδυνάμεως
ἡ τοῦ θεοῦ δύναμις ἐξεφάνη· σκότος δὲ καὶ θάνατος καὶ ἀσθένεια, τῷ ἄρχοντι τοῦ κόσμου
τούτου, καὶ τοῖς κοσμοκράτορσι τοῦ σκότους; καὶ τοῖς πνευματικοῖς τῆς πονηρίας, καὶ
πάσῃ τῇ ἐχθρᾷ τῆς θείας φύσεως δυνάμει συντέτακται· οὐ δὲ τούτοις κατ' αὐτὴν τὴν
οὐσίαν πρὸς τὸ ἀγαθὸν, λαχοῦσι τὴν ἐναντίωσιν· οὕτω γὰρ ἂν ἡ μέμψις ἐπὶ τὸν δημιουρ-
γὸν ἐπανίοι· ἀλλ' ἐκ τῆς οἰκείας προαιρέσεως ἐν τῇ τοῦ καλοῦ στερήσει πρὸς τὴν κακίαν
ἀπορρυεῖσιν· ἀλλ' ὅμως εἰς ταύτην τὴν τάξιν ἡ θεομάχος γλῶσσα τὴν φύσιν τοῦ μονο-
γενοῦς ὑπαγαγεῖν ἐπεχείρησεν· οὐ γὰρ δήπου ἐκεῖνο εἰπεῖν ἔχει, ὅτι τὴν τοῦ πατρὸς οὐσίαν
φῶς εἶναι τιθέμενος ὑπερβάλλον δόξῃ τε καὶ λαμπρότητι, τὴν τοῦ μονογενοῦς φῶς καὶ
αὐτήν· ἀμαυρότερον δέ πως καὶ ὥσπερ τεθολωμένον οἴεται· ἀσεβοῦς μὲν γὰρ δια-
νοίας, οὐδὲ ταῦτα τὰ τῆς εἰκόνος ἐν τῇ ἀμαυρότητι παραιρεῖσθαι τὴν ὁμοιότητα·
πλὴν ἀλλ' ἀρχῆς ἦν ἄξιον ταῦτα αὐτὸν ἔχειν ἀναπεῖσθαι· οὐ πολλοῦ γὰρ ἂν ἔδει τοῦ ἀγῶνος
ἡμῖν εἰς διόρθωσιν· νυνὶ δὲ τῷ ἀγεννήτῳ πρὸς τὸ γεννητὸν οὐχὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον
ἡ διαφορὰ, ὡς τῷ ἐλάττονι φωτὶ πρὸς τὸ πλεῖον, ἀλλ' ὅση ἡ τῶν πάντῃ ἀλλήλοις ἀσυμβά-
των διάστασις· ἀμήχανον γὰρ ἃ τὰ θατέρου συνυπάρχει ἐκ μεταβολῆς αὔποτε πρὸς
τὸ ἀντικείμενον μεταβῆναι· ὥστε ἢ ἐξ ἀγεννήτου γεννητὸν γενέσθαι, ἢ ἀνάπαλιν, ἀπὸ τοῦ γεν-
νητοῦ μεταβαλεῖν πρὸς τὸ ἀγέννητον· τῷ τοίνυν ἅπαξ ἀποφηναμένῳ, ὅτι ὅσον παρήλλακ-
ται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς· οὐ-
δ' οὗτος ὁ λόγος πρὸς ἀποφυγὴν ἀπολείπεται· φῶς μὲν γὰρ τὸ ἀκραιφνὲς, τοῦ οἷον ἐξιτή-
λου φωτὸς καὶ ἀμαυροτέρου, τῷ γένει ταυτὸν ὑπάρχειν, τῇ ἐπιτάσει διενήνοχε μόνῃ· τὸ
δὲ γεννητὸν, οὐχὶ ἐπίτασίς ἐστι τοῦ γεννητοῦ· οὐδὲ ἀνάπαλιν τὸ γεννητὸν ὕφεσίς τίς ἐστι τοῦ ἀ-
γεννήτου· ἀλλ' οἱονεὶ κατὰ διάμετρον τούτων ἐστὶν ἡ ἀπόστασις· τοῖς μὲν οὖν οὐσίᾳ τιθε-
μένοις τὸ γεννητὸν καὶ ἀγέννητον, ταῦτα καὶ ἔτι πλείω τούτων ἀκολουθήσει τὰ ἄτοπα·
ἔσται γὰρ ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον γεγεννημένον· καὶ ἀντὶ τῆς φυσικῆς οἰκειώσεως, ἀναγ-
καία τις αὐτοῖς καὶ κατὰ ταύτην τὴν οὐσίαν ἡ στάσις ἀναφανήσεται. τοῦτο δὲ καὶ πλείω
τῆς ἀσεβείας τὴν ἀμαθίαν ἔχει, τὴν οὐσίαν λέγειν, καὶ ὁτινιοῦν τῶν ἁπάντων ἐναν-
τίαν εἶναι τῇ οὐσίᾳ πάλαι διωμολογημένου καὶ παρὰ τοῖς ἔξω σοφοῖς, οὓς ὅταν μὲν ἐρῶ-
σιν οὗτοι συναγωνιζομένους ταῖς βλασφημίαις αὐτῶν, ὡς οὐδενὸς ἀξίους παραλογίζον-
ται, ἀμήχανον ὑπάρχειν ἐν οὐσίᾳ τὴν ἐναντίωσιν· εἰ δ' ὅπερ ἐστὶν ἀληθὲς γνωριστικάς τι-
νας ἰδιότητας ἐπιθεωρουμένας τῇ οὐσίᾳ δέχοιτό τις εἶναι τὸ γεννητὸν καὶ ἀγέννητον·
πρὸς τὴν τρανὴν καὶ ἀσύγχυτον πατρὸς καὶ υἱοῦ χειραγωγούσας ἔννοιαν· τὸν τῆς ἀσε-
βείας διαφεύξεται κίνδυνον, καὶ τὸ ἐν τοῖς λογισμοῖς ἀκόλουθον διασώσει· αἱ γάρ τοι
ἰδιότητες χαρακτῆρες καὶ μορφαὶ ἐπιθεωρούμεναι τῇ οὐσίᾳ· διαιροῦσι μὲν τὸ κοινὸν τοῖς
ἰδιάζουσι χαρακτῆρσι· τὸ δὲ ὁμοφυὲς τῆς οὐσίας οὐ διακόπτουσιν· οἷον κοινὴ μὲν ἡ θεό-
της· ἰδιώματα δέ τινα πατρότης καὶ υἱότης· ἐκ δὲ τῆς ἑκατέρου συμπλοκῆς, τοῦ τε κοινοῦ
καὶ τοῦ ἰδίου, ἡ κατάληψις ἡμῖν τῆς ἀληθείας ἐγγίνεται· ὥστε ἀγέννητον μὲν φῶς ἀκού-
σαντας τὸν πατέρα νοεῖν· γεννητὸν δὲ φῶς, τὴν τοῦ υἱοῦ λαμβάνειν ἔννοιαν· καθὸ μὲν φῶς
καὶ φῶς, οὐδεμιᾶς ἐν αὐτοῖς ἐναντιότητος ὑπαρχούσης· καθὸ δὲ γεννητὸν καὶ ἀγέννητον,

ζωὴν καὶ τὴν δύναμιν πρὸς τὴν δύναμιν; Ὁρᾶτε καὶ συνίετε τὸ τῆς ἀσεβείας φρικῶδες;
ὅσον φησὶ τὸ ἀγέννητον τοῦ γεννητοῦ διενήνοχε, τοσοῦτον διοίσει τὸ φῶς πρὸς τὸ φῶς, καὶ ἡ
ζωὴ πρὸς τὴν ζωὴν, καὶ ἡ δύναμις πρὸς τὴν δύναμιν. ἐρωτήσωμεν τοίνυν αὐτὸν, τὸ δὲ
ἀγέννητον τοῦ γεννητοῦ, πόσῳ μέτρῳ διαφέρεται; ἆρα μικρῷ τινι καὶ τοσούτῳ ὥστε δύνα-
σθαί ποτε καὶ εἰς ταὐτὸν ἀλλήλοις συμβῆναι; ἢ τοῦτο παντελῶς ἀμήχανον, καὶ πλέον
ἀδυνατώτερον, τοῦ τὸν αὐτὸν ζῆν ἐν τῷ αὐτῷ καὶ τεθνάναι, καὶ ὑγιαίνειν κατ' αὐτὸν καὶ
νοσεῖν, καὶ ἐγρηγορέναι ὁμοῦ καὶ καθεύδειν. τοιαῦτα γὰρ ὅσα κατὰ τὴν ἄκραν ἀντίθε-
σιν, ἀλλήλοις ἀντικαθέστηκεν, ὥστε παρόντος τοῦ ἑτέρου, ἀναγκαίως ἀπεῖναι θάτερον,
ἃ καὶ ἀσυνύπαρκτα παντελῶς καὶ ἀσύμβατα εἶναι πέφυκε. κατὰ δὴ οὖν τοῦτον τὸν
τρόπον πρὸς τὸ γεννητὸν τῷ ἀγεννήτῳ τῆς ἀντιθέσεως οὔσης ὁ τὸν πατέρα φῶς ὀνομά-
ζων, φῶς δὲ καὶ τὸν υἱόν. τοσοῦτον δὲ τοῦτο τὸ φῶς ἐκείνου τοῦ φωτὸς διαφέρεσθαι λέγων, ὅ-
σον τὸ γεννητὸν ἀπὸ τοῦ ἀγεννήτου διώρισται, οὐχὶ δῆλός ἐστι, κἂν τῷ ῥήματι προσποιῆ-
ται φιλανθρωπεύεσθαι, φῶς ὀνομάζων δῆθεν καὶ τὸν υἱόν, ἀλλὰ τῇ δυνάμει τῶν λεγομέ-
νων πρὸς τὸ ἐναντίον ἀπάγων τὴν ἔννοιαν; σκοπεῖτε γὰρ τί ἀντίκειται τῷ ἀγεννήτῳ, ἄλ-
λο ἀγέννητον, ἢ τὸ γεννητόν. τὸ γεννητὸν δηλονότι. τί δὲ ἀντίκειται τῷ φωτί. φῶς ἕτερον, ἢ
τὸ σκότος, τὸ σκότος πάντως. εἰ τοίνυν ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον,
τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς, τίνι τῶν ἁπάντων ἄδηλος ἡ ἀσέ-
βεια, ὅτι ἐν προσηγορίᾳ φωτὸς τὸ ἀντικείμενον τῷ φωτὶ παρεισάγων, ἐναντίαν εἶναι τῇ
τοῦ φωτὸς φύσει τὴν οὐσίαν τοῦ μονογενοῦς ἀποβάλλει. ἢ δεικνύτω ἡμῖν φῶς ἀντικείμε-
νον τῷ φωτὶ, κἀκεῖνο τὸ μέτρον τῆς ἀντιθέσεως ἔχον, ὃ τῷ γεννητῷ πρὸς τὸ ἀγέννητόν ἐ-
στιν. εἰ δὲ τοῦτο οὔτε ἐστὶν, οὔτ' ἂν αὐτὸς ἐπινοήσειε, μὴ ἀγνοείσθω ἡ τέχνη μεθ' ἧς βαθέως
κατασκευάζει τὸ βλάσφημον. ἐπειδὴ γὰρ οἴεται τῷ ἀγεννήτῳ τὸ γεννητὸν κατ' ἐναντίωσιν
ἀντικεῖσθαι, τὴν αὐτὴν τῷ φωτὶ πρὸς τὸ φῶς ἀντίθεσιν ἐφαρμόζει· ἵνα διὰ πάντων τὴν
τοῦ πατρὸς οὐσίαν ἀντίπαλον καὶ πολεμίαν τῇ τοῦ μονογενοῦς ἐπιδείξῃ. διὰ ταῦτα ἡ και-
νὴ αὕτη τῶν δογμάτων νομοθεσία, ὅσον παρήλλακται τὸ γεννητὸν τοῦ ἀγεννήτου, τοσοῦτον
ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς. καίτοι τῷ μὲν ἀγεννήτῳ πρὸς τὸ γεννητὸν, ἔστι
τις κατὰ τὴν θέσιν τῶν ῥημάτων, εἰ καὶ μὴ κατὰ τὴν φύσιν τῶν πραγμάτων, ἀντίθε-
σις, ὅπερ οὗτοι κατασκευάζουσι. φωτὶ δὲ πρὸς τὸ φῶς, οὔτε κατὰ τὴν προφορὰν, οὔτε
κατὰ τὴν ἔννοιαν, ἐπινοῆσαί τινα δυνατὸν ἐναντίωσιν. ἀλλὰ γὰρ ἔοικε σοφίσμασιν ἀπα-
τηλοῖς ἑαυτὸν παρακρούεσθαι. οἴεται γὰρ ὅτι τὰ τοῖς ἐναντίοις ἑπόμενα, τὴν αὐτὴν ἔ-
χει πρὸς ἄλληλα μάχην ἥνπερ ἀεὶ ἔχει καὶ τὰ ἡγούμενα. καὶ ὅταν τῷ ἑτέρῳ τῶν ἐναν-
τίων τὸ ἐναντίον ὑπάρχῃ, καὶ τῷ ἑτέρῳ πάντως τὸ ἐναντίον ἀκολουθήσει. οἷον εἰ τῇ ὁρά-
σει τὸ φῶς ἕπεται, τῇ τυφλότητι σκότος. εἰ τῷ ζῆν τὸ αἰσθάνεσθαι, τῷ τεθνηκέναι τὸ
ἀναισθητεῖν. τοῦτο δὲ ὡς ἀσθενὲς καὶ διαπῖπτον τὸ παρατήρημα, παντὶ γνώριμον
τῷ καὶ μικρὸν ἐπιστήσαντι. οὐ γὰρ ἐπειδὴ τῷ ἐγρηγορέναι τὸ ζῆν ἕπεται, τῷ καθεύδειν
ἀκολουθεῖ πάντως, τὸ τεθνάναι. ἀλλ' οὔτε ἐναντίως ἔχει τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον. εἰ
γὰρ ἐναντία καὶ φθαρτικὰ ἀλλήλων. ὅπερ εἰς κεφαλὴν τοῖς βλασφημοῦσι τρέποιτο.
ἀλλ' οὔτε τῇ φύσει πολέμια, οὔτε μὴν τὰ ἑπόμενα τούτοις τὴν αὐτὴν διάστασιν ἀναγ-
καίως ἕξει, ἣν ἐδόκει τὸ ἔχειν καὶ τὰ ἡγούμενα. ἢ τοίνυν ἀπάλειψόν σου τὰ ῥήματα, ἢ
μὴ ἀρνοῦ τὴν ἀσέβειαν. σὴ γάρ ἐστιν ἡ βλασφημία τοῦ εἰπόντος, ὅσον παρήλλακται τοῦ
γεννητοῦ τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς. οὐκοῦν ὡς
οὐδέποτε μεθέξει τῆς ἀγεννησίας ὁ γεννητὸς, οὕτως οὐδέποτε αὐτῷ τοῦ φωτὸς μεταδώ-
σει. καὶ ἔσται κατὰ σὲ ἡ οὐσία τοῦ μονογενοῦς, ἴσον ἀπέχουσα τοῦ γε ἀγέννητος εἶναι,
καὶ τοῦ φῶς νοεῖσθαι καὶ ὀνομάζεσθαι. ἀλλὰ Ἰωάννης μὲν τῇ μεγαλοφωνίᾳ τοῦ πνεύμα-
τος, ἐμβοᾷ σοι λέγων, ἦν τὸ φῶς τὸ ἀληθινόν. σοὶ δὲ οὐκ ἔστιν ὦτα τοῦ ἀκούειν, οὐδὲ καρ-
δία τοῦ συνιέναι. ἀλλὰ πρὸς τὴν ἀντίπαλον φύσιν, καὶ ἀσυνύπαρκτον τῷ φωτὶ τὴν
οὐσίαν τοῦ μονογενοῦς, τοῖς σοφίσμασιν ἀπελαύνεις. οὐ γὰρ δὴ ἐκεῖνο ὡς ἰσχυρὸν ἐρεῖς, ὅτι
καὶ ἐπὶ τοῦ μονογενοῦς τὴν προσηγορίαν τοῦ φωτὸς, οὐκ ἀφεῖλον. οὐ γὰρ ἐν ψόφοις ἀέρος,
ἀλλ' ἐν τῇ δυνάμει τῶν σημαινομένων τὸ ἀσεβές. ὁ δὲ, οὐκ ἐπὶ τούτων ἔστη μόνον, ἀλλὰ
καὶ τὴν ζωὴν καὶ τὴν δύναμιν τῷ αὐτῷ μέτρῳ τῆς εἰς τὸ ἐναντίον ἀποστάσεως συνα-

ὁ γάρτοι Χριστὸς ἡμῶν Ἰησοῦς Χριστός, πρὸς τὴν πάντων ἀρχὴν καὶ τὴν ἀληθῆ τῶν ὄντων αἰτίαν
» ἐπαναγαγὼν ἡμᾶς. ὑμεῖς δὲ μὴ καλέσητέ φησι πατέρα ὑμῶν ἐπὶ τῆς γῆς. εἷς γάρ ἐστιν ὁ
» πατὴρ ὑμῶν ὁ οὐράνιος. πῶς οὖν ὡς σαρκικῶν παθῶν προηγουμένως ἐν λεπτικοῖς ταύ-
ταις ἡμᾶς ἀξιοῖ τὰς φωνὰς ἀποπέμπεσθαι, ἃς ὁ Χριστὸς ἡμῶν ὡς τῇ ἀπαθείᾳ τοῦ θεοῦ πρε-
πούσας, ἀπὸ τῶν ἀνθρώπων πρὸς ἑαυτὸν μετατίθησιν. εἰ δὲ καὶ τῶν κτισμάτων πα-
τὴρ ὀνομάζεται, οὔπω τούτῳ τῷ λόγῳ τῷ ἡμετέρῳ μάχεται. ὁ γὰρ τετοκὼς βώλους δρό-
σου κατὰ τὸν τοῦ Ἰὼβ λόγον, οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν υἱὸν ἐτεκνώσατο. ἢ εἰ τοῦ-
το λέγειν τολμήσουσιν, ὥστε ἐν ἴσῃ τάξει καὶ τὴν οὐσίαν τῆς δρόσου υἱὸν ὀνομάζειν, παν-
τὸς ἡμᾶς τοῦ πρὸς αὐτοὺς ἀπαλλάξουσι λόγου, εἰς προφανεστάτην ἀναισχυντίαν τὴν βλα-
σφημίαν προαγαγόντες. οὐ δὲ γὰρ ὅτε ἂν πατὴρ πάντων ἡμῶν λέγεται ὁ θεός, κατὰ τὸν
αὐτὸν τρόπον ἡμῶν τε καὶ τοῦ μονογενοῦς ἐστι πατήρ. εἰ δὲ ὅτι πρωτότοκος πάσης κτίσεως
καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς ὁ Χριστὸς προσηγορεύεται, τοῦτο αὐτοὺς παιδοτριβεῖ πρὸς
ἀσέβειαν, διδασκέσθωσαν ἐκ τοῦ εὐαγγελίου, ὅτι καὶ μητέρα ἑαυτοῦ καὶ ἀδελφοὺς ὁ Χριστός, διὰ
ἐκ τῶν ἔργων τῆς ἀρετῆς οἰκειουμένους προσαγορεύει. τίς γάρ ἐστι φησὶν ἡ μήτηρ μου καὶ τί-
νες οἱ ἀδελφοί μου. ἀλλ' οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς; ὥστε πατὴρ
ἡμῶν ὁ θεός, οὐ καταχρηστικῶς οὐδ' ἐκ μεταφορᾶς, ἀλλὰ κυρίως καὶ πρώτως, καὶ ἀληθινῶς ὀ-
νομάζεται. διὰ τῶν σωματικῶν γονέων, εἰς τὸ εἶναι ἡμᾶς ἐκ τοῦ μὴ ὄντος παράγων, καὶ
τοὺς κηδεμονίους προσοικειούμενος. εἰ δὲ ἡμῶν τῶν χάριτι τῆς υἱοθεσίας ἠξιωμένων ἀ-
ληθῶς κέκληται πατὴρ ὁ θεός, τίς ἀφαιρήσεται λόγος τοῦ κατὰ φύσιν υἱοῦ καὶ ἐκ τῆς οὐ-
σίας αὐτοῦ προελθόντος, μὴ οὐχὶ πρεπόντως αὐτὸν πατέρα προσαγορεύεσθαι. οὐ χρή-
φησι διὰ τὴν πατρὸς καὶ υἱοῦ προσηγορίαν, ἀνθρωπίνην τὴν τοῦ υἱοῦ γέννησιν ἐννοεῖν φημὶ
κἀγώ. θείαν μέντοι καὶ ἀπαθῆ, τί κωλύει πιστεύειν τοῦ ἀσεβοῦς. ἀλλ' οἶμαι οὐχ ἵνα, ἀ-
παθῶς γεγεννηκότα τὸν θεὸν ἐπιδείξῃ, χρῆται τοῖς λόγοις τούτοις, ἀλλ' ἵνα μὴ δὲ γεννή-
σαντα ὅλως. πῶς οὖν ἐν τοῖς αὐτοῦ λόγοις ὦ βέλτιστε, γέννημα εἶναι τὴν οὐσίαν τοῦ μο-
νογενοῦς ἀπεφαίνου. εἰ γὰρ μὴ γεγέννηται, πόθεν αὐτῷ τὸ γέννημα εἶναι κατὰ τὸν σὸν λό-
γον πρέπον. ἀλλὰ διὰ μὲν τὴν τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἐναντίωσιν, γέννημα εἶναι
δεικνύναι τὴν οὐσίαν ἐφιλονείκει. νυνὶ δὲ πάλιν τὴν τῆς οὐσίας οἰκείωσιν διὰ τῆς φωνῆς
ταύτης σημαινομένην ὁρῶν, τὸ γεγεννῆσθαι τοῦ γεννήματος ἀφαιρεῖται. καὶ μὴν εἰ τοῦ-
το ὡς πάθους δηλωτικὸν παραιτεῖται, τί κωλύει καὶ τὸ δημιουργὸν αὐτὸν εἶναι, διὰ τὰς αὐ-
τὰς αἰτίας μὴ παραδέχεσθαι. διότι πάσαις ταῖς σωματικαῖς ἐνεργείαις ἢ πλείων τίς
πάντως, ἢ ἐλάττων κόπος συνέζευκται κατὰ τὴν ἀναλογίαν τῆς τοῦ ποιοῦντος δυνάμεως,
καὶ τῆς πρὸς τὰ μεγέθη τῶν ἐνεργουμένων διαφορᾶς. τήν γε μὴν θείαν καὶ μακαρίαν φύ-
σιν καμάτῳ λέγειν συνέχεσθαι, οὐχ ἧττον ἀσεβὲς, ἢ τοῖς αἰσχροῖς αὐτὴν πάθεσιν ὑποβάλλειν.
βάλλειν. εἰ δὲ ἀπαθῶς κτίζει, ἀπαθῆ εἶναι δεξάσθε καὶ τὴν γέννησιν. ὡς μὲν οὖν κυρίως
καὶ προσηκόντως πατὴρ λέγεται ὁ θεός, καὶ ὡς οὐχὶ πάθους, ἀλλ' οἰκειώσεως ἐστὶν ὄνομα. ἢ τῆς
κατὰ χάριν, ὡς ἐπὶ τῶν ἀνθρώπων, ἢ τῆς κατὰ φύσιν, ὡς ἐπὶ τοῦ μονογενοῦς, ἱκανῶς εἴρη-
ται. δῆλον δὲ εἶναι τροπικὴν καὶ ἐκ μεταφορᾶς εἰρῆσθαι, ὥσπερ καὶ ἄλλας μυρίας,
καὶ τὴν φωνὴν ταύτην. ὡς τοίνυν ὀργιζόμενον καὶ ὑπνοῦντα, καὶ πετόμενον ἀκούοντες
τὸν θεὸν, καὶ ἄλλων τοιούτων ἀπρεπεῖς κατὰ τὸν πρόχειρον νοῦν τὰς ἐμφάσεις παρεχομέ-
νων, οὔτε τὰς φωνὰς τοῦ πνεύματος διαγράφομεν, οὔτε σωματικῶς τῶν λεγομένων ἀκούο-
μεν, τί δήποτε οὐχὶ καὶ τῆς φωνῆς ταύτης οὕτω συνεχῶς παραληφθείσης ὑπὸ τοῦ πνεύ-
ματος, τὰς θεοπρεπεῖς αὐτῆς ἐννοίας διερευνώμεθα, ἢ μόνην ταύτην τῆς γραφῆς ἀπα-
λείψομεν ἐκ τῆς ἀγίας χρήσεως, συκοφαντοῦντες αὐτήν; οὑτωσὶ δὲ σκοπῶμεν. δύο ση-
μαινομένων ἐκ τῆς τοῦ γεννᾶν προσηγορίας κατὰ τὴν ὧδε συνήθειαν, πάθους τε τοῦ γεν-
νῶντος, καὶ τῆς πρὸς τὸ γεννώμενον οἰκειώσεως. ὅταν παρὰ τοῦ πατρὸς τῷ μονογενεῖ λέ-
» γηται τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. καὶ τὸ υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννη-
» κά σε, πότερον τούτῳ παρίστασθαι φῶμεν διὰ τοῦ ῥήματος. τὸ ἐμπαθὲς τῶν γεννών-
των, ἢ τὴν τῆς φύσεως οἰκειότητα. ἐγὼ μὲν γὰρ τοῦτο φημί. καὶ σὺ δὲ τούτου ἡγοῦμαί πο-
τε μὴ οὐχὶ εἰς λαμπρὰν μελαγχολίαν παρεχούσας ἐναντιώσεσθαι. ὥστε εἰ μὲν οἰκεία
τῷ θεῷ ἡ φωνὴ τί ἀτιμάζεις ὡς ἀλλοτρίαν; εἰ δὲ ἐκ τῶν ἀνθρώπων μετακεκόμισται, τὸ ὑγιὲς

καὶ ὑπουργίας δέοιτο ὁ θελήματι μόνον δημιουργῶν, ὁμοῦ τῇ βουλήσει συνυφισταμένης τῆς κτίσεως. ἀλλὰ τί πῶς καὶ καθ' ἡμᾶς διὰ τοῦ υἱοῦ τὰ πάντα. ὅτι τὸ θεῖον βούλημα, οἷον πηγῆς τινος τῆς πρώτης αἰτίας ἀφορμηθὲν, διὰ τῆς οἰκείας εἰκόνος τοῦ θεοῦ λόγου πρόεισιν εἰς ἐνέργειαν. ὁ δὲ, τὸν μονογενῆ υἱὸν ὑπουργὸν προσηγόρευσε. τοῦτο δὲ αὐτῷ προστιθεὶς μέγα, ὅτι ἄριστος περὶ τὴν διακονίαν τῶν ἐπιτασσομένων ἐστίν. εἰ γὰρ οὐκ ἐν τῷ θεὸς εἶναι τέλειος τὴν δόξαν κέκτηται, ἀλλ' ἐν τῷ ὑπουργὸς ἀκριβὴς, τί διοίσει τῶν λειτουργικῶν πνευμάτων ἀμέμπτως τὸ ἔργον τῆς διακονίας ἐπιτελούντων. διὰ ταῦτα τῷ γεννηθεὶς τὸ κτισθεὶς συνῆψεν, ἵνα κἀντεῦθεν μηδεμίαν οὖσαν υἱοῦ καὶ κτίσματος διαφορὰν ἐπιδείξῃ. ἄξιον δὲ ἀκοῦσαι καὶ τῆς παραινέσεως.

Εὐνόμιος » Οὐ χρὴ φησὶ τὴν τοῦ πατρὸς καὶ τοῦ
» υἱοῦ προσέχοντας προσηγορίαν, ἀνθρωπίνην αὐτοῦ τὴν γέννησιν ἐννοεῖν. κἀκ τῶν ἐν ἀν-
» θρώποις γενέσεων ἀναγομένους, τοῖς τῆς μετουσίας ὀνόμασι καὶ πάθεσιν ὑπάγειν τὸν
» θεόν.

Βασίλειος » Ἡ μὲν παραίνεσις, μὴ δεῖν τὴν κατ' οὐσίαν υἱοῦ καὶ πατρὸς ὁμοιότητα ἐννοεῖν. τοῦτο γὰρ αὐτῷ βούλεται ἡ τῆς μετουσίας ἀπαγόρευσις, ὡς ἀκοινωνήτου τῆς τοῦ πατρὸς οὐσίας πρὸς τὴν τοῦ μονογενοῦς ὑπαρχούσης. διὰ τοῦτο αἱ σεμναὶ ἐκεῖναι, τῶν ὀνομάτων διαστολαὶ, ὧν τὸν ὄχλον ἡμεῖς ὑπερέβημεν. ὡς οὐχὶ ὅσων αἱ ἐκφωνήσεις αἱ αὐταὶ, ταῦτα καὶ τῷ σημαινομένῳ ἤδη ταυτὰ, ἵνα τὸ πατέρα εἶναι τοῦ υἱοῦ τὸν θεὸν, διὰ τοὺς ἐπὶ γῆς πατέρας ὀνομαζομένους ἀφέληται. ἐγὼ δὲ πολλῶν ὄντων, ἃ τὸν χριστιανισμὸν ἀπὸ τῆς ἑλληνικῆς πλάνης, καὶ τῆς ἰουδαϊκῆς ἀγνωσίας δίστησιν, οὐδὲν ἡγοῦμαι κυριώτερον δόγματος τῆς εἰς πατέρα καὶ υἱὸν πίστεως τοῦ εὐαγγελίου τῆς σωτηρίας ἡμῶν ὑπάρχειν. ἐπεὶ τό γε κτίσιν εἶναι, καὶ δημιουργὸν τὸν θεὸν, καὶ οἱ καθ' ὁποιανδήποτε πλάνην ἀπεσχισμένοι συντίθενται. ὁ δὲ πατέρα ψευδώνυμον, καὶ υἱὸν μέχρι προσηγορίας ψιλῆς καταγγέλλων, καὶ οὐδὲν ἡγούμενος διαφέρειν, ἢ πατέρα ὁμολογεῖν ἢ κτίστην, καὶ ἤτοι υἱὸν λέγειν ἢ ποίημα, ποῦ τετάξεται παρ' ἡμῶν; ἢ τῆς ποίας μερίδος συναριθμηθήσεται, τῆς ἰουδαίων, ἢ τῆς ἑλλήνων; οὐ γὰρ δὴ χριστιανοῖς ἑαυτὸν εἰσποιήσει, ὁ τὴν δύναμιν τῆς εὐσεβείας, καὶ τὸν οἱονεὶ χαρακτῆρα τῆς λατρείας ἡμῶν ἀρνούμενος. οὐ γὰρ εἰς δημιουργὸν καὶ ποίημα ἐπιστεύσαμεν, ἀλλ' εἰς πατέρα καὶ υἱὸν διὰ τῆς ἐν τῷ βαπτίσματι χάριτος ἐσφραγίσθημεν. ὥστε ὁ ταύτας τολμῶν ἀθετεῖν τὰς φωνὰς, πόσον ὁμοῦ τῶν εὐαγγελίων παραγράφει τὴν δύναμιν, πατέρα μὴ γεννήσαντα, καὶ υἱὸν μὴ γεννηθέντα κηρύσσων. ἀλλὰ ταῦτα λέγων φησὶ, τὴν τοῦ πάθους ἔννοιαν τὴν ἐκ τῆς τοῦ πατρὸς φωνῆς ἐγγινομένην ἐκκλίνω. ἐχρῆν δὲ δήπου τόν γε εὐσεβεῖν ἐγνωκότα, τὸ ἀπεμφαῖνον τῆς ἐν τοῖς ῥήμασι τούτοις διανοίας εἴ τι ἄρα καὶ ἐνυπῆρχε παραιτησάμενον, μὴ πᾶσαν ἀθρόως τὴν φωνὴν ἀθετεῖν, μὴ δὲ προφάσει τοῦ ἀπρεποῦς, καὶ τὸ ὅσον ἀπ' αὐτῆς χρήσιμον συνεκβάλλειν. ἀλλ' ἀπὸ μὲν τῶν ταπεινῶν καὶ σαρκικῶν νοημάτων, ἐν τοῖς περὶ θεοῦ δόγμασι καθαρεύειν. γέννησιν δὲ τῇ ἁγιωσύνῃ καὶ τῇ ἀπαθείᾳ τοῦ θεοῦ πρέπουσαν ἐννοεῖν. τὸν μὲν τρόπον καθ' ὃν ἐγέννησεν ὁ θεὸς, ὡς ἄρρητον καὶ ἀπερινόητον ἀφιέντα. πρὸς δὲ τὴν κατ' οὐσίαν ὁμοιότητα, ἐκ τῆς τοῦ γεννᾶν προσηγορίας ὁδηγούμενον. καίτοι γε φανερὸν σκοπουμένῳ, ὅτι οὐ σωματικῶν παθῶν κυρίως καὶ πρώτως ἔννοιαν ἐμποιεῖν ταυτί πέφυκε τὰ ὀνόματα, ὁ πατὴρ λέγω καὶ ὁ υἱός. ἀλλὰ καθ' ἑαυτὰ μὲν λεγόμενα, τὴν πρὸς ἄλληλα σχέσιν ἐνδείκνυνται μόνην. πατὴρ μὲν γάρ ἐστιν, ὁ ἑτέρῳ τοῦ εἶναι κατὰ τὴν ὁμοίαν ἑαυτῷ φύσιν τὴν ἀρχὴν παρασχών. υἱὸς δὲ ὁ ἐξ ἑτέρου γεννητῶς τοῦ εἶναι τὴν ἀρχὴν ἐσχηκώς. ὅταν μὲν οὖν ἀκούσωμεν ἄνθρωπος πατὴρ, τότε καὶ τὴν τοῦ πάθους ἔννοιαν προσλαμβάνομεν. ὅταν δὲ ὅτι ὁ θεὸς πατὴρ, ἐπὶ τὴν ἀπαθῆ αἰτίαν τοῖς λογισμοῖς ἀνατρέχομεν. ὁ δὲ, ἐπὶ τῆς ἐμπαθοῦς φύσεως τῇ προσηγορίᾳ ταύτῃ συνεθισθεὶς, τὸ ὑπὲρ τὴν κατάληψιν τῶν ἑαυτοῦ λογισμῶν ὡς ἀδύνατον ἀπαρνεῖται. οὐ γὰρ τῷ πάθει τῶν φθαρτῶν προσέχοντα, τῇ ἀπαθείᾳ τοῦ θεοῦ ἀπιστεῖν προσῆκον, οὐ δὲ τῇ ῥευστῇ φύσει καὶ μυρίαις ὑποκειμένῃ μεταβολαῖς, τὴν ἄτρεπτον καὶ ἀναλλοίωτον οὐσίαν παρατιθέντα, μὴ δὲ ὅτι τὰ θνητὰ ζῶα διὰ πάθους γεννᾷ, καὶ τὸν θεὸν ἐχρῆν οὕτως οἴεσθαι. ἀλλ' ἐντεῦθεν μᾶλλον ὁδηγεῖσθαι πρὸς τὴν ἀλήθειαν. ὅτι ἐπειδὴ τὰ φθαρτὰ οὕτως, ὁ ἄφθαρτος ἐναντίως. καὶ μὴν οὐδὲ ἐκεῖνό γε ἂν εἴποι ὡς κυρίως καὶ πρώτως ἐπὶ τῶν ἀνθρώπων τεταγμένων τῶν ὀνομάτων τούτων καταχρηστικῶς ἡμεῖς ἐπιλέγομεν τῷ θεῷ.

τῶν ἰδίων ποιημάτων τὸν ποιητήν, οὐκ ἄρτι κατειλήφαμεν ἢ δοξάζομεν ὡς ἐκεῖνο τοῦ πρε-
σβυτικὸν ἦν, ἀλλὰ νέμομεν· ὡς αὐτοὺς τῷ μέτρῳ τῆς διανομῆς κατέχειν. πόσην δὲ καὶ δί-
δωσι τὴν ὑπεροχήν, ὅσην ὑπερέχειν φησὶν ἀναγκαῖον τῶν ἰδίων ποιημάτων τὸν ποιητήν,
οὔπω τοῦτο τῆς κατὰ τὴν οὐσίαν διαφορᾶς μαρτυρίαν ἔχει. ἄνθρωποι γὰρ τέχνῃ μὲν ὑ-
περέχουσι τῶν οἰκείων ἔργων, ὁμοούσιοι δὲ ὅμως αὐτοῖς καθεστήκασιν. ὡς ὁ κεραμεὺς τῷ
πηλῷ, καὶ ὁ ναυπηγὸς τοῖς ξύλοις. σώματα γὰρ ὁμοίως ἀμφότερα, καὶ αἰσθητὰ ὁμοίως,
καὶ γήϊνα. τοσοῦτον δὲ τῷ υἱῷ πρὸς τὴν κτίσιν τὸ διάφορον συγχωρῶν, ἤδη καὶ περὶ αὐτὴν
„ τὴν ἔννοιαν τοῦ μονογενοῦς κακουργεῖ. Διὰ τοῦτο γάρ φησι μονογενής, ἐπειδὴ μόνος πα- *Εὐνόμιος*
„ ρὰ μόνου τῇ τοῦ ἀγεννήτου δυνάμει γεννηθεὶς καὶ κτισθεὶς, τελειότατος γέγονεν ὑπουργός.
οὐκ οἶδα πρὸς ὅ τι χρὴ τῶν εἰρημένων πλέον ἀγανακτῆσαι. πότερον διὰ τὴν πανουργίαν, *Βασίλειος*
ἣν περὶ τὸ ὄνομα τοῦ μονογενοῦς ἐκακούργησε, παρά τε τὴν τῶν ἀνθρώπων συνήθειαν, καὶ
παρὰ τὴν εὐσεβῆ τῶν γραφῶν παράδοσιν ἐκλαμβάνων αὐτοῦ τὴν διάνοιαν. μονογενὴς γὰρ
οὐχ ὁ παρὰ μόνου γενόμενος, ἀλλ' ὁ μόνος γεννηθεὶς ἐν τῇ κοινῇ χρήσει προσαγορεύεται, ἢ
περὶ τῆς τοῦ κτίσματος βλασφημίας, ἣν ἐπιτηδὲς συνῆψε τῷ γεννηθείς. ἵνα δείξῃ ὅτι
οὐδὲν διαφέροντος παρὰ τὰ κτίσματα τῆς τοῦ γεγεννῆσθαι προσηγορίας μέτεστι τῷ υἱῷ.
ἀλλ' ὥσπερ τὸ υἱοὺς ἐγέννησα καὶ ὕψωσα, καὶ τὸ υἱὸς πρωτότοκός μου Ἰσραήλ, οὕτω καὶ τὸν
κυρίου υἱὸν ὀνομάζεσθαι. οὐχ ἔχοντα τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἀλλὰ ἐξ ἴσου τοῖς ἄλλοις
τῆς προσηγορίας ἀξιωθέντα. οἱ δὲ πρὸς τὴν τοῦ Σολομῶντος καταφεύγουσι λέξιν. καὶ
μᾶλλον ὥσπερ ἐξ ὁρμητηρίου τινὸς τῆς πίστεως κατατρέχουσι. διὰ γὰρ τὸ ἐκ προσώπου τῆς σο-
φίας εἰρῆσθαι τὸ, κύριος ἔκτισέ με, ἐξεῖναι αὐτοῖς κτίσμα λέγειν τὸν κύριον ὑπειλήφασιν. ἐγὼ δὲ πολ-
λὰ ἔχων εἰπεῖν περὶ τῆς φωνῆς ταύτης. πρῶτον μὲν ὅτι ἅπαξ ἐν πάσαις ταῖς γραφαῖς εἴ-
ρηται, εἶθ' ὅτι ἐν βιβλίῳ πολὺ τὸ κεκρυμμένον τῆς διανοίας ἐχούσῃ, καὶ διὰ παροιμιῶν τε,
καὶ παραβολῶν, καὶ σκοτεινῶν λόγων καὶ αἰνιγμάτων ὡς τὰ πολλὰ προηγμένῃ. ὥστε
μηδὲν ἀναμφισβήτητον μηδὲ τηλαυγὲς ἀπ' αὐτῆς εἶναι λαβεῖν, παρίεμαι λέγειν ἵνα μὴ
μακροτέροις ἐπεισοδίοις τὸν λόγον ἀπομηκύνωμεν. ἀλλ' ὥστε καὶ ἐν ἰδίῳ τόπῳ τῆς πε-
ρὶ τῶν κακῶς αὐτοῖς νοηθέντων ἐξετάσεως ἡμῖν ὑπερτεθείσης, ἐν ᾧ καὶ τοῦτο τὸ μέρος εὖ
διδόντος θεοῦ συνθήσεται. καὶ οἶμαί γε ὅτι σὺν θεῷ δὲ εἰρήσθω, πολλῷ ἀκολουθοτέραν
ἔννοιαν τῆς προκειμένης λέξεως, καὶ μηδένα κίνδυνον φέρουσαν, ἀναφανήσεται τῇ ἐξετά-
σει, τέως γε μὴν, μηδὲ ἐκεῖνο ἀπαρασήμαντον καταλίπωμεν. ὅτι ἄλλοι τῶν ἑρμηνέων,
οἱ κυριώτερον τῆς σημασίας τῶν ἑβραϊκῶν καθικόμενοι, ἐκτήσατό με ἀντὶ τοῦ ἔκτι-
σεν ἐκδεδώκασιν. ὅπερ μέγιστον αὐτοῖς ἐμπόδιον ἔσται πρὸς τὴν βλασφημίαν τοῦ κτί-
σματος. ὁ γὰρ εἰπὼν ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ, οὐχὶ κτίσας τὸν Κάϊν, ἀλλὰ γεν-
νήσας, ταύτῃ φαίνεται χρησάμενος τῇ φωνῇ. ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανίωμεν. διὰ
τοῦτο φησὶ μονογενής, ἐπειδὴ παρὰ μόνου γεννηθεὶς καὶ κτισθεὶς τελειότατος γέγονεν ὑπουρ-
γός. εἰ τοίνυν μὴ παρὰ τὸ μόνος γεγενῆσθαι, ἀλλὰ διὰ τὸ παρὰ μόνου μονογενὴς εἴρηται,
ταυτὸ δὲ ἐστι κατὰ σὲ τὸ ἐκτίσθαι τῷ γεγεννῆσθαι, τί οὐχὶ καὶ μονόκτιστον αὐτὸν ὀνομάζεις,
ὦ πάντα σὺ ῥᾳδίως καὶ διανοούμενος καὶ ἐκφέρων; μονογενὴς δὲ ὡς ἔοικεν, ἀνθρώπων
οὐδεὶς κατά γε τὸν ὑμέτερον λόγον, διὰ τὸ ἐκ συνδυασμοῦ πᾶσιν ὑπάρχειν τὴν γέννη-
σιν. οὐδὲ ἡ Σάρρα μήτηρ μονογενοῦς ἦν παιδός. διότι οὐχὶ μόνη αὐτὸν, ἀλλὰ μετὰ τοῦ Ἀ-
βραὰμ ἐτεκνώσατο. καὶ ἐάν γε κρατῇ τὰ ὑμέτερα, ἀνάγκη ὅλον τὸν βίον μεταμαθεῖν,
μὴ μονώσεως ἀδελφῶν, ἀλλ' ἐρημίας τῶν συντικτόντων δηλωτικὸν εἶναι τοὔνομα. ἤδη
δὲ καὶ ἡ κτίσις παρὰ τὴν αἰτίαν τοῦ θεοῦ λόγου πρὸς τὴν ἀξίαν ἠλάττωται. παρὰ τοσοῦ-
τον τοῦ καὶ αὐτὴ μονογενὴς εἶναι διαμαρτοῦσα, παρ' ὅσον ὁ υἱὸς τῆς δημιουργίας τῷ πα-
τρὶ συνεφήψατο. καίτοι γε οὐδὲ τοῦτο παρ' αὐτῶν συγχωρεῖται. ὑπουργὸν αὐτὸν γὰρ τε-
λειότατον ὀνομάζουσι. πῶς οὖν οὐχὶ παρὰ μόνου καὶ ἡ κτίσις γέγονε καθ' ὑμᾶς, οἱόν τι ὄρ-
γανον ἄψυχον τὸν θεὸν λόγον τῷ πατρὶ προστιθέντας; εἰ μὴ καὶ τὸν ναυπηγὸν ἀφαιρήσε-
ταί τις μόνον πεποιηκέναι τὴν ναῦν, ὅτι δὴ ὀργάνοις πρὸς τὴν κατασκευὴν συνεχρήσα-
το. ὥστε μονογενὴς καὶ ἡ κτίσις, καὶ τὰ μέρη ταύτης. οὐ μόνον αἱ ἀόρατοι δυνάμεις,
ἀλλὰ καὶ τὰ αἰσθητὰ σώματα καὶ τούτων τὰ εὐτελέστατα, σκνῖπες, καὶ ἀκρίδες, καὶ βά-
τραχοι. αὐτὸς γὰρ εἶπε καὶ ἐγεννήθησαν. αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. τίνος γὰρ ἄν.

θείαις καὶ ἀϊδίοις μετὰ ἀκριβείας ἁρμόζειν, ἀλλ' ὅσον ἐλέγξαι τὴν εἰρωνείαν, τῶν οὐ δυναμένων διὰ γένεσιν ἀπαθῆ λαβεῖν τῇ διανοίᾳ. εἰκὼν δὲ εἴρηται καὶ ἔστιν ὁ υἱὸς γεννητή, καὶ ἀπαύγασμα ἐστὶ τῆς δόξης τοῦ θεοῦ καὶ σοφία, καὶ δύναμις, καὶ δικαιοσύνη θεοῦ. οὐχ ὡς ἕξις, οὐδὲ ὡς ἐπιτηδειότητος, ἀλλ' οὐσία ζῶσα καὶ ἐνεργής, καὶ ἀπαύγασμα ἐστι τῆς δόξης τοῦ θεοῦ. διόπερ καὶ ὅλον ἐν ἑαυτῷ δείκνυσι τὸν πατέρα, ἐξ ὅλης αὐτοῦ τῆς δόξης ἀπαυγασθείς. τὴν τοίνυν δόξαν τοῦ θεοῦ μὴ ἔχειν ἀπαύγασμα λέγειν, ἢ τὴν σοφίαν τοῦ θεοῦ μὴ συνεῖναί ποτε τῷ θεῷ, πόσης τῆς ἀτοπίας. ἀλλ' εἰ ἦν φησίν, οὐ γεγέννηται. ἀποκρινόμεθα τοίνυν, ὅτι ἐπειδὴ γεγέννηται ἦν. οὐκ ἀγέννητον ἔχον τὸ εἶναι, ὢν δὲ ἀεὶ καὶ συνὼν τῷ πατρί. ἐξ οὗ καὶ τὴν αἰτίαν τῆς ὑπάρξεως ἔχει. πότε οὖν εἰς τὸ εἶναι παρὰ τοῦ πατρὸς παρήχθη. ἀφ' οὗ ἐστιν ὁ πατήρ. ἀλλ' ἐξ ἀϊδίου φησὶν ὁ πατήρ. ἐξ ἀϊδίου τοίνυν καὶ ὁ υἱός, γεννητῶς τῇ ἀγεννησίᾳ τοῦ πατρὸς συναπτόμενος. ὅτι δὲ οὗτος οὐχ ἡμέτερος ὁ λόγος, αὐτὰς τὰς τοῦ ἁγίου πνεύματος φωνὰς αὐτοῖς παρεξόμεθα. ἐκ μὲν τοῦ εὐαγγελίου λάβωμεν, τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος. ἐκ δὲ τοῦ ψαλμοῦ ὡς ἐκ προσώπου τοῦ πατρὸς εἰρημένον, τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγὼ σήμερον γεγέννηκά σε. καὶ συνθέντες ἀμφότερα, εἴπωμεν, ὅτι καὶ ἦν καὶ γεγέννηται. ἀλλὰ τὸ μὲν γεγέννηκα, τὴν αἰτίαν ἀφ' ἧς ἔχει τὴν ἀρχήν, τοῦ εἶναι σημαίνει. τὸ δὲ ἦν, τὴν ἄχρονον αὐτοῦ καὶ προαιώνιον ὕπαρξιν. ὁ δέ, ἐναγωνιζόμενος τῇ ἑαυτοῦ ἀπάτῃ, εἰς ἄτοπον τὸν λόγον ἀπάγειν οἴεται. εἰ γάρ φησι πρὸ τῆς γεννήσεως ἦν τῆς ἑαυτοῦ ὁ υἱός, ἀγέννητος ἦν. ἀλλὰ τὸ πρὸ τῆς γεννήσεως τοῦτο ὃ ματαίως, ἤτοι ἀνύπαρκτόν ἐστι παντελῶς καὶ διανοίας ἀναπλασμὸς οὐδενὶ ἐρειδόμενος ὑποκειμένῳ, καὶ τί δεῖ ἀντιλέγειν τοῖς ἀνοήτοις. παραπλήσιον γὰρ τοῦτο, ὥσπερ ἄν, εἰ καὶ τῷ τὸν λογισμὸν ἐκ φρενίτιδος παρενεχθέντι διαμαχόμεθα, ἢ εἰ πρός τι τῶν ὄντων φέρεται, καὶ πρὸς τὴν τῶν αἰώνων ἔννοιαν ἐνεχθήσεται. ἀλλ' εἴπερ αἰῶνες πάντες κατόπιν τῆς γεννήσεως τοῦ μονογενοῦς νοοῦνται, αὐτοῦ ἐκείνου ὄντες ποιήματα, μάταιος ὁ ἐπιζητῶν τῆς ὑποστάσεως τοῦ υἱοῦ τὰ πρεσβύτερα. οὐδὲν γὰρ ἀλλοιότερον ἐρωτᾷ, ἢ εἰ καὶ ὑπὲρ τοῦ πατρὸς ἐπυνθάνετο, πότερον ὑπῆρχε πρὸ τῆς ἰδίας συστάσεως, ἢ οὐχί. ὡς γὰρ ἐκεῖ ἀνόητον τὸ ἐρώτημα, ἐπὶ τοῦ ἀνάρχου καὶ ἀγεννήτου ζητεῖν τὸ ἀνώτερον, οὕτω καὶ ἐνταῦθα, ἐπὶ τοῦ ἐξ ἀϊδίου τῷ πατρὶ συνόντος, καὶ οὐδὲν ἔχοντος μέσον ἑαυτοῦ τε καὶ τοῦ γεννήσαντος, χρονικὰς ποιεῖσθαι τοῦ προτέρου τὰς ἐρωτήσεις, τῆς ἴσης οὔσης ἀνοίας. παραπλήσιον γὰρ ἐρωτᾶν, τί ἔσται μετὰ τὴν τελευτὴν τοῦ ἀθανάτου, καὶ ἐπιζητεῖν, τί ὑπῆρχε πρὸ τῆς γεννήσεως τοῦ ἀϊδίου. οἱ δὲ ἐπειδὴ τὸ ἄναρχον τοῦ πατρὸς ἀΐδιον ὀνομάζεται, ταυτὸν τῷ ἀνάρχῳ τὸ ἀΐδιον ἀποφαίνουσι. καὶ ἐπειδὴ μὴ ἀγέννητος ὁ υἱός, οὐδὲ ἀΐδιον εἶναι ὁμολογοῦσι. πλεῖστον δὲ διαφέρει κατὰ τὴν ἔννοιαν. ἀγέννητον μὲν γὰρ λέγεται, τὸ μηδεμίαν ἀρχὴν ἑαυτοῦ μηδὲ αἰτίαν ἔχον τοῦ εἶναι. ἀΐδιον δέ, τὸ χρόνου παντὸς καὶ αἰῶνος κατὰ τὸ εἶναι πρεσβύτερον. ὅθεν καὶ ὁ υἱός, καὶ οὐκ ἀγέννητος, καὶ ἀΐδιος. ἤδη δὲ καὶ τὰ αἰώνια ἀξιοῦσί τινες τῆς ἀϊδίου προσηγορίας. ὡς ἐκ τοῦ ἀεὶ εἶναι τῆς κλήσεως ταύτης τετυχηκότα. ἡμεῖς δὲ τῆς αὐτῆς λογιζόμεθα παρανοίας, καὶ τῇ κτίσει προσμαρτυρεῖν τὸ ἀΐδιον, καὶ τὸν δεσπότην τῆς κτίσεως τῆς ὁμολογίας ταύτης ἀποστερεῖν. ὁ δέ, πρὸς τὸ ἀναίσχυντον ἐκφέρων τὸν λόγον, τί φησιν;

Εὐνόμιος

" ἡμεῖς δὲ τοῖς τε ὑπὸ τῶν ἁγίων καὶ πάλαι καὶ νῦν ὑφ' ἡμῶν ἀποδεδειγμένοις ἐμμένοντες, μήτε τῆς οὐσίας τοῦ θεοῦ προσιεμένης γέννησιν, μήτε μὴν ἑτέρας τινὸς ὑποκειμένης εἰς υἱοῦ γέννησιν, μὴ ὄντα φαμὲν τὸν υἱὸν γεγεννῆσθαι.

Βασίλειος

τίς οὕτως ἐπ' ἀσεβείᾳ φιλότιμος, τίς ἐπὶ τῷ φιλόχριστος εἶναι τοσοῦτον ἐκαλλωπίσατο, ὅσον οὗτοι τοῖς τῆς ὕβρεως καὶ ἀτιμίας ῥήμασι καὶ καθαιρετικοῖς τῆς δόξης τοῦ μονογενοῦς ἐπαγάλλονται; οὐ παύσῃ μὴ ὄντα προσαγορεύων ὦ ἄθεε, τὸν ὄντως ὄντα, τὴν πηγὴν τῆς ζωῆς, τὸν πᾶσι τοῖς οὖσι τοῦ εἶναι παρεκτικόν; ὃς οἰκείαν ἑαυτῷ καὶ πρέπουσαν τῇ ἑαυτοῦ ἀϊδιότητι ἐν τῷ πρὸς τὸν ἴδιον θεράποντα μωϋσέα χρηματισμῷ προσηγορίαν ἐξεῦρεν, ὄντα ἑαυτὸν ὀνομάσας; ἐγὼ γάρ εἰμί φησιν ὁ ὤν. καὶ τούτοις οὐδεὶς ἀντερεῖ. μὴ οὐχὶ ἐκ προσώπου τοῦ θεοῦ εἰρῆσθαι οὐκοῦν ὅστις γε μὴ τὸ ἰουδαϊκὸν κάλυμμα ἐπὶ τῇ ἀναγνώσει μωσέως, κατὰ τῆς αὐτοῦ καρδίας ἐπικείμενον ἔχει. γέγραπται γάρ, ὅτι ὤφθη τῷ μωσεῖ ἄγγελος κυρίου ἐπὶ τῆς βάτου ἐν πυρὶ φλογός; ἄγγελον τοίνυν προτάξασα τῆς διηγήσεως ἡ γραφή, θεοῦ ἐπάγει τὴν φωνήν. εἶτα γάρ

ἐλθὼν εἰς τὴν γραφήν, παντὸς αἰσθητοῦ καὶ χρόνου τῶν τοῖς τοιούτοις παρεπομένων τὴν
διάνοιαν ὑπεράρας, μᾶλλον δὲ ὑψωθεὶς τῇ δυνάμει τοῦ πνεύματος, αὐτῷ προσέβη τῷ πάν-
των ἐπέκεινα. μενοῦνγε διαμαρτυρόμενος καὶ αὐτός, ὅτι εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα
χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. λαβόμενος γὰρ αὐτῆς τῆς ἀρχῆς, καὶ πάσας τὰς σωμα-
τικάς τε καὶ χρονικὰς ἐννοίας κατωτέρας τῆς ἑαυτοῦ θεολογίας ἀπολιπών, ὑπερφώ-
νησε τὰ προλαβόντα κηρύγματα τῇ μεγαλοφυΐᾳ τῆς γνώσεως. οὐκ ἀπὸ μερίας φη-
σὶν ἡ ἀρχή, οὐδὲ ἀπὸ τῶνδε τῶν χρόνων. ἀλλὰ τί; ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ ὁ λόγος ἦν
πρὸς τὸν θεόν. καὶ θεὸς ἦν ὁ λόγος. τὴν δὲ ἀΐδιον ὕπαρξιν, τὴν ἀπαθῆ γέννησιν, τὸ συμ-
φυὲς τῷ πατρί, τὸ μεγαλεῖον τῆς φύσεως, πάντα ἐν τοῖς ὀλίγοις ῥήμασι συλλαβὼν,
καὶ τῇ προσθήκῃ τοῦ ἦν, ἀναγαγὼν εἰς τὴν ἀρχήν. ὥσπερ ἀποφράττων τὰ στόματα
τῶν, ὅτι οὐκ ἦν βλασφημούντων. καὶ πόρρωθεν τὰς τῶν τοιούτων σοφισμάτων παρεισ-
δύσεις ἀποτεμνόμενος. εἶτα διὰ τῆς θεολογίας ἀπογραφήν τινα ἐναργῆ τῆς φύσεως τοῦ
μονογενοῦς ἐντυπώσας, ὡς ἤδη γνωρίζουσιν ὑποδείκνυσι τῇ φωνῇ λέγων. οὗτος ἦν ἐν
ἀρχῇ πρὸς τὸν θεόν. πάλιν ἐνταῦθα τῇ προσθήκῃ τοῦ ἦν, τῇ ἀϊδιότητι τοῦ πατρός, τοῦ μονογε-
νοῦς συνάπτων τὴν γέννησιν. καὶ πάλιν ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, καὶ ἦν τὸ φῶς τὸ
ἀληθινόν. ἀλλ' ὅμως οὕτω πανταχόθεν τοῦ λόγου τοῦ ἀϊδίου προσθήκαις ἠσφαλισμένου,
πάσας παρωσάμενος τὰς μαρτυρίας τοῦ πνεύματος, οὐδὲ ἀκούειν δοκῶν. οὕτως ὑμῖν πυκνῶς ἐμ-
βοῶντος τὸ ἦν, οὐκ ὢν φησὶν ἐγεννήθη. οὐκ ἂν ὕστερον προσεγένετο. εἰ δὲ τοῦτο ἐν ἀρ-
χῇ οὐκ ἦν, ὥς φατε, τίνα περιφανεστέραν μάχην ἔστιν ἐλέγξει τις πρὸς τὰς φωνὰς τῶν εὐαγ-
γελίων αἷς περιπεπτώκαμεν. καὶ μὴν ἐκεῖνό γε, τίνι οὐκ ἂν τῶν ἀγνωμόνων συνδόξειεν.
ὅτι ὥσπερ ὀφθαλμὸς τῶν περιλαμπομένων τόπων ἐκπεσών, ἀναγκαίως δι' ἐρημίαν τοῦ
φωτός, τῆς ἐνεργείας ἵσταται, οὕτω δὲ καὶ ὁ νοῦς ὑπὲρ τὸ ἔξω τοῦ ὄντος τοὺς φαντασίους
εἰς βιαζόμενος, οἷον τινὸς φωτὸς τῆς ἀληθείας ἐπιλιπούσης, συγχυθεὶς καὶ ἀνοηταίνων,
τῆς νοήσεως ἀπολήγει. οὔτε οὖν ὀφθαλμὸς ἔξω τοῦ φωτὸς τῷ ὁρᾶν χρῆσθαι δύναιτο, οὔτε
ψυχή, τῆς τοῦ μονογενοῦς ἐννοίας παρενεχθεῖσα, τῇ νοήσει κεχρῆσθαι. ἡ γὰρ τῆς ἀληθείας
ἀπόπτωσις, ἀορασία ἐστὶ διανοίας καὶ τύφλωσις. ὥστε μάταιός ἐστι νοῦς, καὶ τετύφλωται
μηδὲν ἐφιστάμενος τῷ ὄντι, ὁ τὰ τοῦ μονογενοῦς πρεσβύτερα κατειληφέναι φρονῶν. ὥσ-
περ ἂν εἰ καὶ ὀφθαλμῷ τις ὀξυωπίαν προσμαρτυρεῖ, τοῖς ἐσκοτισμένοις ἐνατενίζοντι. ἐν
τῷ φωτί σου γάρ φησιν ὀψόμεθα φῶς. ὁ δὲ ἐν καταλήψει τοῦ ὅτε οὔπω ἦν τὸ φῶς γεγονέναι
φάσκων, παραπλήσιον πέπονθε τοῖς ἐν ἐκστάσει φρενιτικῇ ὁρᾶν φανταζομένοις τὰ μὴ πα-
ρόντα. τὰ γὰρ ὑπὲρ τὸν υἱὸν οὐ νοεῖται. ἐπειδὴ ὅπερ ὀφθαλμῷ τὸ αἰσθητόν ἐστι φῶς, τοῦ-
το ψυχαῖς ὁ θεὸς ἐστὶ λόγος. ἦν γάρ φησι τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον
ἐρχόμενον εἰς τὸν κόσμον. ὥστε ἀφώτιστος ψυχή, ἀδύνατος ἐστι πρὸς νόησιν. πῶς ἂν
οὖν τὰ ὑπεράνω τῆς γενέσεως τοῦ φωτὸς καταληφθείη, χρὴ δὲ οἶμαι τοὺς καὶ μικρὸν
γοῦν τῆς ἀληθείας πεφροντικότας, ἀφεμένους τῶν σωματικῶν ὁμοιώσεων, καὶ τὰς
ὑλικὰς φαντασίας τὰς περὶ θεοῦ ἐννοίας καταρρυπαίνειν, ταῖς παρὰ τοῦ ἁγίου
πνεύματος παραδοθείσαις ἡμῖν θεολογίαις ἀκολουθεῖν. καὶ ἀντὶ τῶν ἐρωτημάτων
τούτων, ἃ τῶν γραφῶν οὐδὲν ἀπολείπεται, τὴν ἐφ' ἑκάτερα ὑπόληψιν ἐπικίνδυνον
ἔχοντα, νοεῖν μὲν ἀξίαν τοῦ θεοῦ γέννησιν ἀπαθῆ, ἀμέριστον, ἀδιαίρετον, ἄχρονον, κα-
τὰ τὴν ἀπολάμπουσαν τοῦ φωτὸς αὐγὴν τῇ θείᾳ γεννήσει προσαγομένους. νοεῖν δὲ
εἰκόνα τοῦ θεοῦ τοῦ ἀοράτου, οὐ κατὰ τὰς τεχνητὰς ταύτας ὕστερον ἀπεργασθείσας
πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ συνυπάρχουσαν καὶ παρυφεστηκυῖαν τῷ πρωτοτύπῳ ὑ-
ποστήσαντι, τῷ εἶναι τὸ ἀρχέτυπον, οὖσαν. οὐκ ἐκτυπωθεῖσαν διὰ μιμήσεως, καὶ
ὥσπερ ἐν σφραγῖδι τινὶ τῆς ὅλης φύσεως τοῦ πατρὸς ἐναποσημανθείσης τῷ υἱῷ. εἰ δὲ
βούλει, ὁποία τῶν τεχνῶν ἡ ὑπόστασις ἐκ τῶν διδασκόντων ὅλη τοῖς μαθητευομένοις
ἐγγινομένη. οὔτε λείποντος τινὸς τοῖς διδάσκουσι, καὶ τῆς τελειώσεως τῆς ἐκ μανθάνου-
σι περιγινομένης. ἢ τοῦτο μὲν οὐκ ἀκριβὲς πρὸς ὁμοίωσιν, διὰ τὴν τοῦ χρόνου παράτα-
σιν. εἰκότερον δὲ εἰπεῖν. ὅτι ὁποία τῶν νοημάτων ἡ φύσις τοῖς τοῦ νοῦ κινήμασιν ἀχρό-
νως συνυφισταμένη. καὶ μηδείς μοι συκοφαντείτω τὸν λόγον, εἰ τὰ τῶν ὑποδειγμάτων
μὴ πάντῃ συμβαίνοι τοῖς προκειμένοις. οὐδὲ γὰρ δυνατὸν τὰ μικρὰ καὶ φαῦλα, τοῖς

τῆς κτίσεως, καὶ τῶν ποιημάτων αὐτὸν τῶν ἑαυτοῦ προϋπάρχειν, ἀρκοῦν εἰς δόξαν τῷ δη-
μιουργῷ τῶν ὅλων τιθέμενος, τῶν κτισμάτων αὐτὸν τῶν ἑαυτοῦ προτετάχθαι. τῆς γὰρ
πρὸς τὸν θεὸν καὶ πατέρα κοινωνίας, τὸ εἰς αὐτὸν ἧκον ἀλλοτριώσας, ἐν τῇ τῶν κτισμάτων
προτιμήσει τὴν δόξαν αὐτῷ μαρτυρεῖ. εἶτα πρὸς τὸ ἀναίσχυντον τὴν βλασφημίαν ἐκφέ-
ρων, τοῖς ἀφύκτοις ἡμᾶς ὡς οἴεται τῶν λογισμῶν ἀνάγκαις περιστοιχίζεται.

" Ἤτοι γὰρ ὄντα φησὶν ἐγέννησεν ὁ θεὸς τὸν υἱόν, ἢ οὐκ ὄντα. ἀλλ' εἰ μὲν οὐκ ὄντα, μηδεὶς φησὶ
" τόλμαν ἐγκαλείτω. εἰ δὲ ὄντα, οὐκ ἀτοπίαν μόνον καὶ βλασφημίαν ἀλλὰ πάσης ἀνη-
" θείας ὑπερβολὴν ὁ λόγος ἔχει. τῷ γὰρ ὄντι, οὐ δεῖ γενέσεως.

Εὐνόμιος

Βασίλειος

Τὸ μὲν οὖν πολυθρύλλη-
τον σόφισμα, τὸ πάλαι μὲν διαβεβοημένον παρ' ἑτέρων, τελέως δὲ νῦν ἐν ταῖς ἀπηρυθριασ-
μέναις καὶ ἀναισχύντοις γλώσσαις ἀπὸ τούτων διεγερθέν, τοῦτό ἐστιν. ἡμεῖς δὲ πρῶτον
ἐκεῖνο τοὺς ἀκροατὰς ὑπομνήσομεν. ὅτι οὗτός ἐστιν, ὁ διὰ τὴν τῶν πολλῶν ἄγνοιαν ἀν-
θρωπικῶς ἐξακουόντων τῆς γεννήσεως τοῦ υἱοῦ, εἰς ἀνάγκην ἐληλυθὼς τῶν λόγων τού-
των. οὗτος ὁ ἀπὸ τῶν σωματικῶν ἐννοιῶν, τὴν τινὰ ματαίαν θεωρίαν ταῖς ἀπαι-
δεύτοις ψυχαῖς ἐπεισάγων. ὃς ἐπειδὴ τὰ γεννώμενα ζῷα οὐκ ὄντα πρότερον, εἶτα γεννᾶ-
ται. καὶ ὁ σήμερον γεννηθεὶς χθὲς οὐχ ὑπῆρχε, ταύτην τὴν ἔννοιαν τῆς τοῦ μονογενοῦς ὑποστά-
σεως τὴν ἔννοιαν μεταφέρει. καὶ ἐπειδὴ γεγέννηται φησὶν, οὐχ ὑπῆρχε πρὸ τῆς γεννή-
σεως. οὕτω μεγαλοφυῶς τὴν γέννησιν ἡμῖν τοῦ μονογενοῦς θεολογεῖ. καὶ διὰ τοιούτων
λόγων, τὰ ἀρρωστήματα τῶν ἀδελφῶν ἡμῶν ἐπανορθοῦται. ἄξιος ὢν εἰπεῖν τις, ἀκοῦ-
σαι τῆς παροιμίας. ὅτι ἰατρὲ θεράπευσον σεαυτόν. τίνα μέντοι καὶ παραμυθίαν τῆς
ἀτόπου ταύτης νόσου τῶν λογισμῶν αὐτῷ προσενέγκωμεν. ἢ τὰ παρὰ τοῦ ἁγίου πνεύματος
" διὰ τοῦ μακαρίου ἰωάννου λαληθέντα ἡμῖν. ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς
" τὸν θεόν. καὶ θεὸς ἦν ὁ λόγος. διὰ τούτων τῶν δύο ῥήσεων ἀπέκλεισεν ὁ εὐαγγελιστὴς μιᾶς ἀνυ-
περβάτου καὶ ἑτέρας ἀνεκβάτου. οὔτε γὰρ ἀρχῆς ἐστιν ἐπινοῆσαι πρεσβύτερον. οὔτε
γὰρ ἂν ἔτι εἴη ἀρχὴ, εἰ ὑπερέχοι τι ἑαυτῆς ἐξωτέρω. οὔτε τὸ ἦν διαβαίνοντας τῷ λογισμῷ. εἰς
τὸ ὅτε οὐκ ἦν δυνατὸν ὑπερκύψαι. ἀθέτησις γάρ ἐστι τοῦ ἦν, ἡ τοῦ ὅτι οὐκ ἦν ἐπίνοια. εἰ μὲν
γὰρ ἡ ἀρχὴ τῶν πρός ἕτερον λεγομένων ἦν, ὡς τὸ ἀρχὴ σοφίας, καὶ ἀρχὴ ὁδοῦ ἀγαθῆς, καὶ
ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς, ἦν ἂν τυχὸν τοῦ ἐκ τοιαύτης ἀρχῆς ὑφεστῶτος, δι' ἐνθυμήσεως ὑπερ-
βῆναι τὴν γέννησιν. ἐπειδὴ δὲ τὸ σημαινόμενον τοῦτο τῆς ἀρχῆς ἀπολελυμένον καὶ ἄσχε-
τον, τὴν ἀνωτάτω φύσιν δηλοῖ, πῶς οὐ καταγέλαστος ὁ τὰ ἐξωτέρω ταύτης ἐπινοῶν; ἢ
ἐπιχειρῶν αὐτὴν τοῖς λογισμοῖς ὑπερβάλλειν; συμπαρεκτείνεται δὲ, καὶ τὸ ἦν τῷ, ἀνυ-
περθέτῳ τῆς ἀρχῆς ταύτης. οὐ γὰρ τὴν ἀπὸ χρόνου ὕπαρξιν τὸ ἦν ἀποφαίνει, ὡς τὸ
ἄνθρωπος ἦν ἐν χώρᾳ τῇ αὐσίτιδι. καὶ ἦν ἄνθρωπος ἐξ ἀριμαθαίμ. καὶ τὸ ἡ δὲ γῆ ἦν ἀόρα-
τος, ἀλλ' αὐτὸς ἡμῖν ὁ εὐαγγελιστὴς ἐν ἑτέρῳ λόγῳ τοῦ τοιούτου ἦν τὸ σημαινόμενον ἔδειξεν,
εἰπών. ὁ ὢν καὶ ὁ ἦν. καὶ ὁ παντοκράτωρ. οἷον γὰρ τὸ ὢν τοιοῦτον καὶ τὸ ἦν. ἀΐδιον ὁμοίως
καὶ ἄχρονον. οὐκ ὄντα δὲ λέγειν τὸν ἐν ἀρχῇ ὄντα, οὔτε διασώζοντός ἐστι τὴν ἔννοιαν τῆς
ἀρχῆς, οὔτε συνάπτοντος αὐτῇ τὴν ὕπαρξιν τοῦ μονογενοῦς. ἀνεπινόητον μὲν γὰρ τῆς ἀρ-
χῆς, τὸ πρεσβύτερον. ἀχώριστον δὲ ταύτης, τοῦ θεοῦ λόγου τὸ εἶναι. ὥστε ἐφ' ὅσον ἂν βου-
ληθῇς ταῖς τοῦ νοῦ πολυπραγμοσύναις ἀναδραμεῖν, ὑπερβῆναι τὸ ἦν, καὶ ἔξω τούτου γενέ-
σθαι τοῖς λογισμοῖς, οὐ δυνήσῃ. ἀντερωτάσθω τοίνυν καὶ παρ' ἡμῶν. πότερον ἐν ἀρ-
χῇ ἦν πρὸς τὸν θεὸν ὁ θεὸς λόγος, ἢ ὕστερον προσεγένετο. εἰ μὲν γὰρ ἦν, παῦσον τὴν γλῶσ-
σαν σου ἀπὸ κακοῦ, τῆς τοῦ ὅτι οὐκ ἦν, βλασφημίας. εἰ δὲ ὅπερ οὐδὲ θέμις εἰπεῖν, τοῖς σοῖς
οἰκειότερον πρὸς σὲ χρήσομαι ῥήμασιν. ὅτι οὐ βλασφημίας μόνον, ἀλλὰ καὶ παρανοίας
ὑπερβολὴν ὁ λόγος ἔχει ἀνθρώποις ἀπαιτεῖν τὸν λόγον τοῦ πνεύματος τὰς εὐθύνας. καὶ μα-
θητὴν μὲν εἶναι τῶν εὐαγγελίων ὁμολογεῖν. αὐτῶν δὲ τούτων κατεξανίστασθαι. σκό-
πει γὰρ τὰς θείας φωνὰς, ὡς ἀκριβῶς καὶ σαφῶς τῇ πρὸ αἰώνων γεννήσει τοῦ υἱοῦ μαρ-
τυροῦσιν. ἐπειδὴ γὰρ ὁ μὲν ματθαῖος τῆς κατὰ σάρκα γεννήσεως ἐξηγητὴς γέγονεν ὥς
" αὐτός φησι. βίβλος γενέσεως ἰησοῦ χριστοῦ υἱοῦ δαβίδ. ὁ δὲ μάρκος, ἀρχὴν τοῦ εὐαγγελίου τὸ
" ἰωάννου πεποίηκε κήρυγμα εἰπών. ἀρχὴ τοῦ εὐαγγελίου ἰησοῦ χριστοῦ καθὼς γέγραπται ἐν ἠ-
" σαΐᾳ τῷ προφήτῃ. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. ὁ δὲ λουκᾶς, καὶ αὐτὸς διὰ τῶν σω-
ματικῶν ἀρχῶν τῇ θεολογίᾳ προσέβη, ἀναγκαίως ὁ εὐαγγελιστὴς ἰωάννης τελευταῖος

δεύτερον τίθεται. εἰ δὲ βούλει καὶ αἰώνων τὸν ποιητὴν τῶν αἰώνων δεύτερον εἶναι. ἔπειτα μέντοι ἀκολουθῶν ταῖς αὐτοῦ βλασφημίαις, καὶ τὸν πατέρα φύσει οὐκ ὄντα πατέρα τὸ ἐξ ἀρχῆς. εἶτα ὕστερον γεγονέναι. καίτοι εἰ μὲν καλὸν καὶ πρέπον τῇ μακαριότητι τοῦ θεοῦ τὸ εἶναι πατέρα, πῶς οὐκ ἐξ ἀρχῆς τὸ πρέπον αὐτῷ παρῆν; ἢ γὰρ ἄγνοια τοῦ βελτίονος, ἢ ἀδυναμία πάντως λογισθήσεται τὴν ἔλλειψιν. ἄγνοια μέν, εἴπερ ὕστερον ἐξεῦρε τὸ βέλτιον, ἀδυναμία δέ, εἴπερ εἰδὼς καὶ συνιείς, ἀπετύγχανε τοῦ καλλίστου. εἰ δέ, ὃ μὴ θέμις εἰπεῖν, οὐ καλὸν αὐτῷ τὸ εἶναι πατέρα, τίνος οὕνεκεν ἐκ μεταβολῆς τὸ χεῖρον προείλετο. ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς αἰτίους τῆς βλασφημίας. ὁ δὲ θεὸς τῶν ὅλων, ἐξ ἀπείρου ἐστὶ πατήρ. οὐκ ἀρξάμενός ποτε τοῦ εἶναι πατήρ. οὔτε γὰρ τῇ τῆς δυνάμεως ἐνδείᾳ, πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος ἐκωλύετο, οὔτε αἰώνων τινῶν προσεδόκα ἀνέμενεν. ἵνα ὥσπερ ἐπὶ τῶν ἀνθρώπων καὶ τῶν λοιπῶν ζώων μετὰ τὴν τῆς ἡλικίας συμπλήρωσιν τῆς εἰς τὸ γεννᾶν αὐτῷ δυνάμεως προελθούσης, τὸ σπουδαζόμενον προσγένηται. μαινομένων γάρ, ταῦτα καὶ ἐννοῆσαι καὶ φθέγξασθαι. ἀλλὰ τῇ ἑαυτοῦ ἀϊδιότητι συμπαρεκτεινομένην ἔχει τὴν ἵν᾿ οὕτως ὀνομάσω πατρότητα. οὐκοῦν καὶ ὁ υἱὸς πρὸ αἰώνων ὤν, καὶ ἀεὶ ὤν, οὐκ ἤρξατο τοῦ εἶναί ποτε, ἀλλ᾿ ἀφ᾿ οὗ πατήρ, καὶ υἱός. καὶ εὐθὺς τῇ τοῦ πατρὸς ἐννοίᾳ, ἡ τοῦ υἱοῦ συνεισέρχεται. ὁ γὰρ πατήρ, υἱοῦ πατὴρ δηλονότι. ἀρχὴ μὲν οὖν πατρὸς οὐδεμία, ἀρχὴ δὲ τοῦ υἱοῦ ὁ πατήρ. μέσον δὲ τούτων, οὐδέν. πῶς οὖν οὐκ ἦν τὸ ἐξ ἀρχῆς. τοῦτο γάρ ἐστι τὸ πρὸ τῆς ἰδίας συστάσεως ἐν σοφίσματι λεγόμενον παρὰ τούτων. ὁ μηδὲν ἔχων προεπινοούμενον ἑαυτοῦ, εἰ μὴ τὸν ἐξ οὗ ἔχει τὸ εἶναι. οὐ διαστήματι ὑπερέχοντα, ἀλλὰ τῇ αἰτίᾳ προστεταγμένον. εἰ τοίνυν ἀΐδιος ἡ τοῦ υἱοῦ κοινωνία πρὸς τὸν θεὸν καὶ πατέρα ἀναπέφανται, τῆς διανοίας ἡμῶν ἀπὸ τοῦ υἱοῦ, δι᾿ οὐδενὸς κενοῦ πρὸς τὸν πατέρα χωρούσης, ἀλλ᾿ ἀδιαστάτως τὸν υἱὸν τῷ πατρὶ συναπτούσης, ὁ μηδενὶ μέσῳ διειργόμενος, τίνα ἔτι παρείσδυσιν καταλείπει τῇ πονηρᾷ βλασφημίᾳ τῶν λεγόντων ἐκ τοῦ μὴ ὄντος αὐτὸν εἰς τὸ εἶναι παρῆχθαι; ἔπειτα μέντοι καὶ τῆς ἀνοίας αὐτῶν θαυμάσαι ἄξιον. οὐ συνιέντας ὅτι ἐκ μὴ ὄντων λέγοντες τὸν υἱόν, οὐ τοῦ πατρὸς μόνον νεώτερον ἀποφαίνουσιν, ἀλλὰ καὶ τούτῳ τὸν μονογενῆ ἀπὸ τοῦ πατρὸς διορίζουσιν. ἀνάγκη γὰρ εἴπερ τι εἴη μεταξὺ πατρὸς καὶ υἱοῦ, πρεσβύτερον εἶναι τοῦτο τῆς ὑπάρξεως τοῦ υἱοῦ. τί οὖν ἂν εἴη τοῦτο, τί ἄλλο γε, ἢ αἰὼν πάντως ἢ χρόνος; ὁ γάρ τοι πρεσβυτέραν τὴν τοῦ πατρὸς ζωὴν τῆς τοῦ μονογενοῦς ἐπινοῶν, τίνι γε ἄλλο παραμετρῶν, [illegible] ἂν εἴποι τὸ περισσόν. ἢ οὐχὶ αἰώνων ἢ χρόνων τινῶν διαστήματι; εἰ δὲ τοῦτο ἀληθές, ψευδὴς ἡ λέγουσα γραφὴ τοὺς αἰῶνας δι᾿ αὐτοῦ γεγενῆσθαι. καὶ ἡ διδάσκουσα ὅτι πάντα δι᾿ αὐτοῦ ἐγένετο. τοῖς πᾶσι δηλονότι ἐμπεριειλημμένων καὶ τῶν αἰώνων. εἰ δὲ φήσουσι μὴ ἀπαρνεῖσθαι πρὸ τῶν αἰώνων τὸν υἱὸν γεγενῆσθαι, μὴ λανθανέτωσαν ὃ τῷ λόγῳ συγχωροῦσι κατὰ ἀλήθειαν ἀφαιρούμενοι. ἐρωτήσωμεν γὰρ αὐτοὺς τοὺς ἐκ μὴ ὄντων παράγοντας τοῦ μονογενοῦς τὴν οὐσίαν. ὅτε οὐκ ἦν ὥς φασι, τί ἦν ἐκεῖνο τὸ διάστημα. τίνα αὐτῷ προσηγορίαν ἐπινοήσετε. ἡ μὲν γὰρ κοινὴ συνήθεια, ἢ χρόνοις ἢ αἰῶσιν ἅπαν διάστημα ὑποβάλλει. ἐπειδὴ ὅπερ ἐν τοῖς αἰσθητοῖς ὁ χρόνος, τοῦτο ἐν τοῖς ὑπερκοσμίοις ἡ τοῦ αἰῶνος φύσις ἐστίν. οὗτοι δέ, εἴ τι τρίτον ἐκ τῆς ἑαυτῶν σοφίας ἐπινοοῦσι, λεγέτωσαν. ἕως δ᾿ ἂν σιωπῶσι, μὴ λανθανέτωσαν δευτέραν αἰώνων τὴν τοῦ μονογενοῦς οὐσίαν τιθέμενοι. εἴπερ γὰρ ἦν τι διάστημα πρεσβύτερον τοῦ υἱοῦ. συμπαρεκτεινόμενον τῇ ζωῇ τοῦ πατρός, αἰών τι τοῦτο ἦν δηλονότι. ἀλλ᾿ οὔτ᾿ ἔστιν, οὔτε μὴ γένηται ἔννοια πρεσβυτέρα τῆς τοῦ μονογενοῦς ὑποστάσεως. παντὸς γὰρ τοῦ δυναμένου εἰς ἀρχαιότητος λόγον ἐπινοεῖσθαι, ἀνωτέρα ἡ ὕπαρξις τοῦ θεοῦ λόγου τοῦ ἐν ἀρχῇ ὄντος πρὸς τὸν θεόν, εὑρεθήσεται, κἂν μυρίαις φαντασίαις ἑαυτὸν ἐξαπατήσας ὁ νοῦς. καὶ τοῖς τῶν ἀνυπάρκτων ἀναπλασμοῖς ἐπιβάλλων τὰ μὴ ὄντα προσνοῇ, οὐδεμίαν τῶν πασῶν μηχανὴν ἐξευρήσει, δι᾿ ἧς δυνήσεται τῆς ἀρχῆς τοῦ μονογενοῦς ἑαυτὸν ὑπερβῆναι. καὶ κατωτέραν τοῦ ἰδίου κινήματος τὴν ζωὴν καταλιπεῖν τῆς αὐτοῦ ζωῆς. καὶ τῷ ἰδίῳ λόγῳ τοῦ θεοῦ λόγου τὴν ἀρχὴν ὑπερβῆναι. καὶ αἰῶνας ἀποπλάσαι ἐρήμους τοῦ θεοῦ τῶν αἰώνων. ἀφαιρούμενος δὲ τὴν ὀφειλομένην τῷ μονογενεῖ δόξαν, σκοπεῖτε ποίοις αὐτὸν ἀποσεμνύνει λόγοις.

εὐνόμιος " ἔστι δέ φησιν ἡ οὐσία τοῦ υἱοῦ γεννηθεῖσα πρὸ πάντων γνώμῃ τοῦ θεοῦ καὶ πατρός.

βασίλειος " τοῦτο μέγα προστίθησι τῷ υἱῷ. τό, πρεσβύτερον εἶναι τῆς κτίσεως,

ἐπιθεωρουμένης τῆς ἀντιθέσεως. αὕτη γὰρ τῶν ἰδιωμάτων ἡ φύσις, ἐν τῇ τῆς οὐσίας
ταυτότητι, δεικνύναι τὴν ἑτερότητα. καὶ αὐτὰ μὲν πρὸς ἄλληλα ἀντιδιαιρούμενα πολ-
λάκις τὰ ἰδιώματα, πρὸς τὸ ἐναντίον διΐστασθαι. τήν γε μὴν ἑνότητα τῆς οὐσίας μὴ
διασπᾶν. ὡς τὸ πτηνὸν καὶ τὸ πεζὸν καὶ τὸ ἔνυδρον καὶ τὸ χερσαῖον, καὶ λογικὸν, καὶ τὸ ἄλο-
γον. μιᾶς γὰρ οὐσίας τοῖς πᾶσιν ὑποκειμένης, τὰ ἰδιώματα ταῦτα, οὐκ ἀλλοτριοῖ τὴν
οὐσίαν. οὐδὲ οἱονεὶ συστασιάζειν ἑαυτοῖς ἀναπείθει. τῇ ἐνεργείᾳ δὲ τῶν γνωρισμάτων,
οἱόν τι φῶς ταῖς ψυχαῖς ἡμῶν ἐντιθέντα, πρὸς τὴν ἐφικτὴν ταῖς διανοίαις σύνεσιν ὁδη-
γεῖ. ἀλλ᾽ οὗτος τὴν τῶν ἰδιωμάτων ἀντίθεσιν, πρὸς τὴν οὐσίαν μετακομίσας, ἐντεῦ-
θεν τὴν ἀφορμὴν τῆς ἀσεβείας ἐφέλκεται. ὥσπερ παῖδας ἡμᾶς μορμολυττόμενος τοῖς
σοφίσμασιν. ὅτι εἴπερ ἕτερόν τι ἦν τὸ φῶς παρὰ τὸ ἀγέννητον, ἀναγκαίως ἡμῖν σύνθε-
τος ὁ θεὸς ἀποδειχθήσεται. ἐγὼ δὲ τί φημι. ὅτι εἰ μὴ ἕτερόν τι ἦν τοῦ ἀγεννήτου τὸ φῶς, οὐ-
κέτι τῷ υἱῷ δυνατὸν ἐπιλέγεσθαι. ὥσπερ οὐδὲ αὐτῷ τὸ ἀγέννητον. μάθοι δ᾽ αὐτὸς κα-
θόλου τῶν σημαινομένων ἀπὸ τῶν φωνῶν τὸ διάφορον. φῶς αἰτεῖν εἴρηται ὁ θεός. καὶ ἀνα-
βάλλεσθαι φῶς οὐδέπου ἐνοικεῖν αὐτὸν τῇ ἑαυτοῦ ἀγεννησίᾳ, οὐ δὲ ἔξωθεν ἑαυτῷ περικει-
μένην ἔχειν, τοῦ λόγου λέγοντος. ἡ ταῦτα μὲν καταγέλαστα, τὸ δὲ γεννητὸν καὶ ἀγέννητον,
γνωριστικαί τινές εἰσιν ἰδιότητες. εἰ γὰρ μηδὲν εἴη τὸ τὴν οὐσίαν χαρακτηρίζον, οὐδενὶ ἂν
τρόπῳ πρὸς τὴν σύνεσιν ἡμῶν διϊκνοῖτο. μιᾶς γὰρ οὔσης θεότητος, ἀμήχανον ἔννοιαν
ἰδιάζουσαν πατρὸς λαβεῖν, ἢ υἱοῦ, μὴ τῇ τῶν ἰδιωμάτων προσθήκῃ τῆς διανοίας διαρ-
θρουμένης, ἀλλὰ μὴν πρός γε τὸ σύνθετον ἀναφανήσεσθαι τὸν θεόν. εἰ μὴ ταυτὸν λέγοιμεν
τῷ ἀγεννήτῳ τὸ φῶς, ἐκεῖνο εἰπεῖν ἔχομεν. ὅτι εἰ μὲν ὡς μέρος τῆς οὐσίας τὸ ἀγέννητον
ἐλαμβάνομεν, εἶχεν ἂν αὐτῷ χώραν ὁ λόγος σύνθετον εἶναι λέγων τὸ ἐκ διαφόρων συγκεί-
μενον. εἰ δὲ οὐσίαν μὲν θεοῦ τὸ φῶς τιθέμεθα τὴν ζωὴν, ἢ τὸ ἀγαθὸν ὅλον, ὅπερ ἐστὶ
ζωὴν ὄντα καὶ ὅλον φῶς, καὶ ὅλον ἀγαθὸν, παρεπόμενον δὲ ἔχει ἡ ζωὴ τὸ ἀγέννητον, πῶς
οὐκ ἀσύνθετος ὁ κατὰ τὴν οὐσίαν ἁπλοῦς. οὐ γὰρ δὴ αἱ δεικτικαὶ τῆς ἰδιότητος αὐτοῦ τρό-
ποι, τὸν τῆς ἁπλότητος λόγον παραλυπήσουσιν, ἢ οὕτω γε πάντα ὅσα περὶ θεοῦ λέγε-
ται σύνθετον τὸν θεὸν ἡμῖν ἀναδείξει. καὶ ὡς ἔοικεν ἐμμέλλομεν τὴν τοῦ ἁπλοῦ καὶ ἀμε-
ροῦς ἔννοιαν διασώζειν, ἢ οὐδὲν ἐροῦμεν περὶ θεοῦ πλὴν τὸ ἀγέννητον, καὶ παραιτησόμε-
θα αὐτὸν ὀνομάζειν, ἀόρατον, ἄφθαρτον, ἀναλλοίωτον, δημιουργὸν, κριτὴν, καὶ πάντα
ὅσα νῦν εἰς δοξολογίαν παραλαμβάνομεν, ἢ δεχόμενοι τὰ ὀνόματα ταῦτα, τί καὶ ποιή-
σομεν; πότερον εἰς τὴν οὐσίαν ἅπαντα φέροντες καταθήσομεν; οὐκοῦν οὐχὶ μόνον
σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν αὐτὸν συγκείμενον ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ
ἄλλο ὑφ᾽ ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι. ἀλλ᾽ ἔξω τῆς οὐσίας ἐκληψόμεθα;
οὐκοῦν ὅνπερ ἂν ἐπ᾽ ἐκείνων ἑκάστου λόγον ἐπινοήσωσι, τοῦτον καὶ ἐπὶ τῆς τοῦ ἀγεννήτου
προσηγορίας καταδεξάσθωσαν. ἐμπλήσας δὲ τὸν λόγον φλυαρίας κενῆς καὶ πάντων
ὁμοῦ τῶν πώποτε περὶ τὴν τοῦ θεοῦ γνῶσιν ἐσχολακότων καταπαρθεὶς, ὡς αὐτὸς ὁδόν τι-
να καινὴν καὶ πρόσφατον τετμηκὼς πρὸς τὸν θεὸν φέρουσαν ἣν οὐδεὶς τῶν προτέρων ὥδευσε,
τελευταῖον ἐπάγει, ὡς παρ᾽ αὐτῆς δεδιδαγμένος τοῦ θεοῦ τῆς οὐσίας, τὴν κατὰ τοῦ υἱοῦ
" βλασφημίαν. ὅτι ἡ μὲν ἀνωτέρω βασιλείας καὶ πάντη γενέσεως ἀνεπίδεκτος, τούτοις (Εὐνόμιος)
" που διαδύουσα τὴν μετ᾽ ἐννοίας προσιοῦσαν διάνοιαν, ἀπωθεῖν ὡς πορρωτάτω παρακε-
" λεύεται νόμῳ φύσεως τὴν πρὸς ἑτέραν σύγκρισιν. ἆρα οὐχὶ σαφῶς ἐνδείκνυται, ὅτι αὐ- (Βασίλειος)
τὸς ἠξιώθη τῆς τῶν ἀπορρήτων ἀποκαλύψεως μετ᾽ ἐννοίας τὴν διάνοιαν προσαγαγὼν
τῷ θεῷ, καὶ διὰ τοῦτο ἀπωθεῖται ὡς πορρωτάτω τὸν μονογενῆ τῆς τοῦ πατρὸς κοινωνίας
μηδὲ σύγκρισιν αὐτῶν ἀξιῶν παραδέχεσθαι, ἀλλὰ καὶ νόμῳ φύσεως τὴν τοῦ μονογε-
νοῦς οὐσίαν ἀπὸ τῆς τοῦ πατρὸς διαιρεῖσθαι φησί. τί τοῦτο λέγων; ὅτι ὁ θεὸς τῶν ὅλων,
οὐ δὲ βουλόμενος ἐδύνατο πρὸς τὴν τῆς οὐσίας οἰκειότητα τὸν μονογενῆ παραδέξασθαι νό-
μῳ φύσεως, τῆς συναφείας τῆς πρὸς αὐτὸν εἰργόμενος. οὐκ ὢν ὡς ἔοικεν αὐτὸς ἑαυτοῦ κύ-
ριος, ἀλλὰ τοῖς τῆς ἀνάγκης ὅροις ὑποζευγνύμενος. τοιαῦτα γάρ ἐστι τὰ τῷ τῆς φύ-
σεως νόμῳ κατειλημμένα. ἀπροαίρετος εἰς τὸ τῇ φύσει δοκοῦν ὑπαγόμενα. ὡς γὰρ τῷ
πυρὶ φύσει τὸ θερμαίνειν, οὐ προαιρέσει, καὶ ἀναγκαίως ἀνεπίδεκτόν ἐστι τῆς ψυχρότητος
τῷ τῆς φύσεως νόμῳ τὴν πρὸς αὐτὸ κοινωνίαν ἀφῃρημένον, οὕτω βούλεται καὶ τὸν θεὸν καὶ

πάγει εἰπών. ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλ-
λάχθαι τὸ φῶς πρὸς τὸ φῶς, καὶ τὴν ζωὴν πρὸς τὴν ζωήν, καὶ τὴν δύναμιν πρὸς τὴν
δύναμιν. οὐκοῦν, οὔτε ζωὴ κατὰ σὲ οὔτε δύναμις ὁμογενής. ἀλλὰ παραγραφὴ μὲν
αὐτὸν τὸν κύριον λέγοντα, ἐγώ εἰμι ἡ ζωή, παραγραφὴ δὲ παῦλον τὸν εἰπόντα. χριστὸς θεοῦ δύναμις.
ἃ γὰρ ἐν τοῖς κατόπιν ἐδείκνυτο, ταῦτα καὶ τοῖς νῦν ἐφαρμόσει. οὔτε γὰρ τὴν ζωήν, οὔτε
δύναμιν, τῇ ζωῇ καὶ τῇ δυνάμει ἀντικεῖσθαι φαίη τις ἄν. ἀλλὰ θάνατον καὶ ἀδυναμίαν,
τὴν τελειοτάτην ἀντίθεσιν ἐκπληροῦν. ἅπερ οὗτος ἐν πανουργίᾳ τὸν δόλον λόγων ἀπο-
κρυψάμενος, βαθέως καὶ συγκεκαλυμμένως τὸ κρυπτὸν τῆς ἀσεβείας κατασκευάζει. καὶ
τοῖς τῶν λόγων τεχνάσμασι, πρὸς τὸ ἐναντίον τῷ πατρὶ τὴν φύσιν τοῦ μονογενοῦς ἀποστή-
σας, μόνην καταλείπει τὴν εὐφημίαν τῶν ὀνομάτων. τί οὖν ἡμεῖς. πῶς καὶ ἀγέννητον τὸν
πατέρα, καὶ γεννητὸν τὸν υἱὸν ὁμολογοῦντες, τὴν κατ' αὐτὸ τὸ εἶναι διαφύγοιμεν ἐναντίωσιν;
τί λέγοντες, ὅτι ἀγαθοῦ μὲν πατρός, ἀγαθὸς ὁ υἱός. φωτὸς δὲ τοῦ ἀγεννήτου, φῶς ἐξέλαμψε
τὸ ἀΐδιον. καὶ ἐκ τῆς ὄντως ζωῆς, ἡ ζωοποιὸς προῆλθε πηγή. καὶ ἐκ τῆς αὐτοδυνάμεως
ἡ τοῦ θεοῦ δύναμις ἐξεφάνη. σκότος δὲ καὶ θάνατος καὶ ἀσθένεια, τῷ ἄρχοντι τοῦ κόσμου
τούτου, καὶ τοῖς κοσμοκράτορσι τοῦ σκότους; καὶ τοῖς πνευματικοῖς τῆς πονηρίας, καὶ
πάσῃ τῇ ἐχθρᾷ τῆς θείας φύσεως δυνάμει συντέτακται. οὐ δὲ τούτοις κατ' αὐτὴν τὴν
οὐσίαν πρὸς τὸ ἀγαθόν, λαχοῦσι τὴν ἐναντίωσιν. οὕτω γὰρ ἂν ἡ μέμψις ἐπὶ τὸν δημιουρ-
γὸν ἐπανίοι. ἀλλ' ἐκ τῆς οἰκείας προαιρέσεως ἐν τῇ τοῦ καλοῦ στερήσει πρὸς τὴν κακίαν
ἀπορρυεῖσιν. ἀλλ' ὅμως εἰς ταύτην τὴν τάξιν ἡ θεομάχος γλῶσσα τὴν φύσιν τοῦ μονο-
γενοῦς περιαγαγεῖν ἐπιχείρησεν. οὐ γὰρ δήπου ἐκεῖνο εἰπεῖν ἔχει. ὅτι τὴν τοῦ πατρὸς οὐσίαν
φῶς εἶναι τιθέμενος ὑπερβάλλον δόξῃ τε καὶ λαμπρότητι, τὴν τοῦ μονογενοῦς φῶς καὶ
αὐτήν. ἀμαυρότερον δέ πως καὶ ὥσπερ τεθολωμένον οἴεται. ἀσεβοῦς μὲν γὰρ δια-
νοίας, οὐ δὲ ταῦτα τὰ τῆς εἰκόνος ἐν τῇ ἀμαυρότητι παραιρεῖσθαι τὴν ὁμοιότητα.
πλὴν ἀλλ' οὐδ' ἀρχῆς ἦν ἄξιον ταῦτα αὐτὸν ἔχειν αἰτιᾶσθαι. οὐ πολλοῦ γὰρ ἂν ἔδει τοῦ ἀγῶνος
ἡμῖν εἰς διόρθωσιν. νυνὶ δὲ τῷ ἀγεννήτῳ πρὸς τὸ γεννητὸν οὐχὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον
ἡ διαφορά, ὡς τῷ ἐλάττονι φωτὶ πρὸς τὸ πλεῖον, ἀλλ' ὅση ἡ τῶν πάντη ἀλλήλοις ἀσυμ-
βάτων διάστασις. ἀμήχανον γὰρ ὃ τὰ ἑκάτερα συνυπάρχει ἐκ μεταβολῆς αὖ ποτε πρὸς
τὸ ἀντικείμενον μεταβῆναι. ὥστε ἢ ἐξ ἀγεννήτου γεννητὸν γενέσθαι, ἢ ἀνάπαλιν, ἀπὸ τοῦ γεν-
νητοῦ μεταβαλεῖν πρὸς τὸ ἀγέννητον. τῷ τοίνυν ἅπαξ ἀποφηναμένῳ, ὅτι ὅσον παρήλλακ-
ται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς. οὐ-
δ' οὗτος ὁ λόγος πρὸς ἀποφυγὴν ἀπολείπεται. φῶς μὲν γὰρ τὸ εἰλικρινές, τοῦ οἷον ἐξιτή-
λου φωτὸς καὶ ἀμαυροτέρου, τῷ γένει ταὐτὸν ὑπάρχον τῇ ἐπιτάσει διενήνοχε μόνῃ. τὸ
δὲ γεννητόν, οὐχὶ ἐπίτασις ἐστὶ τοῦ γεννητοῦ. οὐδὲ ἀνάπαλιν τὸ γεννητὸν ὕφεσίς τίς ἐστι τοῦ ἀ-
γεννήτου. ἀλλ' οἱονεὶ κατὰ διάμετρον τούτων ἐστὶν ἡ ἀπόστασις. τοῖς μὲν οὖν οὐσίᾳ τιθε-
μένοις τὸ γεννητὸν καὶ ἀγέννητον, ταῦτα καὶ ἔτι πλείω τούτων ἀκολουθήσει τὰ ἄτοπα.
ἔσται γὰρ ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον γεγεννημένον. καὶ ἀντὶ τῆς φυσικῆς οἰκειώσεως, ἀναγ-
καία τις αὐτοῖς καὶ κατὰ ταύτην τὴν οὐσίαν ἡ στάσις ἀναφανήσεται. τοῦτο δὲ καὶ πλείω
τῆς ἀσεβείας τὴν ἀμαθίαν ἔχει, τὴν οὐσίαν λέγειν, καὶ ὁτῳοῦν τῶν ἁπάντων ἐναν-
τίαν εἶναι τῇ οὐσίᾳ πάλαι διωμολογημένου καὶ παρὰ τοῖς ἔξω σοφοῖς, οὓς ὅταν μὴ ὁρῶ-
σιν οὗτοι συναγωνιζομένους ταῖς βλασφημίαις αὐτῶν, ὡς οὐδενὸς ἀξίους παραλογίζον-
ται, ἀμήχανον ὑπάρχειν ἐν οὐσίᾳ τὴν ἐναντίωσιν. εἰ δ' ὅπερ ἐστὶν ἀληθὲς γνωριστικάς τι-
νας ἰδιότητας ἐπιθεωρουμένας τῇ οὐσίᾳ δέχοιτό τις εἶναι τὸ γεννητὸν καὶ ἀγέννητον.
πρὸς τὴν τρανὴν καὶ ἀσύγχυτον πατρὸς καὶ υἱοῦ χειραγωγούσας ἔννοιαν. τὸν τῆς ἀσε-
βείας διαφεύξεται κίνδυνον, καὶ τὸ ἐν τοῖς λογισμοῖς ἀκόλουθον διασώσει. αἱ γάρ τοι
ἰδιότητες χαρακτῆρες καὶ μορφαὶ ἐπιθεωρούμεναι τῇ οὐσίᾳ. διαιροῦσι μὲν τὸ κοινὸν τοῖς
ἰδιάζουσι χαρακτῆρσι. τὸ δὲ ὁμοφυὲς τῆς οὐσίας οὐ διακόπτουσιν. οἷον κοινὴ μὲν ἡ θεό-
της. ἰδιώματα δέ τινα πατρότης καὶ υἱότης. ἐκ δὲ τῆς ἑκατέρου συμπλοκῆς, τοῦ τε κοινοῦ
καὶ τοῦ ἰδίου, ἡ κατάληψις ἡμῖν τῆς ἀληθείας ἐγγίνεται. ὥστε ἀγέννητον μὲν φῶς ἀκού-
σαντας τὸν πατέρα νοεῖν. γεννητὸν δὲ φῶς, τὴν τοῦ υἱοῦ λαμβάνειν ἔννοιαν. καθὸ μὲν φῶς
καὶ φῶς, οὐδεμιᾶς ἐν αὐτοῖς ἐναντιότητος ὑπαρχούσης. καθὸ δὲ γεννητὸν καὶ ἀγέννητον,

ζωὴν καὶ τὴν δύναμιν πρὸς τὴν δύναμιν; ὁρᾶτε καὶ συνίετε τὸ τῆς ἀσεβείας φρικτόν;
ὅσον φησὶ τὸ ἀγέννητον τοῦ γεννητοῦ διήνεγκε, τοσοῦτον διοίσει τὸ φῶς πρὸς τὸ φῶς, καὶ ἡ
ζωὴ πρὸς τὴν ζωήν, καὶ ἡ δύναμις πρὸς τὴν δύναμιν. ἐρωτήσωμεν τοίνυν αὐτόν, τὸ δὲ
ἀγέννητον τοῦ γεννητοῦ, πόσῳ μέτρῳ διαφέρεται; ἆρα μικρῷ τινι καὶ τοσούτῳ ὥστε δύνα-
σθαί ποτε καὶ εἰς ταυτὸν ἀλλήλοις συμβῆναι; ἢ τοῦτο παντελῶς ἀμήχανον, καὶ πλέον
ἀδυνατώτερον, ἢ τὸν αὐτὸν ζῆν ἐν τῷ αὐτῷ καὶ τεθνάναι, καὶ ὑγιαίνειν κατ᾽ αὐτὸν καὶ
νοσεῖν, καὶ ἐγρηγορέναι ὁμοῦ καὶ καθεύδειν. τοιαῦτα γὰρ ὅσα κατὰ τὴν ἄκραν ἀντίθε-
σιν, ἀλλήλοις ἀντικαθέστηκεν, ὥστε παρόντος τοῦ ἑτέρου, ἀναγκαίως ἀπεῖναι θάτερον,
ἃ καὶ ἀσυνύπαρκτα παντελῶς καὶ ἀσύμβατα εἶναι πέφυκε. κατὰ δὴ οὖν τοῦτον τὸν
τρόπον πρὸς τὸ γεννητὸν τῷ ἀγεννήτῳ τῆς ἀντιθέσεως οὔσης ὁ τὸν πατέρα φῶς ὀνομά-
ζων, φῶς δὲ καὶ τὸν υἱόν· τοσοῦτον δὲ τοῦτο τὸ φῶς ἐκείνου τοῦ φωτὸς διαφέρεσθαι λέγων, ὅ-
σον τὸ γεννητὸν ἀπὸ τοῦ ἀγεννήτου διαφέρεται, οὐχὶ δῆλός ἐστι, κἂν τῷ ῥήματι προσποιῆ-
ται φιλανθρωπεύεσθαι, φῶς ὀνομάζων δῆθεν καὶ τὸν υἱόν, ἀλλὰ τῇ δυνάμει τῶν λεγομέ-
νων πρὸς τὸ ἐναντίον ἀπάγων τὴν οὐσίαν; σκοπεῖτε γὰρ τί ἀντίκειται τῷ ἀγεννήτῳ, ἄλ-
λο ἀγέννητον, ἢ τὸ γεννητόν. τὸ γεννητὸν δηλονότι. τί δὲ ἀντίκειται τῷ φωτί. φῶς ἕτερον, ἢ
τὸ σκότος, τὸ σκότος πάντως. εἰ τοίνυν ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον,
τοσοῦτον ἀνάγκη παραλλάττειν τὸ φῶς πρὸς τὸ φῶς, τίνι τῶν ἁπάντων ἄδηλος ἡ ἀσέ-
βεια, ὅτι ἐν προσηγορίᾳ φωτὸς τὸ ἀντικείμενον τῷ φωτὶ παρεισάγων, ἐναντίαν εἶναι τῇ
τοῦ φωτὸς φύσει τὴν οὐσίαν τοῦ μονογενοῦς ἀποβάλλει. ἢ δεικνύτω ἡμῖν φῶς ἀντικείμε-
νον τῷ φωτί, κἀκεῖνο τὸ μέτρον τῆς ἀντιθέσεως ἔχον, ὃ τῷ γεννητῷ πρὸς τὸ ἀγέννητόν ἐ-
στιν. εἰ δὲ τοῦτο οὔτε ἔστιν, οὔτ᾽ ἂν αὐτὸς ἐπινοήσειε, μὴ ἀγνοείσθω ἡ τέχνη μεθ᾽ ἧς βαθέως
κατασκευάζει τὸ βλάσφημον. ἐπειδὴ γὰρ οἶδε τῷ ἀγεννήτῳ τὸ γεννητὸν κατ᾽ ἐναντίωσιν
ἀντικεῖσθαι, τὴν αὐτὴν τῷ φωτὶ πρὸς τὸ φῶς ἀντίθεσιν ἐφαρμόζει. ἵνα διὰ πάντων τὴν
τοῦ πατρὸς οὐσίαν ἀντίπαλον καὶ πολεμίαν τῇ τοῦ μονογενοῦς ἐπιδείξῃ. διὰ ταῦτα ἡ και-
νὴ αὕτη τῶν δογμάτων νομοθεσία, ὅσον παρήλλακται τὸ γεννητὸν τοῦ ἀγεννήτου, τοσοῦτον
ἀνάγκη παραλλάττειν τὸ φῶς πρὸς τὸ φῶς. καίτοι τῷ μὲν ἀγεννήτῳ πρὸς τὸ γεννητόν, ἔστι
τις κατὰ τὴν θέσιν τῶν ῥημάτων, εἰ καὶ μὴ κατὰ τὴν φύσιν τῶν πραγμάτων, ἀντίθε-
σις, ὅπερ οὗτοι κατασκευάζουσι. φωτὶ δὲ πρὸς τὸ φῶς, οὔτε κατὰ τὴν προφοράν, οὔτε
κατὰ τὴν ἔννοιαν, ἐπινοῆσαί τινα δυνατὸν ἐναντίωσιν. ἀλλὰ γὰρ ἔοικε σοφίσμασιν ἀπα-
τηλοῖς ἑαυτὸν παρακρούεσθαι. οἶδε γὰρ ὅτι τὰ τοῖς ἐναντίοις ἑπόμενα, τὴν αὐτὴν ἔ-
χει πρὸς ἄλληλα μάχην ἥνπερ ἂν ἔχει καὶ τὰ ἡγούμενα. καὶ ὅταν τῷ ἑτέρῳ τῶν ἐναν-
τίων τὸ ἐναντίον ὑπάρχῃ, καὶ τῷ ἑτέρῳ πάντως τὸ ἐναντίον ἀκολουθήσει. οἷον εἰ τῇ ὁρά-
σει τὸ φῶς ἕπεται, τῇ τυφλότητι σκότος. εἰ τῷ ζῆν τὸ αἰσθάνεσθαι, τῷ τεθνηκέναι τὸ
ἀναισθητεῖν. τοῦτο δὲ ὡς ἀσθενὲς καὶ διαπίπτον τὸ παρατήρημα, παντὶ γνώριμον
τῷ καὶ μικρὸν ἐπιστήσαντι. οὐ γὰρ ἐπειδὴ τῷ ἐγρηγορέναι τὸ ζῆν ἕπεται, τῷ καθεύδειν
ἀκολουθεῖ πάντως, τὸ τεθνάναι. ἀλλ᾽ οὔτε ἐναντίως ἔχει τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον. εἰ
γὰρ ἐναντία καὶ φθαρτικὰ ἀλλήλων. ὅπερ εἰς κεφαλὴν τοῖς βλασφημοῦσι τρέποιτο.
ἀλλ᾽ οὔτε τῇ φύσει πολέμια, οὔτε μὴν τὰ ἑπόμενα τούτοις τὴν αὐτὴν διάστασιν ἀναγ-
καίως ἕξει, ἣν ἐδόκει ὑπὸ ἔχειν καὶ τὰ ἡγούμενα. ἢ τοίνυν ἀπάλειψόν σου τὰ ῥήματα, ἢ
μὴ ἀρνοῦ τὴν ἀσέβειαν. σὴ γάρ ἐστιν ἡ βλασφημία τοῦ εἰπόντος, ὅσον παρήλλακται τοῦ
γεννητοῦ τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παραλλάττειν τὸ φῶς πρὸς τὸ φῶς. οὐκοῦν ὡς
οὐδέποτε μεθέξει τῆς ἀγεννησίας ὁ γεννητός, οὕτως οὐδέποτε αὐτῷ τοῦ φωτὸς μεταδώ-
σει. καὶ ἔσται κατὰ σὲ ἡ οὐσία τοῦ μονογενοῦς, ἴσον ἀπέχουσα τοῦ γε ἀγέννητος εἶναι,
καὶ τοῦ φῶς νοεῖσθαι καὶ ὀνομάζεσθαι. ἀλλὰ Ἰωάννης μὲν τῇ μεγαλοφωνίᾳ τοῦ πνεύμα-
τος, ἐμβοᾷ σοι λέγων, ἦν τὸ φῶς τὸ ἀληθινόν. σὺ δὲ οὐκ ἔχων ὦτα τοῦ ἀκούειν, οὐδὲ καρ-
δίαν τοῦ συνιέναι. ἀλλὰ πρὸς τὴν ἀντίπαλον φύσιν, καὶ ἀσυνύπαρκτον τῷ φωτὶ τὴν
οὐσίαν τοῦ μονογενοῦς, τοῖς σοφίσμασιν ἀπελαύνεις. οὐ γὰρ δὴ ἐκεῖνο ὡς ἰσχυρὸν ἐρεῖς, ὅτι
καὶ ἐπὶ τοῦ μονογενοῦς τὴν προσηγορίαν τοῦ φωτός, οὐκ ἀφεῖλου. οὐ γὰρ ἐν ψόφοις ἀέρος,
ἀλλ᾽ ἐν τῇ δυνάμει τῶν σημαινομένων τὸ ἀσεβές. ὁ δὲ, οὐκ ἐπὶ τούτων ἔστη μόνον, ἀλλὰ
καὶ τὴν ζωὴν καὶ τὴν δύναμιν τῷ αὐτῷ μέτρῳ τῆς εἰς τὸ ἐναντίον ἀποστάσεως συνα-

αὐτῆς ἐκλεξάμενος, φύγῃ τὸ χεῖρον τῶν δηλουμένων. ἔξεστι γὰρ δήπου ἐν πολυσήμῳ τῇ λέξει πρὸς τὴν ὀρθὴν ἔννοιαν ὁ διηγούμενος τὰ διὰ τοῦ ῥήματος, τὸ ταπεινὸν καὶ αἰσχρὸν τῆς ἐμφάσεως ὑπερβῆναι. καί μοι λέγε· τίς ἡ γέννησις, καὶ ποταπή, καὶ πῶς ἂν γένοιτο αὕτη. οὐ γὰρ ἐπειδὴ ὁ τρόπος ἄρρητος καὶ ἀπερινόητος παντελῶς, ἤδη καὶ τὸ πάγιον τῆς εἰς πατέρα καὶ υἱὸν πίστεως ἐκβαλοῦμεν. εἰ γὰρ μέλλοιμεν πάντα τῇ καταλήψει μετρεῖν, καὶ τὸ τοῖς λογισμοῖς ἀπερίληπτον μηδὲ εἶναι τὸ παράπαν ὑπολαμβάνειν, οἰχήσεται μὲν ὁ τῆς πίστεως, οἰχήσεται δὲ ὁ τῆς ἐλπίδος μισθός. πῶς δ᾽ ἂν εἴημεν ἔτι τοῦ μακαρισμοῦ ἄξιοι τῶν ἐπὶ τῇ πίστει τῶν ἀοράτων ἀποκειμένων, οἱ μόνοις τοῖς κατὰ λογισμὸν ἐναργέσι πειθόμενοι; πόθεν ἐματαιώθη τὰ ἔθνη. καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. οὐκ ἐπειδὴ τοῖς τῶν λογισμῶν φαινομένοις ἀκολουθοῦντες τῷ κηρύγματι τοῦ πνεύματος ἀπειθοῦσι; τίνας δὲ ὁ ἡσαΐας ὡς ἀπολωλότας ὀδύρεται. οὐαὶ οἱ σοφοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. οὐ τοὺς τοιούτους; πολλὰ τοίνυν ὑπερβὰς τῶν ἐν μέσῳ, ὅσα τε περὶ τοῦ μὴ γεγεννῆσθαι τὸν υἱὸν ἐκ τοῦ περιφανοῦς διετείνατο, καὶ ὅσα περὶ τοῦ παραδέχεσθαι αὐτὸ τὸ κτίσμα εἶναι καὶ ποίημα τὸν μονογενῆ ἐτεχνάσατο, ἀλλὰ τὰ καιριώτατα τῆς ἀσεβείας παρέψομαι. τοσοῦτον μόνον τοῖς παρατεθεῖσιν ἐπισημηνάμενος. ὅτι ἣν προλαβὼν τῷ ἔργῳ κατεσκεύασε βλασφημίαν, ταύτην βουληθεὶς ἐπισκιάσαι τῷ ῥήματι, καὶ τὸ ἀναιδὲς τοῦ λόγου καταπραΰναι, ἔφη μὴ κοινοποιεῖν τὸν μονογενῆ πρὸς τὴν κτίσιν. ἐπιλαθόμενος τῶν ἑαυτοῦ δογμάτων, ἃ ἐν τοῖς κατόπιν λόγοις γυμνῇ καὶ ἀπαρακαλύπτῳ τῇ φωνῇ διετίθετο. ὑφ᾽ ὧν πρὸς ἀναισχυντίαν πάλιν καὶ περιφανεστάτην ἀπολογίαν διέπεσε. γράφει δὲ οὕτως.

Εὐνόμιος » Μηδεὶς δὲ τὸν υἱὸν ἀκούων ποίημα,
» δυσχεραινέτω, ὡς κοινοποιουμένης τῆς οὐσίας ἀπὸ τῆς τῶν ὀνομάτων κοινωνίας.

Βασίλειος Πῶς οὖν ὦ σοφώτατε, εἰ τῇ διαφορᾷ τῶν ὀνομάτων τὸ παρηλλαγμένον τῆς οὐσίας ἐξ ἀνάγκης ἕπεται, μεμνήμεθα γὰρ δήπου σοῦ ἐν τοῖς ἔμπροσθεν λόγοις ταῦτα διεξιόντος, οὐχὶ νῦν τῇ κοινωνίᾳ τῶν ὀνομάτων τὸ κοινὸν τῆς οὐσίας ἀκολουθήσει; οὐδὲ γὰρ ἅπαξ οὐδὲ ἐκ παρέργου τοῦτον τὸν λόγον παραφθεγξάμενος φαίνεται. ἐπεὶ καὶ νῦν αὖθις ὥσπερ μεταμεληθεὶς ἐφ᾽ οἷς εἰρήκει ὅτι ἡ τῶν ὀνομάτων κοινωνία οὐ κοινοποιήσει καὶ τὰς οὐσίας, πάλιν ἐπάγει μετὰ μικρὸν, τῶν ἀντιδιατιθεμένων αὐτῷ καθαπτόμενος. ὅτι ἐχρῆν ὥσπερ αὐτοῖς τις ἦν τῆς ἀληθείας φροντὶς, παρηλλαγμένας τῶν ὀνομάτων, παρηλλαγμένας ὁμολογεῖν καὶ τὰς οὐσίας. πῶς αὖ τις ἀκολουθότερον χρήσαιτο λόγοις, ὅς γε δι᾽ ὀλίγου πρὸς τὰ ἐναντία περιτρεπόμενος, νῦν μὲν φησὶ, τὴν διαφορὰν τῶν ὀνομάτων, ἀναγκαίως τῶν οὐσιῶν τὴν παραλλαγὴν ἀποφαίνειν. νῦν δὲ πάλιν τὴν κοινωνίαν μὴ κοινοποιεῖν τὰς οὐσίας. ἀλλ᾽ οἶμαι προσόμοιόν τι ποιοῦμεν τοῖς τὸν ἀνδροφόνον ἐκ λοιδορίας ἢ πληγῆς, ἤ τινος τῶν τοιούτων ἁμαρτημάτων κρίνουσιν. ἀλλ᾽ οὖν τὸ κεφάλαιον τῶν κακῶν αὐτοῦ μεταβῶμεν. θεασάμενος οὗτος, ὅτι κοινὴ πρόληψις πᾶσιν ὁμοίως χριστιανοῖς ἐνυπάρχει, τοῖς γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίοις, περὶ τοῦ φῶς εἶναι τὸν υἱὸν γεννητὸν ἐκ τοῦ ἀγεννήτου φωτὸς ἀπολάμψαντα, καὶ αὐτοζωὴν, καὶ αὐτοάγαθον ἐκ τῆς ζωοποιοῦ πηγῆς, τῆς πατρικῆς ἀγαθότητος προελθόντα. εἶτα ἐνθυμηθεὶς ὅτι εἰ μὴ ταύτας ἡμῶν τὰς ἐννοίας διασαλεύσειεν, οὐδὲν αὐτῷ πλέον τῶν σοφισμάτων ἔσται. ὁ γὰρ φῶς ὁμολογῶν τὸν πατέρα, φῶς δὲ καὶ τὸν υἱὸν, τῆς τοῦ φωτὸς ἐννοίας μιᾶς καὶ τῆς αὐτῆς ὑπαρχούσης, αὐτομάτως εἰς τὴν ὁμολογίαν τῆς κατὰ τὴν οὐσίαν οἰκειότητος ὑπαχθήσεται. φωτὶ γὰρ πρὸς φῶς κατ᾽ αὐτὸν τὸν τοῦ φωτὸς λόγον, οὐδεμία οὔτε κατὰ τὴν διαφορὰν οὔτε κατὰ τὴν ἔννοιαν ἐστὶ παραλλαγή. ἵνα οὖν τοῦτο ἡμῶν ἀφέληται, τοῖς τῶν τεχνασμάτων δικτύοις τὸν τῆς πίστεως λόγον περιστοιχίζεται, ἀσύμβλητα ταῦτα καὶ ἀκοινώνητα παντελῶς ἀλλήλοις εἶναι διδάσκων καὶ τὴν τοῦ ἀγεννήτου πρὸς τὸ γεννητὸν ἀντίθεσιν, ταύτην καὶ τὸ φωτὶ πρὸς τὸ φῶς εἶναι λέγων. ἢ τοῦτο μὴ λέγοντας, σύνθετον εἶναι τὸν θεὸν ὁμολογεῖν ἀναγκάζων. μᾶλλον δὲ αὐτῆς αὐτοῦ τῆς λέξεως ἀκούσωμεν.

Εὐνόμιος » Πότερον ἄλλο τι σημαίνει φησὶ τὸ φῶς ἐπ᾽ ἀγεννήτου παρὰ τὸ γεννητὸν, ἢ τ᾽ αὐτὸν ἑκάτερον. εἰ μὲν ἕτερον τι καὶ ἕτερον, δῆλον ὅτι καὶ σύνθετον τὸ ἐξ ἑτέρου καὶ ἑτέρου συγκείμενον. τὸ δὲ σύνθετον οὐκ ἀγέννητον. εἰ δὲ ταὐτὸν, ὅσον παρήλλακται τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον ἀνάγκη παρηλλάχθαι τὸ φῶς πρὸς τὸ φῶς, καὶ τὴν ζωὴν πρὸς τὴν ζωὴν, καὶ

ὁ γάρ τοι κύριος ἡμῶν Ἰησοῦς Χριστός, πρὸς τὴν πάντων ἀρχὴν καὶ τὴν ἀληθῆ τῶν ὄντων αἰτίαν
» ἐπανάγων ἡμᾶς· ὑμᾶς δὲ μὴ καλέσητέ φησι πατέρα ὑμῶν ἐπὶ τῆς γῆς. εἷς γάρ ἐστιν ὁ
» πατὴρ ὑμῶν ὁ οὐράνιος. πῶς οὖν ὡς σαρκικῶν παθῶν προηγουμένων ἐν [illegible] ταύ-
ταις ἡμᾶς ἀξιοῖ τὰς φωνὰς ἀποπέμπεσθαι, ἃς ὁ κύριος ἡμῶν ὡς τῇ ἀπαθείᾳ τοῦ θεοῦ πρε-
πούσας, ἀπὸ τῶν ἀνθρώπων πρὸς ἑαυτὸν μετατίθησιν. εἰ δὲ καὶ τῶν κτισμάτων πα-
τὴρ ὀνομάζεται, οὔπω τούτῳ τῷ λόγῳ τῷ ἡμετέρῳ μάχεται. ὁ γὰρ τετοκὼς βώλους δρό-
σου κατὰ τὸν τοῦ Ἰὼβ λόγον, οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν υἱὸν ἐτεκνώσατο. ἢ εἰ τοῦ-
το λέγειν τολμήσουσιν, ὥστε ἐν ἴσῃ τάξει καὶ τὴν οὐσίαν τῆς δρόσου υἱὸν ὀνομάζειν, παν-
τὸς ἡμᾶς τοῦ πρὸς αὐτοὺς ἀπαλλάξουσι λόγου, εἰς προφανεστάτην ἀναισχυντίαν τὴν βλα-
σφημίαν προαγαγόντες. οὐ δὲ γὰρ ὅτι ἂν πατὴρ πάντων ἡμῶν λέγεται ὁ θεός, κατὰ τὸν
αὐτὸν τρόπον ἡμῶν τε καὶ τοῦ μονογενοῦς ἐστι πατήρ. εἰ δὲ ὅτι πρωτότοκος πάσης κτίσεως
καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς ὁ κύριος προσηγόρευται. τοῦτο αὐτοὺς παιδοτριβεῖ πρὸς ἀ-
σέβειαν, διδασκέσθωσαν ἐκ τοῦ εὐαγγελίου, ὅτι καὶ μητέρα ἑαυτοῦ καὶ ἀδελφοὺς ὁ κύριος, τοὺς
ἐκ τῶν ἔργων τῆς ἀρετῆς οἰκειωθέντας προσαγορεύει. τίς γάρ ἐστι φησὶν ἡ μήτηρ μου καὶ τί-
νες οἱ ἀδελφοί μου. ἀλλ' οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς; ὥστε πατὴρ
ἡμῶν ὁ θεός, οὐ καταχρηστικῶς οὐδ' ἐκ μεταφορᾶς, ἀλλὰ κυρίως καὶ πρώτως, καὶ ἀληθινῶς ὀ-
νομάζεται. διὰ τῶν σωματικῶν γονέων, εἰς τὸ εἶναι ἡμᾶς ἐκ τοῦ μὴ ὄντος παράγων, καὶ
ταῖς κηδεμονίαις προσοικειούμενος. εἰ δὲ ἡμῶν τῶν χάριτι τῆς υἱοθεσίας ἠξιωμένων ἀ-
ληθῶς κέκληται πατὴρ ὁ θεός, τίς ἀφαιρήσεται λόγος τοῦ κατὰ φύσιν υἱοῦ καὶ ἐκ τῆς οὐ-
σίας αὐτοῦ προελθόντος, μὴ οὐχὶ πρεπόντως αὐτὸν πατέρα προσαγορεύεσθαι. οὐ χρή-
φησι διὰ τὴν πατρὸς καὶ υἱοῦ προσηγορίαν, ἀνθρωπικὴν τὴν τοῦ υἱοῦ γέννησιν ἐννοεῖν. φημὶ
κἀγώ. θείαν μέντοι καὶ ἀπαθῆ, τί κωλύει πιστεύειν τὸ ἀσεβές. ἀλλ' οἶμαι οὐχ ἵνα, ἀ-
παθῶς γεγεννηκότα τὸν θεὸν ἐπιδείξῃ, χρῆται τοῖς λόγοις τούτοις, ἀλλ' ἵνα μὴ δὲ γεννή-
σαντα ὅλως. πῶς οὖν ἐν τοῖς αὐτοῦ λόγοις ὦ βέλτιστε, γέννημα εἶναι τὴν οὐσίαν τοῦ μο-
νογενοῦς ἀπεφαίνου. εἰ γὰρ μὴ γεγέννηται, πόθεν αὐτῷ τὸ γέννημα εἶναι κατὰ τὸν σὸν λό-
γον περιῆν. ἀλλὰ διὰ μὲν τὴν τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἀντίθεσιν, γέννημα εἶναι
δεικνύναι τὴν οὐσίαν ἐφιλονείκει. νυνὶ δὲ πάλιν τὴν τῆς οὐσίας οἰκείωσιν διὰ τῆς φωνῆς
ταύτης σημαινομένην ὁρῶν, τὸ γεγεννῆσθαι τοῦ γεννήματος ἀφαιρεῖται. καὶ μὴν εἰ τοῦ-
το ὡς πάθους δηλωτικὸν παραιτεῖται, τί κωλύει καὶ τὸ δημιουργὸν αὐτὸν εἶναι, διὰ τὰς αὐ-
τὰς αἰτίας μὴ παραδέχεσθαι. διότι πάσαις ταῖς σωματικαῖς ἐνεργείαις ἢ πλείων τις
πάντως, ἢ ἐλάττων κόπος συνέζευκται κατὰ τὴν ἀναλογίαν τῆς τοῦ ποιοῦντος δυνάμεως,
καὶ τῆς πρὸς τὰ μεγέθη τῶν ἐνεργουμένων διαφορᾶς. τήν γε μὴν θείαν καὶ μακαρίαν φύ-
σιν καμάτῳ λέγειν συνέχεσθαι, οὐχ ἧττον ἀσεβές, ἢ τοῖς αἰσχροῖς αὐτὴν πάθεσιν ὑπο-
βάλλειν. εἰ δὲ ἀπαθῶς κτίζει, ἀπαθῆ εἶναι δέξασθε καὶ τὴν γέννησιν. ὡς μὲν οὖν κυρίως
καὶ προσηκόντως πατὴρ λέγεται ὁ θεός, καὶ ὡς οὐχὶ πάθους, ἀλλ' οἰκειώσεώς ἐστιν ὄνομα. ἤ τε
κατὰ χάριν, ὡς ἐπὶ τῶν ἀνθρώπων, ἢ τῆς κατὰ φύσιν, ὡς ἐπὶ τοῦ μονογενοῦς, ἱκανῶς εἴρη-
ται. δῶμεν δὲ εἶναι τροπικὴν καὶ ἐκ μεταφορᾶς εἰρῆσθαι, ὥσπερ καὶ ἄλλας μυρίας,
καὶ τὴν φωνὴν ταύτην. ὡς τοίνυν ὀργιζόμενον καὶ ὑπνοῦντα, καὶ πετόμενον ἀκούοντες
τὸν θεόν, καὶ ἄλλων τοιούτων ἀπρεπεῖς κατὰ τὸν πρόχειρον νοῦν τὰς ἐμφάσεις παρεχομέ-
νων, οὔτε τὰς φωνὰς τοῦ πνεύματος διαγράφομεν, οὔτε σωματικῶς τῶν λεγομένων ἀκούο-
μεν, τί δήποτε οὐχὶ καὶ τῆς φωνῆς ταύτης οὕτω συνεχῶς παραληφθείσης ὑπὸ τοῦ πνεύ-
ματος, τὰς θεοπρεπεῖς αὐτῆς ἐννοίας διερευνώμεθα, ἢ μόνην ταύτην τῆς γραφῆς ἀπα-
λείψομεν ἐκ τῆς ἀγίας χρήσεως, συκοφαντοῦντες αὐτήν; οὑτωσὶ δὲ σκοπῶμεν. δύο ση-
μαινομένων ἐκ τῆς τοῦ γεννᾶν προσηγορίας κατὰ τὴν ὧδε συνήθειαν, πάθους τε τοῦ γεν-
νῶντος, καὶ τῆς πρὸς τὸ γεννώμενον οἰκειώσεως. ὅταν παρὰ τοῦ πατρὸς τῷ μονογενεῖ λέ-
» γεται τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. καὶ τὸ υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννη-
» κά σε, πότερον τούτῳ παρίστασθαι φῶμεν διὰ τοῦ ῥήματος. τὸ ἐμπαθὲς τῶν γεννών-
των, ἢ τὴν τῆς φύσεως οἰκειότητα. ἐγὼ μὲν γὰρ τοῦτό φημι. καὶ σὺ δὲ τούτου ἡγοῦμαί πο-
τε μὴ οὐχὶ εἰς λαμπρὰν μελαγχολίαν περιτραπέντα ἐναντιώσεσθαι. ὥστε εἰ μὲν οἰκεία
τῷ θεῷ ἡ φωνή, τί ἀπεμάχου ὡς ἀλλοτρίαν; εἰ δὲ ἐκ τῶν ἀνθρώπων μετακεκόμισται, τὸ ὑγιὲς

καὶ ὑπουργίας δέοιτο ὁ θελήματι μόνον δημιουργῶν, ὁμοῦ τῇ βουλήσει συνυφισταμένης
τῆς κτίσεως. ἀλλὰ τί πρὸς καὶ καθ᾽ ἡμᾶς διὰ τοῦ υἱοῦ τὰ πάντα. ὅτι τὸ θεῖον βούλημα, οἷον
πηγῆς τινος τῆς πρώτης αἰτίας ἀφορμηθὲν, διὰ τῆς οἰκείας εἰκόνος τοῦ θεοῦ λόγου πρόει-
σιν εἰς ἐνέργειαν. ὁ δὲ, τὸν μονογενῆ υἱὸν ὑπουργὸν προσηγόρευσε. τοῦτο δὲ αὐτῷ προστι-
θεὶς μέγα, ὅτι δεξιτὸς πρὸς τὴν διακονίαν τῶν ἐπιταττομένων ἐστίν. εἰ γὰρ οὐκ ἐν τῷ θεὸς
εἶναι τέλειος τὴν δόξαν κέκτηται, ἀλλ᾽ ἐν τῷ ὑπουργὸς ἀκριβὴς, τί διοίσει τῶν λειτουρ-
γικῶν πνευμάτων ἀμέμπτως τὸ ἔργον τῆς διακονίας ἐπιτελούντων. διὰ ταῦτα τῷ γεν-
νηθεὶς τὸ κτισθεὶς συνῆψεν, ἵνα κἀντεῦθεν μηδεμίαν οὖσαν υἱοῦ καὶ κτίσματος διαφορὰν
Εὐνόμιος » ἐπιδείξῃ. ἄξιον δὲ ἀκοῦσαι καὶ τῆς παραινέσεως. Οὐ χρὴ φησὶ τῇ τοῦ πατρὸς καὶ τοῦ
» υἱοῦ προσέχοντας προσηγορίᾳ, ἀνθρωπίνην αὐτοῦ τὴν γέννησιν ἐννοεῖν. καὶ κατὰ τὰς ἐν ἀν-
» θρώποις γενέσεων ἀναγομένους, τοῖς τῆς μετουσίας ὀνόμασι καὶ πάθεσιν ὑπάγειν τὸν
Βασίλειος » θεόν. Ἡ μὲν παραίνεσις, μὴ δεῖν τὴν κατ᾽ οὐσίαν υἱοῦ καὶ πατρὸς ὁμοιότητα ἐννοεῖν.
τοῦτο γὰρ αὐτῷ βούλεται ἡ τῆς μετουσίας ἀπαγόρευσις, ὡς ἀκοινωνήτου τῆς τοῦ πατρὸς
οὐσίας πρὸς τὴν τοῦ μονογενοῦς ὑπαρχούσης. διὰ τοῦτο αἱ σεμναὶ ἐκεῖναι, τῶν ὀνομάτων
διαστολαὶ, ὧν τὸν ὄχλον ἡμεῖς ὑπερέβημεν. ὡς οὐχὶ ὅσον αἱ ἐκφωνήσεις αἱ αὐταὶ ταῦ-
τα καὶ τῷ σημαινομένῳ ἤδη ταυτὰ, ἵνα τὸ πατέρα εἶναι τοῦ υἱοῦ τὸν θεὸν, διὰ τὴν ἐπὶ γῆς
πατέρας ὀνομαζομένους ἀφέληται. ἐγὼ δὲ πολλῶν ὄντων, ἃ τὸν χριστιανισμὸν ἀπὸ τῆς
ἑλληνικῆς πλάνης, καὶ τῆς ἰουδαϊκῆς ἀγνωσίας διΐστησιν, οὐδὲν ἡγοῦμαι κυριώτερον δό-
γμα τῆς εἰς πατέρα καὶ υἱὸν πίστεως τῷ εὐαγγελίῳ τῆς σωτηρίας ἡμῶν ὑπάρχειν. ἐ-
πεὶ τόγε κτίστην εἶναι, καὶ δημιουργὸν τὸν θεὸν, καὶ οἱ καθ᾽ ὁποιανδήποτε πλάνην ἀπηγμέ-
νοι συντίθενται. ὁ δὲ πατέρα ψευδώνυμον, καὶ υἱὸν μέχρι προσηγορίας ψιλῆς καταγ-
γέλλων, καὶ οὐδὲν ἡγούμενος διαφέρειν, ἢ πατέρα ὁμολογεῖν ἢ κτίστην, καὶ ἤτοι υἱὸν λέγειν ἢ
ποίημα, ποῦ τετάξεται παρ᾽ ἡμῶν; ἢ τῆς ποίας μερίδος συναριθμηθήσεται, τῆς ἰου-
δαίων, ἢ τῆς ἑλλήνων; οὐ γὰρ δὴ χριστιανοῖς ἑαυτὸν εἰσποιήσει, ὁ τὴν δύναμιν τῆς εὐσε-
βείας, καὶ τὸν οἱονεὶ χαρακτῆρα τῆς λατρείας ἡμῶν ἀρνούμενος. οὐ γὰρ εἰς δημιουργὸν
καὶ ποίημα ἐπιστεύσαμεν, ἀλλ᾽ εἰς πατέρα καὶ υἱὸν διὰ τῆς ἐν τῷ βαπτίσματι χάριτος ἐ-
σφραγίσθημεν. ὥστε ὁ ταύτας τολμῶν ἀθετεῖν τὰς φωνὰς, πᾶσαν ὁμοῦ τῶν εὐαγγε-
λίων παραγράφει τὴν δύναμιν, πατέρα μὴ γεννήσαντα, καὶ υἱὸν μὴ γεννηθέντα κηρύσσων.
ἀλλὰ ταῦτα λέγων φησὶ, τὴν τοῦ πάθους ἔννοιαν τὴν ἐκ τῆς τοῦ πατρὸς φωνῆς ἐγγινομέ-
νην ἐκκλίνω. ἐχρῆν δὲ δήπου τόν γε εὐσεβεῖν ἐγνωκότα, τὸ ἀπεμφαῖνον τῆς ἐν τοῖς ῥή-
μασι τούτοις διανοίας, εἴπερ ἄρα καὶ ἐνυπῆρχε παραιτησάμενον, μὴ πᾶσαν ἀθρόως τὴν
φωνὴν ἀθετεῖν, μηδὲ προφάσει τοῦ ἀπρεποῦς, καὶ τὸ ὅσον ἀπ᾽ αὐτῆς χρήσιμον συ-
νεκβάλλειν. ἀλλ᾽ ἀπὸ μὲν τῶν ταπεινῶν καὶ σαρκικῶν νοημάτων, ἐν τοῖς περὶ θεοῦ δό-
γμασι καθαρεύειν. γέννησιν δὲ τῇ ἁγιωσύνῃ καὶ τῇ ἀπαθείᾳ τοῦ θεοῦ πρέπουσαν ἐννοεῖν.
τὸν μὲν τρόπον καθ᾽ ὃν ἐγέννησεν ὁ θεὸς, ὡς ἄρρητον καὶ ἀπερινόητον ἀφιέντα. πρὸς δὲ
τὴν κατ᾽ οὐσίαν ὁμοιότητα, ἐκ τῆς τοῦ γεννᾶν προσηγορίας ὁδηγούμενον. καίτοιγε φα-
νερὸν σκοπουμένῳ, ὅτι οὐ σωματικῶν παθῶν κυρίως καὶ πρώτως ἔννοιαν ἐμποιεῖν ταῦ-
τα πέφυκε τὰ ὀνόματα, ὁ πατὴρ λέγω καὶ ὁ υἱός. ἀλλὰ καθ᾽ ἑαυτὰ μὲν λεγόμενα, τὴν πρὸς
ἄλληλα σχέσιν ἐνδείκνυνται μόνην. πατὴρ μὲν γάρ ἐστιν, ὁ ἑτέρῳ τοῦ εἶναι κατὰ τὴν ὁ-
μοίαν ἑαυτῷ φύσιν τὴν ἀρχὴν παρασχών. υἱὸς δὲ ὁ ἐξ ἑτέρου γεννητῶς τὸ εἶναι τὴν ἀρ-
χὴν ἐσχηκώς. ὅταν μὲν οὖν ἀκούωμεν ἄνθρωπος πατὴρ, τότε καὶ τὴν τοῦ πάθους ἔν-
νοιαν προσλαμβάνομεν. ὅταν δὲ ὅτι ὁ θεὸς πατὴρ, ἐπὶ τὴν ἀπαθῆ αἰτίαν τοῖς λογισμοῖς
ἀνατρέχομεν. ὁ δὲ, ἐπὶ τῆς ἐμπαθοῦς φύσεως τῇ προσηγορίᾳ ταύτῃ συνεθισθεὶς, τὸ
ὑπὲρ τὴν κατάληψιν τῶν ἑαυτοῦ λογισμῶν ὡς ἀδύνατον ἀπαρνεῖται. οὐ γὰρ τῷ πάθει
τῶν φθαρτῶν προσέχοντα, τῇ ἀπαθείᾳ τοῦ θεοῦ ἀπιστεῖν προσῆκεν, οὐδὲ τῇ ῥευστῇ φύ-
σει καὶ μυρίαις ὑποκειμένῃ μεταβολαῖς, τὴν ἄτρεπτον καὶ ἀναλλοίωτον οὐσίαν παρα-
τιθέντα. μηδὲ ὅτι τὰ θνητὰ ζῶα διὰ πάθους γεννᾷ, καὶ τὸν θεὸν ἐχρῆν οὕτως οἴεσθαι. ἀλ-
λ᾽ ἐντεῦθεν μᾶλλον ὁδηγεῖσθαι πρὸς τὴν ἀλήθειαν. ὅτι ἐπειδὴ τὰ φθαρτὰ οὕτως, ὁ ἄφ-
θαρτος ἐναντίως. καὶ μὴν οὐδὲ ἐκεῖνό γε ἂν εἴποι ὡς κυρίως καὶ πρώτως ἐπὶ τῶν ἀν-
θρώπων τεταγμένων τῶν ὀνομάτων τούτων καταχρηστικῶς ἡμεῖς ἐπιλέγομεν τῷ θεῷ.

τῶν ἰδίων ποιημάτων τὸν ποιητήν, οὐκ ἔτι κατειλήφαμεν ἢ δοξάζομεν ὡς τῷ θεῷ πρέ-
πον ἦν, ἀλλὰ νέμομεν· ὡς αὐτὸς τοῦ μέτρου τῆς διανομῆς κατάρχων. πόσην δὲ καὶ δί-
δωσι τὴν ὑπεροχήν, ὅσην ὑπερέχειν φησὶν ἀναγκαῖον τῶν ἰδίων ποιημάτων τὸν ποιητήν,
οὔπω τοῦτο τῆς κατὰ τὴν οὐσίαν διαφορᾶς μαρτυρίαν ἔχει· ἄνθρωποι γὰρ τέχνῃ μὲν ὑ-
περέχουσι τῶν οἰκείων ἔργων, ὁμοούσιοι δὲ ὅμως αὐτοῖς καθεστήκασιν· ὡς ὁ κεραμεὺς τῷ
πηλῷ, καὶ ὁ ναυπηγὸς τοῖς ξύλοις· σώματα γὰρ ὁμοίως ἀμφότερα, καὶ αἰσθητὰ ὁμοίως,
καὶ γήϊνα. τοσοῦτον δὲ τῷ υἱῷ πρὸς τὴν κτίσιν τὸ διάφορον συγχωρῶν, ἤδη καὶ περὶ αὐτὴν
» τὴν ἔννοιαν τοῦ μονογενοῦς κακουργεῖ. Διὰ τοῦτο γάρ φησι μονογενής, ἐπειδὴ μόνος πα- εὐνόμιος
» ρὰ μόνου τῇ τοῦ ἀγεννήτου δυνάμει γεννηθεὶς καὶ κτισθείς, τελειότατος γέγονεν ὑπουργός.
οὐκ οἶδα πρὸς ὅ τι χρὴ τῶν εἰρημένων πλέον ἀγανακτῆσαι. πότερον διὰ τὴν πανουργίαν, βασίλειος
ἣν περὶ τὸ ὄνομα τοῦ μονογενοῦς ἐκακούργησε, παρά τε τὴν τῶν ἀνθρώπων συνήθειαν, καὶ
παρὰ τὴν τῶν γραφῶν παράδοσιν ἐκλαμβάνων αὐτοῦ τὴν διάνοιαν· μονογενὴς γὰρ
οὐχ ὁ παρὰ μόνου γινόμενος, ἀλλ' ὁ μόνος γεννηθεὶς ἐν τῇ κοινῇ χρήσει προσαγορεύεται, ἢ
περὶ τῆς τοῦ κτίσματος βλασφημίας, ἣν ἐπὶ τούτοις συνῆψε τῷ γεννηθείς. ἵνα δείξῃ ὅτι
οὐδὲν διαφερόντως παρὰ τὰ κτίσματα τῆς τοῦ γεγεννῆσθαι προσηγορίας μέτεστι τῷ κυρίῳ.
ἀλλ' ὥσπερ τὸ υἱοὺς ἐγέννησα καὶ ὕψωσα, καὶ τὸ υἱὸς πρωτότοκός μου ἰσραήλ, οὕτω καὶ τὸν
κύριον υἱὸν ὀνομάζεσθαι. οὐχ' ἔχοντα τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἀλλὰ ἐξ ἴσου τοῖς ἄλλοις
τῆς προσηγορίας ἀξιωθέντα. οἱ δὲ πρὸς τὴν τοῦ σολομῶντος καταφεύγουσι λέξιν. καί-
τοι ὥσπερ ἐξ ὁρμητηρίου τινὸς τῆς πίστεως κατατρέχουσι. διὰ γὰρ τὸ ἐκ προσώπου τῆς σο-
φίας εἰρῆσθαι τό, κύριος ἔκτισέ με, ἐξεῖναι αὐτοῖς κτίσμα λέγειν τὸν κύριον ὑπειλήφασιν. ἐγὼ δὲ πολ-
λὰ ἔχων εἰπεῖν περὶ τῆς φωνῆς ταύτης. πρῶτον μὲν ὅτι ἅπαξ ἐν πάσαις ταῖς γραφαῖς εἴ-
ρηται, εἶθ' ὅτι ἐν βιβλίῳ πολὺ τὸ κεκρυμμένον τῆς διανοίας ἐχούσῃ, καὶ διὰ παροιμιῶν τε,
καὶ παραβολῶν, καὶ σκοτεινῶν λόγων καὶ αἰνιγμάτων ὡς τὰ πολλὰ προηγμένῃ. ὥστε
μηδὲν ἀναμφισβήτητον μηδὲ τηλαυγὲς ἀπ' αὐτῆς εἶναι λαβεῖν, παρίεμαι λέγειν ἵνα μὴ
μακροτέροις ἐπεισοδίοις τὸν λόγον ἀπομηκύνωμαι. ἀλλ' ὥστε καὶ ἐν ἰδίῳ τόπῳ τῆς πε-
ρὶ τῶν κακῶς αὐτοῖς νενοημένων ἐξετάσεως ἡμῖν ὑπερτεθείσης, ἐν ᾧ καὶ τοῦτο τὸ μέρος θεοῦ
διδόντος διακριθήσεται. καὶ οἶμαί γε ὅτι σὺν θεῷ δὲ εἰρήσθω, πολλῷ ἀκολουθοτέραν
ἔννοιαν τῆς προκειμένης λέξεως, καὶ μηδένα κίνδυνον φέρουσαν, ἀναφανήσεται τῇ ἐξετά-
σει, τέως γε μήν, μηδὲ ἐκεῖνο ἀπαρασήμαντον καταλίπωμεν. ὅτι ἄλλοι τῶν ἑρμηνέων,
οἱ κυριωτέρως τῆς σημασίας τῶν ἑβραϊκῶν καθικόμενοι, ἐκτήσατό με ἀντὶ τοῦ ἔκτι-
σεν ἐκδεδώκασιν. ὅπερ μέγιστον αὐτοῖς ἐμπόδιον ἔσται πρὸς τὴν βλασφημίαν τοῦ κτίσ-
ματος. ὁ γὰρ εἰπὼν ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ, οὐχὶ κτίσας τὸν κάϊν, ἀλλὰ γεν-
νήσας, ταύτῃ φαίνεται χρησάμενος τῇ φωνῇ. ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανίωμεν. διὰ
τοῦτο φησὶ μονογενής, ἐπειδὴ παρὰ μόνου γεννηθεὶς καὶ κτισθεὶς τελειότατος γέγονεν ὑπουρ-
γός. εἰ τοίνυν μὴ παρὰ τὸ μόνος γεγεννῆσθαι, ἀλλὰ διὰ τὸ παρὰ μόνου μονογενὴς εἴρηται,
τοῦτο δὲ ἔστι κατὰ σὲ τὸ ἐκτίσθαι τῷ γεγεννῆσθαι, τί οὐχὶ καὶ μονόκτιστον αὐτὸν ὀνομάζεις,
ὦ πάντα σὺ ῥᾳδίως καὶ διανοούμενος καὶ ἐκφέρων; μονογενὴς δὲ ὡς ἔοικεν, ἀνθρώπων
οὐδεὶς κατά γε τὸν ὑμέτερον λόγον, διὰ τὸ ἐκ συνδυασμοῦ πᾶσιν ὑπάρχειν τὴν γέννη-
σιν. οὐδὲ ἡ σάρρα μήτηρ μονογενοῦς ἦν παιδός. διότι οὐχὶ μόνη αὐτόν, ἀλλὰ μετὰ τοῦ ἀ-
βραὰμ ἐτεκνώσατο. καὶ ἐάν γε κρατῇ τὰ ὑμέτερα, ἀνάγκη ὅλον τὸν βίον μεταμαθεῖν,
μὴ μονώσεως ἀδελφῶν, ἀλλ' ἐρημίας τῶν συντικτόντων δηλωτικὸν εἶναι τοὔνομα. ἤδη
δὲ καὶ ἡ κτίσις παρὰ τὴν αἰτίαν τοῦ θεοῦ λόγου πρὸς τὴν ἀξίαν ἠλάττωται. παρὰ τοσοῦ-
τον τοῦ καὶ αὐτὴ μονογενὴς εἶναι διαμαρτοῦσα, παρ' ὅσον ὁ υἱὸς τῆς δημιουργίας τῷ πα-
τρὶ συνεφήψατο. καίτοι γε οὐδὲ τοῦτο παρ' αὐτῶν συγχωρεῖται. ὑπουργὸν αὐτὸν γὰρ τε-
λειότατον ὀνομάζουσι. πῶς οὖν οὐχὶ παρὰ μόνου καὶ ἡ κτίσις γέγονε καθ' ὑμᾶς, οἷόν τι ὄρ-
γανον ἄψυχον τὸν δὲ λόγον τῷ πατρὶ προστιθέντας; εἰ μὴ καὶ τὸν ναυπηγὸν ἀφαιρήσε-
ταί τις μόνον τι πεποιηκέναι τὴν ναῦν, ὅτι δι' ὀργάνων πρὸς τὴν κατασκευὴν συνεχρήσα-
το. ὥστε μονογενὴς καὶ ἡ κτίσις, καὶ τὰ μέρη ταύτης. οὐ μόνον αἱ ἀόρατοι δυνάμεις,
ἀλλὰ καὶ τὰ αἰσθητὰ σώματα καὶ τούτων τὰ εὐτελέστατα, σκνῖπες, καὶ ἀκρίδες, καὶ βά-
τραχοι. αὐτὸς γὰρ εἶπε καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. τίνος γὰρ ἄν.

θείοις καὶ ἀϊδίοις μετὰ ἀκριβείας ἁρμόζειν, ἀλλ' ὅσον ἐλέγξαι τὴν εἰρωνείαν, τῶν οὐ δυναμένων δὴ γέννησιν ἀπαθῆ λαβεῖν τῇ διανοίᾳ. εἰκὼν δὲ εἴρηται καὶ ἔστιν ὁ υἱὸς γεννητή, καὶ ἀπαύγασμα ἐστὶ τῆς δόξης τοῦ θεοῦ καὶ σοφία, καὶ δύναμις, καὶ δικαιοσύνη θεοῦ· οὐχ ὡς ἕξις, οὐδὲ ὡς ἐπιτηδειότητος, ἀλλ' οὐσία ζῶσα καὶ ἐνεργὴς, καὶ ἀπαύγασμα ἐστὶ τῆς δόξης τοῦ θεοῦ. διόπερ καὶ ὅλον ἐν ἑαυτῷ δείκνυσι τὸν πατέρα, ὡς ἐξ ὅλης αὐτοῦ τῆς δόξης ἀπαυγασθείς. τὴν τοίνυν δόξαν τοῦ θεοῦ μὴ ἔχειν ἀπαύγασμα λέγειν, ἢ τὴν σοφίαν τοῦ θεοῦ μὴ συνεῖναί ποτε τῷ θεῷ, πόσης τῆς ἀτοπίας. ἀλλ' εἰ ἦν φησὶν, οὐ γεγέννηται. ἀποκρινόμεθα τοίνυν, ὅτι ἐπειδὴ γεγέννηται ἦν. οὐκ ἀγέννητον ἔχων τὸ εἶναι, ὢν δὲ ἀεὶ καὶ συνὼν τῷ πατρί. ἐξ οὗ καὶ τὴν αἰτίαν τῆς ὑπάρξεως ἔχει. πότε οὖν εἰς τὸ εἶναι παρὰ τοῦ πατρὸς παρήχθη. ἀφ' οὗ ἐστὶν ὁ πατήρ. ἀλλ' ἐξ ἀϊδίου φησὶν ὁ πατήρ. ἐξ ἀϊδίου τοίνυν καὶ ὁ υἱὸς, γεννητῶς τῇ ἀγεννησίᾳ τοῦ πατρὸς συναπτόμενος. ὅτι δὲ οὗτος οὐχ ἡμέτερος ὁ λόγος, αὐτὰς τὰς τοῦ ἁγίου πνεύματος φωνὰς αὐτοῖς παρεξόμεθα. ἐκ μὲν τοῦ εὐαγγελίου λάβωμεν, τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος. ἐκ δὲ τοῦ ψαλμοῦ ὡς ἐκ προσώπου τοῦ πατρὸς εἰρημένον, τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγὼ σήμερον γεγέννηκά σε. καὶ συνθέντες ἀμφότερα, εἴπωμεν, ὅτι καὶ ἦν καὶ γεγέννηται. ἀλλὰ τὸ μὲν γεγέννηκα, τὴν αἰτίαν ἀφ' ἧς ἔχει τὴν ἀρχὴν, τοῦ εἶναι σημαίνει. τὸ δὲ ἦν, τὴν ἄχρονον αὐτοῦ καὶ προαιώνιον ὕπαρξιν. ὁ δὲ, ἐπαγωνιζόμενος τῇ ἑαυτοῦ ἀπάτῃ, εἰς ἄτοπον τὸν λόγον ἀπάγειν οἴεται. εἰ γάρ φησι πρὸ τῆς γεννήσεως ἦν τῆς ἑαυτοῦ ὁ υἱὸς, ἀγέννητος ἦν. ἀλλὰ τὸ πρὸ τῆς γεννήσεως τοῦτο ὦ μάταιε, ἤτοι ἀνύπαρκτόν ἐστι παντελῶς καὶ διανοίας ἀναπλασμὸς οὐδενὶ ἐρειδόμενος ὑποκειμένῳ, καὶ τί δεῖ ἀντιλέγειν τοῖς ἀνοήτοις. παραπλήσιον γὰρ τοῦτο, ὥσπερ ἂν, εἰ καὶ τῷ τὸν λογισμὸν ἐκ φρενίτιδος παρενεχθέντι διαμαχόμεθα, ἢ εἰ πρός τι τῶν ὄντων φέρεται, καὶ πρὸς τὴν τῶν αἰώνων ἔννοιαν ἐνεχθήσεται. ἀλλ' ἐπείπερ αἰῶνες πάντως κάτω που τῆς γεννήσεως τοῦ μονογενοῦς νοοῦνται, αὐτοῦ ἐκείνου ὄντος ποιήματα, μάταιος ὁ ὑποζητῶν τῆς ὑποστάσεως τοῦ υἱοῦ τὰ πρεσβύτερα. οὐδὲν γὰρ ἀλλοιότερον ἐστὶ, ἢ εἰ καὶ περὶ τοῦ πατρὸς ἐπυνθάνετο, πότερον ὑπῆρχε πρὸ τῆς ἰδίας συστάσεως, ἢ οὐχί. ὡς γὰρ ἐκεῖ ἀνόητον τὸ ἐρώτημα, ἐπὶ τοῦ ἀνάρχου καὶ ἀγεννήτου ζητεῖν τὸ ἀνώτερον, οὕτω κἀνταῦθα, ἐπὶ τοῦ ἐξ ἀϊδίου τῷ πατρὶ συνόντος, καὶ οὐδὲν ἔχοντος μέσον ἑαυτοῦ τε καὶ τοῦ γεννήσαντος, χρονικὰς ποιεῖσθαι τοῦ προτέρου τὰς ἐρωτήσεις, τῆς ἴσης ὄντος ἀνοίας. παραπλήσιον γὰρ ἐρωτᾶν, τί ἔσται μετὰ τὴν τελευτὴν τοῦ ἀθανάτου, καὶ ἐπιζητεῖν τί ὑπῆρχε πρὸ τῆς γεννήσεως τοῦ ἀϊδίου. οἱ δὲ ἐπειδὴ τὸ ἄναρχον τοῦ πατρὸς ἀΐδιον ὀνομάζεται, ταὐτὸν τῷ ἀνάρχῳ τὸ ἀΐδιον ἀποφαίνουσι. καὶ ἐπειδὴ μὴ ἀγέννητος ὁ υἱὸς, οὐδὲ ἀΐδιον εἶναι ὁμολογοῦσι. πλεῖστον δὲ διαφέρει κατὰ τὴν ἔννοιαν. ἀγέννητον μὲν γὰρ λέγεται, τὸ μηδεμίαν ἀρχὴν ἑαυτοῦ μηδὲ αἰτίαν ἔχον τοῦ εἶναι. ἀΐδιον δὲ, τὸ χρόνου παντὸς καὶ αἰῶνος κατὰ τὸ εἶναι πρεσβύτερον. διὸ καὶ ὁ υἱὸς, καὶ οὐκ ἀγέννητος, καὶ ἀΐδιος. ἤδη δὲ καὶ τοὺς αἰῶνας ἀξιοῦσί τινες τῆς ἀϊδίου προσηγορίας, ὡς ἐκ τοῦ ἀεὶ εἶναι τῆς κλήσεως ταύτης τετυχηκότας. ἡμεῖς δὲ τῆς αὐτῆς λογιζόμεθα παρανοίας, καὶ τῇ κτίσει προσμαρτυρεῖν τὸ ἀΐδιον, καὶ τὸν δεσπότην τῆς κτίσεως τῆς ὁμολογίας ταύτης ἀποστερεῖν. ὁ δὲ, πρὸς τὸ ἀναισχυντον ἐκφέρων τὸν λόγον, τί φησιν;

Εὐνόμιος

» ἡμεῖς δὲ τοῖς τε ὑπὸ τῶν ἁγίων καὶ πάλαι καὶ νῦν ὑφ' ἡμῶν ἀποδεδειγμένοις ἐμμένοντες, μήτε τῆς οὐσίας
» τοῦ θεοῦ προσιεμένης γέννησιν, μήτε μὴν ἑτέρας τινὸς ὑποκειμένης εἰς υἱοῦ γέννησιν, μὴ ὄν-
» τα φαμὲν τὸν υἱὸν γεγεννῆσθαι.

Βασίλειος

τίς οὕτως ἐπ' ἀσεβείᾳ φιλότιμος, τίς ἐπὶ τῷ φιλόχριστος εἶναι τοσοῦτον ἐκαλλωπίσατο, ὅσον οὗτοι τοῖς τῆς ὕβρεως καὶ ἀτιμίας ῥήμασι καὶ καθαιρετικοῖς τῆς δόξης τοῦ μονογενοῦς ἐπαγάλλονται; οὐ παύσῃ μὴ ὄντα προσαγορεύων ὦ ἄθεε, τὸν ὄντως ὄντα, τὴν πηγὴν τῆς ζωῆς, τὸν πᾶσι τοῖς οὖσι τοῦ εἶναι παρεκτικόν; ὃς οἰκείαν ἑαυτῷ καὶ πρέπουσαν τῇ ἑαυτοῦ ἀϊδιότητι ἐν τῷ πρὸς τὸν ἴδιον θεράποντα μωϋσέα χρηματισμῷ προσηγορίαν ἐξεῦρεν, ὄντα ἑαυτὸν ὀνομάσας; ἐγὼ γάρ εἰμί φησιν ὁ ὤν. καὶ τούτοις οὐδεὶς ἀντερεῖ. μὴ οὐχὶ ἐκ προσώπου τοῦ θεοῦ εἰρῆσθαι, οὐκ οἶμαι ὅστις γε μὴ τὸ ἰουδαϊκὸν κάλυμμα ἐπὶ τῇ ἀναγνώσει μωσέως, κατὰ τῆς αὐτοῦ καρδίας ἐπικείμενον ἔχει. γέγραπται γὰρ, ὅτι ὤφθη τῷ μωσεῖ ἄγγελος κυρίου ἐπὶ τῆς βάτου ἐν πυρὶ φλογός; ἄγγελον τοίνυν προτάξασα τῆς διηγήσεως ἡ γραφὴ, θεοῦ ἐπάγει τὴν φωνήν. ὅτι γάρ

ἐλθὼν εἰς τὴν γραφήν, παντὸς αἰσθητοῦ καὶ χρόνου τῶν τοῖς τοιούτοις παρεπομένων τὴν διάνοιαν ὑπεράρας, μᾶλλον δὲ ὑψωθεὶς τῇ δυνάμει τοῦ πνεύματος, αὐτῷ προσέβη τῷ πάντων ἐπέκεινα. μονονουχὶ διαμαρτυρόμενος καὶ αὐτός, ὅτι εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. λαβόμενος γὰρ αὐτῆς τῆς ἀρχῆς, καὶ πάσας τὰς σωματικάς τε καὶ χρονικὰς ἐννοίας κατωτέρας τῆς ἑαυτοῦ θεολογίας ἀπολιπών, ὑπερεφώνησε τὰ περιλαβόντα κηρύγματα τῇ μεγαλοφυΐᾳ τῆς γνώσεως. οὐκ ἀπὸ μερίας φησὶν ἀρχῆς, οὐδὲ ἀπὸ τῶν δὲ τῶν χρόνων. ἀλλὰ τί; ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. καὶ θεὸς ἦν ὁ λόγος. τὴν δὲ ἀΐδιον ὕπαρξιν, τὴν ἀπαθῆ γέννησιν, τὸ συμφυὲς τῷ πατρί, τὸ μεγαλεῖον τῆς φύσεως, πάντα ἐν τοῖς ὀλίγοις ῥήμασι συλλαβὼν, καὶ τῇ προσθήκῃ τοῦ ἦν, ἀναγαγὼν εἰς τὴν ἀρχήν. ὥσπερ ἀποφράττων τὰ στόματα τῶν, ὅτι οὐκ ἦν βλασφημούντων. καὶ πόρρωθεν τὰς τῶν τοιούτων σοφισμάτων παραδύσεις ἀποτεμνόμενος. εἶτα διὰ τῆς θεολογίας ὑπογραφήν τινα ἐναργῆ τῆς φύσεως τοῦ μονογενοῦς ἐντυπώσας, ὡς ἤδη γνωρίζουσιν ἐπιδείκνυσι τῇ φωνῇ λέγων. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάλιν ἐνταῦθα τῇ προσθήκῃ τοῦ ἦν, τῇ ἀϊδιότητι τοῦ πατρός, τὴν τοῦ μονογενοῦς συνάπτων τὴν γέννησιν. καὶ πάλιν ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων, καὶ ἦν τὸ φῶς τὸ ἀληθινόν. ἀλλ᾽ ὅμως οὕτω πανταχόθεν τοῦ λόγου τοῦ ἀϊδίου προσθήκαις ἠσφαλισμένου, πάσας παρωσάμενος τὰς μαρτυρίας τοῦ πνεύματος, οὐδὲ ἀκούειν δοκῶν. οὕτως ἡμῖν πυκνῶς ἐμβοῶντος τὸ ἦν, οὐκ ὢν φησὶν ἐγεννήθη. οὐκ ὢν ὕστερον προσγίνεται. εἰ δὲ τοῦτο ἐν ἀρχῇ οὐκ ἦν, ὥς φατε, τίνα περιφανεστέραν μάχην ἔστι δεῖξαί τις πρὸς τὰς φωνὰς τῶν εὐαγγελίων αἷς πεπιστεύκαμεν. καὶ μὴν ἐκεῖνό γε, τίνι οὐκ ἂν τῶν εὐγνωμόνων συνδόξειεν. ὅτι ὥσπερ ὀφθαλμὸς τῶν περιλαμπομένων τόπων ἐκπεσὼν, ἀναγκαίως δι᾽ ἐρημίαν τοῦ φωτός, τῆς ἐνεργείας ἵσταται, οὕτω δὲ καὶ ὁ νοῦς ἐπὶ τὸ ἔξω τοῦ ὄντος ταῖς φαντασίαις ἐκβιαζόμενος, οἷόν τινος φωτὸς τῆς ἀληθείας ἐπιλιπούσης, συγχυθεὶς καὶ ἀμηχανῶν, τῆς νοήσεως ἀπολήγει. οὔτε οὖν ὀφθαλμὸς ἔξω τοῦ φωτὸς τῷ ὁρᾶν χρῆσθαι δύναιτο, οὔτε ψυχή, τῆς τοῦ μονογενοῦς ἐννοίας παρενεχθεῖσα, τῇ νοήσει κεχρῆσθαι. ἡ γὰρ τῆς ἀληθείας ἀπόπτωσις, ἀορασία ἐστὶ διανοίας καὶ τύφλωσις. ὥστε μάταιός ἐστι νοῦς, καὶ τετύφλωται μηδὲν ἐπιστάμενος τῷ ὄντι, ὁ τὰ τοῦ μονογενοῦς πρεσβύτερα κατειληφέναι φρονῶν. ὥσπερ ἂν εἰ καὶ ὀφθαλμῷ τις ὀξυωπίαν προσμαρτυρῇ, τοῖς ἐσκοτισμένοις ἐνατενίζοντι. ἐν τῷ φωτί σου γάρ φησιν ὀψόμεθα φῶς. ὁ δὲ ἐν καταλήψει τοῦ ὅτε οὔπω ἦν τὸ φῶς γεγονέναι φάσκων, παραπλήσιον πέπονθε τοῖς ἐν ἐκστάσει φρενιτικῇ ὁρᾶν φανταζομένοις τὰ μὴ παρόντα. τὰ γὰρ ὑπὲρ τὸν υἱὸν οὐ νοεῖται. ἐπειδὴ ὅπερ ὀφθαλμῷ τὸ αἰσθητόν ἐστι φῶς, τοῦτο ψυχαῖς ὁ θεὸς ἐστὶ λόγος. ἦν γάρ φησι τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ὥστε ἀφώτιστος ψυχή, ἀδύνατός ἐστι πρὸς νόησιν. πῶς ἂν οὖν τὰ ὑπεράνω τῆς γεννήσεως τοῦ φωτὸς καταληφθείη, χρὴ δὲ οἶμαι τοὺς καὶ μικρὸν γοῦν τῆς ἀληθείας πεφροντικότας, ἀφεμένους τῶν σωματικῶν ὁμοιώσεων, καὶ τὰς ὑλικὰς φαντασίας τὰς περὶ θεοῦ ἐννοίας, καταρρυπαίνειν, ταῖς παρὰ τοῦ ἁγίου πνεύματος παραδοθείσαις ἡμῖν θεολογίαις ἀκολουθεῖν. καὶ ἀντὶ τῶν ἐρωτημάτων τούτων, ἃ τῶν γραφῶν οὐδὲν ἀπολείπεται, τὴν ἐφ᾽ ἑκάτερα ὑπόληψιν ἐπικίνδυνον ἔχοντα, νοεῖν μὲν ἀξίαν τοῦ θεοῦ γέννησιν ἀπαθῆ, ἀμέριστον, ἀδιαίρετον, ἄχρονον, κατὰ τὴν ἀπολάμπουσαν τοῦ φωτὸς αὐγὴν τῇ θείᾳ γεννήσει προσαγομένους. νοεῖν δὲ εἰκόνα τοῦ θεοῦ τοῦ ἀοράτου, οὐ κατὰ τὰς τεχνητὰς ταύτας ὕστερον ἀπεργασθείσας πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ συνυπάρχουσαν καὶ παρυφεστηκυῖαν τῷ πρωτοτύπῳ ὑποστήσαντι, τῷ εἶναι τὸ ἀρχέτυπον, οὖσαν. οὐκ ἐκτυπωθεῖσαν διὰ μιμήσεως, καὶ ὥσπερ ἐν σφραγῖδί τινι τῆς ὅλης φύσεως τοῦ πατρὸς ἐναποσημανθείσης τῷ υἱῷ. εἰ δὲ βούλει, ὁποία τῶν τεχνῶν ἡ ὑπόστασις ἐκ τῶν διδασκόντων ὅλη τοῖς μαθητευομένοις ἐγγινομένη. οὔτε λείποντός τινος τοῖς διδάσκουσι, καὶ τῆς τελειώσεως τῆς ἐκ μανθάνουσι προσγινομένης. ἢ τοῦτο μὲν οὐκ ἀκριβὲς πρὸς ὁμοίωσιν, διὰ τὴν τοῦ χρόνου παράτασιν. εἰκότερον δὲ εἰπεῖν. ὅτι ὁποία τῶν νοημάτων ἡ φύσις τοῖς τοῦ νοῦ κινήμασιν ἀχρόνως συνυφισταμένη. καὶ μηδείς μοι συκοφαντείτω τὸν λόγον, ὅτι τῶν ὑποδειγμάτων μὴ πάντη συμβαίνοι τοῖς προκειμένοις. οὐ δὲ γὰρ δυνατὸν τὰ μικρὰ καὶ φαῦλα, τοῖς

τῆς κτίσεως, καὶ τῶν ποιημάτων αὐτὸν τῷ ἑαυτοῦ προϋπάρχειν, ἀρκοῦν εἰς δόξαν τῷ δη-
μιουργῷ τῶν ὅλων τιθέμενος, τῶν κτισμάτων αὐτὸν τῷ ἑαυτοῦ προτετάχθαι. τῆς γὰρ
πρὸς τὸν θεὸν καὶ πατέρα κοινωνίας, τὸ εἰς αὐτὸν ἴδιον ἀλλοτριώσας, ἐν τῇ τῶν κτισμάτων
προτιμήσει τὴν δόξαν αὐτῷ μαρτυρεῖ. εἶτα πρὸς τὸ ἀναίσχυντον τὴν βλασφημίαν ἐκφέ-
ρων, ταῖς ἀφύκτοις ἡμᾶς ὡς οἴεται τῶν λογισμῶν ἀνάγκαις περιστοιχίζεται.

» Ἤτοι γὰρ ὄντα φησὶν ἐγέννησεν ὁ θεὸς τὸν υἱὸν, ἢ οὐκ ὄντα. ἀλλ' εἰ μὲν οὐκ ὄντα, μηδεὶς φησὶ
» τόλμαν ἐγκαλείτω. εἰ δὲ ὄντα, οὐκ ἀτοπίαν μόνον καὶ βλασφημίαν ἀλλὰ πάσης ἀμα-
» θείας ὑπερβολὴν ὁ λόγος ἔχει. τῷ γὰρ ὄντι, οὐ δεῖ γενέσεως.

εὐνόμιος

βασίλειος

Τὸ μὲν οὖν πολυθρύλλη-
τον σόφισμα. τὸ πάλαι μὲν διαβεβοηθὲν παρ' ἑτέρων, τελέως δὲ νῦν ἐν ταῖς ἀπηρυθριασ-
μέναις καὶ ἀναισχύντοις γλώσσαις ἀπὸ τούτου διεργασθὲν, τοῦτό ἐστιν. ἡμεῖς δὲ πρῶτον
ἐκεῖνο διὰ τοὺς ἀκροατὰς ὑπομνήσομεν. ὅτι οὗτός ἐστιν, ὁ διὰ τὴν τῶν πολλῶν ἄγνοιαν ἀν-
θρωπικῶς ἐξακουόντων τῆς γεννήσεως τοῦ υἱοῦ, εἰς ἀνάγκην ἐληλυθὼς τῶν λόγων τού-
των. οὗτος ὁ ἀπὸ τῶν σωματικῶν ἐννοιῶν, ἐπὶ τὴν τινὰ ματαίαν θεωρίαν ταῖς ἀπαι-
δεύτοις ψυχαῖς ἐπανάγων. ὃς ἐπειδὴ τὰ γεννώμενα ζῶα οὐκ ὄντα πρότερον, εἶτα γεννᾶ-
ται. καὶ ὁ σήμερον γεννηθεὶς χθὲς οὐχ ὑπῆρχε, ταύτην ἐπὶ τῆς τοῦ μονογενοῦς ὑποστά-
σεως τὴν ἔννοιαν μεταφέρει καὶ ἐπειδὴ γεγέννηται φησὶν. οὐχ ὑπῆρχε πρὸ τῆς γεννή-
σεως. οὕτω μεγαλοφυῶς τὴν γέννησιν ἡμῖν τοῦ μονογενοῦς θεολογεῖ. καὶ διὰ τοιούτων
λόγων, τὰ ἀρρωστήματα τῶν ἀδελφῶν ἡμῶν ἐπανορθοῦται. ἄξιος οὖν εἴπερ τις, ἀκοῦ-
σαι τῆς παροιμίας. ὅτι ἰατρὲ θεράπευσον σεαυτόν. τίνα μέντοι καὶ παραμυθίαν τῆς
ἀτόπου ταύτης νόσου τῶν λογισμῶν αὐτῷ προσενέγκωμεν. ἢ τὰ παρὰ τοῦ ἁγίου πνς
» διὰ τοῦ μακαρίου ἰωάννου λαληθέντα ἡμῖν. ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς
» τὸν θεὸν. καὶ θεὸς ἦν ὁ λόγος. διὰ τούτων τῶν δύο ῥήσεων ἀπέκλεισεν ὁ εὐαγγελιστὴς μιᾶς ἀνυ-
περβάτου καὶ ἑτέρας ἀνεκβάτου. οὔτε γὰρ ἀρχῆς ἐστιν ἐπινοῆσαι πρεσβύτερον. οὔτε
γὰρ ἂν ἔτι εἴη ἀρχὴ, εἰ πρὸ ἔχοι τι ἑαυτῆς ἐξωτέρω. οὔτε τὸ ἦν διαβάντας τῷ λογισμῷ. εἰς
τὸ ὅτε οὐκ ἦν δυνατὸν ὑπερκύψαι. ἀθέτησις γάρ ἐστι τοῦ ἦν, ἡ τοῦ ὅτι οὐκ ἦν ἐπίνοια. εἰ μὲν
γὰρ ἡ ἀρχὴ τῶν πρὸς ἕτερον λεγομένων ἦν, ὡς τὸ ἀρχὴ σοφίας, καὶ ἀρχὴ ὁδοῦ ἀγαθῆς, καὶ
ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς. ἦν ἂν τυχὸν τοῦ ἐκ τοιαύτης ἀρχῆς ὑφεστῶτος, δι' ἐνθυμήσεως ὑπερ-
βῆναι τὴν γέννησιν. ἐπειδὴ δὲ τὸ σημαινόμενον τοῦτο τῆς ἀρχῆς ἀπολελυμένον καὶ ἄσχε-
τον, τὴν ἀνωτάτω φύσιν δηλοῖ, πῶς οὐ καταγέλαστος ὁ τὰ ἐξωτέρω ταύτης ἐπινοῶν; ἢ
ἐπιχειρῶν αὐτὴν τοῖς λογισμοῖς ὑπερβάλλειν; συμπαρεκτείνεται δὲ, καὶ τὸ ἦν τῷ, ἀνυ-
περθέτῳ τῆς ἀρχῆς ταύτης. οὐ γὰρ τὴν ἀπὸ χρόνου ὕπαρξιν τὸ ἦν ἀποφαίνει, ὡς τὸ
ἄνθρωπος ἦν ἐν χώρᾳ τῇ αὐσίτιδι. καὶ ἦν ἄνθρωπος ἐξ ἀριμαθαίμ. καὶ τὸ ἡ δὲ γῆ ἦν ἀόρα-
τος, ἀλλ' αὐτὸς ἡμῖν ὁ εὐαγγελιστὴς ἐν ἑτέρῳ λόγῳ τοῦ τοιούτου ἦν τὸ σημαινόμενον ἔδειξεν,
εἰπών. ὁ ὢν καὶ ὁ ἦν. καὶ ὁ παντοκράτωρ. οἷον γὰρ τὸ ὢν τοιοῦτον καὶ τὸ ἦν. ἀΐδιον ὁμοίως
καὶ ἄχρονον. οὐκ ὄντα δὲ λέγειν τὸν ἐν ἀρχῇ ὄντα, οὔτε διασώζοντός ἐστι τὴν ἔννοιαν τῆς
ἀρχῆς, οὔτε συνάπτοντος αὐτῇ τὴν ὕπαρξιν τοῦ μονογενοῦς. ἀνεπινόητον μὲν γὰρ τῆς ἀρ-
χῆς, τὸ πρεσβύτερον. ἀχώριστον δὲ ταύτης, τοῦ θεοῦ λόγου τὸ εἶναι. ὥστε ἐφ' ὅσον ἂν βου-
ληθῇς ταῖς τοῦ νοῦ πολυπραγμοσύναις ἀναδραμεῖν, ὑπερβῆναι τὸ ἦν, καὶ ἔξω τούτου γενέ-
σθαι τοῖς λογισμοῖς, οὐ δυνήσῃ. ἀντερωτάσθω τοίνυν καὶ παρ' ἡμῶν. πότερον ἐν ἀρ-
χῇ ἦν πρὸς τὸν θεὸν ὁ θεὸς λόγος, ἢ ὕστερον προσεγένετο. εἰ μὲν γὰρ ἦν, παῦσον τὴν γλῶσ-
σάν σου ἀπὸ κακοῦ, τῆς τοῦ ὅτι οὐκ ἦν, βλασφημίας. εἰ δὲ ὅπερ οὐδὲ θέμις εἰπεῖν, τοῖς σοῖς
οἰκειότερον πρὸς σὲ χρήσομαι ῥήμασιν. ὅτι οὐ βλασφημίας μόνον, ἀλλὰ καὶ παρανοίας
ὑπερβολὴν ὁ λόγος ἔχει ἀνθρώποις ἀπαιτεῖν τῶν λόγων τοῦ πνς τὰς εὐθύνας. καὶ μα-
θητὴν μὲν εἶναι τῶν εὐαγγελίων ὁμολογεῖν. αὐτῶν δὲ τούτων κατεξανίστασθαι. σκό-
πει γὰρ τὰς θείας φωνὰς, ὡς ἀκριβῶς καὶ σαφῶς τῇ πρὸ αἰώνων γεννήσει τοῦ υἱοῦ μαρ-
τυροῦσιν. ἐπειδὴ γὰρ ὁ μὲν ματθαῖος τῆς κατὰ σάρκα γεννήσεως ἐξηγητὴς γέγονεν ὡς
» αὐτός φησι. βίβλος γενέσεως ἰησοῦ χριστοῦ υἱοῦ δαβίδ. ὁ δὲ μάρκος, ἀρχὴν τοῦ εὐαγγελίου τὸ
» ἰωάννου πεποίηκε κήρυγμα εἰπών. ἀρχὴ τοῦ εὐαγγελίου ἰησοῦ χριστοῦ καθὼς γέγραπται ἐν ἠ-
» σαΐᾳ τῷ προφήτῃ. φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. ὁ δὲ λουκᾶς, καὶ αὐτὸς διὰ τῶν σω-
ματικῶν ἀρχῶν τῇ θεολογίᾳ προσέβη, ἀναγκαίως ὁ εὐαγγελιστὴς ἰωάννης τελευταῖος

δεύτερον τίθεται. εἰ δὲ βούλει καὶ αἰώνων τὸν ποιητὴν τῶν αἰώνων δεύτερον εἶναι. ἔπει-
τα μέντοι ἀκολουθῶν ταῖς αὐτοῦ βλασφημίαις, καὶ τὸν πατέρα φύσει οὐκ ὄντα πατέρα
τὸ ἐξ ἀρχῆς. εἶτα ὕστερον γεγονέναι. καίτοι εἰ μὲν καλὸν καὶ πρέπον τῇ μακαριότητι τοῦ
θεοῦ τὸ εἶναι πατέρα, πῶς οὐκ ἐξ ἀρχῆς τὸ πρέπον αὐτῷ παρῆν; ἢ γὰρ ἄγνοια τοῦ βελ-
τίονος, ἢ ἀδυναμία πάντως λογισθήσεται τὴν ἔλλειψιν. ἄγνοια μὲν, εἴπερ ὕστερον ἐξεῦρε
τὸ βέλτιον, ἀδυναμία δὲ, εἴπερ εἰδὼς καὶ συνιεὶς, ἀπετύγχανε τοῦ καλλίστου. εἰ δὲ, ὃ μὴ
θέμις εἰπεῖν, οὐ καλὸν αὐτῷ τὸ εἶναι πατέρα, τίνος οὕνεκεν ἐκ μεταβολῆς τὸ χεῖρον προεί-
λετο. ἀλλὰ τρέποιτο μὲν πρὸς τοὺς αἰτίους ἡ βλασφημία. ὁ δὲ θεὸς τῶν ὅλων, ἐξ ἀπεί-
ρου ἐστὶ πατὴρ, οὐκ ἀρξάμενός ποτε τοῦ εἶναι πατήρ. οὔτε γὰρ τῇ τῆς δυνάμεως ἐνδείᾳ,
πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος ἐκωλύετο, οὔτε αἰώνων τινῶν περιόδους ἀνέμενεν.
ἵνα ὥσπερ ἐπὶ τῶν ἀνθρώπων καὶ τῶν λοιπῶν ζώων μετὰ τὴν τῆς ἡλικίας συμπλήρω-
σιν τῆς εἰς τὸ γεννᾷν αὐτῷ δυνάμεως προελθούσης, τὸ σπουδαζόμενον περιγένηται. μαι-
νομένων γὰρ, ταῦτα καὶ ἐννοῆσαι καὶ φθέγξασθαι. ἀλλὰ τῇ ἑαυτοῦ ἀϊδιότητι συμπα-
ρεκτεινομένην ἔχει τὴν ἵν' οὕτως ὀνομάσω πατρότητα. οὐκοῦν καὶ ὁ υἱὸς πρὸ αἰώνων ὢν, καὶ
ἀεὶ ὢν, οὐκ ἤρξατο τοῦ εἶναί ποτε, ἀλλ' ἀφ' οὗ πατὴρ, καὶ υἱός. καὶ εὐθὺς τῇ τοῦ πατρὸς
ἐννοίᾳ, ἡ τοῦ υἱοῦ συνεισέρχεται. ὁ γὰρ πατὴρ, υἱοῦ πατὴρ δηλονότι. ἀρχὴ μὲν οὖν πα-
τρὸς οὐδεμία, ἀρχὴ δὲ τοῦ υἱοῦ ὁ πατήρ. μέσον δὲ τούτων, οὐδέν. πῶς οὖν οὐκ ἦν τὸ ἐξ ἀρ-
χῆς. τοῦτο γάρ ἐστι τὸ πρὸ τῆς ἰδίας συστάσεως ἐν σοφίσματι λεγόμενον παρὰ τούτων, ὁ
μηδὲν ἔχον προεπινοούμενον ἑαυτοῦ, εἰ μὴ τὸν ἐξ οὗ ἔχει τὸ εἶναι. οὐ διαστήματι ὑπερέ-
χοντα, ἀλλὰ τῇ αἰτίᾳ προστεταγμένον. εἰ τοίνυν ἀΐδιος ἡ τοῦ υἱοῦ κοινωνία πρὸς τὸν θεὸν
καὶ πατέρα ἀναπέφανται, τῆς διανοίας ὑμῶν ἀπὸ τοῦ υἱοῦ, δι' οὐδενὸς κοινοῦ πρὸς τὸν
πατέρα χωρούσης, ἀλλ' ἀδιαστάτως τὸν υἱὸν τῷ πατρὶ συναπτούσης, ὁ μηδενὶ μέσῳ διειρ-
γόμενος, τίνα ἔτι παρείσδυσιν καταλείπει τῇ πονηρᾷ βλασφημίᾳ τῶν λεγόντων ἐκ τοῦ
μὴ ὄντος αὐτὸν εἰς τὸ εἶναι παρῆχθαι; ἔπειτα μέντοι καὶ τῆς ἀνοίας αὐτοὺς θαυμάσαι ἄ-
ξιον. οὐ συνιέντας ὅτι ἐκ μὴ ὄντων λέγοντες τὸν υἱὸν, οὐ τοῦ πατρὸς μόνον νεώτερον ἀ-
ποφαίνουσιν, ἀλλὰ καὶ τούτῳ τὸν μονογενῆ ἀπὸ τοῦ πατρὸς διορίζουσιν. ἀνάγκη γὰρ εἴ-
περ τι εἴη μεταξὺ πατρὸς καὶ υἱοῦ, πρεσβύτερον εἶναι τοῦτο τῆς ὑπάρξεως τοῦ υἱοῦ. τί οὖν
ἂν εἴη τοῦτο, τί ἄλλο γε, ἢ αἰὼν πάντως ἢ χρόνος; ὁ γάρ τοι περισσοτέραν τὴν τοῦ πατρὸς
ζωὴν τῆς τοῦ μονογενοῦς ἐπινοῶν, τίνι γε ἄλλο παραμετρῶν, ἀφερμηνεῦσαι ἂν εἴποι τὸ περισ-
σόν. ἢ οὐχὶ αἰώνων ἢ χρόνων τινῶν διαστήματι; εἰ δὲ τοῦτο ἀληθὲς, ψευδὴς ἡ λέγουσα γρα-
φὴ τοὺς αἰῶνας δι' αὐτοῦ γεγενῆσθαι. καὶ ἡ διδάσκουσα ὅτι πάντα δι' αὐτοῦ ἐγένετο. τοῖς
πᾶσι δηλονότι ἐμπεριειλημμένων καὶ τῶν αἰώνων. εἰ δὲ φήσουσι μὴ ἀπαρνεῖσθαι πρὸ τῶν
αἰώνων τὸν υἱὸν γεγενῆσθαι, μὴ λανθανέτωσαν ὃ τῷ λόγῳ συγχωροῦσι κατὰ ἀλήθειαν
ἀφαιρούμενοι. ἐρωτήσωμεν γὰρ αὐτοὺς τοὺς ἐκ μὴ ὄντων παράγοντας τοῦ μονογενοῦς τὴν
οὐσίαν. ὅτε οὐκ ἦν ὥς φασι, τί ἦν ἐκεῖνο τὸ διάστημα. τίνα αὐτῷ προσηγορίαν ἐπινοήσε-
τε. ἡ μὲν γὰρ κοινὴ συνήθεια, ἢ χρόνοις ἢ αἰῶσιν ἅπαν διάστημα ὑποβάλλει. ἐπειδὴ ὅπερ
ἐν τοῖς αἰσθητοῖς ὁ χρόνος, τοῦτο ἐν τοῖς ὑπερκοσμίοις ἡ τοῦ αἰῶνος φύσις ἐστίν. οὗτοι δὲ,
ἔτι τρίτον ἐκ τῆς ἑαυτῶν σοφίας ἐπινοοῦσι, λεγέτωσαν. ἕως δ' ἂν σιωπῶσι, μὴ λαν-
θανέτωσαν δευτέραν αἰώνων τὴν τοῦ μονογενοῦς οὐσίαν τιθέμενοι. εἴπερ γὰρ ἦν τι διά-
στημα πρεσβύτερον τοῦ υἱοῦ. συμπαρεκτεινόμενον τῇ ζωῇ τοῦ πατρὸς, οὗ τι τοῦτο ἦν δηλονότι.
ἀλλ' οὔτ' ἔστιν, οὔτε μὴ γένηται οὐ ἔννοια πρεσβυτέρα τῆς τοῦ μονογενοῦς ὑποστάσεως. παν-
τὸς γὰρ τοῦ δυναμένου εἰς ἀρχαιότητος λόγον ἐπινοεῖσθαι, ἀνωτέρα ἡ ὕπαρξις τοῦ θεοῦ λό-
γου τοῦ ἐν ἀρχῇ ὄντος πρὸς τὸν θεὸν, εὑρεθήσεται, κἂν μυρίαις φαντασίαις ἑαυτὸν ἐξαπα-
τήσας ὁ νοῦς. καὶ τοῖς τῶν ἀνυπάρκτων ἀναπλασμοῖς ἐπιβάλλων τὰ μὴ ὄντα περινοῇ,
οὐδεμίαν τῶν πασῶν μηχανὴν ἐξευρήσει, δι' ἧς δυνήσεται τῆς ἀρχῆς τοῦ μονογενοῦς ἑαυ-
τὸν ὑπερβαίνειν. καὶ κατωτέραν τοῦ ἰδίου κινήματος τὴν ζωὴν καταλιπεῖν τῆς αὐτοῦ ζωῆς.
καὶ τῷ ἰδίῳ λόγῳ τοῦ θεοῦ λόγου τὴν ἀρχὴν ὑπερβῆναι. καὶ αἰῶνας ἀποπλάσαι ἐρή-
μους τοῦ θεοῦ τῶν αἰώνων. ἀφαιρούμενος δὲ τὴν ὀφειλομένην τῷ μονογενεῖ δόξαν, σκοπεῖτε
εὐνόμιος " ποίοις αὐτὸν ἀποσεμνύνει λόγοις. ἐστὶ δέ φησιν ἡ οὐσία τοῦ υἱοῦ γεννηθεῖσα πρὸ πάν-
βασίλειος " των γνώμῃ τοῦ θεοῦ καὶ πατρός. τοῦτο μέγα προστίθησι τῷ υἱῷ. τὸ, πρεσβύτερον εἶναι
τῆς κτίσεως,

γέννημα. ὁ μέντοι οὐχ ὑποστάσεώς τινος ἔννοιαν ἐμποιεῖ, ἀλλὰ μόνην τὴν πρὸς ἕτερον σχέσιν ἀποσημαίνει, τοῦτο οὐσίαν εἶναι νομοθετεῖν, πῶς οὐ τῆς ἀνωτάτω παραπληξίας ἐστί; καίτοι μικρὸν ἔμπροσθεν ἀπεδείκνυτο παρ' ἡμῶν ὅτι καὶ τὰ ἀπολελυμένα τῶν ὀνομάτων, κἂν τὰ μάλιστα δοκῇ ὑποκείμενόν τι δηλοῦν, οὐκ αὐτὴν παρίστησι τὴν οὐσίαν. ἰδιώματα δέ τινα περὶ αὐτὴν ἀφορίζει. ἀλλ' ὁ σοφώτατος, καὶ ταῖς ματαιοτεχνίαις ἅπαντα τὸν βίον ἐσχολακὼς, οὐκ ἐρυθριᾷ αὐτὴν τὴν οὐσίαν τοῦ μονογενοῦς σημαίνειν λέγων γέννημα. τοῦτο δὲ ὅσην τὴν ἀτοπίαν ἔχει, σκοπεῖτε. εἰ γὰρ ἡ οὐσία γέννημα, καὶ ἀνάπαλιν. εἴ τι γέννημα τοῦτο οὐσία, ὁμοούσια τὰ γεννήματα πάντα ἀλλήλοις ἔσται. ἐκ δὴ τούτου, τί συμβήσεται κατὰ τὸν τούτου λόγον ὁ δημιουργὸς τῶν ὅλων. πᾶσι τοῖς γενέσεως μετειληφόσι, τὴν αὐτὴν ἔχων οὐσίαν ἀναφανήσεται. οὐ γὰρ δὴ τὴν μὲν τοῦ υἱοῦ οὐσίαν φύσει σημαίνειν τὸ γέννημα, τὴν δὲ τῶν λοιπῶν τῶν μετεχόντων γενέσεως, οὐκέτι τὴν αὐτὴν ἔννοιαν ἀποσώζειν. ἐπεὶ λεγέτω τινὰ αἰτίαν σαφῆ καὶ ἀναντίρρητον τοῦ τὴν αὐτὴν προσηγορίαν, μὴ τὴν πάντων ὁμοίως τὸ ἴσον δύνασθαι. ἀλλ' οὐκ ἂν ἔχοι. ὃν γὰρ ἂν ἐπινοήσῃ, γεννήματος λόγον, οὗτος πᾶσιν ὁμοίως τοῖς γεννητοῖς ἐφαρμόσει. μάρτυρον δὲ τεκμήριον τῆς ἀληθείας τοῦ λόγου, ἡ αὐτοῦ ἑκάστου τῶν ἀκουόντων διάνοια. ἐρωτάτω γὰρ ἕκαστος ἑαυτόν. ἐπὰν ἀκούσῃ ὅδε ἐκ τοῦδε ἐκείνου γέννημα, τίνα ἔννοιαν ἐντυποῦται. ἆρα ὅτι ὁ γεννηθεὶς οὐσία τοῦ γεγεννηκότος ἐστίν; ἢ τοῦτο μὲν καταγέλαστον, ἐκεῖνο δὲ ἀληθὲς ὅτι παρ' αὐτοῦ γεννητῶς εἰς τὸ εἶναι παρήχθη. τοῦτο τοίνυν ὁμοίως ἐπὶ τοῦ μονογενοῦς καὶ ἐφ' οὑτινοσοῦν τῶν γεννηθέντων ἁρμόσει λέγεσθαι. καὶ μηδεὶς ἐπειδὴ κοινὸν τὸ τῆς σχέσεως, καθαίρεσιν εἶναι τῆς ἀξίας τοῦ μονογενοῦς νομιζέτω. οὐ γὰρ ἐν τῷ πρός τι πῶς ἔχειν ἡ διαφορὰ τῷ υἱῷ πρὸς τὰ ἄλλα, ἀλλ' ἐν τῇ ἰδιότητι τῆς οὐσίας ἡ ὑπεροχὴ, τοῦ θεοῦ πρὸς τὰ θνητὰ διαφαίνεται. σκοπεῖτε μέντοι ποῦ τῆς ἀτοπίας ὁ τούτων λόγος ἐκφέρει. εἰ τὸ γέννημα ἑτέρου λέγεται γέννημα, ὡς ἥ τε κοινὴ συνήθεια βεβαιοῖ, καὶ οὐδεὶς ἂν ἀντερεῖ. ταυτὸ δὲ τοῦτο καὶ τὴν τοῦ υἱοῦ οὐσίαν σημαίνει κατὰ τὸν τούτων λόγον, ἐκείνου ἔσται οὐσία, οὗ καὶ γέννημα λέγεται. ἔσται τοίνυν ἐκ τῆς ἀκολουθίας ταύτης, οὐκέτι τοῦ μονογενοῦς τὴν οὐσίαν ἡ τοῦ γεννήματος προσηγορία σημαίνουσα, ὅπερ οὗτοι βιάζονται, ἀλλὰ τοῦ θεοῦ τῶν ὅλων. εἰ γὰρ οὐχ οἷόν τε ἕτερον μέν τι τὴν οὐσίαν νοεῖν, ἕτερον δέ τι παρ' αὐτὴν τὸ γέννημα, ἴσον δύναται, οὐσίαν τε εἰπεῖν, καὶ γέννημα. εἰ τοῦ θεοῦ δέ ἐστι γέννημα ὁ υἱὸς, τοῦ θεοῦ ἔσται οὐσία. ἐπείπερ τὸ γέννημα τὴν οὐσίαν δηλοῖ καὶ οὕτω τὸ γέννημα, οὐσία τοῦ γεννητοῦ, κατὰ τὸν τούτου λόγον ἀναφανήσεται. εἰ δὲ γελοῖον τὸ συναγόμενον, ὁ θεὶς τὰ λήμματα τῆς αἰσχύνης κληρονομείτω. ἔοικε γάρ πως ὁ λόγος, ἐπειδὰν ἅπαξ τῆς ἀληθείας παρενεχθῇ, εἰς πολλὰς καὶ ἐπικινδύνους ἀτοπίας ὑπὸ τῆς κατὰ τὴν πλάνην ἀκολουθίας ἐκφέρεσθαι. ταῦτα μὲν οὖν ὥσπερ προαγῶνές τινες καὶ κατασκευαὶ τῆς βλασφημίας εἰσί. τὸ δὲ κεφάλαιον τοῦ κακοῦ, ἐν τοῖς ἑξῆς ἐπιφέρει λέγων. τὴν οὐσίαν τοῦ υἱοῦ γεγενῆσθαι μὲν οὐκ οὖσαν πρὸ τῆς ἰδίας συστάσεως, εἶναι δὲ γεννηθεῖσαν πρὸ πάντων γνώμῃ τοῦ πατρός.

Εὐνόμιος

Βασίλειος

ἔτι τῶν αὐτῶν ἔχεται τεχνασμάτων. περὶ τῆς οὐσίας ἡμῖν τοῦ υἱοῦ διαλέγεται, ὡς δή τι ἕτερον λέγων παρ' αὐτὸν τὸν υἱόν. καὶ τούτῳ τῷ τρόπῳ, προσημεροῖ τῇ βλασφημίᾳ τὴν ἀκοήν. οὐκ ἐκ τοῦ προφανοῦς λέγων ἐκ μὴ ὄντων γεγενῆσθαι τὸν υἱόν, ἀλλὰ τὴν οὐσίαν αὐτοῦ γεγενῆσθαι οὐκ οὖσαν. πρὸ τίνος οὐκ οὖσαν εἰπέ. θεωρεῖτε αὐτοῦ τὸ σόφισμα; αὐτὴν ἑαυτῇ συγκρίνει, ἵνα πᾶσι δὴ ἀνεκτὰ δόξῃ λέγειν. οὐχὶ πρὸ τῶν αἰώνων λέγων αὐτὴν μὴ εἶναι, οὐδὲ ἁπλῶς μὴ εἶναι, ἀλλὰ πρὸ τῆς ἰδίας συστάσεως. τὴν δὲ τοῦ πατρὸς οὐσίαν εἰπέ μοι, πρεσβυτέραν εἶναι σὺ φὴς τῆς ἰδίας συστάσεως; εἰ μὲν γὰρ οὐχ ὑποβάλλει χρόνοις τοῦ υἱοῦ τὴν οὐσίαν, οὐδὲ τὸ πρότερον κατὰ τοῦτον τὸν λόγον ἐπινοεῖ. μάταιος μὲν αὐτῷ καὶ ἀργὸς ὁ λόγος, διόπερ, οὐδὲ ἀποκρίσεως ἄξιος. οὐχ ἧττον μέντοι καὶ τὴν τοῦ θεοῦ τῶν ὅλων ὑποτάξει, τοῖς βουλομένοις μετακομίζειν τὴν ματαιότητα. τότε γὰρ οὐκ εἶναι λέγειν τὸν θεὸν πρὸ τῆς ἰδίας συστάσεως καὶ τὸ εἶναι λέγειν πρὸ ἑαυτοῦ, τῆς αὐτῆς ἔσται ἀφροσύνης. εἰ δὲ χρονικῶς τὴν τῆς οὐσίας τοῦ υἱοῦ τὸ πρότερον δέχεται. καὶ ἐκ μὴ ὄντων φήσει τὴν οὐσίαν αὐτοῦ γεγενῆσθαι, μᾶλλον δὲ αὐτὸν τὸν υἱόν. καὶ οὐδὲν γὰρ διαφέρει πρός γε αὐτὴν τὴν διάνοιαν, οὕτως ἢ οὑτωσὶ λέγειν. πρότερον μὲν χρόνους

τὴν δοξολογίαν ἀποπληροῦν. εἰ γὰρ οἱ ἐξ ἀρχῆς τὴν ἑβραΐδα διάλεκτον εἰς τὴν ἑλλάδα
γλῶσσαν μεταβαλόντες, τινῶν ὀνομάτων τὴν ἑρμηνείαν οὐ κατετόλμησαν. ἀλλ' αὐ-
τὴν τὴν ἑβραϊκὴν ἐκφώνησιν μετεκόμισαν. ὡς τὸ σαβαὼθ, καὶ τὸ ἀδωναῒ, καὶ τὸ ἐλωῒ,
καὶ ἔτι τοιοῦτον οὐκ ἐπὶ τῶν θείων ὀνομάτων μόνον, ἀλλὰ καὶ ἐπὶ ἄλλων πλειόνων τὴν
εὐλάβειαν ταύτην ἐπιδεικνύμενοι, πόσον τινὰ προσῆκεν ἡμᾶς ὑπὲρ τῶν τοῦ κυρίου ὀνομά-
των τὸν φόβον ἔχειν. καί τοι πότε ἂν ἐκεῖνοι παρ' ἑαυτῶν τινὰ πλάσαι τῶν ὀνομάτων
ἠνέσχοντο, οἵγε μηδὲ τῆς ἑρμηνείας τινῶν κατατεθαρρήκασιν. ὡς ἂν μὴ τὸ ἐναργὲς τῆς
εὐνόμιος » ἐμφάσεως τῇ ἀκαταλλήλῳ τῶν σημαινομένων ἐκλύσειαν. ἀλλ' εἰ ἐγέννησε φησὶν
βασίλειος » ὁ θεὸς, πῶς οὐ χρὴ τὸν γεννηθέντα προσαγορεύειν γέννημα. ὅτι φοβερὸν ἡμῖν ἡμετέ-
ροις αὐτὸν ὀνόμασι προσφωνεῖν, ᾧ ἐχαρίσατο ὁ θεὸς ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. υἱός μου
εἶ σύ φησιν, ἐγὼ σήμερον γεγέννηκά σε. καί τοι ἀκόλουθον ἦν κατὰ τὸν τούτου λόγον,
διὰ τὸ γεγεννῆσθαι, γέννημα προσαγορευθῆναι καὶ οὐχ υἱόν. ἀλλ' οὐκ εἴρηται. διόπερ χρὴ
τὸν πρὸ ὀφθαλμῶν ἔχοντα τὸ τοῦ χριστοῦ δικαστήριον, καὶ εἰδότα ὅσος ὁ κίνδυνος, ἀφελεῖν τι
ἢ προσθεῖναι τοῖς παραδεδομένοις ὑπὸ τοῦ πνεύματος, μὴ παρ' ἑαυτοῦ φιλοτιμεῖσθαι
καινοτομεῖν, ἀλλὰ τοῖς προκατηγγελμένοις παρὰ τῶν ἁγίων ἐφησυχάζειν. ὃ τοίνυν
οὔτε ἡ κοινὴ συνήθεια, οὔτε ἡ τῶν γραφῶν χρῆσις παραδέδεκται τούτου κατατολμᾶν,
πῶς οὐχὶ τῆς ἐσχάτης ἀπονοίας ἐστί. τίς γὰρ πατὴρ, ἢ μήτηρ ἀμαθῶς καὶ ἡμέρως πρὸς τὸν
ἐξ αὐτοῦ διακείμενος, ἀφεὶς τὸ προσαγορεύειν υἱὸν ἢ τέκνον, γέννημα ἂν προσείποι; τέ-
κνον γάρ φησιν ὕπαγε εἰς τὸν ἀμπελῶνα. καὶ ὁ θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς σφαγὴν
τέκνον. καὶ πάλιν ὁ ἰσαάκ. τίς εἶ τέκνον. καὶ υἱέ μου μὴ ὀλιγώρει παιδείας κυρίου. καὶ υἱὸς
σοφὸς εὐφραίνει πατέρα. καὶ ἔτι τοιοῦτον. οὐδαμοῦ δὲ γέννημα τὸν ἐξ αὐτοῦ ἕκαστος προ-
σειπὼν ἐπιδείκνυται. καὶ ἡ αἰτία σαφής. ὅτι ὁ μὲν υἱὸς καὶ τὸ τέκνον, ἐμψύχων εἰσὶν
ὀνόματα, τὸ γέννημα δὲ, οὐ πάντως. γέννημα μὲν γὰρ δύναται λέγεσθαι, καὶ τὸ πρὸ τοῦ
διατυπωθῆναι ἐν ταῖς ἀμβλώσεσιν ἐκβαλλόμενον. οὐ μὴν καὶ τῆς τοῦ τέκνου προσηγο-
ρίας ἄξιον τὸ τοιοῦτον. καὶ γεννήματα μὲν οἱ καρποὶ τῆς γῆς. τέκνα δὲ ταῦτα οὐκέτι.
οὐ γὰρ μὴ πίω φησὶν ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης. σπανίως δὲ ἐπὶ ἐμψύχου
τὴν προσηγορίαν ταύτην μεταληφθεῖσαν εὕρομεν. καὶ ὅπου γε εἴρηται, ἐπὶ ζώου κα-
τηγορουμένου, καὶ εἰς εἰκόνα πονηρίας παραληφθέντος ἐστὶν ἰδεῖν. ὄφεις γὰρ φησὶ γεννήμα-
τα ἐχιδνῶν. διὰ τοῦτο οἶμαι, ἥτε κοινὴ συνήθεια, τὴν προσηγορίαν ταύτην ἠτίμασε.
καὶ ἡ θεία γραφὴ παραιτουμένη φαίνεται. καὶ μάλιστα ἐπὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ.
ἀλλὰ καὶ τὴν τοῦ τέκνου προσηγορίαν, ὡς πολὺ τὸ ἀνθρώπινον ἔχουσαν, οὐ προσήκατο.
δηλοῖ δὲ ὁ ἀπόστολος, υἱὸν μὲν αὐτὸν καὶ κατὰ τὸν νοῦν ἀποκαλῶν. καὶ ἄλλαις ποικίλαις
προσηγορίαις αὐτὸν ἀνυμνῶν. πρωτότοκον, καὶ εἰκόνα καὶ ἀπαύγασμα. τὴν δὲ τοῦ γεννήμα-
τος προσηγορίαν, ἀποφυγών. εἰ δὲ φησὶν οὗτος, δειξάτω ἢ ἄλλος τις τῶν προϊσταμένων
τοῦ λόγου, καὶ πάντα αὐτοῖς δώσομεν ἀπαλεῖψαι. ἀλλ' οὐκ ἂν ἔχοι. εἰ μὴ ἄρα μιμού-
μενος τὸν ἀσεβῆ μαρκίωνα, τὰ μὲν ἐξαιρεῖ τῶν θείων λογίων. τὰ δὲ, παραγγράφοι. οὕ-
τω μὲν οὖν ἀλλοτρία τῆς τε κοινῆς συνηθείας, καὶ τῆς τῶν γραφῶν χρήσεως, ἡ φωνὴ τοῦ
γεννήματος ἀπελήλεγκται. ἴδωμεν δὲ λοιπὸν εἰ δυνατὸν τὸ ὄνομα τοῦτο, κατ' αὐτῆς τετά-
εὐνόμιος » χθαι τῆς ὑποστάσεως τοῦ υἱοῦ. φησὶ γὰρ αὐτὸς, ἀδύνατον εἶναι ἕτερον μέν τι τὴν οὐσίαν
νοεῖν. ἕτερον δέ τι παρ' αὐτὴν τὸ σημαινόμενον. ἀλλ' αὐτὴν εἶναι τὴν ὑπόστασιν ἣν ση-
βασίλειος » μαίνει τοὔνομα. ἐπαληθευούσης τῇ οὐσίᾳ τῆς προσηγορίας. ἆρ' ἐξίας γε ὡς ἀληθῶς τῶν
δικαστῶν οὓς ἀνέπλασας, ταυτί σου τὰ δόγματα. ὡς γὰρ ἐν ὀνείρων λόγοις, ἢ ἐκκλησίᾳ
μεθυόντων, καὶ οὐδενὸς οὔτε ἀκούοντος οὔτε συνιέντος τῶν λεγομένων, ἐπὶ πολλῆς τῆς
ἀδείας νομοθετεῖς, ἀντὶ πάσης ἀποδείξεως ἐξαρκεῖν ἡγούμενος, τὸ αὐτὸς εἰρηκέναι.
ἐπεὶ τίς οὐκ οἶδεν ὅτι τῶν ὀνομάτων, τὰ μὲν ἀπολελυμένως καὶ καθ' ἑαυτὰ προφερόμενα,
τῶν ὑποκειμένων αὐτοῖς πραγμάτων ἐστὶ σημαντικά. τὰ δὲ, πρὸς ἕτερα λεγόμενα, τὴν
σχέσιν μόνην ἐμφαίνει τὴν πρὸς ἃ λέγεται. οἷον ἄνθρωπος μὲν καὶ ἵππος καὶ βοῦς αὐτὸ ἕκαστον
τῶν ὀνομαζομένων παρίστησιν. υἱὸς δὲ, ἢ δοῦλος, ἢ φίλος, μόνης τῆς πρὸς τὸ συνεζευγμέ-
νον ὄνομα συναφείας ἐστὶ δηλωτικά. ὁ τοίνυν ἀκούσας γεννήματος, οὐκ ἐπί τινα οὐσίαν τῇ
διανοίᾳ φέρεται. ἀλλ' ὅτι ἑτέρῳ ἐστὶ συναπτόμενον, ἐννοεῖ. τὸ γὰρ γέννημα, τινὸς λέγεται

καὶ τοὺς ὁμωνυμίαις προσπταίοντας, ἀναγκαῖον αὐτῷ καὶ τὸ ὑπὲρ τούτων εἶναι διὰ βραχέων εἰπεῖν. Καί τοι τί ἐκώλυε τοῖς ἐκ τῶν γραφῶν μαρτυρίοις τὸν λόγον ἑαυτοῦ πιστωσάμενον, οὕτως ἐπὶ τὴν διόρθωσιν τῶν ἀσθενεστέρων ἐλθεῖν. καὶ τὴν ἐκ τῆς ὁμωνυμίας βλάβην παραμυθήσασθαι, εἴ τις ἄρα γέγονέ ποτε τισὶν ἢ γενήσεται. τίς γὰρ οὕτω παντελῶς στέρησιν ἔχων τὴν διάνοιαν. καὶ θείων λόγων ἄπειρος, ὥστε ἀκούων θείας γεννήσεως, πρὸς τὰς σωματικὰς καταφέρεσθαι φαντασίας. ἐν αἷς συμπλοκὴ μὲν ἄῤῥενος πρὸς τὸ θῆλυ, κύησις δὲ ἐν μήτρᾳ καὶ διάπλασις καὶ μόρφωσις. καὶ τοῖς καθήκουσι χρόνοις πρόοδος εἰς τὰ ἔξω. τίς οὕτω κτηνώδης, ὥστε ἀκούων θεὸν λόγον ἐκ θεοῦ προελθόντα, ἀκούων δὲ σοφίαν ἐκ θεοῦ γεννηθεῖσαν, πρὸς τὰ σώματος πάθη τοῖς λογισμοῖς καταπίπτειν. ἀλλὰ καὶ τοῦτο μετὰ τῶν ἄλλων, σχῆμα ἐστὶ πρόσωπον αὐτῷ τῶν λόγων ἐπινενόηται. ὡς τῆς περὶ τοὺς ἀσυνέτους τῶν ἀδελφῶν ἐστὶ σπλαγχνίας οὕνεκεν τὸν κόπον τῆς διδασκαλίας δεῆσαν καταδέχεσθαι. καὶ τὰς μὲν σωματικὰς ὑπονοίας τὰς ἐπὶ τῇ προσηγορίᾳ ταύτῃ ἐγγινομένας, ἐπανορθοῦται δῆθεν. τὰς δὲ ἐκ τοῦ, ποίημα τὸν κύριον ὀνομάζεσθαι βλάβας, οὐ παραιτεῖται. καίτοιγε ὁ σωματικὴν εἶναι τὴν γέννησιν φανταζόμενος, οὗτος ἂν καὶ ἐπὶ τοὺς ὑλικοὺς τῆς ποιήσεως τρόπους ὑπενεχθείη. οὐ γὰρ δήπου μερισμὸν μέν τινα καὶ μετάστασιν καὶ ῥύσιν τῆς τοῦ γεννῶντος οὐσίας, ἐκ τῆς φωνῆς τοῦ γεννᾶν, ὁ ἀσθενὴς ἐν νοήσει, ὕλην δὲ ἔξωθεν ἐκ τοῦ μὴ ὄντος εἰσενεχθεῖσαν εἰς τὴν ὡς ὑμεῖς φατὲ τοῦ ποιήματος ὑπόστασιν, ὑπολαμβάνειν, οὐκ ἀναχεθήσεται. τίνος οὖν οὕνεκεν τὰ ἀῤῥωστήματα τῶν λογισμῶν τῶν ἀδελφῶν διὰ ἡμισείας ἰᾶται. καὶ τὴν σωματικὴν γέννησιν ὑπολαμβανόντων ἐπιμελούμενος, τοὺς τῇ προσηγορίᾳ τοῦ ποιήματος περιπταίοντας παρορᾷ. ὅτι τὸ μὲν γεγεννῆσθαι, πολέμιον οἶδε τοῖς δόγμασιν ἑαυτοῦ, τοῦ γεννηθέντος, οἰκείως ἔχειν ὀφείλοντος πάντως καὶ ἀπαραλλάκτως πρὸς τὸν γεννήσαντα. τὸ δὲ πεποιῆσθαι φίλον καὶ σύμμαχον τοῖς ἑαυτοῦ ὑποθέσεσι. διὰ τὸ ἀλλοτρίου καὶ ξένου. καὶ πάντη ἀνοικείου πρὸς τὸν ποιήσαντα τὴν ἔννοιαν παριστᾶν. εἶτα τούτοις ἐπισυνάπτει λέγων. Γέννημα τοίνυν τὸν υἱὸν φαμὲν, κατὰ τὴν τῶν γραφῶν διδασκαλίαν. οὐχ ἕτερον μέν τι τὴν οὐσίαν νοοῦντες. ἕτερον δέ τι παρ᾽ αὐτὴν τὸ σημαινόμενον. ἀλλ᾽ αὐτὴν εἶναι τὴν ὑπόστασιν ἣν σημαίνει τοὔνομα. ἐπαληθευούσης τῇ οὐσίᾳ τῆς προσηγορίας. Καὶ ἐν τούτοις τοίνυν, τῇ μὲν ἀληθείᾳ, φανερῶς διαμάχεται. ἑαυτῷ δὲ ὅμως ἀκόλουθα λέγει. ὡς γὰρ ἐν τοῖς ἄνω λόγοις τὸ ἀγέννητον ἐπὶ τοῦ θεοῦ τῶν ὅλων, τῆς οὐσίας αὐτοῦ διωρίζετο εἶναι σημαντικὸν, οὕτω καὶ ἐνταῦθα. τὸ γέννημα τὴν οὐσίαν τοῦ υἱοῦ σημαίνειν λέγει. ἵν᾽ ἐν τῇ τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἀντιθέσει, ἐναντίως ἔχοντα τῷ πατρὶ τὸν μονογενῆ, κατὰ τὴν οὐσίαν αὐτὴν, ἐπιδείξῃ. διὸ ταῦτα νομοθετεῖ ῥήματα ἔξω τῆς χρήσεως ὄντα τοῦ θείου πνεύματος, γέννημα τὸν υἱὸν ὀνομάζων. πόθεν λαβὼν, ἐκ ποίας διδασκαλίας. τίνος προφήτου, τίνος τῶν ἀποστόλων, ταύτην αὐτῷ τὴν προσωνυμίαν ἐπιφημίσαντος. ἐγὼ μὲν γὰρ οὐδαμοῦ τῆς γραφῆς κειμένην οὕτω τὴν φωνὴν ταύτην εὗρον, καί τοι οὐδαμόθεν οὗτος, ἢ ἐκ τῆς τοῦ πνεύματος διδασκαλίας εἰληφέναι τὰς προσηγορίας ταύτας ἀλαζονεύεται. μικρὸν γὰρ αὐτῷ τοῖς ἐνταῦθα εἰς ἀγῶνα παρέχειν. εἰ μὴ καὶ αὐτοῦ τοῦ πνεύματος καταπολμήσειε. γεγεννηκέναι μὲν γὰρ τὸν πατέρα, πολλαχοῦ δεδιδάγμεθα. γέννημα δὲ εἶναι τὸν υἱὸν οὐδέπω καὶ τήμερον ἀκηκόαμεν. παιδίον γάρ φησιν ἐγεννήθη ἡμῖν, υἱὸς, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, οὐχὶ γέννημα. ἀλλὰ μεγάλης βουλῆς ἄγγελος. καίτοι εἴπερ τὸ γέννημα οὐσίας ὑπῆρχε σημαντικὸν, οὐκ ἂν ἕτερον ὄνομα παρὰ τοῦ πνεύματος ἐδιδάχθημεν. ἢ ὅπερ ἐμφανῶς τὴν οὐσίαν αὐτοῦ παριστᾶν ἔμελλε. καὶ πάλιν ὁ πέτρος, ὁ διὰ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, τῶν μακαρισμῶν ἐκείνων ἀξιωθεὶς, οὐκ εἶπε σὺ εἶ τὸ γέννημα. ἀλλὰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ὁ παῦλος πᾶσαν ἑαυτοῦ τὴν γραφὴν, τῆς τοῦ υἱοῦ προσηγορίας καταπληρώσας, οὐδαμοῦ φανήσεται γεννήματος μνημονεύσας, ὅπερ οὗτος ἐκ πολλῆς τῆς πεποιθήσεως, ὡς ἐκ τοῦ θείου λαβὼν διδασκαλίου, προφέρει. οὐ δὲ γὰρ ἐνταῦθα συγχωρητέον αὐτῷ τὴν ἐγγενῆ φωνὴν ἐπὶ τοῦ πατρὸς κειμένην μετασχηματίζοντι καὶ μεταπλάσσοντι, γέννημα προσαγορεύειν τὸν υἱὸν τοῦ θεοῦ. οὐ γὰρ ὅπερ ἂν, ἐκ τῆς τῶν ῥημάτων ἀκολουθίας ἀποφαίνηται ἐστὶ κόλλως ἐπιτηδεῦσαι τούτῳ, τόν γε τῷ θείῳ φόβῳ πεπαιδευμένον προσήκει. ἀλλ᾽ ἀγαπᾶν τοῖς ἐν τῇ γραφῇ κειμένοις ὀνόμασιν ἐπιμένοντα διὰ τούτων θεοπρεπῶς

βασίλειος

εὐνόμιος

βασίλειος

περιπίπτοντι τῆς ἀποστολικῆς λέξεως τῷ βουλήματι· ὅτι οὐχὶ θεολογίας ἡμῖν παραδίδωσι τρόπον, ἀλλὰ τοὺς τῆς οἰκονομίας λόγους παραδηλοῖ. κύριον γάρ φησι καὶ χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησε τοῦτον τὸν ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε· τῇ δεικτικῇ φωνῇ, μονονουχὶ πρὸς τὸ ἀνθρώπινον αὐτοῦ καὶ ὁρώμενον πᾶσι προδήλως ἐπερειδόμενος. ὁ δὲ, τὴν ἐποίησε φωνὴν, εἰς τὴν ἀρχῆθεν γέννησιν τοῦ μονογενοῦς μεταφέρει. καὶ οὐδὲ ἐκεῖνο αὐτὸν δυσωπεῖ, ὅτι τὸ κύριος, οὐκ οὐσίας ἐστὶν ἀλλ' ἐξουσίας ὄνομα. ὥστε ὁ εἰπὼν κύριον αὐτὸν καὶ χριστὸν ὁ θεὸς ἐποίησε, τὴν κατὰ πάντων ἀρχὴν καὶ δεσποτείαν λέγει τὴν παρὰ τοῦ πατρὸς ἐπιτραπεῖσαν αὐτῷ· οὐ τὴν εἰς τὸ εἶναι πάροδον αὐτοῦ διηγεῖται. ταῦτα μὲν οὖν μικρὸν ὕστερον ἐπιδείξομεν, ὅταν ἐλέγχωμεν αὐτὸν, παρὰ τὸ βούλημα τοῦ πνεύματος τὰς ἐκ τῆς γραφῆς μαρτυρίας παρατιθέμενον. νυνὶ δὲ ἐπὶ τὰ συνεχῆ τοῦ λόγου προΐωμεν. τί οὖν αὐτῷ βούλεται τὸ ὄνομα τοῦτο· καὶ τί δήποτε ποίημα προσαγορεύειν τὸν ποιητὴν τῶν ὅλων ἐπιχειρεῖ· σοφίσματι κιβδήλῳ παρακρουσάμενος ἑαυτὸν, οἴεται ταῖς τῶν ὀνομάτων διαφοραῖς, καὶ τὴν τῆς οὐσίας παραλλαγὴν συνεκφαίνεσθαι. καίτοι τίς ἂν τῷ λόγῳ τούτῳ σωφρονῶν προσθοῖτο· ὅτι ὧν τὰ ὀνόματά ἐστι διάφορα, τούτων παρηλλάχθαι καὶ τὰς οὐσίας ἀνάγκη. πέτρου γὰρ καὶ παύλου· καὶ ἁπαξαπλῶς ἀνθρώπων πάντων προσηγορίαι μὲν διάφοροι· οὐσία δὲ πάντων μία. διόπερ ἐν τοῖς πλείστοις, οἱ αὐτοὶ ἀλλήλοις ἐσμέν· τοῖς δὲ ἰδιώμασι μόνον τοῖς περὶ ἕκαστον θεωρουμένοις, ἕτερος ἑτέρου διενηνόχαμεν. ὅθεν καὶ αἱ προσηγορίαι, οὐχὶ τῶν οὐσιῶν εἰσι σημαντικαὶ, ἀλλὰ τῶν ἰδιοτήτων αἳ τὸν καθ' ἕνα χαρακτηρίζουσιν. ὅταν γοῦν ἀκούσωμεν πέτρον, οὐ τὴν οὐσίαν αὐτοῦ νοοῦμεν ἐκ τοῦ ὀνόματος· οὐσίαν δὲ λέγω νῦν, τὸ ὑλικὸν ὑποκείμενον· ὅπερ οὐδαμῶς σημαίνει τοὔνομα· ἀλλὰ τῶν ἰδιωμάτων ἃ περὶ αὐτὸν θεωρεῖται, τὴν ἔννοιαν ἐντυπούμεθα. εὐθὺς γὰρ ἐκ τῆς φωνῆς ταύτης νοοῦμεν πέτρον, τὸν τοῦ ἰωνᾶ· τὸν ἐκ βηθσαϊδᾶ· τὸν ἀδελφὸν ἀνδρέου, τὸν ἀπὸ ἁλιέων εἰς τὴν διακονίαν τῆς ἀποστολῆς προσκληθέντα· τὸν διὰ πίστεως ὑπεροχὴν, ἐφ' ἑαυτὸν τὴν οἰκοδομὴν τῆς ἐκκλησίας δεξάμενον· ὧν οὐδέν ἐστιν οὐσία, ὡς ἡ ὑπόστασις νοουμένη. ὥστε τὸ ὄνομα, τὸν χαρακτῆρα μὲν ἡμῖν ἀφορίζει τοῦ πέτρου· αὐτὴν δὲ οὐδαμοῦ παρίστησι τὴν οὐσίαν. πάλιν ἀκούσαντες παῦλον, ἑτέρων ἰδιωμάτων συνδρομὴν ἐνοήσαμεν· τὸν ταρσέα, τὸν ἑβραῖον, τὸν κατὰ νόμον φαρισαῖον, τὸν μαθητὴν γαμαλιὴλ, τὸν κατὰ ζῆλον διώκτην τῶν ἐκκλησιῶν τοῦ θεοῦ· τὸν ἐκ τῆς φοβερᾶς ὀπτασίας, εἰς τὴν ἐπίγνωσιν ἀναχθέντα· τὸν ἀπόστολον τῶν ἐθνῶν. ταῦτα γὰρ πάντα ἐκ μιᾶς φωνῆς τῆς παῦλος περιορίζεται. καίτοιγε εἴπερ ἀληθὲς ἦν· ὅτι ὧν τὰ ὀνόματα διενήνοχεν, ἐναντίως ἔχουσιν αἱ οὐσίαι· ἐχρῆν δήπου καὶ παῦλον καὶ πέτρον καὶ ἁπαξαπλῶς ἀνθρώπους ἅπαντας, ἑτεροουσίους ἀλλήλοις εἶναι. ἐπεὶ δὲ τοῦτο, οὐδεὶς οὕτως ἀμαθὴς καὶ τῆς κοινῆς φύσεως ἀνεπίσκεπτος, ὥστ' ἂν εἰπεῖν προαχθῆναι· ἐκ πηλοῦ γάρ φησι διήρτισαι σὺ, ὡς καὶ ἐγώ· οὐδὲν ἕτερον ἢ τὸ ὁμοούσιον πάντων ἀνθρώπων ἀποσημαίνοντος τοῦ λόγου, ὥστε ψευδὴς ὁ τῇ διαφορᾷ τῶν ὀνομάτων, τὸ τῆς οὐσίας διάφορον ἕπεσθαι σοφιζόμενος. οὐ γὰρ τοῖς ὀνόμασιν ἡ τῶν πραγμάτων φύσις ἀκολουθεῖ, ἀλλ' ὕστερα τῶν πραγμάτων εὕρηται τὰ ὀνόματα. εἰ γὰρ τοῦτο ἦν ἀληθὲς, ἔδει καὶ ὧν αἱ προσηγορίαι εἰσὶν αἱ αὐταὶ, μίαν καὶ τὴν αὐτὴν οὐσίαν εἶναι. οὐκοῦν ἐπειδὴ οἱ κατ' ἀρετὴν τέλειοι, τῆς τοῦ θεοῦ προσηγορίας ἠξίωνται, ὁμοούσιοι ἂν εἶεν τῷ θεῷ τῶν ὅλων οἱ ἄνθρωποι. ἀλλ' ὥσπερ τοῦτο λέγειν μανία σαφὴς, οὕτω κἀκεῖνος ὁ λόγος, τῆς ἴσης ἔχεται παρανοίας. φανερὸν τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι καὶ ἐπὶ πατρὸς καὶ υἱοῦ, οὐχὶ οὐσίαν παρίστησι τὰ ὀνόματα, ἀλλὰ τῶν ἰδιωμάτων ἐστὶ δηλωτικά. ὥστε μηδεμίαν εἶναι χώραν τῷ λόγῳ ἐκ τῆς τῶν ὀνομάτων παραλλαγῆς, τὴν τῶν οὐσιῶν ἐναντίωσιν παρεισάγοντι. οὕτω δ' ἂν πρὸ πάντων ἑαυτὸν καταβάλοι. εἰ γὰρ διαφέρει ποίημά τε καὶ γέννημα, διάφοροι ἔσονται τοῦ μονογενοῦς αἱ οὐσίαι, τῇ διαφορᾷ τῶν ὀνομάτων ἑπόμεναι. εἰ δὲ τοῦτο παραφρονούντων εἰπεῖν, οὐδὲ ἐκεῖνο καθεστηκότων. ὃ δὲ καὶ προσποιεῖται μὴ μυρίας ἔχειν τὰς ἀποδείξεις τοῦ παρὰ τῶν ἁγίων ποίημα τὸν υἱὸν προσειρῆσθαι· ὡς δὲ ἐφ' ἕτερά τινα προηγούμενα σπεύδων, ὑπερτίθεται δεῖν ἐν τῷ παρόντι τὴν μνήμην. ἔστι δὲ καὶ τοῦτο τεχνικὸν τὸ κακούργημα· ἐν οἷς ἀπορεῖ λόγων, τὴν σιωπὴν προτιμᾷ. εἰ γὰρ σκιὰν μαρτυρίας εἶχε τῆς τὸν μονογενῆ λεγούσης ποίημα, οὐκ ἂν ἐκεκώφωτο ἡμῶν ἤδη τὰ ὦτα

εὐνόμιος — περιθρυλλούμενα; εἶτά φησι· διὰ τοὺς σωματικὴν τὴν γέννησιν ὑπολαμβάνοντας τοῦ υἱοῦ

τὸ ἀνόμοιον, πῶς ἀσύγκριτον ὁ τοιοῦτος· εἰ δὲ οὐ δεῖ συγκρίνεσθαι τὴν ἀρχήν, πῶς ἔστι γνῶναι τὸ διάφορον ἠλλοιῶσθαι· οὕτως ἔοικε τὸ κακὸν, οὐ τῷ ἀγαθῷ ἐναντιοῦσθαι μόνον, ἀλλὰ καὶ αὐτὸ ἑαυτῷ.

Τοῦ αὐτοῦ κατὰ Εὐνομίου τοῦ δυσσεβοῦς. λόγος β΄, περὶ υἱοῦ.

Ἡ τοίνυν τοῖς περὶ θεοῦ τῶν ὅλων λόγοις ἀποκατασκευάσας ὅσον ἠδύνατο τὰς εἰς τὸν υἱὸν τοῦ θεοῦ βλασφημίας, αὐτῷ λοιπὸν ἐπαφίησι τῷ μονογενεῖ θεῷ τὴν γλῶσσαν.

Εὐνόμιος

Εἷς γάρ φησι καὶ εἷς υἱὸς μονογενής γάρ. περὶ οὗ ἐκείνων μὲν τὰς τῶν ἁγίων φωνὰς παραθέμενον, δι' ὧν υἱὸν καὶ γέννημα καὶ ποίημα καταγγέλλουσι τοῖς τῶν ὀνομάτων διαφοραῖς καὶ τὴν τῆς οὐσίας παραλλαγὴν ἐμφανίσαντας, ἀπηλλάχθαι φροντίδων καὶ πραγμάτων. διὰ δὲ τοὺς σωματικὴν τὴν γέννησιν ὑπολαμβάνοντας, καὶ ταῖς ὁμωνυμίαις προσπταίοντας, ἀναγκαῖον ἴσως καὶ περὶ τούτων διὰ βραχέων εἰπεῖν.

Βασίλειος

Ταῦτα μὲν ὁ Εὐνόμιος. ἐγὼ δὲ εἰ μὲν οὕτω χρὴ διανοεῖσθαι περὶ τοῦ λόγου παντὸς ὡς πλάσματος, οἷα ἐν τοῖς διδασκαλείοις τῆς ματαιότητος, εἰς μελέτην τῆς ἐν τῷ ψεύσματι πιθανοῦ τοῖς μειρακίοις προβάλλεται. ἐπειδὴ καὶ παραπλησίως ἐκείνοις, πάντα σκιαμαχίᾳ προσέοικε. πρὸς κατηγόρους τε μάχη μὴ ὑφεστῶτας. καὶ ἀπολογία, πρὸς κατηγορίαν οὐ προρρηθεῖσαν. καὶ λόγος πρὸς δικαστὰς τοὺς οὐδαμοῦ φαινομένους, εἰ οὕτω χρὴ καὶ τούτων ἀκούειν, αὐτός τε ἀφίημι τὴν ἐξέτασιν· καὶ παντὶ παραινῶ μηδὲν τῶν εἰρημένων περιεργάζεσθαι. εἰ δὲ μεῖζόν ἐστι τὸ ἐπάγγελμα, καὶ πολλοῖς γέγονεν ὑπόνοια εἶναί τινα παρ' αὐτῷ τῆς ἀληθείας φροντίδα, ἀνάγκη πᾶσα τῶν εἰρημένων ἕκαστον διαλύειν εἰς δύναμιν. τίς ἂν οὖν τρόπος τῆς ἐξετάσεως δικαιότερος γένοιτο, ἢ τοῖς διδάγμασι τοῖς παρὰ τοῦ πνεύματος ἡμῖν δεδομένοις τὸν λόγον συγκρίνοντας, ὃ μὲν ἂν ἐκείνοις συμφωνοῦν εὕρωμεν, καταδέχεσθαι. τῷ δὲ ἐναντίως ἔχοντι, ἀπεχθάνεσθαι καὶ ὡς ἐχθρὸν ἀποφεύγειν. πρῶτον τοίνυν ἐκεῖνο δεικνύτω τίνες τῶν ἁγίων γέννημα καὶ ποίημα τὸν κύριον προσειρήκασι. ποίας ἔχει φωνὰς τῶν γραφῶν εἰς ἀπόδειξιν. εἰ γὰρ τὴν τοῦ μακαρίου Πέτρου φωνὴν τὴν ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ἀναγεγραμμένην ἐπισκοποῖτο. οὕτω φησί, γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ θεός, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. πρῶτον μὲν οὐδὲν οἰκεῖον ἔχει τῷ ζητουμένῳ ἡ μαρτυρία. ἐπαγγειλάμενος γὰρ δείξειν παρὰ τῶν ἁγίων εἰρῆσθαι ποίημα τὸν υἱόν, τὴν μαρτυρίαν παρέχεται περὶ τοῦ θεοῦ καὶ πατρὸς ὅτι ἐποίησεν. οὐ γὰρ ἐκεῖνό γε ἂν εἴποι, ὅτι ἔξεστιν αὐτῷ ἐν τοῖς περὶ τῶν τηλικούτων λόγοις, παραγωγάς τινας καὶ παρασχηματισμοὺς τῶν ὀνομάτων ἐπινοεῖν. εἰ γὰρ καὶ ἀργοῦ λόγου εὐθύνας ὑφέξομεν ἐν ἡμέρᾳ τῆς κρίσεως. ἦπου γε τὸ περὶ τῶν τηλικούτων καινοτομεῖν, ἀνεύθυνον ἡμῖν ἀφεθήσεται; τάχα γὰρ τοῦτο μέν, ὡς πρέπον ἐπὶ θεοῦ καὶ πατρὸς λέγεσθαι παρὰ τοῦ θείου δεδιδάγμεθα λόγου. τοῦτο δὲ οὐχ ἁρμόζειν τῷ μονογενεῖ, δι' ὧν ἀπεσιώπησε τὸ πνεῦμα τὸ ἅγιον ἐνεδείξατο. πῶς οὖν ἀσφαλὲς τὴν ἐποίησε φωνὴν μεταρρυθμίζοντα, ποίημα λέγειν τὸν ποιητὴν τῶν ὅλων. εἰ γὰρ ἔπρεπεν αὐτῷ προσηγορία τοιαύτη, οὐκ ἂν ἐσιωπήθη παρὰ τοῦ πνεύματος. ἀλλ' ἐπὶ μὲν τῆς κτίσεως, εὕρομεν ἀπὸ τοῦ ἐποίησε, τὴν τοῦ ποιήματος προσηγορίαν μεταληφθεῖσαν. ἐπὶ δὲ τοῦ υἱοῦ τοῦ θεοῦ, οὐκέτι. ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ πάλιν. ἐν τοῖς ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. καὶ πάλιν. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. οὕτως ἐφ' ὧν ἐστι χρήσιμον τὸ ὄνομα παραλαμβάνουσα ἡ γραφή, ἐπὶ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς οὐ πρέπον τῷ μεγαλείῳ τῆς δόξης, παρεσιώπησε. νῦν δὲ ἀξίνην μὲν καὶ λίθον ἀκρογωνιαῖον. καὶ λίθον προσκόμματος. καὶ πέτραν σκανδάλου καὶ τοιαῦτα ἕτερα, ἐν οἷς οὐ πολὺ δοκεῖ τὸ εὔφημον εἶναι τοῖς μὴ καθικνουμένοις τῆς σημασίας τῶν ὀνομάτων, τὸν κύριον τῆς δόξης προσαγορεύειν οὐκ ἐπαισχύνεται. ποίημα δέ, οὐδαμοῦ τὸ παράπαν ὠνόμασε. καίτοι γε οὗτος παρ' αὐτῶν εἰληφέναι τῶν ἁγίων τὸ ὄνομα τοῦτο φησίν. ἵνα ταῖς συκοφαντίαις μὴ μόνον τοὺς κατ' αὐτὸν περιβάλλῃ, ἀλλὰ καὶ τοὺς πάλαι ποτὲ γενομένους ἁγίους. αὐτὰ δὲ τὰ μὴ χρῆναι διὰ τὸν ἐπὶ κίνδυνον τοῖς τοιούτοις ἐπιτολμᾶν, κατὰ τοῦ κυρίου ὀνόματα παρ' ἑαυτοῦ ματαιοπλάττειν, ἐπεὶ οὐδὲ ἡ τοῦ ἀποστόλου διάνοια, τὴν πρὸ αἰώνων ὑπόστασιν τοῦ μονογενοῦς ἡμῖν παρίστησι περὶ ἧς ὁ λόγος ἐν τῷ παρόντι. οὐ δὲ γὰρ περὶ τῆς οὐσίας αὐτῆς τοῦ θεοῦ λόγου τοῦ ἐν ἀρχῇ ὄντος πρὸς τὸν θεόν. ἀλλὰ περὶ τοῦ κενώσαντος ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ. καὶ γενομένου συμμόρφου τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν καὶ σταυρωθέντος ἐξ ἀσθενείας, σαφῶς διαλέγεται. καὶ τοῦτο παντὶ γνώριμον, τῷ καὶ μικρὸν ἐ-

καὶ κατ᾽ αὐτὴν τὴν ἀλήθειαν, οὐδενὶ ἂν τρόπῳ τὴν κατ᾽ οὐσίαν ὑπεροχὴν ὁ προκείμενος λόγος τοῦ μείζονος ἐμφαίνοι. ἀλλὰ μὴν οὐδὲ κατ᾽ ὄγκον φαίη ἂν αὐτὸς οὗτος μείζονα τὸν πατέρα, ὅ γε ἀποφαινόμενος, μὴ χρῆναι μηδὲ τὸν θεὸν ἐπινοεῖν πηλικότητα. ὑπόλοιπος οὖν ἐστιν ὁ παρ᾽ ἡμῶν λεχθεὶς τοῦ μείζονος τρόπος, ὁ τῆς ἀρχῆς λέγω καὶ τῆς αἰτίας. ἡ μὲν οὖν κατὰ τὸ μεῖζον ἐπιχείρησις αὐτοῦ τῆς βλασφημίας, τοιαύτη. ἐκεῖνο δὲ θαυμάσαι ἄξιον. ὅτι οὕτως ἐν βραχεῖ πρὸς τὰς ἐναντιωτάτας λόγους μεταστρεπόμενος, καθάπερ ἀορασίᾳ τινὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς πεπληγμένος, συνιδεῖν ἐν τοῖς λεχθεῖσι μάχην οὐκ ἠδυνήθη. ἵνα φανῇ τοσοῦτον ξένος ὢν τῆς τοῦ θεοῦ εἰρήνης ἣν ὁ κύριος ἡμῶν τοῖς γνησίως καὶ ἀδόλως εἰς αὐτὸν πεπιστευκόσιν, ἀφῆκεν, εἰπών. εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, ὥστε οὐχὶ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ αὐτὸς ἑαυτῷ διαμάχεται. μείζονα γὰρ εἰπὼν τὸν θεὸν καὶ πατέρα τοῦ μονογενοῦς υἱοῦ. καὶ τοῖς τὸ ἴσον λέγουσι μανίαν ἐπικαλέσας ὡς αὐτὸς ἀναντιρρήτους ἔχων τούτους τὰς ἀποδείξεις, μικρὸν ὑποβὰς σκέψασθε οἷα γράφει.

<table>
<tr><td>Εὐνόμιος</td><td>" ἀλλ᾽ ὅτι μὲν εἷς ὁ τῶν ὅλων θεὸς ἀγέννητος καὶ ἀσύγκριτος,
" πλείονων ὄντων τῶν παραλελειμμένων, ἀποχρῆν ἡγοῦμαι καὶ τὰ ῥηθέντα, πρὸς ἀπόδειξιν.</td></tr>
<tr><td>Βασίλειος</td><td>" ἐρωτάσθω τοίνυν, εἰ ἀσύγκριτος ὁ θεός, πόθεν αὐτοῦ ἡ ὑπεροχὴ κατελήφθη. τὸ γὰρ μεῖζον, ἐκ τῆς πρὸς τὰ ὑπερεχόμενα παραθέσεως θεωρεῖται.</td></tr>
</table>

πῶς οὖν ὁ αὐτὸς καὶ μείζων ἐστὶ καὶ ἀπαράθετος. ἀλλ᾽ ἵνα μὲν παρηλλαγμένην τοῦ θεοῦ τὴν οὐσίαν πρὸς τὴν τοῦ μονογενοῦς ἐπιδείξῃ, συγκριτικῶς λεγόμενον τὸ μεῖζον, εἰς τὴν τῆς οὐσίας διαφορὰν ἐξεδέξατο. ἵνα δὲ πάλιν εἰς τὸ ὁμότιμον τῇ κτίσει τὸν μονογενῆ καταγάγῃ, ἀσύγκριτον εἶναι τὸν πατέρα νομοθετεῖ. καινήν τινα καὶ ἀσύγκριτον ὄντως τὴν ὁδὸν τῆς βλασφημίας ἐπινοῶν. ἐν προσποιήσει διὰ τοῦ ὕψους καὶ δοξάζειν τὸν θεὸν καὶ πατέρα, τοῦ μονογενοῦς υἱοῦ καὶ θεοῦ τὴν δόξαν κατασμικρύνων. τοῦ κυρίου διαμαρτυρομένου καὶ λέγοντος, ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα. καὶ ὁ ἀθετῶν ἐμέ, οὐκ ἐμὲ ἀθετεῖ. ἀλλὰ τὸν πέμψαντά με. ἀλλ᾽ ὁ ἐχθρὸς τῆς ἀληθείας ὁ ἐνεργῶν τὰ τοιαῦτα λέγειν καὶ γράφειν αὐτοῖς, εἶδεν ἐκεῖνο, ὅτι εἰ πρὸς τὴν σύνεσιν αὐτῶν τῆς τοῦ μονογενοῦς δόξης ἀποτυφλώσειε, καὶ τὴν αὐτοῦ τοῦ θεοῦ καὶ πατρὸς γνῶσιν συναφαιρήσεται. ὥστε εἰ καὶ δοκοῦσιν ὑπερβολάς τινας νέμειν τῷ θεῷ καὶ πατρί, μηδὲν αὐτοῖς ὄφελος εἶναι τῆς πρὸς αὐτὸν ἀγούσης ὁδοῦ τῆς γνώσεως ἀφῃρημένοις. ἐπειδὴ καὶ ἰουδαῖοι δοξάζειν τὸν θεὸν οἴονται. καὶ ἑλλήνων τίς ἀκούσεται βουλομένων τι μέγα περὶ θεοῦ λέγειν. ἀλλ᾽ ὅμως οὐκ ἂν τις εἴποι μεγαλύνειν αὐτοὺς τὸν θεόν, οἷα τῆς εἰς χριστὸν πίστεως. δι᾽ οὗ ἡ προσαγωγὴ τῆς γνώσεως ἐστίν. ἀσύγκριτον οὖν τὸν θεὸν λέγει, ἵνα δείξῃ τὸν υἱὸν ἴσον ὄντα τῇ κτίσει, ἐν τῷ ὁμοίως τῆς δόξης τοῦ πατρὸς ἀπολείπεσθαι. διότι τὰ ἴσως μέτρῳ ὑπερεχόμενα, ἴσα ἀλλήλοις ἀναγκαίως ἐστί. τοσοῦτον δὲ ὑπερέχεται κατὰ τὸν τούτου λόγον ἀπὸ τοῦ θεοῦ καὶ πατρὸς ὁ μονογενὴς υἱός, ὅσον καὶ τῶν ἄλλων ἕκαστον. τοιοῦτον γάρ ἐστι τὸ ἀσύγκριτον. ὃ πᾶσιν ὁμοίως ἐστὶν ἀπρόσιτον καὶ ἀνέφικτον, εἰ δὲ τὸ ἴσον τοῖς ἄλλοις τοῦ πατρὸς ἀπολείπεται, ἴσος ἐκείνοις ἐστὶ μεθ᾽ ὧν ἀπολείπεται. τί οὖν τῆς βλασφημίας ταύτης χεῖρον ἂν εἴποιεν ἰουδαῖοι. τί δὲ τῶν ἐθνῶν λεγόντων ἐστὶν ἀκούειν, καὶ οὐκ ἐρυθριῶσιν οἱ τὸν τοῦ θεοῦ λόγον πρεσβεύειν σχηματιζόμενοι, ἰουδαίοις καὶ ἕλλησι φίλα καὶ προσήγορα διδάγματα προτεινόμενοι. εἰ γὰρ μὴ συγκρίνοιτο τῷ πατρί. ὥσπερ οὔτε ἄγγελοι, οὔτε οὐρανὸς οὔτε ἥλιος, οὔτε γῆ, οὔτε τῶν ἐν αὐτῇ ζώων τι καὶ φυτῶν ἕκαστον. πῶς μὲν τὴν διαφορὰν ἕξει πρὸς τὰ οἰκεῖα κτίσματα. πόθεν δὲ αὐτῷ πρὸς τὸν γεννήσαντα ἡ οἰκειότης. ἐγώ φησι καὶ ὁ πατὴρ ἕν ἐσμεν. πάλιν γὰρ τοῦ αὐτοῦ μνημονεύσομαι. τοῦτο εἰπέ μοι οὐχὶ συγκρίνοντος ἑαυτόν ἐστι τὸ ῥῆμα; τί λέγω συγκρίνοντος. ἑνοῦντος μὲν οὖν ὡς εἰπεῖν, καὶ τὸ τῆς φύσεως ἀπαράλλακτον παριστῶντος ἐντεῦθεν; ὁ δέ, ἀσύγκριτον εἶναι τὸν θεὸν ἀποφαίνεται. καὶ ἡ μὲν ἀγαθότης τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ, τοὺς ἀνθρώπους καθόσον ἐστὶν αὐτοῖς χωρητικοὶ διὰ τῆς μελέτης καὶ τῆς ἀσκήσεως τῶν ἀγαθῶν ἔργων, τῇ πρὸς τὸν θεὸν τῶν ὅλων ὁμοιώσει προσάγει. ἐν οἷς φησί, γίνεσθε τέλειοι. καθὼς καὶ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος τέλειός ἐστιν. οὗτος δὲ τὸν μονογενῆ τὴν ἐκ φύσεως αὐτῷ ὑπάρχουσαν πρὸς τὸν γεννήσαντα οἰκειότητα, τὸ εἰς αὐτὸν ἱκανοῖς ἀποστερεῖ. καίτοι καὶ οὕτως αὐτῷ εἰς τὸ ἐναντίον ὁ λόγος περιτρέπεται. εἰ γὰρ ἀσύγκριτος ὁ πατήρ, πόθεν λαβὼν τῆς ἀνομοιότητος τοῦ υἱοῦ τὰς ἀποδείξεις παρέξεται. εἰ μὴ γὰρ ἀντιπαρεξετάζων τὰς οὐσίας ἀλλήλαις. ἀρκοῦσι φύσει

τητα σαφῶς ἀπεργάζεται· πῶς οὐδεμίαν διαφορὰν καταλείπει. οὐ δὴ τὴν τοῖς αἰτίοις πρὸς τὰ ἐξ αὐτῶν ἐνυπάρχουσαν; εἶτα ἐπάγει, τίς δὲ οὕτως ἀνόητος, ἢ πρὸς ἀσέβειαν τολμηρὸς, ὥστε ἴσον εἰπεῖν τὸν υἱὸν τῷ πατρί. εἴπωμεν αὐτῷ τὰ τοῦ προφήτου πρὸς ταῦτα· ὅτι ὄψις πόρνης ἐγένετό σοι· ἀπηναισχύντησας πρὸς πάντας. καὶ γὰρ ἐκεῖναι τὰ ἑαυτῶν ὀνείδη τοῖς σεμνῶς βεβιωκόσι περιστρέφονται. καὶ οὗτος τοὺς τὴν δόξαν τοῦ μονογενοῦς μεγαλύνειν ἐπιθυμοῦντας, ἀνοήτους ἀποκαλεῖ καὶ πρὸς ἀσέβειαν τολμηρούς, τὴν τοῖς αὐτοῖς χαλεπαίνων, ἐφ' οἷς καὶ Ἰουδαῖοι παρωξύνοντο τηνικαῦτα λέγοντες, ὅτι ἴσον ἑαυτὸν ποιεῖ τῷ θεῷ. καίτοιγε μηδενὶ παράδοξον τὸ λεγόμενον δόξει, μᾶλλον δέ πως ἐδόκουν ἐκεῖνοι τὸ ἀκόλουθον ἐπιβλέπειν. ἠγανάκτουν γὰρ ὅτι πατέρα ἑαυτοῦ ἔλεγε τὸν θεόν. τὸ ἐφεξῆς ἀφ' ἑαυτῶν συλλογιζόμενοι. ὅτι διὰ τούτου, ἴσον ἑαυτὸν ἐποίει τῷ θεῷ. ὡς ἀναγκαίως ἑπομένου τῷ πατέρα ἔχειν τὸν θεὸν, τὸ ἴσον ὑπάρχειν αὐτῷ. ὁ δὲ, τὸ πρότερον συγχωρῶν δῆθεν, πρὸς τὸ δεύτερον ἀνανεύει. καὶ τὴν τοῦ κυρίου φωνὴν ἡμῖν προβάλλεται εἰπόντος, ὁ πατὴρ ὁ πέμψας με μείζων μού ἐστι. τοῦ δὲ ἀποστόλου λέγοντος οὐκ ἀκούει. ὅτι οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ. καίτοι εἰ κατὰ τὸν σὸν λόγον ἡ ἀγεννησία οὐσία ἦν. ἐβούλετο δὲ τὴν κατ' οὐσίαν ὑπεροχὴν ἐπιδεῖξαι, εἶπεν ἂν ὁ ἀγέννητος μείζων μού ἐστιν. ὑμέτερος δὲ ἐστιν ὁ λόγος. ὅτι ἡ τοῦ πατρὸς προσηγορία, ἐνεργείας ἐστὶ. καὶ οὐκ οὐσίας σημαντική. μείζονα οὖν λέγοντες τοῦ υἱοῦ τὸν πατέρα, μείζονα τοῦ ἔργου φατὲ τὴν ἐνέργειαν. πᾶσα γὰρ δήπου ἐνέργεια, συμβαίνει τῷ μέτρῳ τοῖς δι' αὐτῆς γινομένοις. καὶ μεγάλη μὲν, τῶν μεγάλων ἔργων ἐστί. σμικρὰ δὲ τῶν σμικροτέρων. τὸ οὖν μείζονα τοῦ υἱοῦ τὸν πατέρα κατὰ τοῦτον τὸν λόγον ὁμολογεῖν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀσύμμετρον τῷ ἔργῳ τίθεσθαι τὴν ἐνέργειαν. καὶ μάτην φάσκειν πρὸς τὸ τῆς ἐνεργείας μέγεθος τὸν θεὸν κεκινῆσθαι. οὐ δυνηθέντα τῇ ἐνεργείᾳ παρισῶσαι τὸ τέλος. ὥστε τὸ ἕτερον τοῖν δυοῖν ἀναγκαίως διαπτοεῖται. ἢ μὴ δηλοῦν ἐνέργειαν τὸν πατέρα, ἀλλὰ οὐσίαν. καὶ οὕτως αὐτοῖς ὁ σεσοφισμένος τῆς ὁμοιότητος λόγος διαγράφεται, ὅμοιον τῷ πατρὶ τιθεμένων τὸν υἱὸν, τουτέστιν ἐνεργείᾳ. οἷον γὰρ ἠθέλησεν ὁ πατὴρ φασὶ, τοιοῦτον ἐποίησε καθὸ καὶ εἰκόνα βουλήσεως ὀνομάζουσιν, ἢ τοῦτο φυλάσσοντας, μὴ εἶναι λέγειν μείζονα τὸν πατέρα. ἐπειδήπερ πᾶσα ἐνέργεια μηδενὸς ἀντισπωμένου τῶν ἔξωθεν, σύμμετρός ἐστι τοῖς οἰκείοις ἀποτελέσμασι. ταῦτα μὲν οὖν πρὸς ἔλεγχον τῆς ἐν τοῖς δόγμασιν αὐτῶν συμφωνίας εἰρήσθω. ἐκεῖνο δὲ τίνι τῶν πάντων ἄδηλον, ὅτι τὸ μεῖζον, ἢ κατὰ τὸν τῆς αἰτίας λόγον, ἢ κατ' αὐτὸν τὸν τῆς δυνάμεως πλεονασμόν. ἢ κατὰ τὴν τοῦ ἀξιώματος ὑπεροχὴν, ἢ κατὰ τὴν τοῦ ὄγκου περιουσίαν λέγεται. κατὰ μὲν οὖν τὸν ὄγκον μὴ ἐκλαμβάνεσθαι τὸ μείζονα. αὐτός τε οὗτος περιλαβὼν ἔφησε, καὶ τὸ εἰκὸς οὕτως ἔχει. ἐπειδήπερ τὸ μεῖζον ἐν τοῖς μεγέθεσι τοσοῦτόν ἐστιν, ὅσον καὶ τὸ ἔλαττον, καὶ ἔτι. τὰ δὲ ἀπερίληπτα τῷ μεγέθει. μᾶλλον δὲ ἀμεγέθη καὶ ἄποσα παντελῶς, τίς ἂν ἀλλήλοις παραμετρήσειεν. ἂν δὲ ἀμήχανος ἡ παράθεσις, τίνι ἂν τρόπῳ ἐν τούτοις τὸ ὑπερβάλλον ἐπιγνωσθείη. δυνάμει δὲ λέγειν ἐλλείπειν τὸν χριστὸν τὴν τοῦ θεοῦ δύναμιν, κομιδῇ νηπίων. καὶ οὐδὲ κατακουόντων τῆς φωνῆς τοῦ κυρίου λέγοντος. ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. καὶ τὸ ἓν, ἀντὶ τοῦ κατὰ τὴν δύναμιν ἴσου παραλαμβανόντος, ὡς ἐξ αὐτῶν λαβέσθαι τοῦ εὐαγγελίου τῶν ῥημάτων. εἰπὼν γὰρ περὶ τῶν πεπιστευκότων ὅτι οὐ μή τις ἁρπάσει ἐκ τῆς χειρός μου. καὶ ὅτι ὁ πατήρ ὃς δέδωκέ μοι μείζων πάντων ἐστί. καὶ οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς τοῦ πατρός μου, ἐπήγαγεν, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, σαφῶς τὸ ἓν ἀντὶ τοῦ ἴσου καὶ τοῦ κατὰ δύναμιν παραλαμβάνων. ἀλλὰ μὴν ὅτι γε καὶ ὁ θρόνος ὁ τοῦ θεοῦ ὥσπερ οὖν ἡμεῖς πεπιστεύκαμεν. ἀξιώματός ἐστιν ὄνομα, ἡ ἐκ δεξιῶν τοῦ πατρὸς ἀφωρισμένη τῷ υἱῷ καθέδρα, τί ποτε ἕτερον, καὶ οὐχὶ τὸ ὁμότιμον τῆς ἀξίας ἀποσημαίνει. ἀλλὰ καὶ ἥξειν ὁ χριστὸς ἐπαγγέλλεται ἐν τῇ δόξῃ τοῦ πατρός. λείπεται τοίνυν κατὰ τὸν τῆς αἰτίας λόγον ἐνταῦθα τὸ μεῖζον λέγεσθαι. ἐπειδὴ γὰρ ἀπὸ τοῦ πατρὸς ἡ ἀρχὴ τῷ υἱῷ, κατὰ τοῦτο μείζων ὁ πατὴρ, ὡς αἴτιος καὶ ἀρχή. διὸ καὶ ὁ κύριος οὕτως εἶπεν, ὁ πατήρ μου μείζων μού ἐστι, καθὸ πατὴρ δηλονότι. τὸ δὲ πατὴρ τὸ ἄλλο σημαίνει. ἢ οὐχὶ τὸ αἰτία εἶναι καὶ ἀρχὴ τοῦ ἐξ αὐτοῦ γεννηθέντος. ὅλως δὲ οὐσία οὐσίας καὶ κατὰ τὴν ὑμετέραν σοφίαν, μείζων καὶ ἐλάττων, οὐ λέγεται. ὥστε καὶ κατὰ τούτους

x

μέρος προσαγορεύειν· τίνα τῆς ἀνοίας ὑπερβολὴν ἀπολείπει· ἀλλ᾽ ἔοικεν ἐκ πολλῆς
ἀγροικίας, ἡμέραν μὲν καὶ νύκτα ἐν τῇ ποιᾷ τῶν ἀστέρων κινήσει νομίζειν γίνεσθαι· ταῦτα
δὲ εἶναι τοῦ χρόνου μέρη ὅθεν τὸν χρόνον ἀστέρων ἀπεφήνατο ποιάν τινα κίνησιν οὐδὲ αὐτὸ
τοῦτο συνεὶς ὅτι λέγει· οὐ γὰρ ποιάν, ἀλλ᾽ εἴπερ ἄρα ποσὴν μᾶλλον ἂν εἰπεῖν οἰκειότε-
ρον· ἀλλὰ τίς οὕτω παχὺς παντελῶς τὴν διάνοιαν, ὥστε ἀγνοεῖν, ὅτι ἡμέραι μὲν καὶ ὧ-
ραι· καὶ μῆνες, καὶ ἐνιαυτοί, μέτρα τοῦ χρόνου ἐστὶν, οὐχὶ μέρη· χρόνος δέ ἐστι τὸ συμπαρε-
κτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα· ᾧ πᾶσα παραμετρεῖται κίνησις εἴτε ἀστέ-
ρων, εἴτε ζώων ἢ οὑτινοσοῦν τῶν κινουμένων καθὸ λέγομεν ταχύτερον ἢ βραδύτερον ἕτε-
ρον ἑτέρου· ταχύτερον μὲν, τὸ ἐλάττονι χρόνῳ πλεῖον διάστημα μεταβαῖνον· βραδύ-
τερον δὲ τὸ ἔλαττον ἐν πλείονι χρόνῳ κινούμενον· ὁ δὲ ἐπειδὴ ἐν χρόνῳ οἱ ἀστέρες κινοῦν-
ται, χρόνου αὐτοὺς εἶναι δημιουργοὺς ἀποφαίνεται· οὐκοῦν κατὰ τὸν τοῦ σοφωτάτου λό-
γον, ἐπειδὴ καὶ οἱ κάνθαροι ἐν χρόνῳ κινοῦνται, ὁρισόμεθα τὸν χρόνον εἶναι ποιάν τινα
κανθάρων κίνησιν· οὐδὲν γὰρ τούτου τὸ παρ᾽ αὐτοῦ λεχθὲν διαφέρει· πλὴν τῆς σεμνότη-
εὐνόμιος » τος, τῶν νοημάτων· καὶ ταῦτα μὲν τοιαῦτα, σκέψασθε δὲ τὰ ἐφεξῆς· ἀλλὰ μὴν φη-
» σὶν, οὐδὲ ἐνυπάρχειν τῇ οὐσίᾳ τοῦ θεοῦ δυνατὸν, οἷον εἶδος· ἢ ὄγκον, ἢ πηλικότητα· διὰ
» τὸ πάντη συνθέσεως ἐλεύθερον εἶναι τὸν θεόν· εἰ δὲ τούτων καὶ τῶν τοιούτων μήτε ἐστι,
» μήποτε γένοιτ᾽ ἂν χωρὶς ἐπινοῆσαι συμπεπλεγμένον τῇ οὐσίᾳ τοῦ θεοῦ· ποῖος ἔτι συγ-
» χωρήσει λόγος πρὸς τὴν ἀγέννητον ὁμοιοῦν τὴν γεννητὴν, τῆς κατ᾽ οὐσίαν ὁμοιότητος·
» ἢ συγκρίσεως, ἢ κοινωνίας, μηδεμίαν ὑπεροχὴν ἢ διαφορὰν καταλιπούσης· ἰσότητα δὲ
» σαφῶς ἐργαζομένης· μιᾷ δὲ τῆς ἰσότητος, ἀγέννητον ἀποφαινούσης τὸν ὁμοιούμενον· ἢ
» συγκρινόμενον· οὐδεὶς γὰρ οὕτως ἀνόητος, καὶ πρὸς ἀσέβειαν τολμηρὸς, ὥστε ἴσον εἰπεῖν
» τῷ πατρὶ τὸν υἱόν· αὐτοῦ τοῦ κυρίου διαρρήδην εἰπόντος, ὁ πατήρ ὁ πέμψας με, μείζων μου ἐστί· καὶ
» πάλιν, μετ᾽ ὀλίγα· ἀλλ᾽ ὅτι μὲν ὁ τῶν πάντων θεὸς ἀγέννητος καὶ ἀσύγκριτος, πλειόνων ὄν-
» των τῶν παραλελειμμένων, ἀποχρῆν ἡγοῦμαι καὶ τὰ ῥηθέντα πρὸς ἀπόδειξιν·
βασίλειος » ὅταν τινὸς ἅπτεσθαι μέλλῃ πονηροῦ λόγου, προλαμβάνει τινὰ συγχωρούμενα παρὰ πάν-
των· ἵνα διὰ τοῖς ἐν τούτοις ἀγνωμοσύνης, μὴ δὲ τοῖς λοιποῖς ἀπιστῆται· οὐδέν φη-
σιν οἷόν τε ἐνυπάρχειν τῇ θεοῦ τῇ οὐσίᾳ, οὔτε εἶδος, οὔτε ὄγκον, οὔτε πηλικότητα, διὰ τὸ
πάντη συνθέσεως ἐλεύθερον εἶναι τὸν θεόν· μέχρι τούτων ἐστὶν ἀγνωμόνων· ἐν δὲ τοῖς ἑ-
ξῆς, εἰς ἑαυτὸν ἐπανῆλθεν· ὡς γὰρ ἀναγκαίως τοῖς προκειμένοις ἑπομένην τὴν βλα-
σφημίαν ἐπισυνάπτει λέγων, εἰ δὲ τούτων καὶ τῶν τοιούτων μηδὲ ποτ᾽ ἂν γένοιτο χωρὶς
ἐπινοῆσαι συμπεπλεγμένον τῇ οὐσίᾳ, τίς χωρήσει λόγος πρὸς τὴν ἀγέννητον ὁμοιοῦν τὴν
γεννητήν· ποίαν ἀκολουθίαν ἔχει ταῦτα πρὸς ἄλληλα, εἰ ἀσύνθετός ἐστιν ὁ θεὸς, ἀνε-
πίδεκτον εἶναι τὸν υἱὸν τῆς πρὸς αὐτὸν ὁμοιότητος· εἰπὲ γάρ· οὐχὶ δὲ καὶ σὺ τὸν υἱὸν παρα-
πλησίως ἐρεῖς μήτε εἶδος, μήτε ὄγκον, μήτε πηλικότητα ἔχειν ἐν ἑαυτῷ· καὶ πάντη συν-
θέσεως ἐλεύθερον εἶναι; ἐγὼ μὲν γὰρ, οὐδὲ μανέντα σε ἡγοῦμαι ποτὲ τολμήσειν ἄλλο τι
εἰπεῖν τὸν υἱὸν ἢ ἀσώματον καὶ ἀνείδεον καὶ ἀσχημάτιστον· καὶ πάντα ὅσαπερ ἂν περὶ τοῦ
πατρὸς εἴποις· πῶς οὖν οὐκ ἀσεβεῖς, τὸν μὴ ἔχοντα εἶδος, τῷ εἶδος μὴ ἔχοντι παραβάλ-
λων· καὶ τὸν μὴ ἔχοντα πηλικότητα, τῷ μὴ ἔχοντι ταύτην· καὶ τὸν ἀσύνθετον, ὅλως
τῷ ἀσυνθέτῳ· ὁ δὲ, τὸ ὅμοιον ἐν τῷ εἴδει τίθεται· καὶ τὸ ἴσον ἐν τῷ ὄγκῳ· τὴν δὲ πηλικό-
τητα, ὅτι καὶ αἴτεται· παρὰ τὸν ὄγκον εἶναι, αὐτὸς ἂν οἰκειότερον ἐξηγήσαιτο· διὰ τοῦτο
οὔτε ἴσος φησὶν, οὔτε ὅμοιος· ἐπειδὴ καὶ ἄποσός ἐστι καὶ ἀνείδεος· ἐγὼ δὲ κατ᾽ αὐτὸ τοῦ-
το τὴν ὁμοιότητα τίθεμαι· ἐπειδὴ ὥσπερ ὁ πατὴρ συνθέσεως ἁπάσης ἐλεύθερος, οὕ-
τω καὶ ὁ υἱὸς ἁπλοῦς παντελῶς καὶ ἀσύνθετος καὶ τὸ ὅμοιον, μὴ κατὰ τὴν τοῦ εἴδους ταυ-
τότητα θεωρεῖσθαι, ἀλλὰ κατ᾽ αὐτὴν τὴν οὐσίαν· ὅσοις μὲν γὰρ μορφὴ καὶ σχῆμα πε-
ρίκειται, τούτοις κατὰ τὴν ταυτότητα τοῦ εἴδους ἡ ὁμοιότης· τὴν δὲ ἀνείδεον καὶ ἀσχη-
μάτιστον φύσιν, ἐν αὐτῇ τῇ οὐσίᾳ λείπεται ἔχειν τὴν ὁμοιότητα· καὶ τὸ ἴσον, μὴ ἐν τῇ τῶν
ὄγκων παραμετρήσει ἀλλ᾽ ἐν τῇ ταυτότητι τῆς δυνάμεως· χριστὸς φησὶ θεοῦ δύναμις, καὶ θεοῦ
σοφία· ὅλης τῆς πατρικῆς δυνάμεως ἐν ἑαυτῷ κειμένης αὐτῷ δηλονότι· ὅθεν ὅσαπερ ἂν
βλέπῃ τὸν πατέρα ποιοῦντα, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· ἀλλ᾽ ἡ κατ᾽ οὐσίαν φησὶν
ὁμοιότης, ἢ σύγκρισις, ἢ κοινωνία· μηδεμίαν ὑπεροχὴν ἢ διαφορὰν καταλείπουσα, ἰσό-
τητα σαφῶς

σία· τάξει δὲ καὶ τοῖς ἐκ χρόνου πρεσβείοις, ὁ μέν ἐστι πρῶτος, ὁ δὲ δεύτερος. εἰ μὲν οὖν
τὸ κοινὸν τῆς οὐσίας οὕτω νοήσας εἶπεν, ὡς ἐξ ὕλης προϋπαρχούσης, διανομήν τινα κα-
τὰ διαίρεσιν εἰς τὰ ἀπ' αὐτῆς νοεῖν, οὔτ' ἂν αὐτοὶ καταδεξαίμεθα τὴν διάνοιαν ταύτην
μὴ γένοιτο, καὶ τοὺς λέγοντας εἴ τινες καὶ εἰσὶν, οὐδὲν ἔλαττον ἀσεβεῖν τῶν τὸ ἀνόμοιον λε-
γόντων ἀποφαινόμεθα. εἰ δὲ οὕτω τις ἐκλαμβάνοι τὸ τῆς οὐσίας κοινὸν ὡς τὸν τοῦ εἶ-
ναι λόγον ἕνα καὶ τὸν αὐτὸν ἐπ' ἀμφοῖν θεωρεῖσθαι. ὥστε καὶ εἰ καθ' ὑπόθεσιν φῶς ὁ πα-
τὴρ τῷ ὑποκειμένῳ νοοῖτο, φῶς καὶ τὴν τοῦ μονογενοῦς οὐσίαν ὁμολογεῖσθαι. καὶ ὅν περ
ἄν τις ἀποδῷ ἐπὶ τοῦ πατρὸς τὸν τοῦ εἶναι λόγον, τὸν αὐτὸν τοῦτον καὶ τῷ υἱῷ ἐφαρμόζειν,
εἰ οὕτω τὸ κοινὸν τῆς οὐσίας λαμβάνοιτο, δεχόμεθα. καὶ ἡμέτερον εἶναι τὸ δόγμα φήσο-
μεν. κατὰ τοῦτο γὰρ καὶ θεότης μία. δηλονότι κατὰ τὸν τῆς οὐσίας λόγον τῆς ἑνότητος
νοουμένης. ὥστε ἀριθμῷ μὲν τὴν διαφορὰν ὑπάρχειν, καὶ ταῖς ἰδιότησι ταῖς χαρακτη-
ριζούσαις ἑκάτερον. ἐν δὲ τῷ λόγῳ τῆς θεότητος, τὴν ἑνότητα θεωρεῖσθαι. διωρισμέ-
νου τοίνυν πῶς χρὴ τὸ κοινὸν τῆς οὐσίας ἐκδέχεσθαι, τὰ ἐφεξῆς ἐξετάσωμεν, τίνα συνά-
φειαν ἔχει πρὸς τὰ προάγοντα. τάξει δέ φησι καὶ τοῖς ἐν χρόνου πρεσβείοις, ὁ μέν ἐστι
πρῶτος ὁ δὲ δεύτερος. τίς ἡ ἀνάγκη ἐφ' ὧν ἡ οὐσία κοινὴ, τάξει τε ὑποβεβλῆσθαι ταῦ-
τα, καὶ χρόνῳ εἶναι δεύτερα. οὐ γὰρ δυνατὸν τῇ ἑαυτοῦ εἰκόνι, ἀχρόνως ἀπαυγασθείσῃ,
τὸν θεὸν τῶν ὅλων, μὴ ἐξ ἀϊδίου συνεῖναι. καὶ μὴ χρόνων μόνον, αἰώνων δὲ πάντων ἐπέκει-
να τὴν συνάφειαν ἔχειν. διὰ τοῦτο γὰρ ἀπαύγασμα εἴρηται, ἵνα τὸ συνημμένον νοήσωμεν.
καὶ χαρακτὴρ τῆς ὑποστάσεως, ἵνα τὸ ὁμοούσιον ἐκμανθάνωμεν. ἀλλὰ καὶ τάξις, ἡ μὲν,
φυσική τίς ἐστιν. ἡ δὲ κατ' ἐπιτήδευσιν. φυσικὴ μὲν, ὡς ἡ τῶν κτισμάτων κατὰ τοὺς δημιουρ-
γικοὺς λόγους ταχθεῖσα. καὶ ὡς ἡ τῶν ἀριθμητῶν θέσις. καὶ ἡ τῶν αἰτίων πρὸς τὰ αἰ-
τιατὰ σχέσις ἐκείνου προδιωμολογημένου τοῦ καὶ τῆς φύσεως αὐτῆς ποιητὴν εἶναι καὶ δη-
μιουργὸν τὸν θεὸν, ἐπιτηδευματικὴ δὲ καὶ τεχνικὴ, ὡς ἡ ἐν τοῖς κατασκευάσμασι καὶ μα-
θήμασι καὶ ἀξιώμασι καὶ ἀριθμῷ καὶ τοῖς τοιούτοις. τούτων τοίνυν τὸ πρότερον ἀπο-
κρυψάμενος οὗτος, τοῦ δευτέρου εἴδους τῆς τάξεως ἐμνήσθη καί φησι μὴ χρῆναι λέγειν
ἐπὶ θεοῦ τάξιν. ἐπείπερ ἡ τάξις δευτέρα τοῦ τάξαντος. ἐκεῖνο δὲ ἢ οὐ συνεῖδεν ἢ ἑκὼν
ἀπεκρύψατο, ὅτι ἐστὶ τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐ-
τῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστὶ τὸ ἐξ αὐτοῦ. ἐν
τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν. δεύτερον δὲ τὸ ἐξ αὐτοῦ. οὐ διαστήματι χωρίζον-
τες ἀπ' ἀλλήλων ταῦτα. ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ, προεπινοοῦντες τὸ αἴτιον. πῶς
οὖν ἄλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστὶ πρότερον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέ-
ραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας. τίνος οὖν ἕνε-
κεν ἀθετεῖ τὴν τάξιν ἐπὶ θεοῦ λαμβάνεσθαι, ἡγεῖται εἰ ἐπιδείξειε μηδαμῶς ἄλλως τὸ
πρότερον ἐπὶ θεοῦ νοεῖσθαι, λείπομονον ἐξ ἀνάγκης κατ' αὐτὴν τὴν οὐσίαν τὴν ὑπεροχὴν ἐπι-
δείκνυσθαι. ἡμεῖς δὲ κατὰ μὲν τὴν τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν σχέσιν, προτετάχθαι
τοῦ υἱοῦ τὸν πατέρα φαμέν. κατὰ δὲ τὴν τῆς φύσεως διαφορὰν, οὐκέτι. οὐδὲ κατὰ τὴν
τοῦ χρόνου ὑπεροχήν. ἢ οὕτω γε καὶ αὐτὸ τὸ πατέρα εἶναι τὸν θεὸν ἀθετήσομεν. τῆς κα-
τὰ τὴν οὐσίαν ἀλλοτριότητος, τὴν φυσικὴν συνάφειαν ἀθετούσης. ἐπεὶ μέντοι ἀφαι-
ρεῖσθαι ἡμῶν τοῦ χρόνου τὴν φύσιν, ὁ σοφὸς τὰ πάντα πειρᾶται, καὶ ἐντεῦθεν αὐτοῦ τὸ
βέβαιον καὶ τὸ ἐπεσκεμμένον τῆς διανοίας ἴδωμεν. χρόνον τοίνυν εἶ φησι, ποιάν τινα κί-
νησιν ἀστέρων. ἡλίου δηλονότι καὶ σελήνης καὶ τῶν λοιπῶν, ὅσοις καθ' ἑαυτὰ κινεῖσθαι δύ-
ναμίς ἐστι. τὸ τοίνυν ἀπὸ γενέσεως οὐρανοῦ καὶ γῆς μέχρι τῆς ποιήσεως τῶν ἀστέρων διά-
στημα, τί ποτε ἄρα εἶναι ὁ δεινὸς τὰ μετέωρα οὗτος ἀποφανεῖται. σαφῶς γὰρ ὁ τὴν κοσ-
μογένειαν τῇ δυνάμει τοῦ πνεύματος ἀναγράψας, τῇ τετάρτῃ ἡμέρᾳ τούς τε μεγάλους φω-
στῆρας καὶ τοὺς λοιποὺς ἀστέρας γεγενῆσθαι φησί. χρόνος οὐκ ἦν ὡς ἔοικεν ἐν ταῖς κατό-
πιν ἡμέραις. οὐ γὰρ ἐκινοῦντό πως οἱ ἀστέρες. πῶς γὰρ οἵ γε μὴ δὲ ἐγεγόνεισαν τὴν ἀρ-
χήν. καὶ πάλιν ὅτε ἐπολέμει τοῖς γαβαωνίταις ὁ τοῦ ναυῆ ἰησοῦς. ἐπειδὴ ἀκίνητος ὁ ἥ-
λιος ἔμενε τῷ προστάγματι πεδηθεὶς, καὶ ἡ σελήνη κατὰ χώραν εἱστήκει, χρόνος οὐκ ἦν τη-
νικαῦτα. τί ἐκεῖνο οὖν τὸ διάστημα τῆς ἡμέρας εἴπωμεν. τίνα προσηγορίαν ἐπινοήσεις.
εἰ γὰρ τοῦ χρόνου φύσις ἐπιλελοίπει, αἰὼν ἂν τηνικαῦτα δηλονότι. αἰῶνα δὲ μικρὸν ἡμέρας

σαντος φύσεως. εἶτα ἐπαγωνίζεται αὐτὸς ἑαυτοῦ κακίᾳ τῆς βλασφημίας τὴν παραμυθίαν ἐπινοῶν. οὐ τῷ εἰπεῖν τι μετανοίας ἐχόμενον, ἀλλὰ τοῖς δευτέροις φιλονεικῶν ἀποκρύψαι τὰ φθάσαντα. τί γὰρ ὑπέμεινε φθέγξασθαι. ἐκ φύγοι τε ἂν πᾶσαν σύγκρισιν καὶ κοινωνίαν τὴν πρὸς τὸ γεννητόν. εἰ δὲ μὴ σύγκρισίς ἐστι τῷ υἱῷ πρὸς τὸν πατέρα, μὴ δὲ κοινωνία πρὸς τὸν γεννήσαντα, ψευδεῖς μὲν οἱ ἀπόστολοι. ψευδῆ δὲ τὰ εὐαγγέλια. αὐτή τε ἡ ἀλήθεια ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. ἀλλ' ἐγὼ μὲν πάλιν φρίττω τὴν βλασφημίαν. παντὶ δὲ συνιδεῖν ῥᾴδιον. εἰ γὰρ μηδεμίαν σύγκρισιν ἔχει πρὸς τὸν πατέρα, πῶς ἔλεγε τῷ Φιλίππῳ. τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἑώρακάς με Φίλιππε; καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. τὸν γὰρ μήτε σύγκρισιν ἐπιδεχόμενον. μήτε κοινωνίαν τινὰ πρὸς αὐτὸν κεκτημένον, πῶς ἂν ἔδειξεν ἑαυτῷ ὁ υἱός. οὐ γὰρ διὰ τοῦ ἀνομοίου καὶ ἀλλοτρίου καταληπτόν ἐστι τὸ ἀγνοούμενον. ἀλλὰ τῷ οἰκείῳ πέφυκε τὸ οἰκεῖον ἐπιγινώσκεσθαι. οὕτως ἐν μέσῳ τῷ ἀποσφραγίσματι, ὁ τῆς ὑποστάσεως χαρακτὴρ καθορᾶται. δι' εἰκόνος δὲ, ἡ γνῶσις τοῦ ἀρχετύπου γίνεται. συγκρινόντων ἡμῶν δηλονότι τὴν ἐν ἑκατέρῳ ταυτότητα. ὥστε διὰ μιᾶς ταύτης βλασφημίας, πάσας ἀθετεῖσθαι τὰς φωνὰς τὰς παρὰ τοῦ ἁγίου πνεύματος εἰς τὴν τοῦ μονογενοῦς δοξολογίαν παραδοθείσας. τοῦ μὲν εὐαγγελίου διδάσκοντος, ὅτι τοῦτον ὁ πατὴρ ἐσφράγισεν ὁ θεός. τοῦ δὲ ἀποστόλου, ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου. εἰκὼν, οὐχ ἄψυχος. οὐδὲ χειροκμήτος, οὐδὲ τέχνης ἔργον καὶ ἐπινοίας. ἀλλὰ εἰκὼν ζῶσα. μᾶλλον δὲ αὐτοουσα ζωὴ, οὐκ ἐν σχήματος ὁμοιότητι, ἀλλ' ἐν αὐτῇ τῇ οὐσίᾳ τὸ ἀπαράλλακτον αὐτὴ διασῴζουσα. ἐγὼ γὰρ καὶ τὸ ἐν μορφῇ θεοῦ ὑπάρχειν ἴσον δύνασθαι τῷ ἐν οὐσίᾳ θεοῦ ὑπάρχειν φημί. ὡς γὰρ τὸ μορφὴν ἀνειληφέναι δούλου, ἐν τῇ οὐσίᾳ τῆς ἀνθρωπότητος τὸν κύριον ἡμῶν γεγενῆσθαι σημαίνει, οὕτω λέγων τὸ ἐν μορφῇ θεοῦ ὑπάρχειν τῆς θείας οὐσίας παρίστησι πάντως τὴν ἰδιότητα. ὁ ἑωρακὼς ἐμὲ φησιν, ἑώρακε τὸν πατέρα. οὗτος δὲ ἀλλοτριῶν τοῦ πατρὸς τὸν μονογενῆ, καὶ παντελῶς ἀποσχίζων τῆς πρὸς αὐτὸν κοινωνίας, τὴν δι' αὐτοῦ γενομένην τῆς γνώσεως ἄνοδον, τὸ ὅσον ἐφ' ἑαυτῷ, διακόπτει. πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν ὁ κύριος φησίν. Εὐνόμιος δὲ οὐδεμίαν λέγει κοινωνίαν εἶναι τῷ πατρὶ πρὸς τὸν υἱὸν αὐτοῦ. καὶ ὥσπερ ὁ πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. τοῦτο παρ' αὐτοῦ δεδιδάγμεθα τοῦ κυρίου. παρὰ δὲ Εὐνομίου, τί; μηδεμίαν εἶναι σύγκρισιν τῷ γεννηθέντι πρὸς τὸν γεννήσαντα. καὶ ἁπαξαπλῶς διὰ μιᾶς ταύτης φωνῆς, ἀναιρεῖ μὲν τὸν τῆς εἰκόνος λόγον, ἀθετεῖ δὲ τὸ ἀπαύγασμα εἶναι καὶ χαρακτῆρα τῆς ὑποστάσεως. οὔτε γὰρ εἰκόνα δυνατὸν τοῦ ἀσυγκρίτου νοεῖσθαι, οὔτε ἀπαύγασμα εἶναι τοῦ ἀκοινωνήτου κατὰ τὴν φύσιν. τῷ δὲ αὐτῷ ἔδει πάλιν τοῦ τεχνάσματος ἐπιμένει τῷ ἀγεννήτῳ λέγων μὴ εἶναι πρὸς τὸ γεννητὸν σύγκρισιν οὐχὶ τῷ πατρὶ πρὸς τὸν υἱὸν αὐτοῦ. ἵνα ὥσπερ ἂν ταῖς φωναῖς ταύταις ὑπάρχουσαν ἀντίθεσιν ἐπιδείξῃ, ταύτην ἐπ' αὐτὰς τὰς οὐσίας τοῦ πατρὸς καὶ τοῦ υἱοῦ μετενέγκῃ. ὅπως δὲ μὴ πάσαις αὐτοῦ κατακολουθοῦντες ταῖς βλασφημίαις, καὶ ἕκαστον ἐξετάζειν τῶν εἰρημένων ἐπιχειροῦντες, εἰς πολὺ μῆκος τὸν λόγον ἐκτείνωμεν. ὅσα μὲν καὶ πρόχειρον ἔχει τὴν ἀσέβειαν καὶ αὐτόθεν φανερὰ τοῖς ἐντυγχάνουσιν ἐστὶ παρήσομεν. ἃ δὲ λόγου τινὸς πρὸς τὸν ἔλεγχον δεῖται, ταῦτα παραθησόμεθα. ποικίλως γὰρ τὸ πρὸς τὸν υἱὸν ἀκοινώνητον τῆς τοῦ πατρὸς οὐσίας κατασκευάσας, καὶ πανταχόθεν ὡς οἴεται τὸ ἄτοπον ἐπιδείξας, ἐπάγει. οὐ γὰρ διὰ τοῦτο ἂν ἕτοιμον ὡς κοινὴ μὲν ἀμφοῖν ἡ οὐσία. τάξει δὲ καὶ τοῖς ἐκείνου πρεσβείοις, ὁ μέν ἐστι πρῶτος. ὁ δὲ, δεύτερος. ἐπειδὴ χρὴ δεῖ προσεῖναι ἐν τοῖς ὑπάρχουσι, τὸ τῆς ὑπεροχῆς αἴτιον, οὐ συνέζευκται δὲ τῇ οὐσίᾳ τοῦ θεοῦ, οὐ χρόνος. οὐκ αἰὼν, οὐ τάξις. ἥτε γὰρ τάξις, δευτέρα τοῦ τάττοντος. οὐδὲν δὲ τῶν τοῦ θεοῦ ὑφ' ἑτέρου τέτακται. ὅτε χρόνος, ἀστέρων ποιά τίς ἐστι κίνησις, ἀστέρες δὲ οὐ τῆς ἀγεννήτου μόνον οὐσίας, καὶ νοητῶν ἁπάντων, ἀλλὰ καὶ τῶν πρώτων σωμάτων γεγόνασι δεύτεροι. περὶ δὲ αἰώνων, τί δεῖ καὶ λέγειν, τῆς γραφῆς σαφῶς διαγορευούσης, πρὸ τῶν αἰώνων ὑπάρχειν τὸν θεόν. ὑποθέμενος ἑαυτῷ κατὰ τὸν λόγον ὥσπερ ἐβούλετο. καὶ τὰ ἀκόλουθα λαβὼν τοῖς ὑποθέσεσιν. εἶτα εἰς ἀτόπους ἀνοίας ἑαυτὸν ἐξωθῶν, ἀναγκαῖον ἐντεῦθεν οἴεται τὴν παραδοχὴν τῶν ἰδίων δογμάτων ἐπιδείκνυσθαι. φησὶ γὰρ, ὅτι οὐκ ἂν τοῦτο ἕτοιμον, ὡς κοινὴ μὲν ἀμφοῖν ἡ οὐ-

[margin: Εὐνόμιος; Βασίλειος]

ἆρ' οὐχὶ περὶ τοῦ χειρόν ἐστιν ἐν τῇ ἑκάστου διανοίᾳ, ὅτι ἐξ οὐδενός; τὸ δὲ ἐξ οὐδενός, τὸ ἄναρχόν ἐστι δηλονότι· τὸ δὲ ἄναρχον, τὸ ἀγέννητον. ὡς οὖν ἐπὶ τῶν ἀνθρώπων οὐκ ἦν οὐσία τὸ ἔκ τινος, οὕτως οὐδὲ ἐπὶ τοῦ θεοῦ τῶν ὅλων οὐσίαν ἐστὶν εἰπεῖν τὸ ἀγέννητον. ὅπερ ἴσον ἐστὶ τὸ ἐξ οὐδενός, ὁ δὲ τὸ ἄναρχον οὐσίαν εἶναι λέγων, παραπλήσιον ποιεῖ, ὥσπερ ἄν, εἴ τις ἐρωτώμενος τίς ἡ τοῦ Ἀδὰμ οὐσία, καὶ τίς ἡ φύσις αὐτοῦ, ὁ δέ, ἀποκρίνοιτο μὴ ἐκ συνδυασμοῦ ἀνδρὸς καὶ γυναικός, ἀλλ' ἐκ θείας χειρὸς διαπλασθῆναι. ἀλλ' οὐχὶ τὸν τρόπον τῆς ὑποστάσεως ἐπιζητῶ φήσειεν αὐτίς, ἀλλ' αὐτὸ τοῦ ἀνθρώπου τὸ ὑλικὸν ὑποκείμενον. ὃ πολλοῦ δέω μανθάνειν διὰ τῆς ἀποκρίσεως. τοῦτο δὲ καὶ ἡμῖν συμβαίνει ἐκ τῆς τοῦ ἀγεννήτου φωνῆς· τὸ ὅπως ἐστὶ τοῦ θεοῦ μᾶλλον, ἢ αὐτὴν τὴν φύσιν διδασκομένοις. ὅλως δὲ εἴ τις βούλοιτο, τὴν ἀλήθειαν παρ' ἡμῶν λεγομένων καταμαθεῖν, ἑαυτὸν ἀνερευνάτω. ὅταν τί νοῆσαι τῶν περὶ θεοῦ βουληθῇ, εἰς τὸ σημαινόμενον τοῦ ἀγεννήτου χωρεῖ. ἐγὼ μὲν γὰρ ὁρῶ ὅτι ὥσπερ τοῖς ἐπερχομένοις αἰῶσι τὴν διάνοιαν ἐπεκτείνοντες, ἀτελεύτητον λέγομεν τὸν οὐδενὶ πέρατι τὴν ζωὴν ὁριζόμενον, οὕτω καὶ εἰς τὸ ἄνω τῶν αἰώνων τοῖς λογισμοῖς ἀναβαίνοντες, καὶ οἷον εἴς τι πέλαγος ἀχανὲς ἐπὶ τὸ ἄπειρον τῆς τοῦ θεοῦ ζωῆς διακύπτοντες, οὐδεμιᾶς ἀρχῆς ἀφ' ἧς γέγονε λαβέσθαι δυνάμενοι, ἀλλὰ τοῦ νοουμένου ἐξωτέραν ἀεὶ καὶ ὑπερεκπίπτουσαν τοῦ θεοῦ τὴν ζωὴν ἐννοοῦντες, τοῦτο τὸ ἄναρχον τῆς ζωῆς, ἀγέννητον προσειρήκαμεν. αὕτη γὰρ τοῦ ἀγεννήτου ἡ ἔννοια, τὸ μὴ ἔχειν ἑτέρωθεν τὴν ἀρχὴν τοῦ εἶναι. ὁ δέ, ἐπειδὴ ποθεῖ μόνον τὸν θεὸν τῶν ὅλων τὸ ἀγέννητον θηρεύεται· κακουργότατα πάντως εἰς τὴν κατὰ τοῦ μονογενοῦς ἤρτησεν αὐτὸ βλασφημίαν. τί γὰρ φησὶ προϊών·

» ἀγέννητος δὲ ὢν κατὰ τὴν προλαβοῦσαν ἀπόδειξιν, οὐκ ἄν ποτε πρόσοιτο γέννησιν· Εὐνόμιος
» ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως ἐκφύγοι τε ἂν πᾶσαν σύγκρισιν
» καὶ κοινωνίαν τὴν πρὸς τὸ γεννητόν.

Βασίλειος

ὢ τῆς ἀναισχύντου καὶ πονηρᾶς βλασφημίας. ὢ τοῦ κεκρυμμένου δόλου καὶ τῆς ποικίλης ῥᾳδιουργίας. ὡς ἀκριβῶς ἐξ αὐτῆς τοῦ διαβόλου τῆς μεθοδείας φθέγγεται. ἀνόμοιον γὰρ βουλόμενος τῷ πατρὶ καὶ θεῷ τὸν μονογενῆ υἱὸν καὶ θεὸν ἐπιδεῖξαι, τὸ μὲν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ὄνομα, σιωπᾷ. ἁπλῶς δὲ περὶ ἀγεννήτου καὶ γεννητοῦ διαλέγεται. καὶ τὰ τῆς σωτηρίου πίστεως ὀνόματα κρύπτων, ψιλὰ παραδίδωσι τῆς βλασφημίας τὰ δόγματα. ἵνα τῆς ἀσεβείας ἐν τοῖς πράγμασι γυμνωθείσης, εἶτα τῆς μεταβάσεως ἐπὶ τὰ πρόσωπα γινομένης, αὐτὸς μέν, μηδὲν δόξῃ δύσφημον εἰρηκέναι. τῇ δὲ τοῦ λόγου ἀκολουθίᾳ κατεσκευασμένην ἔχῃ τὴν βλασφημίαν. ἀγέννητος δὲ ὤν φησιν, ἐκφύγοι ἂν πᾶσαν σύγκρισιν καὶ κοινωνίαν τὴν πρὸς τὸ γεννητόν. οὐκ εἶπεν ὅτι πατὴρ καὶ υἱός, ἀλλ' ἀγέννητος καὶ γεννητός. οὗ μὲν διὰ αὐτοῦ τοῦτο τοιοῦτον κακούργημα. ἕτερον δὲ ποῖον, σκοπεῖτε. ἀγέννητος δὲ ὤν φησιν, οὐκ ἄν ποτε πρόσοιτο γέννησιν, καὶ ἐπάγει· ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως, τὸ οὐκ ἄν ποτε πρόσοιτο γέννησιν, δύο σημαίνει. ἓν μὲν ὅτι τῇ ἰδίᾳ αὐτοῦ φύσει, οὐκ ἐφαρμόσει γέννησις. ἀδύνατον γὰρ ὑπὸ γέννησιν ἐλθεῖν τὴν ἀγέννητον φύσιν. ἕτερον δέ, ὅτι γεννῆσαι οὐ καταδέχεται. οὗτος μὲν οὖν κατὰ τὸ δεύτερον σημαινόμενον ἐχρήσατο τῇ φωνῇ. συναρπάζει δὲ τοὺς πολλοὺς ἐκ τῆς προτέρας ἐννοίας. ἐπεὶ ὅτι γε τοῦτό ἐστι τὸ κατασκευαζόμενον, σαφῶς τὸ ἐπιφερόμενον δείκνυσιν. εἰπὼν γὰρ ὅτι οὐκ ἄν ποτε πρόσοιτο γέννησιν, ἐπήγαγεν, ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως. τῇ γὰρ δευτέρᾳ ἐννοίᾳ τοῦτό ἐστιν ἀκόλουθον. ὅτι οὐ καταδέχεται γενέσθαι πατήρ, ἵνα μὴ μεταδῷ τῆς ἰδίας φύσεως τῷ γεννωμένῳ. τίς ἂν γένοιτο τῆς ἀσεβείας ταύτης χαλεπωτέρα. τίς ἐλάλησε τοσαύτην ἀδικίαν εἰς τὸ ὕψος ποτέ. ἐγὼ μὲν γὰρ φοβοῦμαι, μὴ καὶ ἡμεῖς ἐν τῷ τὰς ἀλλοτρίας ἀναλαμβάνειν βλασφημίας διὰ τοῦ στόματος μολύνωμεν ἑαυτῶν τὴν διάνοιαν καὶ τῆς κατακρίσεως αὐτοῖς κοινωνήσωμεν. παραμυθεῖται δέ με τὸ ἐν τοῖς εὐαγγελίοις. ὅτι καὶ τὸ πνεῦμα τὸ ἅγιον, τὴν τῶν ἰουδαίων εἰς τὸν χριστὸν βλασφημίαν ἔγγραφον τοῖς μετὰ ταῦτα παραδοῦναι οὐ παρῃτήσατο. ἐκείνων στηλιτεῦον εἰς ἅπαντα χρόνον τὴν βλασφημίαν, οὐχὶ τῇ ἀχράντῳ δόξῃ τοῦ μονογενοῦς προστριβόμενόν τινα βλασφημίαν. εἰ τοίνυν οὐκ ἄν ποτε πρόσοιτο γέννησιν, ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως, οὐκ ἔστι μὲν πατὴρ ὁ θεός. οὐκ ἔστι δέ, ἀλλ' ἄμεινον ἡμῖν ἀφεῖναι ἀτελὲς τὸ βλάσφημον. ὁ μὲν γὰρ οὐ προσήκατο γέννησιν. ὁ δέ, οὐ μετέλαβε τῆς τοῦ γεννή-

ἥσαν. καὶ τὸ τοσοῦτον ἀπόρρητον, ὃ μηδενὶ τῶν ἁγίων ἐφανερώθη, αὐτὸς ἐν βίβλοις γρά-
φων, δημοσιεύει καὶ ἐκλαλεῖ πᾶσιν ἀνθρώποις ἀπερισκέπτως. καὶ τὰ μὲν ἐπαγγελίαις
ἀποκείμενα ἡμῖν, ὑπὲρ πᾶσαν γνῶσιν ἐστὶν ἀνθρωπίνην. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ὑπερέχει
πάντα νοῦν. αὐτὴν δὲ τὴν οὐσίαν τοῦ θεοῦ, οὐ καταδέχεται ὑπὲρ πάντα νοῦν καὶ ὑ-
πὲρ πᾶσαν γνῶσιν ἀνθρώπων. οἶμαι δὲ οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ πᾶσαν λογι-
κὴν φύσιν ὑπερβαίνειν αὐτῆς τὴν κατάληψιν. λογικὴν δὲ νῦν, τὴν ἐν τῇ κτίσει λέγω.
υἱῷ γὰρ μόνῳ γνωστὸς ὁ πατὴρ καὶ τῷ ἁγίῳ πνεύματι. ὅτι οὐδεὶς οἶδε τὸν πατέρα, εἰ μὴ ὁ
υἱός. καὶ τὸ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ. οὐδεὶς γὰρ οἶδε φησὶ τὰ τοῦ
ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. καὶ τὰ τοῦ θεοῦ οὐδεὶς ἔγνωκεν,
εἰ μὴ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ τὸ ἐξ αὐτοῦ. τί οὖν ἐξαίρετον τῇ γνώσει τοῦ μονογενοῦς ἢ τοῦ
ἁγίου πνεύματος καταλείψουσιν, εἴπερ αὐτοὶ τῆς οὐσίας αὐτῆς ἔχουσι τὴν κατάληψιν.
οὐ γὰρ δὴ τῆς δυνάμεως, καὶ τῆς ἀγαθότητος καὶ τῆς σοφίας τοῦ θεοῦ. τῷ μονογενεῖ τὴν
θεωρίαν προσνείμαντες, συμμετρεῖν ἑαυτοῖς θήσονται τῆς οὐσίας τὴν κατανόησιν. πᾶν
γὰρ που τὸ ἐναντίον, εἰκὸς αὐτὴν μὲν τὴν οὐσίαν ἀπερίληπτον εἶναι παντί, πλὴν ἢ τῷ μο-
νογενεῖ καὶ τῷ ἁγίῳ πνεύματι. ἐκ δὲ τῶν ἐνεργειῶν τοῦ θεοῦ ἀναγομένους ἡμᾶς, καὶ διὰ τῶν
ποιημάτων τὸν ποιητὴν ἐννοοῦντας, τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας αὐτοῦ λαμ-
βάνειν τὴν σύνεσιν. τοῦτο γάρ ἐστι τὸ γνωστὸν τοῦ θεοῦ, ὃ πᾶσιν ἀνθρώποις ἐφανέρωσεν.
ἐπεί γε ὅσα παρὰ τοῖς θεολόγοις περὶ οὐσίας θεοῦ ἀναγεγράφθαι δοκεῖ, τροπολογίαις
πού ἢ καὶ ἀλληγορίαις, πρὸς ἑτέρας ἐννοίας οἱ λόγοι φέρουσιν. ὥστε εἴ τις ἀβασανί-
στως κατὰ τὴν πρόχειρον ἐκδοχὴν ψιλῷ παρίστασθαι φιλονεικοίη τῷ γράμματι, πρὸς
ἰουδαϊκοὺς καὶ γραώδεις μύθους ἐκτραπεὶς, παντελῶς τῶν ἀξίων περὶ θεοῦ νοη-
μάτων καταγηράσει. πρὸς γὰρ τῷ ὑλικήν τινα ἐννοεῖν τὴν οὐσίαν τοῦ θεοῦ. καὶ κατὰ τοῦτο τοῖς
ἀθέοις τῶν ἑλλήνων συμφέρεσθαι, ἔτι καὶ ποικίλην καὶ σύνθετον ὑπολήψεται ταύ-
την. ἠλέκτρινον μὲν, τὸ ἀπὸ ὀσφύος ἕως ἄνω τὸν θεὸν εἶναι τοῦ προφήτου διηγουμένου. ἐκ
πυρὸς δὲ, συμβιβάζεσθαι τὰ κάτω. ὁ δὲ μὴ πρὸς ὑψηλοτέρας ἐννοίας ἀναβαίνων διὰ τοῦ
γράμματος. ἀλλ' αὐτοῦ που τοῖς σωματικοῖς ἐγκαταμένων ὑπογραφαῖς. καὶ τοιαύ-
την τοῦ θεοῦ τὴν οὐσίαν παρὰ τοῦ ἰεζεκιὴλ διδαχθεὶς, πάλιν πῦρ εἶναι τὸν θεὸν παρὰ τοῦ μωϋ-
σέως ἀκούσεται. καὶ παρὰ τοῦ σοφοῦ δανιὴλ, πρὸς ἄλλας ὑπολήψεις ἀπενεχθήσεται.
καὶ οὕτως οὐ ψευδεῖς μόνον, ἀλλὰ καὶ μαχομένας ἀλλήλαις ἐκ τῶν γραμμάτων ἀερεθή-
σεται τὰς φαντασίας ἀναλεγόμενος. ἀφεμένοις οὖν τῆς κατὰ τὴν οὐσίαν πολυπρα-
γμοσύνης ὡς ἀνεφίκτου, τῇ ἁπλῇ παραινέσει τοῦ ἀποστόλου λέγοντος πιστευτέον. πιστεῦ-
σαι γὰρ δεῖ πρῶτον, ὅτι ἐστὶ θεὸς, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν, μισθαποδότης γίνεται. οὐ
γὰρ ἡ τοῦ τί ἐστιν ἐξερεύνησις. ἀλλ' ἡ τοῦ ὅτι ἐστὶν ὁμολογία, τὴν σωτηρίαν ἡμῶν παρασκευά-
ζει. ἐπεὶ οὖν ἀπερινόητος ἀνθρώπου φύσει καὶ ἄρρητος παντελῶς ἡ οὐσία τοῦ θεοῦ ἀ-
ποδέδεικται, λείπομενόν ἐστι περὶ τῆς ἀγεννησίας αὐτῆς τί ποτέ ἐστι, καὶ πῶς ἐπιθεωρεῖται
τῷ θεῷ τῶν ὅλων διεξελθεῖν. εὑρίσκομεν οὖν λογιζόμενοι, ὅτι οὐκ ἐν τῇ τοῦ τί ἐστιν ἀνερευνή-
σει, ἡ τοῦ ἀγεννήτου ἡμῖν ἔννοια ὑποπίπτει. ἀλλὰ μᾶλλον ἵνα βιασάμενος εἴπω τὸν λό-
γον, ἐν τῇ τοῦ ὅπως ἐστίν. ἐξετάζων γὰρ ἡμῶν ὁ νοῦς. εἰ ὁ ἐπὶ πάντων θεὸς, ἑαυτοῦ τινὰ αἰ-
τίαν ὑπερκειμένην ἔχει. εἶτα οὐ δυνάμενος ἐπινοεῖν οὐδεμίαν, τὸ ἄναρχον αὐτοῦ τῆς ζωῆς,
ἀγέννητον προσηγόρευσεν. ὡς γὰρ ἐν τοῖς περὶ τῶν ἀνθρώπων λόγοις. ὅταν λέγωμεν
ὅτι ὁ δεῖνα ἐκ τοῦδε γέγονεν. οὐ τὸ τί ἐστιν ἑκάστου, ἀλλὰ τὸ ὅθεν γέγονε διηγούμεθα, οὕτω καὶ
ἐν τοῖς περὶ θεοῦ, ἡ ἀγέννητος φωνὴ, οὐ τὸ τί. ἀλλὰ τὸ μηδαμόθεν αὐτοῦ σημαίνει. οὑτωσὶ
δ' ἂν σαφέστερον ὃ λέγω γένοιτο. ὁ εὐαγγελιστὴς λουκᾶς τὴν κατὰ σάρκα γενεαλο-
γίαν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ ἐκτιθέμενος, καὶ ἀπὸ τῶν τελευταίων ἐπὶ τὰ πρῶ-
τα ἀναποδίζων, ἤρξατο μὲν ἀπὸ τοῦ ἰωσήφ. εἰπὼν δὲ τοῦτον μὲν τοῦ ἠλί. τὸν δὲ τοῦ
ματθάν. καὶ οὕτω κατὰ ἀνάλυσιν πρὸς τὸν ἀδὰμ τὴν ἐξήγησιν ἐπανάγων. εἶτα ἐλθὼν
ἐπὶ τὰ ἄνω. καὶ εἰπὼν ὅτι ὁ σὴθ ἐκ τοῦ ἀδὰμ, ὁ δὲ ἀδὰμ ἐκ τοῦ θεοῦ, ἐνταῦθα τῆς ἀνα-
βάσεως ἔληξεν. οὐχὶ τὰς οὐσίας τῶν ἀπηριθμημένων δηλῶν ἐν τῇ διηγήσει τῆς ἑκάστου
γενέσεως. ἀλλὰ τὰς προσεχεῖς ἀρχὰς ἀφ' ἧς ἕκαστος γέγονεν ἐκτιθέμενος. ὥσπερ οὖν ἐκεῖ-
νος εἶπεν. ὅτι ὁ ἀδὰμ ἐκ τοῦ θεοῦ, οὕτως ἡμᾶς ἑαυτοὺς ἐρωτήσωμεν. ὁ δὲ θεὸς ἐκ τίνος.

ἆρ' ἐκ τῆς κοινῆς ἐννοίας; ἀλλ' αὕτη τὸ εἶναι τὸν θεὸν, οὐ τὸ τί εἶναι ἡμῖν ὑποβάλλει. ἀλλ' ἐκ τῆς διδασκαλίας τοῦ πνεύματος; ποίας; ἢ τῆς ποῦ κειμένης, οὐχ ὁ μὲν μέγας δαβὶδ, ᾧ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς ἑαυτοῦ σοφίας δεδήλωκεν ὁ θεὸς, φανερῶς ὁμολογεῖ τῆς γνώσεως τὸ ἀπρόσιτον λέγων. ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. ἐκραταιώθη οὐ μὴ δυνῶμαι πρὸς αὐτήν. ἡσαΐας δὲ ὁ ἐν θεωρίᾳ τῆς δόξης τοῦ θεοῦ γενόμενος, τί περὶ τῆς θείας οὐσίας ἐδήλωσεν ἡμῖν. ὅς γε ἐν τῇ περὶ χριστοῦ προφητείᾳ διαμαρτύρεται λέγων, τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται. τί δὲ τὸ σκεῦος τῆς ἐκλογῆς παῦλος, ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν χριστὸν. ὁ ἕως τρίτου ἁρπαγεὶς οὐρανοῦ. ὁ τὰ ἄρρητα ἀκούσας ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, τίνα ἡμῖν περὶ οὐσίας θεοῦ διδασκαλίαν ἀφῆκεν. ὅς γε ὅτε εἰς τοὺς μερικοὺς τῆς οἰκονομίας διέκυψε λόγους. οἷον, ἰλιγγιάσας πρὸς τὸ τῆς θεωρίας ἀδιεξόδευτον, ἐκείνην ἐξεβόησε τὴν φωνήν. ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ. καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. εἰ δὲ ταῦτα τοῖς εἰς τὸ τῆς παύλου γνώσεως μέτρον πεφθακόσιν ἀνέφικτα, πόσος ὁ τῦφος τῶν ἐπαγγελλομένων εἰδέναι τοῦ θεοῦ τὴν οὐσίαν. οὓς ἡδέως ἂν ἐρωτήσαιμι περὶ τῆς γῆς ἐφ' ἧς ἑστᾶσι καὶ ἀφ' ἧς γεγόνασι, τί ποτε λέγουσι. τίνα αὐτῆς τὴν οὐσίαν ἀπαγγέλλουσιν ἡμῖν. ἵνα ἐὰν ἄρα περὶ τῶν χαμαὶ καὶ ὑπὸ τοῖς ποσὶ κειμένων ἀναντιρρήτως ἡμῖν διαλεχθῶσι, τότε αὐτοῖς καὶ περὶ τῶν ἐπέκεινα πάσης ἐννοίας διατεινομένοις πιστεύσωμεν. τίς οὖν τῆς γῆς ἡ οὐσία; ποῖος τρόπος τῆς καταλήψεως. ἀποκρινάσθωσαν ἡμῖν πότερον λόγος ἐφίκετο ταύτης, ἢ αἴσθησις. καὶ εἰ μὲν τὴν αἴσθησιν φήσουσι, ποία τῶν αἰσθήσεων ἐστὶ καταληπτική, ὁράσει; ἀλλὰ χρωμάτων ἐστὶν ἀντιληπτικὴ αὕτη. ἀλλὰ ἀφῇ; καὶ αὕτη σκληρότητος καὶ ἁπαλότητος. καὶ θερμοῦ καὶ ψυχροῦ, καὶ τῶν τοιούτων ἐστὶ διακριτική. ὧν οὐδὲν αὐτῆς οὐσίαν εἴποι, μὴ εἰς ἔσχατον παρανοίας ὑπενεχθείς. περὶ γεύσεως δὲ καὶ ὀσφρήσεως, τί χρὴ καὶ λέγειν. ὧν ἡ μὲν, χυμῶν. ἡ δὲ ἑτέρα, τῶν ἀτμῶν τὴν ἀντίληψιν ἔχει. ἀκοὴ δὲ, ψόφων ἐστὶ καὶ φωνῶν αἰσθητική, τῶν οὐδεμίαν ἐχόντων πρὸς τὴν γῆν οἰκειότητα. λείπεται οὖν τῷ λόγῳ φάσκειν αὐτοὺς τὴν οὐσίαν αὐτῆς ἐξευρηκέναι. ποίῳ τούτῳ. ποῦ τῆς γραφῆς κειμένῳ. ὑπὸ τίνος τῶν ἁγίων παραδοθέντι. ὁ μέν γε περὶ τῆς κτίσεως ἡμῖν διαλεχθεὶς, τοσοῦτον ἡμᾶς ἐδίδαξεν. ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. ἐξαρκεῖν ἡγούμενος τὸν ποιήσαντα αὐτὴν καὶ διακοσμήσαντα διαγγεῖλαι. τίς δὲ ἡ οὐσία ταύτης περιεργάζεσθαι, ὡς μάταιον καὶ ἀνωφελὲς τοῖς ἀκούουσι παρῃτήσατο. εἰ τοίνυν μήτε τῇ ἐκ τῆς αἰσθήσεως μαρτυρίᾳ, μήτε τῇ ἐκ τοῦ λόγου διδασκαλίᾳ, ἡ γνῶσις αὐτῆς βεβαιοῦται, πόθεν ἔτι φήσουσι τὴν κατάληψιν αὐτῆς ἐσχηκέναι. τὸ μὲν γὰρ ὅσον αὐτῆς αἰσθητὸν, ἢ χρῶμά ἐστιν, ἢ ὄγκος, ἢ κουφότης, ἢ βάρος, ἢ πυκνότης, ἢ χαυνότης, ἢ ἀντιτυπία, ἢ ἁπλότης, ἢ ψυχρότης, ἢ θερμότης, ἢ αἱ κατὰ τοὺς χυμοὺς ποιότητες, ἢ αἱ κατὰ σχῆμα διαφοραὶ, ἢ μέγεθος. ὧν οὐδὲν οὐσίαν εἴποιεν αὐτοί, οὐδὲ εἰ πάντα ῥᾳδίως λέγοιεν. λόγῳ δὲ πάλιν οὐδενὶ γέγονε θεωρητὴ τῶν σοφῶν καὶ μακαρίων ἀνδρῶν. ποῖος οὖν ἔτι τρόπος τῆς γνώσεως ὑπολέιπεται. ἀποκρινάσθωσαν ἡμῖν οἱ περιφρονοῦντες πάντα τὰ ἐν ποσὶ, διαβαίνοντες δὲ τὸν οὐρανὸν, καὶ πάσας τὰς ὑπερκοσμίους δυνάμεις. αὐτῇ δὲ τῇ πρώτῃ οὐσίᾳ διὰ τοῦ νοῦ συναπτόμενοι. ἀλλ' ἔοικεν ὁ τῦφος, πάντων εἶναι τῶν ἐν ἀνθρώποις παθῶν χαλεπώτατον. καὶ ὄντως τῷ τοῦ διαβόλου κρίματι περιβάλλειν, οἷς ἂν προσγένηται. ὅθεν καὶ οὗτοι οὐδὲ τῆς γῆς ἧς καταπατοῦσι τὴν φύσιν ἥ τίς ἐστιν ἐξηγησάμενοι, αὐτὴν ἐμβατεύειν τὴν οὐσίαν τοῦ θεοῦ τῶν ὅλων ἀλαζονεύονται. καὶ τοῖς μὲν ἁγίοις αὐτοῦ ὁ θεὸς, τῷ ἀβραὰμ καὶ τῷ ἰσαὰκ καὶ τῷ ἰακὼβ. ὧν διὰ τὸ εἰς πᾶσαν ἀρετὴν τέλειον, καὶ τὸ θεὸς ὀνομάζεσθαι, ὥς τι ἐξαίρετον καὶ πρέπον τῇ ἑαυτοῦ μεγαλειότητι προετίμησε. λέγων ἑαυτὸν, θεὸν ἀβραὰμ, καὶ θεὸν ἰσαὰκ, καὶ θεὸν ἰακὼβ. τοῦτο γάρ μου ὄνομα αἰώνιον φησὶ καὶ μνημόσυνον γενεῶν γενεαῖς. τούτοις τοίνυν οὐδὲ τὸ ὄνομα ἑαυτοῦ ἐδήλωσεν ὁ θεός. ἤπου γε τὴν οὐσίαν ἥτις ἐστὶν ἀπεκάλυψεν. ἐγὼ γάρ φησι κύριος. καὶ ὤφθην τῷ ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακὼβ. θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς. ὡς μεῖζον δηλονότι, ἢ ὥστε ἀνθρωπίνῃ ἀκοῇ χωρηθῆναι. ὀνομάζων δὲ ὡς ἔοικεν, οὐ τὸ ὄνομα μόνον, ἀλλὰ καὶ αὐτὴν αὐτοῦ τὴν οὐσίαν ὁ θεὸς ἐκφα-

αἰσθάνονται οὐ τῶν φθαρτῶν, ἢ οὐ τῶν ὁρατῶν, ἢ οὐ τῶν γεννητῶν, τὸν Θεὸν ὑπάρχειν οἱ ἄνθρωποι. ὥστε διὰ τούτων γε ἁπάντων τῶν ἀπηγορευμένων ὀνομάτων, οἱονεὶ ἀπάρνησίς τίς ἐστι τοῦ ἀλλοτρίου. διορθουμένης ἡμῶν τῆς διανοίας, καὶ τὰς περὶ τῶν μὴ προσόντων αὐτῷ ὑπολήψεις ἀποτιθεμένης. πάλιν ἀγαθὸν λέγομεν τὸν Θεὸν, καὶ δίκαιον, καὶ δημιουργὸν, καὶ κριτὴν, καὶ ἄλλα ὅσα τοιαῦτα. ὡς οὖν ἐπ' ἐκείνων ἀθέτησίν τινα καὶ ἀπαγόρευσιν τῶν ἀλλοτρίων τοῦ Θεοῦ ἐσήμαινον αἱ φωναὶ, οὕτως ἐνταῦθα θέσιν καὶ ὕπαρξιν τῶν οἰκείων τῷ Θεῷ καὶ πρεπόντως περὶ αὐτὸν θεωρουμένων ἀποσημαίνουσιν. ἐκ τοίνυν ἑκατέρου τοῦ εἴδους τῶν προσηγοριῶν διδασκόμεθα, ἢ περὶ τῶν προσόντων, ὅτι πρόσεστιν, ἢ περὶ τῶν μὴ προσόντων ὅτι μὴ πρόσεστι. τό γε μὴν ἀγέννητον, τῶν μὴ προσόντων ἐστὶ σημαντικόν. δηλοῖ γὰρ τὸ μὴ προσεῖναι γέννησιν τῷ Θεῷ. τοῦτο δὲ εἴτε ἀφαιρετικὸν, εἴτε ἀπαγορευτικόν, ἢ ἀρνητικὸν, ἤ τι τοιοῦτον βούλοιτό τις προσαγορεύειν, οὐ διοισόμεθα. ὅτι δὲ οὐ τῶν ὑπαρχόντων τῷ Θεῷ σημαντικόν ἐστι τὸ ἀγέννητον, ἀρκούντως οἶμαι δηλοῦσθαι τοῖς εἰρημένοις. ἡ δὲ οὐσία, οὐχ οὔ τι τῶν μὴ προσόντων ἐστίν. ἀλλ' αὐτὸ τὸ εἶναι τοῦ Θεοῦ, ὅπερ ἐν τοῖς μὴ οὖσι καταριθμεῖν, παρανοίας ἐστὶ τῆς ἀνωτάτω. εἰ γὰρ ἡ οὐσία ἐν τοῖς μὴ οὖσι, σχολῇ γ' ἂν ἄλλο τι τῶν λεγομένων εἴη. δέδεικται δὲ ἄρα τὸ ἀγέννητον, τοῖς μὴ προσοῦσι τεταγμένον. ὥστε ψευδεῖς οἱ τιθέμενοι τῆς οὐσίας αὐτῆς εἶναι, τὴν φωνὴν ταύτην δηλωτικήν. ὁ δὲ, ὡς ἐπ' ἀτόπῳ τῷ κατὰ στέρησιν τι λέγεσθαι περὶ Θεοῦ δυσχεραίνων ὑπὲρ τὸ ἀσεβέστερον δόγμα καταφεύγει, τῷ αὐτὴν τὴν οὐσίαν τίθεσθαι τὸ ἀγέννητον, καὶ συνάγει ἑαυτῷ τὸν λόγον πρὸς τὸ κεφάλαιον, οὕτω γράφει.

Εὐνόμιος

οὐκοῦν εἰ μήτε κατ' ἐπίνοιαν, μήτε κατὰ στέρησιν, μήτε ἐν μέρει (ἀμερὴς γάρ), μήτε ἐν αὐτῷ ὡς ἕτερον (ἁπλοῦς γάρ), μήτε παρ' αὐτὸν ἕτερον (εἷς γὰρ καὶ μόνος ἀγέννητος), αὐτὸ ἂν εἴη οὐσία ἀγέννητος.

Βασίλειος

Ἤγαγε τὸν λόγον ἐφ' ὃ ἐβούλετο. καὶ πανταχόθεν τὸ ἀγέννητον ἀποσπάσας, εἰς αὐτὴν συνήλασεν ὡς ᾤετο τὴν οὐσίαν. εἰπὼν περὶ τοῦ Θεοῦ τῶν ὅλων, ὅτι αὐτὸ ἂν εἴη οὐσία ἀγέννητος. ἐγὼ δὲ τὴν μὲν οὐσίαν τοῦ Θεοῦ ἀγέννητον εἶναι, καὶ αὐτὸς ἂν φαίην. οὐ μὴν τὸ ἀγέννητον τὴν οὐσίαν. ἔπειτα μέντοι κἀκείνῳ προσέχειν ἄξιον, ὅτι τὸ ἀμερὲς καὶ τὸ ἁπλοῦν, ταὐτὸν ὑπάρχον κατὰ τὴν ἔννοιαν. ἀμερὲς γάρ ἐστι τὸ μὴ ἐκ μερῶν συγκείμενον. καὶ ἁπλοῦν ὡσαύτως τὸ μὴ ἐκ πλειόνων τὴν σύστασιν ἔχον, οὕτως ὡς διαφέροντα τῷ ὑποκειμένῳ, διΐστησιν ἀπ' ἀλλήλων. εἶτα ἀπαγορεύει, μὴ δεῖν καταμερίζειν τὸν Θεὸν, μηδὲ τὸ μέν τι αὐτοῦ ἀγέννητον, τὸ δὲ γεννητὸν ὑποτίθεσθαι. μηδ' αὖ ἐγκεῖσθαι ὡς ἕτερον ἐν ἑτέρῳ νομίζειν αὐτῷ τὸ ἀγέννητον. τούτων δὲ τὸ μάταιον, ἀποκνῶ διελέγχειν. ἔοικα γάρ πως συνεξομοιοῦσθαι τῷ ματαιολογοῦντι ὁ ἀντιλέγων. διόπερ οἶμαι ὁ σοφὸς, παρεγγυᾷ Σολομῶν, μὴ ἀποκρίνεσθαι τῷ ἄφρονι κατὰ τὴν ἐκείνου ἀφροσύνην. τὰ γὰρ μήτε εἰρημένα μήτε λεχθησόμενά ποτε λόγοις, ὑπὸ διαίρεσιν ἤγαγεν. ἵνα δόξῃ ἐν πολλοῖς τοῖς ἀπηριθμημένοις, καθ' ἕνα μόνον τρόπον οἰκείως ἐξευρίσκειν λεγόμενον τὸ ἀγέννητον. ἡμῖν δὲ ἴσως πλείονος ἔδει λόγου πρὸς τὴν τοῦ ψεύδους παράστασιν, καὶ πρὸς τὸ δεῖξαι, ὅτι περ οὐκ οὐσία Θεοῦ τὸ ἀγέννητον, εἴπερ τὰ ἐν τῇ διαιρέσει παρ' αὐτοῦ ἀπαριθμημένα μὴ σαφῶς ἐξελήλεγκτο. εἰ γὰρ ἰσχυρῶς εἶχεν ὁ λόγος αὐτῷ, ὅτι οὔτε κατὰ στέρησιν, οὔτε κατ' ἐπίνοιαν λαμβάνεται τὸ ἀγέννητον, οὐδ' οὕτω μὲν ἂν, πάντως ἀκολουθίαν εἶχε τὸ συναγόμενον. τίς γὰρ ἡ ἀνάγκη, ὑπὸ ἓν τῶν ἀπηριθμημένων τὴν ἀγεννησίαν πεσεῖν. οὐ μὴν ἀλλ' ἐπειδὴ αὐτὸς ὡς ἀναγκαίως συνημμένον τοῖς προάγουσιν ἐπιφέρει. τὸ οὐκοῦν εἰ μήτε κατ' ἐπίνοιαν, μήτε κατὰ στέρησιν, μήτε κατὰ ἄλλον τινὰ τῶν ἀπηριθμημένων τρόπον, αὐτὸ ἂν εἴη οὐσία ἀγέννητος. οὕτως ἡμεῖς ἀντιστρέψαντες εἴπωμεν, ὅτι οὐκοῦν ἐπειδὴ κατ' ἐπίνοιαν θεωρεῖται. καὶ στερητικόν ἐστι τὸ ὄνομα, οὐχὶ οὐσία Θεοῦ τὸ ἀγέννητον. ἕως γὰρ ἐλέγχει τὰ εἰρημένα, οὐδὲ ταῖς προτάσεσιν ἑαυτοῦ τὴν ἰσχὺν ἀποδίδωσιν, οὐδεμίαν αὐτῷ χώραν ἔχει τὸ συναγόμενον. ὅλως δὲ τὸ οἴεσθαι τοῦ ἐπὶ πάντων Θεοῦ, αὐτὴν τὴν οὐσίαν ἐξευρηκέναι, πόσης ὑπερηφανίας ἐστὶ καὶ φυσιώσεως. σχεδὸν γὰρ καὶ αὐτὸν ἀποκρύπτουσι τῇ μεγαληγορίᾳ, τὸν εἰπόντα· ἐπάνω τῶν ἄστρων θήσομαι τὸν θρόνον μου. οἵ γε οὐχὶ ἀστέρων, ἢ οὐρανοῦ κατατολμῶσιν, ἀλλ' αὐτὴν ἐμβατεύειν τὴν τοῦ Θεοῦ τῶν ὅλων τὴν οὐσίαν ἀλαζονεύονται. ἐξετάσωμεν γὰρ αὐτὸν, πόθεν αὐτὸς φησὶν ἐν περινοίᾳ γεγενῆσθαι.

ἀνεγνωκότας εἴποιεν ἄν, ἐν ταῖς ἐπιγραφομέναις αὐτοῦ κατηγορίαις, οἳ περὶ ἕξεως καὶ στερήσεως λόγοι· δευτέρας εἶναι λέγοντος τῶν ἕξεων τὰς στερήσεις. ἡμῖν δὲ ἐξήρκει δεῖξασιν αὐτὸν οὐκ ἐκ τῆς διδασκαλίας τοῦ πνεύματος, ἀλλ᾽ ἐκ τῆς σοφίας τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου λαλοῦντα, τὸ τοῦ ψαλμοῦ πρὸς αὐτὸν ἐπιφθέγξασθαι· ὅτι διηγήσαντό μοι παράνομοι ἀδολεσχίας· ἀλλ᾽ οὐχ ὡς ὁ νόμος σου κύριε. καὶ μαθόντας ὅτι οὐκ ἐκ τῶν θείων καὶ ἀληθινῶν διδαγμάτων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐστὶ τὰ λεγόμενα, τῆς αὐτοῦ φωνῆς ὑπομνησθῆναι, ὅτι ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ. καὶ τούτῳ τῷ τρόπῳ τοὺς πολλοὺς τῶν λόγων ἑαυτοῖς συντεμεῖν, ἐντεῦθεν πᾶσι καταφανὲς ποιήσαντας, ὅτι οὐδεμία ἡμῖν πρὸς αὐτοὺς κοινωνία. τίς γὰρ συμφώνησις, Χριστοῦ πρὸς Βελίαρ. ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου. ἵνα δὲ μὴ δόξωμεν δι᾽ ἀπορίαν ἐλέγχων, εἰς τὴν σιωπὴν καταφεύγειν, φέρε καὶ περὶ τούτων βραχέα διαλεχθῶμεν. πολλὰ ὦ Ἀνόμιε τῶν περὶ θεοῦ λεγομένων, κατὰ τὸν ὅμοιον ὁρῶμεν ἐκφερόμενα τύπον. οἷον ὁ ἄφθαρτος. ὁ ἀόρατος, ὁ ἀθάνατος. τοῦ δὲ αὐτοῦ τύπου τιθέμεθα εἶναι, καὶ τὸ ἀγέννητος. εἰ μὲν οὖν στερητικά τινες ὀνομάζουσι τὰ τοιαῦτα, οὐ πρὸς ἡμᾶς ὁ λόγος. οὔτε γὰρ ἴσμεν τεχνολογίας λέξεων, οὔτε τοὺς εἰδότας ζηλοῦμεν. πλήν γε δὴ ὅτι οὔπω ἂν τεθῶσιν αἱ λοιπαὶ φωναὶ ἃς ἀπηριθμησάμεθα, τοῦ αὐτοῦ εἶναι φήσομεν καὶ τὴν τοῦ ἀγεννήτου προσηγορίαν. ὡς τοίνυν τὸ ἄφθαρτον, τὸ μὴ προσεῖναι τῷ θεῷ φθορὰν σημαίνει. καὶ τὸ ἀόρατον, τὸ ὑπερβαίνειν αὐτὸν πᾶσαν τὴν διὰ τῶν ὀφθαλμῶν κατάληψιν. καὶ τὸ ἀσώματον, τὸ μὴ ὑπάρχειν αὐτοῦ τριχῇ διαστατὴν τὴν οὐσίαν. καὶ τὸ ἀθάνατον τὸ μηδέποτε διάλυσιν αὐτῷ προσγενήσεσθαι, οὕτω φαμὲν καὶ τὸ ἀγέννητον δηλοῦν τὸ γέννησιν αὐτῷ μὴ προσεῖναι. εἰ μὲν οὖν μηδὲν τούτων στερητικὸν τῶν ὀνομάτων, οὐδὲ ἐκεῖνο. εἰ δὲ ἐπ᾽ ἐκείνων δίδως τὸ κατὰ στέρησιν λέγεσθαι, τίνι τῆς τοῦ ἀγεννήτου προσηγορίας οὐ συγχωρεῖς, εἰπὲ τίνος μὲν ἕξεως προλαβούσης, στέρησιν ἐμφαίνει τὸ ἄφθαρτον. πῶς δὲ οὐχὶ τὸ ἴσον αὐτῷ δύναιτ᾽ ἂν τὸ ἀγέννητον. ἀλλὰ περὶ μόνην τὴν λέξιν ταύτην κακοτεχνεῖ, διότι ἐντεῦθεν αὐτῷ αἱ ἀφορμαὶ τῆς ἀσεβείας, ἤρτηνται. ἵνα δὲ σαφὲς αὐτοῦ τὸ τέχνασμα γένηται, οὕτω ποιήσατε. οὓς ἐπὶ τοῦ ἀγεννήτου γυμνάζει λόγους. ὅτι οὔτε κατ᾽ ἐπίνοιαν ἀνθρωπίνην, οὔτε κατὰ στέρησιν εὔλογόν ἐστι περὶ θεοῦ λέγεσθαι, τούτους μετενεγκόντες ἐπ᾽ ἄλλου τινὸς τῶν περὶ θεοῦ λεγομένων, σκοπεῖτε. εὑρήσετε γὰρ ἑκάστῳ ἀκριβῶς ἐφαρμόζοντας. καὶ εἰ βούλεσθε, ἐπὶ τοῦ ἀφθάρτου ταῦτα λέγωμεν. αὐτὴν αὐτοῦ τὴν λέξιν μετακομίσαντες. ἄφθαρτον δὲ λέγοντες, οὐ κατ᾽ ἐπίνοιαν ἀνθρωπίνην σεμνύνειν οἰόμεθα δεῖν. ἀποτιννύναι δὲ αὐτῷ τὸ πάντων ἀναγκαιότατον ὄφλημα. τὴν τοῦ εἶναι ὅ ἐστιν ὁμολογίαν. ἀλλὰ μὴν, οὐδὲ κατὰ τὴν στέρησιν. εἴγε τῶν κατὰ φύσιν αἱ στερήσεις εἰσὶ στερήσεις, καὶ τῶν ἕξεων δεύτεραι. τί μᾶλλον ἐπὶ τοῦ ἀγεννήτου πρέπει ταῦτα φιλοσοφεῖν, ἢ καὶ ἐπὶ τοῦ ἀφθάρτου. καὶ ὅλως ἐφ᾽ ἑκάστης φωνῆς τῆς κατὰ τὸν αὐτὸν τύπον ἐκφερομένης. ἀλλ᾽ οὐδὲν τῶν ἄλλων αὐτῷ πρὸς τὴν ἀσέβειαν συνεργεῖ, διὸ τῶν λοιπῶν οὐδὲ μέμνηται. καίτοι μυρίων ὄντων τῶν περὶ θεοῦ λεγομένων, ἔχει δὲ οὕτως. ὄνομα μὲν οὐδέν ἐστιν ὄνομα, ὃ πᾶσαν ἐξαρκεῖ τὴν τοῦ θεοῦ φύσιν περιλαβεῖν, ἱκανῶς ἐξαγγεῖλαι. πλείω δὲ καὶ ποικίλα κατ᾽ ἰδίαν ἕκαστον σημασίαν, ἀμυδρὰν μὲν παντελῶς καὶ μικροτάτην ὡς πρὸς τὸ ὅλον. ἡμῖν γε μὴν ἐξαρκοῦσαν τὴν ἔννοιαν συναθροίζει. ἐν τοίνυν τοῖς περὶ θεοῦ λεγομένοις ὀνόμασι, τὰ μὲν, τῶν προσόντων τῷ θεῷ δηλωτικά ἐστι. τὰ δὲ, τὸ ἐναντίον τῶν μὴ προσόντων. ἐκ δύο γὰρ τούτων, οἱονεὶ χαρακτήρ τις ἡμῖν ἐγγίνεται τοῦ θεοῦ. ἔκ τε τῆς τῶν ἀπεμφαινόντων ἀρνήσεως, καὶ ἐκ τῆς τῶν ὑπαρχόντων ὁμολογίας. οἷον ὅταν ἄφθαρτον ὀνομάζωμεν, δυνάμει λέγομεν ἑαυτοῖς ἢ τοῖς ἀκούουσιν, ὅτι μὴ οἴου τὸν θεὸν ὑποκεῖσθαι φθορᾶς. καὶ ὅταν ἀόρατον, ὅτι μὴ ὑπολάβῃς αὐτὸν τῇ διὰ τῶν ὄψεων αἰσθήσει καταλαμβάνεσθαι. καὶ ὅταν ἀθάνατον ὅτι μήποτε οἰηθῇς θάνατον προσγίνεσθαι τῷ θεῷ. οὕτω δὴ καὶ ὅταν ἀγέννητον, ὅτι μηδεμιᾶς αἰτίας μήτε ἀρχῆς ἐξῆφθαι τὸ εἶναι τοῦ θεοῦ νομίσῃς. καὶ ὅλως ἐξ ἑκάστου τούτων διδασκόμεθα, μὴ εἰς ἀπρεπεῖς ἐννοίας ἐν ταῖς περὶ θεοῦ ὑπολήψεσι καταπίπτειν. οὐκοῦν ἵνα τὸ ἐξαίρετον ἰδίωμα τοῦ θεοῦ ἐπιγνῶμεν, ἀπαγορεύομεν ἀλλήλοις ἐν τοῖς περὶ θεοῦ λόγοις, μὴ καταφέρειν τὰς διανοίας εἰς ἃ μὴ δεῖ. ἵνα μήποτε

Εὐνόμιος

Βασίλειος

καὶ γὰρ οὐ μὴν δὲ τοῦτο παρέλθωμεν. οἷον αὐτῷ τῆς εὐλαβείας τὸ σχῆμα ἐπὶ καταστρο-
φῇ τῶν ἀκουόντων ἐπινενόηται, ἐν τῷ λέγειν μὴ κατ' ἐπίνοιαν ἀνθρωπίνην σεμνύνεσθαι
τὸν θεὸν τῇ τοῦ ἀγεννήτου προσηγορίᾳ. ἐκ τούτου δὲ αὐτῷ τὸ πάντων ἀναγκαιότατον
ὄφλημα, ἐν τῇ τοῦ εἶναι ὅ ἐστιν ὁμολογίᾳ. τίς ἂν λόγος ἀξίως τῆς σκολιότητος ταύτης
τῶν τεχνασμάτων ἐφίκοιτο. ἐκφοβεῖν τοὺς ἁπλουστέρους ἐπιχειρεῖ, ὡς μὴ ἀποδιδόντας
τὰ ὀφειλόμενα τῷ θεῷ εἰ μὴ οὐσίαν εἶναι ὁμολογήσειαν τὸ ἀγέννητον. καὶ ὀφλήματος
ἔκτισιν τὴν ἰδίαν ἀσέβειαν ὀνομάζει. ἵνα μὴ δόξῃ παρ' ἑαυτοῦ τι λέγειν, ἀλλὰ τὸ ἀναγκαίως
τῷ θεῷ ὀφειλόμενον ἐκπληροῦν. καὶ τοῖς λοιποῖς ἐνδείκνυται, ὅτι οἱ μὲν τῇ οὐσίᾳ
τιθέμενοι τὸ ἀγέννητον, ἀνεύθυνοι ἀφεθήσονται. εἰ δὲ ἑτέρως κατὰ τὸν ἀσεβῆ τρόπον
ὑπολαμβάνοιεν, ὡς ἐλλειπόντες τὸ πάντων χρεῶν πρεσβύτατον καὶ ἀναγκαιό-
τατον ἔκτισμα, ἀπαραίτητον τὴν ὀργὴν ἐνδέξονται. ἡδέως οὖν αὐτὸν ἐξετάσαιμι. τὴν
ἀγνωμοσύνην ταύτην περὶ πάντων ὁμοίως τῶν περὶ θεοῦ λεγομένων φυλάσσει, ἢ κα-
τὰ τοῦτο μόνον τὸ ῥῆμα. εἰ μὲν γὰρ οὐδὲν ὅλως κατ' ἐπίνοιαν θεωρεῖ. ἵνα μὴ δόξῃ ἀνθρω-
πίναις τὸν θεὸν σεμνύνειν προσηγορίαις πάντα ὁμοίως οὐσίαν ὁμολογήσει τὰ ἐπιλεγόμε-
να τῷ θεῷ. πῶς οὖν οὐ καταγέλαστον τὸ δημιουργικὸν οὐσίαν εἶναι λέγειν. ἢ τὸ προνοη-
τικὸν πάλιν οὐσίαν. ἢ τὸ προγνωστικὸν πάλιν ὡσαύτως. καὶ ἁπαξαπλῶς, πᾶσαν ἐνέρ-
γειαν, οὐσίαν τίθεσθαι. καὶ εἰ πάντα ταῦτα πρὸς ἓν σημαινόμενον τείνει, ἀνάγκη πάν-
τα ταυτὸν ἀλλήλοις δύνασθαι τὰ ὀνόματα. ὡς ἐπὶ τῶν πολυωνύμων. ὅταν σίμωνα
καὶ πέτρον καὶ κηφᾶν, τὸν αὐτὸν λέγομεν. οὐκοῦν ὁ ἀκούσας τὸ ἀναλλοίωτον τοῦ θεοῦ,
πρὸς τὸ ἀγέννητον ὑπαχθήσεται. καὶ ὁ ἀκούσας τὸ ἀμερές, πρὸς τὸ δημιουργὸν ἀποφέ-
ρεται. καὶ ταύτης τί ἂν γένοιτο τῆς συγχύσεως ἀτοπώτερον. ἀφειλόμενοι τὴν ἰδίαν
σημασίαν ἑκάστου τῶν ὀνομάτων, ἀντινομοθετεῖν τῇ τε κοινῇ χρήσει καὶ τῇ διδασκαλίᾳ
τοῦ πνεύματος. καίτοι ὅταν μὲν ἀκούσωμεν περὶ τοῦ θεοῦ. ὅτι πάντα ἐν σοφίᾳ ἐποίησε,
τὴν δημιουργικὴν τέχνην αὐτοῦ διδασκόμεθα. ὅταν δὲ ὅτι ἀνοίγει τὴν χεῖρα αὐτοῦ καὶ
ἐμπιπλᾷ πᾶν ζῶον εὐδοκίας, τὴν διὰ πάντων κεχωρηκυῖαν πρόνοιαν. ὅταν δὲ ὅτι ἔθε-
το σκότος ἀποκρυφὴν αὐτοῦ, τὸ ἀόρατον τῆς αὐτοῦ φύσεως παιδευόμεθα. πάλιν δὲ τὸ
ἐκ προσώπου τοῦ θεοῦ λεγόμενον. ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι, τὸ ἀεὶ ταυτὸν καὶ ἄτρε-
πτον τῆς θείας οὐσίας μανθάνομεν. πῶς οὖν οὐχὶ μανία σαφής, μὴ ἴδιον σημαινόμε-
νον ἑκάστῳ τῶν ὀνομάτων ἀποβεβλῆσθαι λέγειν. ἀλλὰ παρὰ τὴν ἐνάργειαν, πάντα
ταυτὸν δύνασθαι, ἀλλήλοις διορίζεσθαι τὰ ὀνόματα. ἔπειτα ἐὰν καὶ δῶμεν τοῦτο,
οὐδ' οὕτω πλέον αὐτοῖς οὐδὲν εἰς τὸν σκοπὸν περιέσται. εἰ γὰρ πάντα ταῦτα ἐπὶ τοῦ θεοῦ
καὶ προσλαμβανόμενα τὴν οὐσίαν αὐτοῦ σημαίνει, τὸ ἀναλλοίωτον λέγω. καὶ τὸ ἀόρα-
τον. καὶ τὸ ἄφθαρτον. παραπλησίως δηλονότι καὶ ἐπὶ τοῦ μονογενοῦς υἱοῦ καὶ θεοῦ, οὐ-
σίας ἔσται δηλωτικά. ἀόρατον γὰρ ἀναλλοίωτον, καὶ ἄφθαρτον, καὶ ἀμερῆ, καὶ τὰ
τοιαῦτα πάντα, καὶ τὸν μονογενῆ υἱὸν ὀνομάζομεν. καὶ οὕτω τὸ σοφὸν αὐτοῖς, εἰς τὸ ἐναν-
τίον περιελάσεται. οὐ γὰρ μᾶλλον διὰ τὸ ἐν μιᾷ προσηγορίᾳ διάφορον, ἀνόμοιον κατὰ
τὴν οὐσίαν ἀποδεικνύειν ἕξουσιν, ἢ διὰ τὴν ἐν τοῖς πλέοσι κοινωνίαν, ὅμοιον ὁμολογεῖν
ὑπ' αὐτῆς τῆς ἀνάγκης τῶν δεδομένων, ἐκβιασθήσονται. εἰ δὲ λέγοι ἐπὶ μόνης τῆς τοῦ
ἀγεννήτου φωνῆς τῇ εὐλαβείᾳ ταύτῃ κεχρῆσθαι. ἐπὶ δὲ τῶν ἄλλων ἀφυλάκτως ἔ-
χειν, πάλιν αὐτὸν ἐρωτήσομεν. τίς ἡ ἀποκλήρωσις τοσούτων ὄντων τῶν περὶ θεοῦ λε-
γομένων ἐν ἑνὶ τούτῳ μόνῳ τὴν ἀκρίβειαν ἐπιδείκνυσθαι. καὶ ἐν τούτῳ ἀποπληροῦν-
τα αὐτῷ τὴν τοῦ εἶναι ὅ ἐστιν ὁμολογίαν, ἐν ἑτέροις παμπληθέσιν ἀνθρωπίναις ἐπινοίαις,
σεμνύνειν μὴ παραιτεῖσθαι. ὁ γὰρ πλειόνων ὀφειλέτης, οὐ μᾶλλον εὐγνώμων ἐν τῇ τοῦ
ἑνὸς ἀποδόσει, ἢ ὑπερβάλλων ἀγνωμοσύνῃ, ἐν τῇ τῶν πλειόνων ἀποστερήσει. οὕτω
μὲν οὖν ὡς τὰ πανοῦργα τῶν θηρίων ταῖς ἑαυτοῦ τέχναις ἁλίσκεται. οἷς λανθάνειν ἐπι-
χειρεῖ, τούτοις πλέον διελεγχόμενος. τίνα δὲ ἔτι τὰ ἑξῆς τοῦ λόγου σκοπεῖτε. δεῖξαι

Εὐνόμιος » ὡς οἴεται ὅτι ἀδύνατόν ἐστιν ἐπινοίᾳ λαβεῖν τὸ ἀγέννητον, ἐπάγει. ἀλλὰ μὴν, οὐδὲ κατὰ
» στέρησιν. εἴγε τῶν κατὰ φύσιν αἱ στερήσεις εἰσὶ στερήσεις, καὶ τῶν ἕξεων δεύτεραι.

Βασίλειος ταῦτα δὲ ὅτι ἐκ τῆς τοῦ κόσμου σοφίας περιλαλεῖ, ὑφ' ἧς ἐκτραχηλισθείς, τοὺς τοιού-
τους τῶν λόγων ἐπιτήδευσε καινοτομίας οὐ χαλεπὸν ἐπιδεῖξαι. ἀριστοτέλους γάρ εἰσιν ὡς οἱ

ἀνεγνωκότες

διαρθρωτικὰ παρὰ τῆς συνηθείας λέγεται, ὧν οὐδενὸς ἐπιμνησθεὶς οὗτος, ἢ ἀμαθῶς ἢ κακούργως, περὶ τῆς τῶν ἀνυπάρκτων ἐπινοίας μόνης ἡμῖν ἐφιλοσόφησε. καὶ οὐδὲ ταύτην ὡς ἔχει φύσεως ἐξηγούμενος. οὐ γὰρ σημαίνειν μέν τι τὴν ἐπίνοιαν, ψευδῆ δὲ τοῦτο φησίν. ἀλλὰ παντελῶς ἄσημον εἶναι τὸ ὄνομα, καὶ ἐν μόνῃ τῇ ἐκφωνήσει, τὴν ὑπόστασιν ἔχειν. καίτοι τοσοῦτον ἀπέχει τῆς κατὰ τῶν ματαίων μόνον καὶ ἀνυποστάτων φαντασιῶν τὸ ὄνομα τοῦτο τῆς ἐπινοίας κεῖσθαι, ὥστε μετὰ τὸ πρῶτον ἡμῖν ἐκ τῆς αἰσθήσεως ἐγγινόμενον νόημα, τὴν λεπτοτέραν καὶ ἀκριβεστέραν τοῦ νοηθέντος ἐπενθύμησιν, ἐπίνοιαν ὀνομάζεσθαι. ὅθεν ἡ συνήθεια καλεῖ ἐπιλογισμὸν εἰ καὶ μὴ οἰκείως. οἷον τοῦ σίτου νόημα μὲν ἁπλοῦν ἐνυπάρχει πᾶσι, καθὸ φανέντα γνωρίζομεν. ἐν δὲ τῇ ἀκριβεῖ περὶ αὐτοῦ ἐξετάσει, θεωρία τε πλειόνων προσέρχεται. καὶ προσηγορίαι διάφοροι τῶν νοηθέντων σημαντικαί. τὸν γὰρ αὐτὸν σῖτον, νῦν μὲν καρπὸν λέγομεν. νῦν δὲ σπέρμα. καὶ πάλιν τροφήν, καρπὸν μέν, ὡς τέλος τῆς παρελθούσης γεωργίας. σπέρμα δέ, ὡς ἀρχὴν τῆς μελλούσης. τροφὴν δέ, ὡς κατάλληλον εἰς προσθήκην τῷ τοῦ προσφερομένου σώματι. τούτων οὖν ἕκαστον τῶν λεγομένων, καὶ κατ᾽ ἐπίνοιαν θεωρεῖται, καὶ τῷ ψόφῳ τῆς γλώσσης οὐ συναπέρχεται. ἀλλὰ τῇ ψυχῇ τοῦ νενοηκότος ἐνίδρυται τὰ νοήματα. καὶ ἁπαξαπλῶς, πάντα τῇ αἰσθήσει γνώριμα, καὶ ἁπλᾶ μὲν εἶναι τῷ ὑποκειμένῳ δοκοῦντα. ποικίλον δὲ λόγον κατὰ τὴν θεωρίαν ἐπιδεχόμενα, ἐπινοίᾳ θεωρητὰ λέγεται. ἐγγὺς δὴ τοῦ τοιούτου τρόπου, τῆς ἐπινοίας τὴν χρῆσιν, καὶ παρὰ τοῦ θείου δεδιδάγμεθα λόγου. τὰ μὲν οὖν ἄλλα παρείσθω, πολλὰ ἔχων εἰπεῖν. ἑνὸς δὲ μόνου τοῦ κυριωτάτου μνησθήσομαι. ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς περὶ αὐτοῦ λόγοις, τὴν φιλανθρωπίαν τῆς θεότητος καὶ τὴν ἐξ οἰκονομίας χάριν τοῖς ἀνθρώποις παραδηλῶν. ἰδιώμασί τισι τοῖς περὶ αὐτὸν θεωρουμένοις, ἀποσημαίνει ταύτην. θύραν ἑαυτὸν λέγων, καὶ ὁδόν, καὶ ἄρτον, καὶ ἄμπελον, καὶ ποιμένα, καὶ φῶς. οὐ πολυώνυμός τις ὤν. οὐ γὰρ πάντα τὰ ὀνόματα, εἰς ταὐτὸν ἀλλήλοις φέρει. ἄλλο γὰρ τὸ σημαινόμενον τοῦ φωτός. καὶ ἄλλο ἀμπέλου, καὶ ἄλλο ὁδοῦ, καὶ ἄλλο ποιμένος. ἀλλ᾽ ἓν ὢν κατὰ τὸ ὑποκείμενον. καὶ μία οὐσία καὶ ἁπλῆ καὶ ἀσύνθετος, ἄλλοτε ἄλλως ἑαυτὸν ὀνομάζει. ταῖς ἐπινοίαις διαφερούσας ἀλλήλων τὰς προσηγορίας μεθαρμοζόμενος. κατὰ γὰρ τὴν τῶν ἐνεργειῶν διαφοράν, καὶ τὴν πρὸς τὰ εὐεργετούμενα σχέσιν, διάφορα ἑαυτῷ καὶ τὰ ὀνόματα τίθεται. φῶς μὲν γὰρ ἑαυτὸν τοῦ κόσμου λέγει. τό τε ἀπρόσιτον τῆς ἐν τῇ θεότητι δόξης τῷ ὀνόματι τούτῳ διασημαίνων. καὶ ὡς τῇ λαμπρότητι τῆς γνώσεως, τοὺς κεκαθαρμένους τὸ ὄμμα τῆς ψυχῆς καταυγάζων. ἄμπελον δέ, ὡς τοὺς ἐν αὐτῷ κατὰ τὴν πίστιν ἐρριζωμένους, ἐπ᾽ ἔργων ἀγαθῶν καρποφορίαις ἐκτρέφων. ἄρτον δέ, ὡς οἰκειοτάτη τροφή, λογικοῦ τυγχάνων τῷ διακρατεῖν τὴν σύστασιν τῆς ψυχῆς. καὶ τὸ ἰδίωμα αὐτῆς διασώζειν ἀναπληρῶν ἀεὶ παρ᾽ ἑαυτοῦ τὸ ἐνδέον. καὶ πρὸς τὴν ἐξ ἀλογίας ἐγγινομένην ἀρρωστίαν, οὐκ ἐῶν ἀποφέρεσθαι. καὶ οὕτως ἄν τις τῶν ὀνομάτων ἕκαστον ἐφοδεύων, ποικίλας εὕροι τὰς ἐπινοίας. ἑνὸς τοῦ κατὰ τὴν οὐσίαν τοῖς πᾶσιν ὑποκειμένου. τίς οὖν οὕτω τὴν γλῶσσαν πρὸς βλασφημίαν ἠκόνηται, ὥστε τολμῆσαι εἰπεῖν τοῖς φωναῖς, τὰς ἐπινοίας ταύτας συνδιαλύεσθαι. τί οὖν ἄτοπον οὕτω καὶ ἐπὶ τοῦ θεοῦ τῶν ὅλων λαμβάνεσθαί τινα κατ᾽ ἐπίνοιαν, καὶ αὐτὸ τοῦτο πρῶτον, περὶ οὗ ὁ σύμπας ἡμῖν κεκίνηται λόγος. εὑρήσομεν γὰρ οὐδαμῶς ἑτέρως λεγόμενον τὸ ἀγέννητον. ἄφθαρτον γὰρ καὶ ἀγέννητον εἶναι τὸν θεὸν τῶν ὅλων λέγομεν. κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι τούτοις προσαγορεύοντες. ὅταν μὲν γὰρ εἰς τοὺς κατόπιν αἰῶνας ἀποβλέψωμεν, ὑπερεκπίπτουσαν πάσης ἀρχῆς εὑρίσκοντες τὴν ζωὴν τοῦ θεοῦ, ἀγέννητον αὐτὸν λέγομεν. ὅταν δὲ τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν ἐπεκτείνωμεν, τὸ ἀόριστον καὶ ἄπειρον. καὶ οὐδενὶ τέλει καταληπτόν, προσαγορεύομεν ἄφθαρτον. ὡς οὖν τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον, οὕτω τὸ ἄναρχον αὐτοῦ, ἀγέννητον ὠνομάσθη. τῇ ἐπινοίᾳ ἐπιθεωρούντων ἡμῶν ἑκάτερα. τίς οὖν ἀντερεῖ λόγος, καὶ ἐπινοεῖσθαι τῶν ὀνομάτων τούτων ἑκάτερον. καὶ ὁμολογίαν εἶναι τοῦ κατ᾽ ἀλήθειαν τῷ θεῷ προσόντος. ὁ δὲ ὡς μαχόμενα ταῦτα. καὶ ἀσύμβατα παντελῶς, ἀπ᾽ ἀλλήλων διΐστησι. τό τε κατ᾽ ἐπίνοιάν τι λέγεσθαι. καὶ τὸ ἀποπληροῦν τῷ θεῷ τὴν τοῦ εἶναι ὅ ἐστιν ὁμολογίαν.

εἰπών. μᾶλλον δὲ αὐτό ἐστιν οὐσία ἀγέννητος τοῦτο δέ, οὐδὲ μίαν μὲν ἔχει ὁμολογίαν πρὸς
τὰ προάγοντα. πῶς γὰρ καὶ ἑπόμενον αὐτὸ τὸ ἀγέννητον ὁ θεὸς ἔχει, καὶ πάλιν οὐχ ἑ-
πόμενον, ἀλλ' ἐν τῷ τῆς οὐσίας λόγῳ περιεχόμενον. ὅμως γε μὴν οὐκ ἐᾷ παντελῶς αὐ-
τῷ διαφθαρῆναι τὸ σόφισμα. εἰ γὰρ εἰπὼν ὅτι ἀκολουθεῖ αὐτῷ τὸ ἀγέννητον, ἐνταῦθα τὸν
λόγον ἔστησεν, οὐκ ἂν εἶχεν ὅπως ἢ τὴν ἀγεννησίαν οὐσίαν λέγῃ τοῦ θεοῦ τῶν ὅλων, ἢ ἀλλοτρίως
ἔχοντα κατὰ τὴν οὐσίαν τὸν μονογενῆ υἱὸν ἐπιδείξῃ, οὐδενὸς δυναμένου τῶν ἔξωθεν ἑπο-
μένων, πατρὸς καὶ υἱοῦ τὴν κατ' αὐτὴν τὴν οὐσίαν οἰκειότητα διϊστᾶν. νῦν δὲ τῷ ἐπα-
γαγεῖν, μᾶλλον δὲ αὐτό ἐστιν οὐσία ἀγέννητος, ἐνεδείξατο ὅτι αὐτὸ ὅπερ ἐστὶν ὁ θεὸς ἀγεννη-
σία ἐστί. τοῦτο δὲ αὐτῷ ὅσον δρᾶμα πρὸς τὴν ἐγχείρησιν τῆς ἀσεβείας περὶ ὧν τρέπεται,
μικρὸν τοῦ λόγου προσελθὼν ἐπιδείξω. ἔστι δ' ἄρα, ὁ μὲν ἐξ ἀρχῆς εἶπεν, ἐκ τῆς τῶν πρα-
γμάτων ἀληθείας κατὰ τὸ ἀκόλουθον τῶν δεδομένων ἀναφανέν. ὃ δὲ τελευταῖον ἐπέθη-
κεν, ἐκ τοῦ αἱρετικοῦ φρονήματος προσεῤῥίφη ἀναισχυντότατα πάντων τοῦ λογογράφου
πρὸς τὴν ἐπιδιόρθωσιν τοῦ λόγου μεταπηδήσαντος. πῶς γὰρ τὸ αὐτὸ καὶ ἀκολουθεῖ τῷ
θεῷ, καὶ ταυτόν ἐστιν αὐτῷ, πᾶσιν ὄντος προδήλου, ὅτι τὸ ἀκολουθοῦν, ἕτερόν ἐστι, πα-
ρὰ τὸν οὗ ἐστιν ἐπακολούθημα. ὁ δέ, ὥσπερ ὁδοῦ τινος λαβόμενος ἐκ τοῦ καθ' ὑφαρπαγὴν
αὐτῷ προσληφθέντος λόγου, πρὸς τὴν κατασκευὴν ἐντεῦθεν χωρεῖ τοῦ τὴν ἀγεννησίαν
οὐσίαν εἶναι τοῦ θεοῦ τῶν ὅλων. ἵνα τούτου δειχθέντος, ὁμολογούμενον ἔχῃ τὸ ἀνόμοιον
κατὰ τὴν οὐσίαν εἶναι τὸν μονογενῆ τῷ πατρί. σκοπεῖτε δὲ ἅ φησιν.

εὐνόμιος

» ἀγέννητον δὲ λέγοντες, οὐκ ὀνόματι μόνον κατ' ἐπίνοιαν ἀνθρωπίνην σεμνύνειν οἰόμε-
» θα δεῖν, ἐκτιννύναι δὲ αὐτῷ τὸ πάντων ἀναγκαιότατον ὄφλημα τῷ θεῷ τὴν τοῦ εἶναι
» ὅ ἐστιν ὁμολογίαν. τὰ γάρ τοι κατ' ἐπίνοιαν λεγόμενα, ἐν ὀνόμασι μόνον καὶ προφορᾷ τὸ
» εἶναι ἔχοντα, ταῖς φωναῖς συνδιαλύεσθαι πέφυκεν.

βασίλειος

ἀνῃρεῖ τὸ κατ' ἐπίνοιαν θεωρεῖσθαι ἐπὶ τοῦ θεοῦ τὸ ἀγέννητον, ἡγούμενος ἐντεῦθεν ῥᾳδίαν
αὐτῷ τὴν ἐπιχείρησιν ἔσεσθαι, τοῦ τὴν ἀγεννησίαν οὐσίαν εἶναι. ἐκ τούτου δὲ ἀναντιῤῥή-
τως δεῖξειν ἀνόμοιον εἶναι κατ' αὐτὴν τὴν οὐσίαν τὸν μονογενῆ τῷ πατρί. διὰ τοῦτο προσ-
πλέκεται τῷ ῥήματι τῆς ἐπινοίας. ὡς οὐδὲν σημαίνοντι τὸ παράπαν. ἀλλ' ἐν μόνῃ τῇ
προφορᾷ τὴν ὑπόστασιν κεκτημένῳ καὶ ἀνάξιον εἶναι θεοῦ προσποιεῖται, ταῖς ἐπινοίαις
αὐτὸν ἀποσεμνύνειν. ἐγὼ δὲ εἰ μὲν ἐπινοίᾳ θεωρητὸν ἢ μή, τὸ ἀγέννη-τον οὔπω διϊσχυρίζο-
μαι πρὶν ἂν ὑπ' αὐτῆς τοῦ λόγου τῆς ἐξετάσεως διδαχθῶμεν. αὐτὸ δὲ τοῦτο τί ποτέ ἐστιν ἡ
ἐπίνοια, ἡδέως ἂν αὐτὸν ἐρωτήσαιμι. ἆρ' οὐδὲν παντάπασι σημαίνει τὸ ὄνομα τοῦτο, καὶ
ψόφος ἄλλως ἐστὶ διὰ τῆς γλώττης ἐκπίπτων; ἀλλὰ τὸ τοιοῦτον οὐχὶ ἐπίνοια. παράνοια
δ' ἂν μᾶλλον καὶ φλυαρία προσαγορεύοιτο εἰ δὲ συγχωροίη σημαίνειν μέν τι τὴν ἐπίνοιαν.
ψευδὲς δὲ τοῦτο παντελῶς καὶ ἀνύπαρκτον ὡς ἐν ταῖς μυθοποιΐαις κενταύρων δή τινας
ἀναπλασμοὺς καὶ χιμαίρας, πῶς τὸ σημαῖνον ψευδὸς τῷ ψόφῳ τῆς γλώττης συναφανί-
ζεται. τῆς μὲν φωνῆς πάντως εἰς ἀέρα προχεομένης τῶν δὲ ψευδῶν ὀνομάτων ἐναπομε-
νόντων τῇ διανοίᾳ. οὐδὲ γὰρ ἐπειδάν ποτε ψευδῶν παντελῶς καὶ διακένων ἀναπλασμῶν.
ἢ ἐν ταῖς καθ' ὕπνον φαντασίαις, ἢ ἄλλως ἐν ματαίοις τοῦ νοῦ κινήμασιν ἡ ψυχὴ πληρωθεῖ-
σα παρακατάσχῃ τῇ μνήμῃ εἶτα διὰ τῆς φωνῆς ἐξαγγεῖλαι προέληται, ὁμοῦ τῷ προε-
νεχθέντι λόγῳ, συνηφανίσθη καὶ τὰ φαντάσματα. πολλοῦ γὰρ ἂν ἄξιον ἦν τὰ ψευδῆ
λέγειν, εἴπερ ἡ φύσις τοῦ ψεύδους, τοῖς λαλουμένοις συνδιεφθείρετο. ἀλλ' οὐκ ἔχον ἐστὶ φύ-
σιν τοῦτο γε. ὑπόλοιπον δ' ἂν εἴη δεικνύναι, πῶς μὲν ἡ συνήθεια καὶ ἐπὶ ποίων πραγμά-
των, τῇ ἐπινοίᾳ χρῆται. πῶς δὲ τὰ θεῖα λόγια τὴν χρῆσιν αὐτῆς παρεδέξατο. ὁρῶμεν τοί-
νυν ὅτι ἐν μὲν τῇ κοινῇ χρήσει, τὰ ταῖς ἀθρόαις ἐπιβολαῖς τοῦ νοῦ ἁπλᾶ δοκοῦντα εἶναι
καὶ μοναχά. ταῖς δὲ κατὰ λεπτὸν ἐξετάσεσι ποικίλα φαινόμενα. καὶ πολλὰ ταῦτα
τῷ νῷ διαιρούμενα, ἐπινοίᾳ μόνῃ διαιρετὰ λέγεται. οἷον τὸ σῶμα. ἁπλοῦν εἶναι φησὶν
ἡ πρώτη ἔντευξις. ποικίλον δὲ ὁ λόγος ἐπιὼν δείκνυσι τῇ ἐπινοίᾳ αὐτό, εἰς τὰ ἐξ
ὧν σύγκειται διαλύων. καὶ σχῆμα καὶ χρῶμα, καὶ ἀντιτυπίαν, καὶ μέγεθος καὶ τὰ
λοιπά. πάλιν τὰ ἀνυπόστατα μὲν παντελῶς. κατὰ δὲ ἀναζωγράφησίν τινα τῆς
ἐννοίας. καὶ φαντασίαν μόνην ἀνατυπούμενα. ὡς ὅσα οἱ μυθοποιοὶ καὶ ζωγρά-
φοι πρὸς τὴν τῶν ἐντυγχανόντων ἔκπληξιν τερατεύονται κατ' ἐπίνοιαν, καὶ ταῦτα

» τῶν ἐπίσης ἀξιώματος· ἐπειδήγε δεῖ κατὰ ἀλήθειαν τὸ ποιοῦν, τοῦ γινομένου προϋ-
» πάρχειν καὶ τὸ ποιούμενον, τοῦ ποιοῦντος εἶναι δεύτερον· μήτε δὲ αὐτὸ ἑαυτοῦ πρότερον
» ἢ ὕστερον εἶναι δύνασθαι, μήτε ἕτερόν τι πρὸ τοῦ θεοῦ· ἦ γὰρ ἂν ἐκεῖνο πρὸ τοῦ δευτέρου,
» τὸ τῆς θεότητος ἔσχεν ἀξίωμα.

Βασίλειος

Τίνος οὖν ἕνεκεν πᾶσαν αὐτοῦ ταύτην παρεθέμην τὴν λέ-
ξιν, ἵνα καταφανὴς ἡ ἀδολεσχία τοῦ ἀνδρὸς, ᾗ χρῆται παρὰ πάντα τὸν λόγον, γένηται·
εἴπερ γὰρ αὐτὸ ἐναργὲς ὑπάρχειν ταῖς κοιναῖς πάντων ἐννοίαις· τὸ εἶναι τὸν θεὸν ἀγέν-
νητον, ἀποδείξεις τούτου κομίζων ἡμῖν ἐπιχειρεῖ παραπλήσιον ποιῶν· ὥσπερ ἂν, εἴ τις ἐν
σταθερᾷ μεσημβρίᾳ τοὺς ἐρωμένους τὰς ὄψεις λόγον διδάσκειν βούλοιτο, φανότατον εἶ-
ναι τῶν κατ᾽ οὐρανὸν ἀστέρων τὸν ἥλιον· εἰ δὲ ὁ τὰ τῇ αἰσθήσει γνώριμα λόγῳ διδάσκων
καταγέλαστος, ὁ τὰ ταῖς κοιναῖς προλήψεσιν ὁμολογημένα διδάσκων, πῶς οὐχὶ τῆς ἴ-
σης παρανοίας ὑπεύθυνος· πολλῷ γὰρ δήπου ταῦτα τῶν διὰ τῆς ὄψεως φαινομένων τοῖς
σωφρονοῦσι πιστότερα. εἰ μὲν οὖν ἦν τὶς ὁ κατὰ τῆς ἀληθείας ταύτης ἀναισχυντῶν, καὶ
τὸν ἀγέννητον ἢ παρ᾽ ἑαυτοῦ ἢ παρ᾽ ἑτέρου γεγενῆσθαι διατεινόμενος, εἶχεν ἄν τινα συγγνώ-
μην τυχὸν ἡ ματαιότης τῶν λεγομένων. εἰ δὲ οὐδεὶς μέχρι σήμερον οὔτε τῶν ἔξω τοῦ λό-
γου τοῦ καθ᾽ ἡμᾶς, οὔτε τῶν δι᾽ αὐτῆς τῆς ἐκκλησίας ἐπαναστάντων τῇ ἀληθείᾳ, εἰς το-
σοῦτον ἦλθεν ἀποπληξίας ὡς διαμφισβητεῖν περὶ τῆς ἀγεννησίας τοῦ ἀγεννήτου, τί κέρ-
δος ἐκ τῶν λόγων τούτων οὐ συνορῶ. ἢ τῶν ἀριστοτελικῶν ἡμῖν καὶ χρυσίππου συλ-
λογισμῶν ἔδει πρὸς τὸ μαθεῖν ὅτι ὁ ἀγέννητος οὐ γεγέννηται, οὔτε αὐτὸς ὑφ᾽ ἑαυτοῦ, οὔτε
ὑφ᾽ ἑτέρου· καὶ οὔτε πρεσβύτερος, οὔτε νεώτερος αὐτός ἐστιν ἑαυτοῦ. τί οὖν αὐτῷ ταῦ-
τα βούλεται, δοκεῖ μοι, ὁμοῦ μὲν τοῖς ἀκολούθοις ἐγκαλλωπίζεσθαι, ὡς δὴ πυκνός τε
καὶ περιττὸς τὴν διάνοιαν· καὶ ὀξὺς μὲν ὑπιδέσθαι τὸ ἄτοπον· ὀξύτερος δὲ διαλῦσαι τὸ
φωραθὲν, καὶ διὰ τοῦτο ἐναβρύνεσθαι τῇ τῶν λόγων στροφῇ καὶ περὶ τὴν ἀπόδειξιν λε-
πτουργεῖν, τοῦ μήτε ὑφ᾽ ἑαυτοῦ μήτε ὑφ᾽ ἑτέρου τὸν ἀγέννητον γεγενῆσθαι. ἔπειτα μέν-
τοι, οὐδὲ ἐνταῦθα τῆς ἑαυτοῦ τέχνης ἐπιλανθάνεται. ἀλλ᾽ ἐν τῇ τῶν ὁμολογουμένων
διατριβῇ, ὥσπερ στοιχεῖά τινα πρὸς τοὺς ἑξῆς λόγους ἑαυτῷ παρεμβάλλει. οὐ γὰρ ἀργῶς
αὐτῷ ἐκεῖνο ἔχει ὅτι δεῖ κατὰ ἀλήθειαν τὸ ποιοῦν, τοῦ γινομένου προϋπάρχειν. ἀλλ᾽ ἵνα
ἐν τοῖς περὶ υἱοῦ λόγοις, προδιωμολογημένον ἔχῃ τὸ, ὕστερον προσγεγενῆσθαι τῷ πατρὶ
τὸν υἱόν. ὥσπερ τὸ ποιοῦν ἐστὶ τοῦ γινομένου πρεσβύτερον. τούτῳ δὲ ὡς ἑπόμενον λάβῃ,
τὸ ἐκ μὴ ὄντων τὸν υἱὸν γεγενῆσθαι. ἀλλ᾽ ὁ μὲν τῆς εἰς τὸν υἱὸν ἀσεβείας ἔλεγχος, ἐν τοῖς
οἰκείοις τόποις ἀναμενέτω. ἐγὼ δὲ καὶ τὴν τοῦ ἀγεννήτου προσηγορίαν, κἂν τὰ μάλι-
στα δοκῇ ταῖς ἐννοίαις ἡμῶν συμβαίνειν, ἀλλ᾽ οὖν ὡς οὐδαμοῦ τῆς γραφῆς κειμένην, καὶ
πρῶτον στοιχεῖον οὖσαν τῆς βλασφημίας αὐτῶν, σιωπᾶσθαι ἂν δικαίως ἀξίαν εἶναι φή-
σαιμι, τῆς πατρὸς φωνῆς, ἴσον δυναμένης τῷ ἀγεννήτῳ, πρὸς τῷ καὶ τὴν περὶ τοῦ υἱοῦ
ἔννοιαν συνημμένως ἑαυτῇ διὰ τῆς σχέσεως συνάγειν. ὁ γὰρ ὄντως πατὴρ καὶ μόνος, ἐξ οὐδενός
ἐστιν ἑτέρου. τὸ δὲ ἐξ οὐδενὸς, ταυτόν ἐστι τὸ ἀγέννητος. οὐ τοίνυν ἀγέννητον προσαγορευ-
τέον μᾶλλον ἡμῖν, ἢ πατέρα. εἴγε μὴ μέλλοιμεν εἶναι σοφώτεροι τῶν διδαγμάτων τοῦ σωτῆρος, εἰ-
πόντος· πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ πατρός· ἀλλ᾽ οὐχὶ τοῦ ἀγεννήτου. καὶ ταῦτα
μὲν εἰς τοσοῦτον. ἡμεῖς δὲ τὰ συνεχῆ τοῦ λόγου σκεψώμεθα. ὀλίγον γὰρ προελθὼν, καὶ
οἷον συγκεφαλαιούμενος ἑαυτῷ τὰ εἰρημένα, οὕτω γράφει.

Εὐνόμιος

» Τί οὖν, εἰ μήτε αὐτὸς ἑαυτοῦ,
» μήτε ἕτερόν τι αὐτοῦ προϋπάρχειν δέδεικται, πρὸ δὲ πάντων αὐτὸς, ἀκολουθεῖ τούτῳ τὸ ἀγέν-
» νητον. μᾶλλον δὲ αὐτό ἐστιν οὐσία ἀγέννητος.

Βασίλειος

Ἣν τοίνυν ἐν τούτοις ἐφωράσαμεν κα-
κουργίαν· συνιδεῖν μὲν οἶμαι καὶ πάνυ ῥᾴδιον τῷ καὶ μικρὸν ἐπιστήσαντι, ἐμφανῆ δὲ ποιῆ-
σαι τοῖς πολλοῖς οὐκ ἀμαχεί· πλὴν ἀλλὰ πειρατέον, τῇ ἐλπίδι θαρροῦντας ἐπὶ τὸν διδόντα
ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. εἰπὼν ὅτι εἰ μήτε αὐτὸς ἑαυτοῦ μήτε ἕ-
τερόν τι ἑαυτοῦ προϋπάρχειν, ἀκολουθεῖ αὐτῷ τὸ ἀγέννητον· εἶτα συνιδὼν ὅτι ἐκ τῆς
τῶν τεθέντων ἀκολουθίας, πρὸς τὸ ἐναντίον αὐτῷ περιῆλθεν ὁ λόγος· εἰ γὰρ ἀκο-
λουθεῖ τῷ θεῷ τὸ ἀγέννητον, ἔξωθεν αὐτῷ παρέπεται δηλονότι· τὸ δὲ ἔξωθεν τοῦ θεοῦ,
οὐκ οὐσία αὐτοῦ ἐστιν· ἐκ δὴ τούτων οἰχήσεται διαρρυὲν αὐτῷ τὸ σκευώρημα· ἵνα
μὴ τοῦτο πάθῃ, τί ποιεῖ, βραχὺ φροντίσας βραχὺ τοῦ γέλωτος· ὃν ἐπὶ τῷ τὰ ἀνα-
κόλουθα λέγειν ὑπέχειν ἤμελλε· τῇ ἐπιδιορθώσει ἀπήγαγε τὸν λόγον πρὸς ἃ ἐβούλετο,

σιν. καὶ πρῶτόν γε τὴν πίστιν ἣν προτείνεται καταμάθωμεν, αὐτὰς τὰς ἐκείνου φωνὰς
Εὐνόμιος » παραθέμενοι. Τὴν κρατοῦσαν φησὶν ἄνωθεν παρὰ τῶν πατέρων εὐσεβῆ παράδοσιν. ὥς
» περ τινὰ γνώμονα καὶ κανόνα προθέμενοι, ἀκριβεῖ τούτῳ χρησόμεθα κριτηρίῳ πρὸς τὴν
» τῶν λεγομένων ἐπίκρισιν. ταύτην ἐπάγει τὴν πίστιν ἔχουσαν οὕτω. πιστεύομεν εἰς ἕνα θεὸν πα
» τέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα. καὶ εἰς ἕνα μονογενῆ υἱὸν τοῦ θεοῦ θεὸν λόγον, τὸν κύριον ἡμῶν
» ἰησοῦν χριστὸν, δι' οὗ τὰ πάντα. καὶ εἰς ἓν πνεῦμα ἅγιον, τὸ παράκλητον. εἶτα εὐθὺς ἐπισυνάπτει, ἡμῖν
» οὖν ἁπλουστέρα καὶ κοινὴ πίστις πάντων, ὅσοις τὸ δοκεῖν ἢ τὸ εἶναι χριστιανοῖς ἐπιμελὲς, ὡς ἐν
Βασίλειος » ἐπιδρομῇ κεφαλαιωδέστερον εἰπεῖν αὕτη. Περὶ μὲν οὖν τῆς ἐν οἷς εἶπεν ἐναντιότητος. καὶ
τῆς ἀνακολούθου μάχης τῶν εἰρημένων πρὸς ἄλληλα, μικρὸν ὕστερον ἐροῦμεν. ἐκεῖνο δὲ πρό
τερον ἑαυτοὺς ὑπομνήσωμεν, ὅτι οὗτος ἐστὶν ὁ ἐν τοῖς αὐτοῦ λόγοις πάνυ σοβαρῶς ἡμῖν ἐπαγ
γελλόμενος, γυμνὴν παντὸς προκαλύμματος ἐκθήσεσθαι τὴν ἀλήθειαν. ἐνταῦθα τοίνυν
ποῦ γέγραπται πιστεύομεν τὴν ἀγεννησίαν οὐσίαν εἶναι τοῦ θεοῦ τῶν ὅλων. ἢ πιστεύομεν ἀνόμοιον
κατὰ τὴν οὐσίαν εἶναι τὸν μονογενῆ τῷ πατρί. ταῦτα γὰρ ἐγέγραπτο ἂν, εἴπερ ὡς ὑπέσχετο μηδε
νὶ παραπετάσματι δολερῷ τὸ ἑαυτοῦ φρόνημα συνεσκίαζον. ἀλλ' οἶμαι πᾶσιν ἐπιβούλως
τοῖς λόγοις χρώμενος. τὰ μὲν παρ' ἑαυτοῦ σιωπᾷ, ἵνα μὴ ἀγυμνάστοις ταῖς ἀκοαῖς προσ
βαλὼν, ἀπίθανον ἑαυτὸν καὶ δυσπαράδεκτον καταστήσῃ. τὴν δὲ τῶν πατέρων πίστιν προβάλλεται.
ἣ διὰ τὴν μεσότητα τῶν ἐν αὐτῇ ῥημάτων, οὐκέτι ἐναντίωμα πρὸς τὴν ὅλην τοῦ λόγου αὐτῷ
κατασκευὴν παρέξειν ἔμελλον. καὶ ἀκολουθήσειν ῥᾳδίως ἐν ἐξηγήσεως εἴδει μετάγοντι τὸν
λόγον ἐφ' ἃ προείρηται. ὡς δὲ ἀληθῆ ταῦτα, δῆλον αὐτόθεν. ἐκθέμενος γὰρ αὐτὴν, εὐθὺς
ἐπιτηδᾷ τῇ ἐξηγήσει. προφάσει χρώμενος, ἄλλῃ τέ τινι, καὶ ὅτι οὐκ ἐξαρκεῖ πρὸς τὴν διάλυ
σιν τοῦ ἐγκλήματος. τίνος οὖν ἕνεκεν αὐτὴν προβάλλου, ἀλλ' οὐκ εὐθὺς ἐπ' ἐκείνους ἦλθες
τοὺς λόγους, οἳ καὶ τὸ ἀκριβὲς εἶχον. καὶ ἐξαιρεῖσθαί σε τῶν ἐγκλημάτων ἔμελλον. νῦν δὲ
προτείνεται μὲν ὡς ἀσφαλὲς κριτήριον. διορθοῦται δὲ πάλιν ὡς οὐδὲν ὑγιὲς ἔχουσαν. τοῦ
το δὲ παντὶ γνώριμον, ὅτι ὥσπερ ἀγκίστρῳ πρὸς θάνατον ἕλκοντι τῷ ἑαυτοῦ φρονήματι,
τὸ ἁπλοῦν τῆς ἐπιστάσεως οἱονεί τι δέλεαρ περιβάλλει. ἵνα τῷ φαινομένῳ ἐπιδραμόντες
οἱ ἀπειρότεροι, ἀφυλάκτως τῷ κρυπτῷ τῆς ἀσεβείας περιπαρῶσιν. ὡς ἂν δὲ μὴ δόξειεν αὐτὸ
ἀνάγκης τῇ ἐπιδιορθώσει τῆς πίστεως ἐγχειρεῖν, ἣν αὐτὸς ἀποσεμνύνει ταῖς ὑπερβολαῖς τῶν ἐ-
παίνων, ταύτην ὥσπερ ἐπιλανθανόμενος τῶν ἑαυτοῦ λόγων, σκέψασθε πῶς διασύρει.
Εὐνόμιος » ἡ μὲν οὖν ἁπλουστέρα καὶ κοινὴ πάντων πίστις ὅσοις τὸ δοκεῖν ἢ τὸ εἶναι χριστιανοῖς ἐπιμελὲς,
Βασίλειος » ὡς ἐν ἐπιδρομῇ κεφαλαιωδέστερον εἰπεῖν αὕτη. Εἰπέ μοι, ἡ εὐσεβὴς τῶν πατέρων παράδοσις,
καὶ ὁ κανὼν ὡς αὐτὸς ὠνόμασας καὶ ὁ γνώμων. καὶ τὸ ἀσφαλὲς κριτήριον, νῦν ὄργανον ἀπά-
της. καὶ τέχνη σχηματισμοῦ. καὶ τὰ τοιαῦτα πάλιν προσαγορεύονται; εἰ γὰρ οὐχὶ τοῖς ὄντως
οὖσι χριστιανοῖς ἐφαρμόζει, ἀλλὰ τοῖς τὸ δοκεῖν πρὸ τοῦ εἶναι τετιμηκόσι, τί ἄλλο περὶ αὐτῆς
ὑπολαμβάνειν, ἢ ταῦτα προσήκει; τίς ἂν οὖν μὴ παντελῶς παραπαίων, τὸν κανόνα τῆς
εὐθύτητος, τοῖς τὴν ψυχὴν διεστραμμένοις ἁρμόζειν εἴποι καὶ τὸν γνώμονα τῆς ἀληθείας. οἱ
γὰρ τὸ ὀνομάζεσθαι χριστιανοὶ πρὸ τοῦ ἀληθῶς εἶναι τετιμηκότες, ἐπὶ τῇ τῶν πολλῶν
ἀπάτῃ τὸν σχηματισμὸν τοῦτον ὑποδυόμενοι, πόῤῥω πάσης εὐθύτητος καὶ ἀληθείας εἰ-
σίν. οὔτε οὖν διεστραμμένον κατευθυνθήσεται ὥς ὁ τοῦ ἐκκλησιαστοῦ λόγος, οὔτε τὰ τῆς
ἀληθείας κριτήρια, τοῖς τὸ ψεῦδος κατὰ τὸν βίον ᾑρημένοις ἁρμόσει, ὅπερ τούτῳ δοκεῖ.
ἀλλὰ δι' ἃς εἴπομεν αἰτίας, εἰς οὕτω περιδήλους ἐναντιότητας ὑπηνέχθη. ἵνα οἷς μὲν ἐ-
παινεῖ τὴν πίστιν κοινωνεῖν τοῖς πατράσι τῆς εὐσεβείας δόξῃ. οἷς δὲ λαμβάνεται πάλιν αὐ
τῆς, ὁδὸν ἑαυτῷ πρὸς τὴν ἐξήγησιν ὑποποιήσῃ. διὰ τοῦτο τὴν αὐτὴν καὶ κανόνα λέγει, καὶ
προσθήκης φησὶν ἀκριβεστέρας δεῖσθαι. τοῦτο δὲ αὐτῷ καὶ τῆς ἐσχάτης ἀμαθίας ση-
μεῖον ἔστω, εἴπερ καὶ τοῦτο φίλον παρεξετάζειν. ὁ γάρ τοι κανὼν ὦ σοφώτατε καὶ ὁ γνώμων,
ἕως ἂν μηδὲν ἐνδέῃ τοῦ κανὼν εἶναι καὶ γνώμων, οὐδεμίαν προσθήκην εἰς ἀκρίβειαν ἐπιδέ-
χεται. κατὰ γὰρ τὸ ἐλλεῖπον ἡ πρόσθεσις. ἀτελεῖς δὲ ὑπάρχοντες, οὐδὲ τῶν προση-
γοριῶν τούτων ὑμεῖς ἂν ἔτι τυγχάνοιεν. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἤδη δὲ καὶ οὓς ἐκ
τίθεται περὶ θεοῦ λόγους ἐπισκεψώμεθα.
Εὐνόμιος » εἷς τοίνυν φησὶ κατά τε φυσικὴν ἔννοιαν καὶ κατὰ τὴν τῶν πατέρων διδασκαλίαν ἡ-
μῖν ὁμολογεῖται θεός. μήτε παρ' ἑαυτοῦ, μήτε παρ' ἑτέρου γενόμενος. ἑκάτερον γὰρ αὐ-

τας· μήτε μὴν ἀξιώμασι προσέχοντας, ἀμαυροῦσθαι τὴν διάνοιαν· ἢ τῇ τάξει τῶν προ-
λαβόντων τὸ πλεῖον νέμοντας, ἀποφράττειν τὰς ἀκοὰς τοῖς ὑστέροις. **Βασίλειος** Τί λέγεις; μὴ νέ-
μωμεν τὸ πλέον τοῖς προλαβοῦσι· μὴ, αἰδεσθῶμεν τὸ πλῆθος τῶν τε νῦν ὄντων χριστια-
νῶν καὶ τῶν ὅσοι γεγόνασιν ἀφ' οὗ κατηγγέλη τὸ εὐαγγέλιον; μὴ λογισώμεθα τὸ ἀξίω-
μα τῶν ἐν παντοίοις χαρίσμασι διαφανέντων, οἷς ἅπασιν ἐχθρὰν καὶ πολεμίαν
τὴν ὁδὸν ταύτην τῆς ἀσεβείας ἐκαινοτόμησας. ἀλλὰ μύσαντας ἅπαξ ἁπλῶς τοὺς τῆς
ψυχῆς ὀφθαλμοὺς, καὶ παντὸς ἁγίου μνήμην τῆς διανοίας ὑπεξελόντας, σχολάζου-
σαν καὶ σεσαρωμένην τὴν ἑαυτοῦ καρδίαν ἕκαστος ταῖς παραγωγαῖς σου καὶ τοῖς σοφίσ-
μασι φέροντας ὑποθῶμεν; μεγάλης μέντ' ἂν εἴης τῆς δυναστείας ἐπειλημμένος, εἴπερ
ὧν ταῖς ποικίλαις ἑαυτοῦ μεθοδείαις ὁ διάβολος οὐκ ἐπέτυχε, τούτων σοὶ τυχεῖν διὰ ἐπι-
τάγματος περιέσται, ἐάνπερ πεισθέντες σοι, τὴν ἐν παντὶ τῷ παρελθόντι χρόνῳ ὑπὸ
τοσούτων ἁγίων κεκρατηκυῖαν παράδοσιν, ἀτιμοτέραν κρίνωμεν τῆς δυσσεβοῦς ὑμῶν
ἐπινοίας. τῷ δὲ, οὐκ ἐξαρκεῖ μόνον τῶν νῦν ἀκουόντων τοὺς λογισμοὺς ὑφελέσθαι, ἀλλ' ἀ-
ξιοῖ καὶ τοὺς ὕστερόν ποτε συνεσομένους τῷ λόγῳ, τὴν αὐτὴν ἔχειν γνώμην. ὢ τῆς ἀλα-
ζονείας. τὸ καὶ ὕστερον οἴεσθαι αὐτῷ διαρκέσειν τὸν λόγον, καὶ ἀθάνατον εἰς τὸν ἐπιόντα
χρόνον τὴν μνήμην αὐτοῦ φυλαχθήσεσθαι. καὶ ταῦτα νῦν ἀπαυθαδιάζεται ὁ μετ' ὀλί-
γα πρὸς τοὺς ἀκροωμένους διαθρυπτόμενος ὡς τῦφον παντὸς ἀμελῶν, οὑτωσὶ λέγων τοῖς
ἐν τῷ δράματι δικασταῖς. **Εὐνόμιος** Πρὸς δὲ τούτοις, μηδὲ ἡμῖν χαλεπαίνειν, εἰ τύφου μὲν ἀ-
μελήσαντας καὶ φόβου, τῆς δὲ παραυτίκα χάριτος καὶ ἀσφαλείας, τὴν ὑπὲρ τῶν
μελλόντων ἄδειαν προτιμήσαντας. καὶ πάσης ἐπιγείου κακοπαθείας θανάτου τε πρὸς
καιροὺς, φοβερωτέραν τὴν κατὰ τῶν ἀσεβῶν ὡρισμένην ἀπειλὴν εἶναι κρίναντας, παν-
τὸς ἐπικαλύμματος γυμνὴν ἐκτιθέμεθα τὴν ἀλήθειαν. **Βασίλειος** Ποίας ἀλαζονείας ὑπερβο-
λὴν ὁ κόμπος οὗτος τῶν λόγων οὐχ ὑπεραίρει. καὶ πρόσεστι, τῇ εἰρωνείᾳ, καὶ ὕβρις
κατὰ τῶν δικαζόντων. εἴπερ τῷ πρὸς τὰ καλὰ δυσχερῶς ἔχειν, μόλις κατέχονται χα-
λεπαίνοντας. ἀμελοῦντι μὲν αὐθαδείας καὶ τύφου. τῆς δὲ ἐν τῷ παρόντι ἀσφαλείας,
τὴν ὑπὲρ τῶν μελλόντων ἄδειαν προτιμῶντι. καὶ τοῦ πρὸς καιρὸν θανάτου, φοβερωτέ-
ραν κρίνοντι τὴν ὕστερον κόλασιν. τοῦτο δέ ἐστι τοιοῦτον. **Εὐνόμιος** Εἰ δὴ χαλεπαίνετέ μοι ὦ ἄν-
δρες πρὸς αὐτὸ τὸ ἀκρότατον τῆς ἀρετῆς ἀνελθόντι, καὶ ὑπερβάντι μὲν τὰ γήϊνα. πᾶ-
σαν δὲ τὴν πολιτείαν εἰς οὐρανὸν μεταθέντι. **Βασίλειος** Καινὸς οὗτος ἀλαζονείας τρόπος. δι' ὧν
γὰρ ἀμελεῖν προσποιεῖται τοῦ τύφου, πρὸς τὴν ἐσχάτην φυσίωσιν ἑαυτὸν ὑπεραίρει. εἰ γὰρ
ἐφ' οἷς ἐνδείκνυται συγγνώμης ἀξίως περιέσεσθαι, τῆς ἀγγελικῆς πολιτείας ἐπὶ τὰ κε-
φάλαια, εἰκάζειν ἀφίησιν ὁ ποῖόν τινα αὐτὸν ἐν τοῖς κατορθωμένοις ἡγεῖσθαι προσήκει.
ταῦτα μὲν οὖν ὥσπερ καὶ χαρακτῆρα τῆς ὅλης αὐτοῦ προαιρέσεως ἔχοντα, πολλῶν ἀπο-
σιωπηθέντων, ἱκανῶς εἴρηται. ἵνα δι' ὧν μὲν ἐψεύσατο, τὸν πατέρα τοῦ ψεύδους ἐν αὐτῷ
λαλοῦντα γνωρίσωμεν. ἐκ δὲ τῶν ἀλαζονευμάτων, τίνι συγκατακέκριται, διδαχθῶ-
μεν. σαφῶς τοῦ ἀποστόλου λέγοντος, τὸν τυφωθέντα εἰς κρίμα ἐμπίπτειν τοῦ διαβόλου.
ἐπ' αὐτοὺς δὲ λοιπὸν τοὺς ἐλέγχους τῆς ἀσεβείας ἔλθωμεν. πίστιν ἐκτίθεται πρῶτον ἐξ
ἁπλῶν καὶ ἀδιορίστων λέξεων συγκειμένην, ᾗ ἐχρήσαντο καί τινες τῶν πατέρων. οὐχὶ πρὸς
ζητήσεις ὑποκειμένας ἀποτεινόμενοι. ἀλλ' ἁπλῶς οὕτως ἐφ' ἑαυτῶν ἐν ἁπλότητι καρ-
δίας διαλεγόμενοι. ἔτι καὶ ἄρθρος ὥς φασι σοφιζόμενος τὸν ἀλέξανδρον ταύτην αὐτῷ
προτείνατο. καὶ γὰρ τοῦτο λέγουσιν, ἀλλ' ὁμοῦ μὲν ταύτην ὡς ὁμολογοῦσαν τῇ ἑαυτοῦ
γνώμῃ προΐσχεται διὰ δύο προφάσεις. μίαν μὲν, ὥστε τὴν τῆς καινοτομίας ὑπόνοιαν ἐκ-
φυγεῖν, ἐν τῷ τὴν τῶν πρῶν πίστιν ὡς ὀρθῶς ἔχουσαν ἀποδέχεσθαι. ἑτέραν δὲ, τοῦ πάντας
ἀπροοράτους τοῖς πάγαις αὐτοῦ τῶν σοφισμάτων ὑποπεσεῖν. τῇ ἁπλότητι τῶν ῥημάτων
τούτων καταπιστεύσαντας. ὁμοῦ δὲ κἀκεῖνο συνεῖδεν ὅτι καὶ τὴν ἑαυτοῦ γνώμην εἰ προσω-
πικῶς αὐτῷ παραγαγεῖν ὑπωρέξει, διηγουμένας δῆλον τὰ τῶν πρῶν καὶ μάλιστα μὲν, λήσε-
σθαι ἀσεβῶν. εἰ δ' ἄρα καὶ φωραθείη, ἀναίτιος εἶναι δόξειν. ὡς οὐδὲν οἰκεῖον οὐδὲ παρ' ἑαυτοῦ
τί λέγων. ἀλλ' ἀλλοτρίας γενόμενος διανοίας ἐξηγητὴς, ἐν ᾧ δὴ καὶ γελοιότατόν τι παθὼν,
οὐκ ἐπῄσθετο. ἐπαινέσας γὰρ αὐτὴν πολλὰ καὶ μεγάλα. μικρὸν ὑποβὰς, τοῖς αἰσχίστοις πάλιν
ὀνείδεσι περιβάλλει. ἀλλ' ἵνα σαφέστερον ὃ λέγω γένηται, κατὰ μέρη τὸν λόγον διελόμενος ἐξετά-

λου συνέλαβε καὶ ὤδινε βλασφημίαν. ἑώρα δὲ, ὅτι τὸ μὲν ἐκ τοῦ προφανοῦς ἐν διδασκάλου τάξει προκαθεσθῆναι, πρός τε τῷ λίαν φορτικῷ καὶ προσάντει τοῖς ἀκούουσιν, ἔτι καὶ ἀπίθανον ἑαυτὸν καὶ ὕποπτον τοῖς πολλοῖς καταστήσει, ὡς δόξης ἐπιθυμίᾳ, ἐπὶ τὸ νεωτερίζειν ἐληλυθότα. εἰ δὲ ἐν ἀπολογίας πλάσματι τοὺς λόγους ποιοῖτο, τῆς γε καινοτομίας τὸ ὕποπτον διαφεύξεσθαι, καὶ μᾶλλόν τι τούτῳ προσάξεσθαι τοὺς ἀκούοντας. φύσει πάντων ἀνθρώπων ταῖς εὐνοίαις εἰωθότων τοῖς ἐλαττουμένοις προστίθεσθαι. διὰ τοῦτο κατηγόρους ἀναπλάττει καὶ συκοφάντας. κἀκείνοις τοῦ λόγου τὴν αἰτίαν προσάπτει. ὥστε δὲ πᾶσιν αὐτοῦ γενέσθαι τὴν τέχνην καταφανῆ, οὐδὲν χεῖρον αὐτῆς ἀκοῦσαι τοῦ προοιμίου τῆς λέξεως. ἔχει δὲ οὕτω.

εὐνόμιος

» Τὸ μὲν συκοφαντεῖν καὶ διαβάλλειν τινὰς ἀκολάστου γλώττης καὶ
» γνώμης ἀγνώμονος, μοχθηρῶν καὶ φιλαπεχθημόνων ἔργον εἰδότες. τὸ δὲ τοὺς ἐκ διαβολῆς
» εἶναι δόξαντας πονηροὺς, πάσῃ προθυμίᾳ πειρᾶσθαι τὸ ψεῦδος τοῖς ἐλέγχοις ἀποτρέ-
» πειν, ἀνδρῶν σωφρόνων. καὶ μετὰ τῆς ἰδίας εὐβουλίας τὴν τῶν πολλῶν ἀσφάλειαν περὶ πολ-
» λοῦ ποιουμένων.

βασίλειος

Τὸ μὲν οὖν σχῆμα τοῦ λόγου, τοιοῦτον, οἷον ἂν γένοιτο τοῦ μηδὲν ἁπλῶς μηδὲ ἀδόλως ποιοῦντος. τότε γὰρ περὶ τὴν καινοτομίαν ὕποπτον, τῷ τῆς ἀπολογίας προκαλύμματι συσκιάζει. καὶ εὔνοιαν θηρᾶται παρὰ τῶν ἀκουόντων, ὡς τῇ ἀνάγκῃ τῆς διαβολῆς ἐπὶ τοὺς λόγους τούτους ἐλθών. ἐλέγχεται δὲ αὐτοῦ ἡ περὶ τὴν ἀπολογίαν σκηνὴ, ὅτι τοῦ ἐγκλήματος ἐφ' ᾧ διαγωνίζεσθαι προσποιεῖται κατήγορον εἰπεῖν οὐκ ἔχων ἀπρόσωπον τὸ τῆς ἀπολογίας ὑπεισέρχεται δρᾶμα. οὐ διὰ μακροθυμίαν ὀνομαστὶ μνησθῆναι τῶν λελυπηκότων ἀπεχόμενος. πῶς γὰρ, ὅς γε τοσαύταις λοιδορίαις πλύνει τοὺς ἀντιλέγοντας, ἀλλὰ τοῦ ψεύδους τὸ περιφανὲς ὑφορώμενος, ἐπιφημίζειν ἑαυτῷ εἰρημένα πρόσωπα κατηγόρων αἰσχύνεται. εἰ γὰρ εἶχεν ὀνομάσαι τινὰς, εἶπεν ἂν πάντως καὶ διεβόησεν. εἰ καὶ μὴ τὴν ἑαυτοῦ ὀργὴν ἐκπληρῶν, ἀλλὰ τήν γε τῶν πολλῶν ἀσφάλειαν διοικούμενος. ἣν δὴ καὶ μάλιστα προνοεῖν ἐπαγγέλλεται. μανθάνουσα γὰρ πονηρία, τῆς προκεκηρυγμένης βλαβερωτέρα. ὥστε εἴπερ ἔγνωμεν τοὺς συκοφάντας, ῥᾷον ἂν διεφύγομεν τὰς ἀκολάστους γλώσσας αὐτῶν, καὶ τὰς ἀγνώμονας γνώμας. αὐτοῖς γὰρ χρήσομαι τοῦ σοφωτάτου τοῖς ῥήμασιν. ἀλλ' ἐπειδὴ τότε δι' ἣν δήποτε αἰτίαν ἀπεσιώπησε, νῦν ἐρωτάσθω. νῦν ἀποκρινάσθω, τίνες οἱ κατήγοροι οἱ τῷ προλαβεῖν ταῖς διαβολαῖς, ἀναγκαίαν αὐτῷ τὴν ἀπολογίαν κατασκευάζοντες. ἐκ ποίας οἰκουμένης ἐλθόντες. τίνες οἱ δικασταὶ, ἐφ' ὧν διατίθεται τὸν ἀγῶνα. ἐν ποίῳ δικαστηρίῳ τὴν γραφὴν ταύτην ὑπεισῆλθε. ποῦ γῆς ἢ θαλάττης συγκροτηθέντι. τί γὰρ ἂν καὶ ἐποίει ἐν σελευκείᾳ, ἀλλὰ σιωπῶντες ἑάλωσαν, οἵ γε προκαλουμένων πολλάκις τῶν συνελθόντων εἰς τὰς ὑπὲρ τῶν ἐπιφερομένων εὐθύνας, οὐκ ἀπήντησαν. ἐφ' οἷς δὴ καὶ κατεκρίθησαν τηνικαῦτα. κοινὸς γάρ μοι ὁ λόγος πρὸς ἅπαν ὁμοῦ τὸ σύνταγμα, τὸ διὰ τὴν κοινωνίαν τῆς ἀσεβείας, ὥσπερ τι μέλος νοσηκὸς τοῦ ὑγιαίνοντος σώματος τῆς ἐκκλησίας ἀπορραγέν. ἀλλ' ἐν κωνσταντινουπόλει; ἀλλ' οὐδὲν ἐκεῖ ἀπολογίας ἔδει καὶ λόγων. τοὺς γὰρ ἐκ τῆς βασιλικῆς αὐλῆς, καὶ τῶν λοιπῶν τοὺς τὰ μέγιστα δυναμένους. ἑαυτῶν ποιησάμενοι, ἐκ πολλοῦ τοῦ περιόντος τοῖς πράγμασι προσεφέροντο. αὐτοὶ καὶ κατήγοροι, καὶ δικασταὶ, καὶ δήμιοι, καὶ πάντα ὄντες ὅσα ἐβούλοντο. ὅτε τῶν ἐπισκόπων τοὺς μὲν, ἐκβάλλοντες. τοὺς δὲ, ἐγκαθιστῶντες. τοῖς δὲ τὸν περὶ τῆς ζωῆς ἐπικρεμαννύντες κίνδυνον, αὐτοὶ τὰς πόλεις ἀλλήλοις κατ' ἐξουσίαν πολλὴν διελάγχανον. καὶ ὁ μὲν τῆς τῶν ἐν συρίᾳ πόλεων ἐκ μέσων, τὴν κωνσταντινούπολιν ὡς ἐπὶ τυραννίδι κατέλαβεν. αὐτὸς δὲ οὗτος ὁ ἄμαχος καὶ δεινὸς λογογράφος, ἆθλον τῆς ἀσεβείας, τὴν κύζικον ἀπηνέγκατο. θεοσεβίῳ δὲ μετὰ τοὺς ἐπὶ ταῖς ἀρρήτοις βλασφημίαις ἐλέγχους, ἡ ἐκκλησία σάρδεων προσετέθη καὶ σὺν τοῖς βιθυνοῖς, καὶ παφλαγόνας καὶ κίλικας, καὶ πάντας ὅσους ἐν κύκλῳ φερόμενον τὸ κακὸν ἀπενείματο. ποίας οὖν ἀπολογίας ἔτι καιρὸς ἦν τότε. ἀλλ' οἶμαι οὐδὲ βουλομένῳ δυνατὸν ψεύσασθαι. ὥστε παντὸς ἀληθέστερον, ὅτι τὸ σχῆμα τοῦ λόγου, μηχάνημα αὐτῷ πρὸς τὴν ἀπάτην ἐστί. καὶ ταῦτα μὲν καὶ τοσοῦτον. ὁ δὲ μικρὸν προελθὼν, σκέψασθε οἷα γράφει. οὐδὲ γὰρ ἄχρηστον ἴσως περὶ τῶν ἐλέγχων τῆς ἀσεβείας, ὀλίγα τοῦ περὶ αὐτὸν τύφου παραδηλῶσαι.

εὐνόμιος

» Αἰτοῦμαι
» δὲ πρὸ πάντων ὑμᾶς, τούς τε νῦν ἀκουσομένους, καὶ τοὺς ὕστερον ἐντευξομένους, μὴ
» τῷ πλήθει διακρίνειν ἐθέλειν τῆς ἀληθείας τὸ ψεῦδος, τῇ πλείονι μοίρᾳ τὸ κρεῖττον συνάπτον

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας τοῦ μεγάλου. ἀνατρεπτικὸς τοῦ ἀπολογητικοῦ Εὐνομίου, α.

Εἰ μὲν ἐβούλοντο πάντες ἐφ' οὓς τὸ ὄνομα τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικέκληται, μηδὲν τῇ ἀληθείᾳ τοῦ εὐαγγελίου παρεγχειρεῖν, τῇ δὲ παραδόσει τῶν ἀποστόλων, καὶ τῇ ἁπλότητι τῆς πίστεως ἐξαρκεῖσθαι, οὐδὲν ἂν ἡμῖν ἔδει λόγων ἐν τῷ παρόντι, ἀλλὰ καὶ νῦν ἂν πάντως τὴν ἐξ ἀρχῆς ἐπιμήσαμεν σιωπὴν, ἠσπασάμεθα. ἐπειδὴ δὲ ὁ ἐχθρὸς τῆς ἀληθείας προσθήκαις ἀεὶ τὸ κακὸν πλεονάζων, πρὸς οἷς ἐξ ἀρχῆς ἐπέσπειρε ζιζανίοις τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ νῦν δι' ἑαυτοῦ ὄργανα πᾶσαν αὐτοῦ ἀθρόως τὴν τέχνην ὑποδεχόμενα, ἐν προσχήματι χριστιανισμοῦ τὴν ἄρνησιν τῆς θεότητος τοῦ μονογενοῦς παρεισάγει, τῇ ἔξωθεν ταύτῃ καὶ ματαίᾳ σοφίᾳ τὸ καθαρὸν καὶ ἁπλοῦν τῆς διδασκαλίας τοῦ θείου πνεύματος συνταράσσων, καὶ ἐν πιθανολογίᾳ τοὺς ἀκεραιοτέρους παρακρουόμενος· ἀναγκαίως καὶ ἡμεῖς διά τε τὴν ὑμετέραν τὴν ἐπιταξάντων ἀγάπην, καὶ τὸ ἡμῶν ἀσφαλὲς, ἐν τούτῳ τῆς ἀφθονίας ὑπεριδόντες· καίτοι παντελῶς ἀγύμναστοι τοῦ τοιούτου εἴδους τῶν λόγων ὄντες, κατὰ τὸ ἐπιμετρηθὲν ἡμῖν παρὰ τοῦ κυρίου τῆς γνώσεως μέτρον, τῇ τε ἀληθείᾳ συνίστασθαι, καὶ ἀπελέγχειν τὸ ψεῦδος ὑπεδεξάμεθα, ἡγούμενοι τριῶν ἀγαθῶν, ἑνός γε πάντως μὴ ἁμαρτήσεσθαι. ἢ γὰρ τοῖς ἤδη προειλημμένοις ἀλεξιτήριον τοῦ κακοῦ τὸν ἔλεγχον δώσειν, ἢ φυλακὴν μετρίαν παρέξειν τοῖς ὑγιαίνουσιν, ἢ πάντως γε αὐτοὶ τὸν μισθὸν τοῦ προελέσθαι τοῖς ἀδελφοῖς ἡμῶν τὰ βέλτιστα, μισθῶν ἐπιτεύξεσθαι. ἔστι δὲ ὁ μὲν πρῶτος εἰπεῖν φανερῶς, καὶ διδάξαι τολμήσας, ἀνόμοιον εἶναι κατὰ τὴν οὐσίαν, τὸν μονογενῆ υἱὸν τῷ θεῷ καὶ πατρὶ, ὅσα γε ἡμεῖς ἴσμεν, Ἀέτιος ὁ σύρος, ὃν οὐκ ἐρῶ ποταποῖς τὸ ἐξ ἀρχῆς ἐντετραμμένος ἐπιτηδεύμασι, ταῖς ἐκκλησίαις τοῦ θεοῦ προσιὼν εἰσεφθάρη, ἵνα μὴ δόξω λοιδορεῖν τὸν ἔλεγχον ἀφέμενος. ὁ δὲ, ἐκδεξάμενος τὴν ἀσέβειαν καὶ τελειώσας αὐτὴν, Εὐνόμιος οὗτος ὁ γαλάτης, ὃς ἐκ τῶν αἰσχίστων ἑαυτῷ περιφάνειαν κτώμενος, ἡ γὰρ δόξα φησὶν ἐν τῇ αἰσχύνῃ αὐτῶν, τὴν ἐκ τοῦ γράψαι ἃ μηδεὶς ἄλλος τετόλμηκε πώποτε φιλοτιμίαν, τῶν ἀποκειμένων τοῖς εὐσεβέσιν ἀγαθῶν προτιμήσας, ὑποδύντα τέως λαλουμένην τὴν βλασφημίαν, ἐπήρθη δημοσιεῦσαι τῷ λαμπρῷ τούτῳ συντάγματι, ἀρχηγὸς καὶ προστάτης ὅλης αἱρέσεως ἀναρρηθῆναι φιλοτιμούμενος. ὅνπερ οὖν καὶ εὐθύνειν πρόκειται ἡμῖν ἐν τῷ παρόντι. ὁμοίως δὲ κακοῦ ἐν ἀμφοτέροις ὑπάρχοντος, δῆλον ὡς ἐν τῷ μαθητῇ τῷ κατηγορουμένῳ, καὶ ὁ διδάσκαλος συνελεγχθήσεται ὁ τὰ σπέρματα τῆς ἀσεβείας καταβαλλόμενος. εἴπερ δὴ ὑπάρξειεν ἡμῖν διὰ τῶν προσευχῶν ὑμῶν, τοσαύτην λαβεῖν τοῦ λόγου δύναμιν, ὥστε κατὰ τὸν ζηλωτὴν Φινεὲς, τῇ μιᾷ πληγῇ τοῦ ἐλέγχου, ἀμφοτέρων ὁμοῦ καθικέσθαι τῶν κατὰ τὴν ἀσέβειαν συμπεπλεγμένων ἀλλήλοις. πολλὰ τοίνυν ἔχων αὐτὸν ἐν τούτῳ δεικνύσαι τῷ λόγῳ ψεύστην, ἀμαθῆ, ὑβριστὴν, εἴρωνα, βλάσφημον· τῶν μὲν ἄλλων τὴν μνήμην, ἐν παρέργῳ θήσομαι, τὴν δὲ βλασφημίαν, ἣν εἰς τὸ ὕψος τῆς δόξης τοῦ μονογενοῦς ἐλάλησε, τῶν ἐκ τῆς τέχνης προκαλυμμάτων ἀπογυμνώσας, ἐμφανῆ πᾶσι καταστῆσαι πειράσομαι. ἤδη δὲ βαδιοῦμαι πρὸς τοὺς ἐλέγχους, ἐξ αὐτῆς τῆς ἐπιγραφῆς τὴν ἀρχὴν ποιησάμενος. πρῶτον μὲν γὰρ αὐτῷ πάντων κακούργημα, τὸ σχῆμα τοῦτο τῶν λόγων ἐπινενόηται, ἐν ἀπολογίας εἴδει τὴν διδασκαλίαν συνθεῖναι, ἵνα μὴ δόξῃ προηγουμένως ποιεῖσθαι τῶν δογμάτων τῆς ἀσεβείας τὴν ἔκθεσιν, ἀλλ' ἐξ ἀνάγκης ἐπὶ τοὺς λόγους τούτους ἐληλυθέναι. ἐβούλετο μὲν γὰρ ἐκ παντὸς τρόπου τὸ πονηρὸν τοῦτο καὶ ἄθεον δυσαγγέλιον κήρυγμα, καὶ εἰς μέσον ἐνεγκεῖν, ἣν πά-

τὰ κάλλη. ὅς τις ἐν τοῖς ἑξῆς λέγεται ποταμὸς ὁ ἐκπορευόμενος ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον. ἐν μὲν οὖν τοῖς κατὰ τόπον ἐλέγετο, ὅτι πρότερον τὴν κτίσιν πληρώσας, οὕτως ἐπεισήγαγεν εἰς ἀρχὴν καὶ δεσποτείαν τὸν ἄνθρωπον. νῦν δὲ τὸ ἐναντίον πρότερον ἔπλασε τὸν ἄνθρωπον, τότε ἐφύτευσε τὸν παράδεισον. ἡ δὲ αἰτία ὅτι ἐκεῖ μὲν ἵνα πλήρει τῷ οἴκῳ τὸν οἰκοδεσπότην ἐπεισαγάγῃ. καὶ μὴ πάντα κτίσας, ὕστερον αὐτῷ τὴν ἀπορίαν χαρίσηται. ἐνταῦθα δὲ τὴν ἐκ προκοπῆς πλέωσιν χαρισάμενος, ἀλλαχοῦ ἔκτισε. καὶ ὕστερον ἐγκατοικίζει τῷ παραδείσῳ. ἵνα τὴν διαφορὰν καταμαθὼν, τῆς τε ἔξω ζωῆς, καὶ τῆς ἐν παραδείσῳ διαγωγῆς ἐκ τῆς συγκρίσεως ἑκατέρων· γνωρίσῃ μὲν τοῦ κάλλους τὴν ὑπεροχὴν, φοβηθῇ δὲ τῆς ἐκπτώσεως αὐτοῦ τὴν ζημίαν. ἵνα δὲ νοήσῃς φυτείαν ἀξίαν τῆς τοῦ θεοῦ χειρὸς, μνήσθητι τῶν ἐν τῷ εὐαγγελίῳ παρὰ τοῦ κυρίου εἰρημένων πρὸς τοὺς μαθητὰς, ὅτι ὑμεῖς ἐστὲ τὰ κλήματα καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι. δηλονότι ὡς παρ' αὐτοῦ φυτευθεῖσι. ἐξ ἐκείνης εἰσὶ τῆς φυτείας οἱ πεφυτευμένοι ἐν τῷ οἴκῳ τοῦ κυρίου, καὶ ἐν ταῖς αὐλαῖς τοῦ κυρίου ἐξανθοῦντες. καὶ πάλιν ἐν τῷ προφήτῃ· ἐγὼ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. ἀποτολμᾷ καὶ λέγει ὁ μιμητὴς τοῦ χριστοῦ, ὅτι συνεργοί ἐσμεν. θεοῦ γεώργιόν ἐστε. ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ θεὸς ηὔξανε. καὶ ὁ δίκαιος ὡμοίωται τῷ ξύλῳ τῷ πεφυτευμένῳ παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται. καὶ δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ἄμπελον ἐξ Αἰγύπτου μετῆρας. ἐξέβαλας ἔθνη καὶ κατεφύτευσας αὐτήν. πειράθητι τοίνυν διὰ τῶν τοιούτων διδαγμάτων ἐν τῇ διανοίᾳ γενέσθαι ἐκείνου. ἵνα γένῃ κατὰ τὰς αὐγὰς τοῦ θείου φωτὸς, ἐν οἷς τὸ φῶς τῆς γνώσεως ἀνατέλλει. ὡς ὁ παράδεισος τῆς τρυφῆς φυτευόμενος. κἂν χωρίον δέ τι νοῇς δεκτικὸν τῶν ἁγίων, ἐν ᾧ πάντες οἱ ἐπὶ γῆς διαλάμψαντες ἐν ἔργοις ἀγαθοῖς ἀπολαύοντες τῆς τοῦ θεοῦ χάριτος, καὶ τῆς ἀληθινῆς, καὶ νοητῆς τερπνότητος διαιτῶνται, οὐκ ἀποπίπτεις τῆς πρεπούσης περὶ αὐτοῦ εἰκασίας. ἐκεῖ οὖν ἐῤῥιζωμέναι τινὲς, καὶ παγίως ἐρηρεισμέναι αἱ ἀγαθαὶ δυνάμεις, λειτουργοὶ τῶν ἁγίων αἷς ὁ ἄνθρωπος παρεδόθη ἀρτιγενὴς ὢν καὶ πολλῆς δεόμενος συγγυμνασίας πρὸς τὴν τελείωσιν. ἐν ᾧ τὸ σύστημα τῶν ἁγίων, ἐν ᾧ αἱ ἀνατολαὶ τοῦ φωτὸς, ἐν ᾧ ἡ τρυφὴ τῆς ψυχῆς, ἐκεῖ ἔθετο ὁ θεὸς τὸν ἄνθρωπον. εἰ σάρκινος εἶ, ἔχεις τὴν ὑπογραφὴν τοῦ σωματικοῦ ἐκείνου, καὶ τὴν ἡδίστην ἐμφέρησιν. εἰ μεγάλην ποιῇ τὴν ἀπόλαυσιν τῶν αἰσθητῶν, ἐπείγου πρὸς αὐτήν. ἐκεῖ χορηγία τρυφῆς ἀδιάλειπτος. εἰ πνευματικὸς εἶ καὶ ὑψηλότερα φρονεῖς τῶν σωματικῶν ἀπολαύσεων, ἀνάβα τῇ διανοίᾳ πρὸς τὰ κάλλη τῶν ἀγγέλων. κατάμαθε τοὺς ἐν αὐτοῖς τῆς δικαιοσύνης καρπούς. θέασαι τὸν ποταμὸν τοῦ θεοῦ τὸν πεπληρωμένον ὑδάτων. οὗ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ. ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. ἐκείνην τὴν πόλιν διαῤῥεῖ ὁ ποταμὸς τοῦ θεοῦ οὗτος ὁ ἀρχόμενος ἐξ Ἐδὲμ ποτίζων τὸν παράδεισον· πάντα ταῦτα τῇ διανοίᾳ καταμαθὼν, δόξαζε τὸν θεὸν ὅτι αὐτῷ πρέπει πᾶσα δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

φυτείας τοῦ κτίσαντος· ὅσα φρυγανικὰ, καὶ ὅσα εὔθαμνα· τὰ μονοστέλεχα, τὰ πο-
λύκλαδα, τὰ ὑψίκομα, τὰ ἀμφιθαλῆ, τὰ φυλλοβόλα, τὰ ἀείφυλλα, τὰ γυμνού-
μενα, τὰ ἀειθαλῆ, τὰ κάρπιμα, τὰ ἄκαρπα, τὰ μὲν τῆς χρείας ὁρώμενα, τὰ δὲ πρὸς
ἀπόλαυσιν συμβαλλόμενα· πάντα μεγέθει καὶ κάλλει διαφέροντα· κατάσκια τοῖς
κλάδοις, ἀμφιθαλῆ τοῖς κόμαις, βρύοντα τοῖς καρποῖς· ἄλλοις ἐμοῦ καὶ ἄλλην χρείαν
καὶ τέρψιν πεποίημαι· ἑκάστου γὰρ τῶν καρπῶν πολὺ μὲν τὸ χάριεν, πλέον δὲ πάλιν τοῦ
τερπνοῦ τὸ χρειῶδες· πῶς σοι παραστήσω τῆς ἡδονῆς ἐκείνης τὸ ὑπερβάλλον; ἐὰν συγ-
κρίνω τοῖς ὧδε, καθυβρίζω μᾶλλον τῇ παραθέσει· ἢ τίνα σοι εἰκόνα ἐκ τῆς εἰκόνος
παραστήσω; πάντα τέλεια, πάντα ὥριμα, οὐ κατὰ μικρὸν αὐξηθέντα· οὐ γὰρ ἀπὸ αὐ-
θοις ἐπὶ τὴν ἀκμὴν αὔξεται, ἀλλ' ἀπὸ τῆς οἰκείας ἀκμῆς ἐκφυόντα φύσεως ἀποτελέσ-
ματα, οὐκ ἀνθρωπίνης ἐπιτεχνήσεως· ἐκεῖ καὶ ὀρνίθων παντοδαπῶν γένη τῷ τε τῶν
πτερῶν αὐχεῖ, καὶ τῇ ἐκ φύσεως μουσικῇ ἀπόλαυσίν τινα θαυμασίαν δι' ἑαυτῶν προσετί-
θει τοῖς ὁρωμένοις· ὥστε διὰ πασῶν τῶν αἰσθήσεων εὐωχεῖσθαι τὸν ἄνθρωπον· τὰ μὲν
ὁρῶντα, τὰ δὲ ἀκούοντα· ἄλλων ἁπτόμενον, ἄλλων ὀσφραινόμενον· ἑτέρων ἀπο-
γευόμενον· καὶ ζώων ποικίλων θεάματα· πάντων ἡμέρων, πάντων ὁμιλούντων ἀλλή-
λοις καὶ ἀκουόντων, καὶ φθεγγομένων εὐσύνετα· οὐ φοβερὸς ὁ ὄφις τότε, ἀλλὰ προση-
νὴς καὶ ἥμερος· οὐχὶ φοβερὸν ἐπικυμαίνων τῇ γῇ, καὶ ἐφέρπων, ἀλλ' ὑψηλὸς ἐπὶ πο-
δῶν βεβηκώς· ἐκεῖ ἔθετο τὸν ἄνθρωπον, ὃν ἔπλασεν· ἀλλαχοῦ ἔπλασεν, καὶ ἐκεῖ εἰ-
σήγαγεν· ὡς γὰρ φωστῆρας ἐποίησεν ὁ θεὸς καὶ ἔθετο ἐν τῷ στερεώματι, οὕτω καὶ τὸν
ἄνθρωπον ἔπλασε μὲν χοῦν ἀπὸ τῆς γῆς· ἔθετο δὲ ἐν τῷ παραδείσῳ· σημείωσαι δὲ
ὅτι οὐκ εἴρηται, ὃν ἐποίησεν, ἀλλ' ὃν ἔπλασεν· ὃν μὲν γὰρ ἐποίησε, τὸ κατ' εἰκόνα ἐστίν·
οὗτος δὲ ἀσώματος· τὸ δὲ ἀσώματον, τόπῳ οὐ περιγράφεται· ἀκολουθεῖ μὲν γὰρ τῷ
πλάσματι τὸ ποίημα τουτέστι τῷ πλάσματι ἡ ψυχή· ὁμοῦ γάρ ἐστι τὸ σύνθετον, ἀλλὰ
προηγούμενος μὲν τῶν σωμάτων ὁ τόπος· ἡ δὲ ψυχὴ, κατὰ παρακολούθημα ἐστὶν ἐν τό-
πῳ διὰ τῆς πρὸς τὸ σῶμα σχέσεως· οὐκ ἐκ τῆς οἰκείας φύσεως ἐμπεριγραφομένη τόποις
τῷ σώματι· ἆρα σὺ εὐφραίνῃ ἐκ τῶν τοῦ παραδείσου τερπνῶν, ἢ ἐλύπησα πλέον τῇ τῶν
φθαρτῶν παραθέσει; πάντως γάρ που ἡ διάνοια ὑψηλὰ καὶ μετέωρα, καὶ ὑπερκό-
σμια φρονοῦσα, οἷα δὴ τὸ πολίτευμα ἔχουσα ἐν οὐρανοῖς, καὶ πρὸς τὴν ἄνω βλέπουσα
ἀξίαν τῶν ἐπηγγελμένων, ἐνόει καὶ περισκόπει ἀκοῦσαί τι τῶν ἐν ἐπαγγελίαις
ἡμῖν ἀγαθῶν· ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέ-
βη· εἰ ὀφθαλμὸς οὐκ εἶδε, τίς ὁ διηγούμενος; εἰ οὖς οὐκ ἤκουσε, ποῦ τὸ σὸν ὑποδέξεται;
εἰ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, πῶς ἡ διάνοια ἡμῶν χωρήσει; οὔτε τὰ σωματικὰ
ἐκβάλλομεν, καὶ τὰ πνευματικὰ ἐπιζητοῦμεν· ὡς γὰρ ἐπὶ τοῦ νόμου ἦν μὲν καὶ τὸ αἰ-
σθητὸν, ἀλλὰ τύπον ἐποίει τοῦ νοητοῦ, οὕτω καὶ τὸν παράδεισον· νοοῦμεν μὲν σωματικῶς,
ἀλληγοροῦμεν δὲ πνευματικῶς· ἐφύτευσεν οὖν ὁ θεὸς παράδεισον ἐν ἐδὲμ κατὰ ἀνατο-
λὰς, τὰ ὀνόματα τῶν φυτῶν σεσιώπηται· ὁ δὲ τόπος ἐν ᾧ ἐφύτευσε, παραδέδοται·
ἐν ἐδὲμ φησὶν ἐφύτευσεν, τουτέστιν, ἐν τῇ τρυφῇ· ἐδὲμ γὰρ τρυφὴ ὀνομάζεται· ἆρα οὖν
τρυφὴν τὴν διὰ στόματος ὀνομάζει τῇ κοιλίᾳ παραδιδομένην, καὶ ἧς τέλος ὁ ἀφεδρὼν καὶ
τρυφὴν παραδέδωκε τὴν ἀπολλυμένην; καὶ τοῦτό ἐστιν ἡ παρὰ θεοῦ χάρις, γαστρὸς
πλήρωσις, καὶ εὐπάθεια σώματος, καὶ διάχυσις ἡδονὴν ἐμποιοῦσα; ἢ τοῦτο μὲν οὐδὲ εἰ-
πεῖν εὐσεβές· ἀκολασίας γάρ που καὶ ὕβρεως καὶ πάντων ὁμοῦ τῶν ἀπηγορευμένων
ἐφόδιον ὑπερπιαίνειν τὸ σῶμα, καὶ καταβαπτίζειν τὴν ψυχήν· εὐκατάφορον ποιεῖν τε
πρὸς ἁμαρτίαν· οὐκοῦν τρυφὴν νοήσωμεν ἀξίαν θεοῦ, ἵνα καὶ τὴν φυτείαν πρέπου-
σαν τῇ γεωργίᾳ τοῦ θεοῦ διδαχθῶμεν· τίς οὖν δύναται γενέσθαι τρυφὴ ἁγίοις ἁρμόττου-
σα· κατατρύφησον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου· ἐπεὶ οὖν ἄπει-
ρον τὸ κάλλος τῆς ἀρετῆς ἀπὸ τῆς πολυποικίλου σοφίας τὴν ἀρχὴν ἔχον· διὰ τοῦτο γέ-
γραπται, ὅτι ἐφύτευσεν ὁ θεὸς παράδεισον, οὐχὶ κατὰ ἀνατολὴν, ἀλλὰ κατὰ ἀνατο-
λάς· ἕκαστον γὰρ τῶν πεφυτευμένων παρὰ τοῦ κυρίου φυτῶν ἐν ἰδίῳ φωτὶ κεκαλλωπισμέ-
νον ἐξαστράπτει· ἐκεῖ τοῦ ποταμοῦ τὰ ὁρμήματα τὰ εὐφραίνοντα τὴν πόλιν τοῦ θεοῦ·
ἀλλαχοῦ χειμάρρους τρυφῆς ὀνομάζεται τρέφων καὶ αὔξων τῶν νοητῶν ἐκείνων φυτῶν

Τοῦ αὐτοῦ εἰς τὸν παράδεισον.

Ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν
ἔπλασεν. νοήσωμεν ἀξίαν θεοῦ φυτείαν, καὶ παράδεισον πρέποντα τῇ φιλοκαλίᾳ τοῦ
τοιούτου, καὶ τηλικούτου δημιουργοῦ ἐν τοῖς κατόπιν εἴρηται. ἐξαγαγέτω ἡ γῆ βοτά-
νην, χόρτου, καὶ ξύλον κάρπιμον σπεῖρον σπέρμα ποιοῦν καρπόν. εἰ ἐκ τῶν κοινῶν ξύ-
λων ἦν ὁ παράδεισος, ἐμπεριείχετο δηλονότι τῇ πρώτῃ γενέσει τῶν φυτῶν. καὶ οὐδὲν
ἔδει τὸ ἐξαιρέτου φυτείας τοῦ θεοῦ τὰ νῦν ἐν τῷ παραδείσῳ ὑπ' αὐτοῦ τοῦ θεοῦ φυτευ-
θέντα δένδρα. νῦν μέντοι ὡς διάφορον παρὰ τὰ ἤδη ὑπάρχοντα γένη φυτῶν, τὰ ἐν
τῷ παραδείσῳ ὑπ' αὐτοῦ τοῦ θεοῦ φιλοτεχνηθέντα συστήματα δένδρων ἀπὸ τοῦ λόγου
δείκνυται. ὥσπερ γὰρ τὸν ἄνθρωπον ἐξαιρέτου τῆς πλάσεως παρὰ τὰ λοιπὰ ζῷα ἠξίω-
σεν, οὕτω καὶ τὸ ἐνδιαίτημα τοῦ ἀνθρώπου τῆς ἰδίας αὐτοῦ χειρὸς ἔργον ἐποίησε. τό-
πον ὑπερφέροντα τῆς ὅλης κτίσεως, θαυμαστὸν τῷ κάλλει, ἐν περιόπτῳ κείμενον, ἀνε-
πισκότητον διὰ ὕψος πάσαις ταῖς τῶν ἄστρων ἀνατολαῖς καταλαμπόμενον, πεφωτισμέ-
νον πάντοθεν, τὴν ἐκ τῶν ὡρῶν εὐκρασίαν ἡδίστην ἔχοντα, ἀέρι διαυγεστάτῳ περιλαμ-
πόμενον. ἐκεῖ οὖν ἐφύτευσεν ὁ θεός, ὅπου οὐκ ἀνέμων βία, οὐχ ὡρῶν ἀμετρίαι, οὐ χά-
λαζα, οὐ πρηστῆρες, οὐ λαίλαπες, οὐ σκηπτοί, οὐ χειμερινὴ πῆξις, οὐχ ὑγρότης ἔαρος, οὐ
θερινὴ πύρωσις, οὐ φθινοπωρινὴ ξηρότης, ἀλλ' εὔκρατος, καὶ εἰρηνικὴ συμφωνία τῶν
ὡρῶν πρὸς ἀλλήλας ἑκάστης αὐτῶν ἰδίῳ κάλλει κεκοσμημένης, καὶ μὴ ἐπισυλωμένης
παρὰ τῆς γείτονος. οὔτε τοῖς ἠρινοῖς κάλλεσι τοῦ θέρους λυμαινομένου, οὔτε τῶν θε-
ρινῶν, ἢ τῶν μετοπωρινῶν καρπῶν καταρρυομένων ἀπὸ τοῦ γήρως, ἄλλη ἄλλοις γὰρ τὸν
τόπον ἐκεῖνον αἱ ὧραι περιεχόρευον. ἀλλ' ὁμοῦ καὶ τοῖς παρ' ἑαυτοῖς ἐξαιρέτοις δορυ-
φοροῦσαι, συνέτρεχον τοῦ ἀέρος τὰ τερπνά, τοῦ θέρους τὰ τρόφιμα, ἡ μετοπωρινὴ εὐ-
φροσύνη, ἡ χειμερινὴ ἀνάπαυσις, ἡ γῆ πίων, μαλακή, ὄντως ῥέουσα γάλα καὶ μέλι,
πρὸς καρπογονίαν ἐπιτηδεία, κατάρρυτος πᾶσα ὕδασι γονιμωτάτοις. τῷ ὄντι κάλλος
ἀμήχανον παρεχομένοις. λεπτὰ γὰρ καὶ διαφανῆ τὰ ὕδατα. πολὺ μὲν τῇ ὄψει τὸ τερ-
πνὸν ἔχοντα. πλέον δὲ τοῦ τερπνοῦ τὸ ὠφέλιμον παρεχόμενα. πρότερον οὖν αὐτὸν ἐδη-
μιούργησε τὸν τόπον ἄξιον τῆς ὑποδοχῆς τῶν τοῦ θεοῦ φυτευμάτων. ἔπειτα ἐνεφύτευ-
σεν ἐν αὐτῷ παντοδαπὰ κάλλη τῶν δένδρων, ὄψιν τε χαριεστάτην, καὶ ἀπόλαυσιν
ἡδίστην δι' αὐτῶν χαριζόμενα. πῶς σοι δυνηθῶ ὑπ' ὄψιν ἐναργῶς ἀγαγεῖν τὴν ποτε ἰδέαν,
ἵνα σεαυτὸν ἐκ τῆς ἐξορίας ἀνακαλέσῃ. οἱ λειμῶνες εὐανθεῖς ἥδιστον θέαμα. τούτων χα-
ριέστερον τῇ διανοίᾳ φαντάσθητι. ἐνταῦθα τὸ ῥόδον μετὰ τῆς ἀκάνθης ἐστὶ κεκρυμμέ-
νον ἔχον τὴν ἀηδίαν τῇ χάριτι μονονουχὶ διαμαρτυρόμενον ἡμῖν, ὅτι τὰ τερπνὰ ὑμῖν ὦ
ἄνθρωποι τοῖς λυπηροῖς ἀναμέμικται. τῷ ὄντι γάρ, οὐδὲν τῶν ἀνθρωπίνων ἀγαθῶν ἀ-
κραιφνές, ἀλλ' εὐθὺς αἱ λῦπαι ταῖς εὐφροσύναις παραπεπήγασι. τῷ γάμῳ αἱ χηρεῖαι,
τῇ παιδοτροφίᾳ ἡ μέριμνα. τῇ εὐπαιδίᾳ ἡ ἀποβολή, ταῖς περιφανείαις αἱ ἀτιμίαι.
ταῖς εὐημερίαις αἱ ζημίαι, ταῖς τρυφαῖς αἱ πλησμοναί. ταῖς ὑγείαις αἱ ἀρρωστίαι. ἀν-
θηρὸν τὸ ῥόδον, ἀλλ' ἐμοὶ κατήφειαν ἐμποιεῖ. ὁσάκις γὰρ ἂν ἴδω τὸ ἄνθος, τῆς ἁμαρτίας
ὑπομιμνήσκομαι τῆς ἐμῆς. δι' ἣν ἀκάνθας ἡ γῆ καὶ τριβόλους ἀνατέλλειν κατεδικάσθη.
καὶ ἐνταῦθα μὲν ὀλιγοχρόνιος τῶν ἠρινῶν ἀνθῶν ἡ χάρις ἐπιποθοῦντας ἡμᾶς ἐπι-
λείπουσα. οὐ γὰρ ἔφθημεν δρεψάμενοι, καὶ ἐν ταῖς χερσὶν ἡμῶν ἀπημαυρώθη. ἐκεῖ μέν-
τοι τὸ ἄνθος οὐ πρὸς βραχὺ διαλάμπον, ἀλλὰ διαρκὲς τὸ τερπνὸν ἔχον, χαρίεσσαν τὴν
ὄψιν, ἀτέλεστον τὴν ἀπόλαυσιν. τὴν εὐωδίαν ἀκόρεστον, καὶ τὴν εὔχροιαν ἐξαστράπτου-
σαν. οὐ βίαι ἀνέμων παραλυποῦσιν, οὐ νεομηνίαι ἀπομαραίνουσιν, οὐ παγετὸς ἀπο-
πήγνυσιν, οὐχ ἡλίου φλόγωσις καταφρύγει, ἀλλὰ πνεῦμα μέτριον λεπτὴν καὶ ἡδεῖαν
ἀναπνοὴν παρεχόμενον. κούφως αὐτοῖς καὶ προσηνῶς ἐπιπνέον, ἀδάμαστον χρόνῳ τὴν
χάριν αὐτῶν διασώζει. τὰ δὲ τῶν φυτῶν κάλλη, ἄξια καὶ αὐτὰ τῆς δημιουργίας καὶ τῆς

διηρημένα ἀπὸ τῆς συνηθείας λέγεται, ὧν οὐδενὸς ἐπιμνησθεὶς οὗτος, ἢ ἀμαθῶς ἢ κακούργως, περὶ τῆς τῶν ἀνυπάρκτων ἐπινοίας μόνης ἡμῖν ἐφιλοσόφησε. καὶ οὐδὲ ταύτην ὡς ἔχει φύσεως ἐξηγούμενος. οὐ γὰρ σημαίνειν μέν τι τὴν ἐπίνοιαν, ψευδῆ δὲ τοῦτό φησιν. ἀλλὰ παντελῶς ἄσημον εἶναι τὸ ὄνομα, καὶ ἐν μόνῃ τῇ ἐκφωνήσει, τὴν ὑπόστασιν ἔχειν. καίτοι τοσοῦτον ἀπέχει τοῦ κατὰ τῶν ματαίων μόνων καὶ ἀνυποστάτων φαντασιῶν τὸ ὄνομα τοῦτο τῆς ἐπινοίας κεῖσθαι, ὥστε μετὰ τὸ πρῶτον ἡμῖν ἐκ τῆς αἰσθήσεως ἐγγινόμενον νόημα, τὴν λεπτοτέραν καὶ ἀκριβεστέραν τοῦ νοηθέντος ἐπενθύμησιν, ἐπίνοιαν ὀνομάζεσθαι. ὅθεν ἡ συνήθεια καλεῖ ἐπιλογισμὸν εἰ καὶ μὴ οἰκείως. οἷον τοῦ σίτου νόημα μὲν ἁπλοῦν ἐνυπάρχει πᾶσι, καθὸ φανέντα γνωρίζομεν. ἐν δὲ τῇ ἀκριβεῖ περὶ αὐτοῦ ἐξετάσει, θεωρία τε πλειόνων προσέρχεται. καὶ προσηγορίαι διάφοροι τῶν νοηθέντων σημαντικαί. τὸν γὰρ αὐτὸν σῖτον, νῦν μὲν καρπὸν λέγομεν. νῦν δὲ σπέρμα. καὶ πάλιν τροφήν, καρπὸν μὲν, ὡς τέλος τῆς παρελθούσης γεωργίας. σπέρμα δὲ, ὡς ἀρχὴν τῆς μελλούσης. τροφὴν δὲ, ὡς κατάλληλον εἰς προσθήκην τῷ τοῦ προσφερομένου σώματι. τούτων οὖν ἕκαστον τῶν λεγομένων, καὶ κατ᾽ ἐπίνοιαν θεωρεῖται, καὶ τῷ ψόφῳ τῆς γλώσσης οὐ συναπέρχεται. ἀλλὰ τῇ ψυχῇ τοῦ νενοηκότος ἐνίδρυται τὰ νοήματα. καὶ ἁπαξαπλῶς, πάντα τῇ αἰσθήσει γνώριμα, καὶ ἁπλᾶ μὲν εἶναι τῷ ὑποκειμένῳ δοκοῦντα. ποικίλον δὲ λόγον κατὰ τὴν θεωρίαν ἐπιδεχόμενα, ἐπινοίᾳ θεωρητὰ λέγεται. ἐγγὺς δὲ τοῦ τοιούτου τρόπου, τῆς ἐπινοίας τὴν χρῆσιν, καὶ παρὰ τοῦ θείου ἐδιδάγμεθα λόγου. τὰ μὲν οὖν ἄλλα παρήσω, πολλὰ ἔχων εἰπεῖν. ἑνὸς δὲ μόνου τοῦ καιριωτάτου μνησθήσομαι. ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς περὶ αὐτοῦ λόγοις, τὴν φιλανθρωπίαν τῆς θεότητος καὶ τὴν ἐκ τῆς οἰκονομίας χάριν τοῖς ἀνθρώποις παραδηλῶν. ἰδιώμασί τισι τοῖς περὶ αὐτὸν θεωρουμένοις, ἀποσημαίνει ταύτην. θύραν ἑαυτὸν λέγων, καὶ ὁδὸν, καὶ ἄρτον, καὶ ἄμπελον, καὶ ποιμένα, καὶ φῶς. οὐ πολυώνυμός τις ὤν. οὐ γὰρ πάντα τὰ ὀνόματα, εἰς ταὐτὸν ἀλλήλοις φέρει. ἄλλο γὰρ τὸ σημαινόμενον τοῦ φωτός. καὶ ἄλλο ἀμπέλου, καὶ ἄλλο ὁδοῦ, καὶ ἄλλο ποιμένος. ἀλλ᾽ ἓν ὢν κατὰ τὸ ὑποκείμενον. καὶ μία οὐσία καὶ ἁπλῆ καὶ ἀσύνθετος, ἄλλοτε ἄλλως ἑαυτὸν ὀνομάζει, ταῖς ἐπινοίαις διαφερούσας ἀλλήλων τὰς προσηγορίας μεθαρμοζόμενος. κατὰ γὰρ τὴν τῶν ἐνεργειῶν διαφορὰν, καὶ τὴν πρὸς τὰ εὐεργετούμενα σχέσιν, διάφορα ἑαυτῷ καὶ τὰ ὀνόματα τίθεται. φῶς μὲν γὰρ ἑαυτὸν τοῦ κόσμου λέγει. τό τε ἀπρόσιτον τῆς ἐν τῇ θεότητι δόξης τῷ ὀνόματι τούτῳ διασημαίνων. καὶ ὡς τῇ λαμπρότητι τῆς γνώσεως, τοὺς κεκαθαρμένους τὸ ὄμμα τῆς ψυχῆς καταυγάζων. ἄμπελον δὲ, ὡς τοὺς ἐν αὐτῷ κατὰ τὴν πίστιν ἐρριζωμένους, ἐπ᾽ ἔργων ἀγαθῶν καρποφορίαις ἐκτρέφων. ἄρτον δὲ, ὡς οἰκειοτάτη τροφὴ, λογικοῦ τυγχάνων τῷ διακρατεῖν τὴν σύστασιν τῆς ψυχῆς. καὶ τὸ ἰδίωμα αὐτῆς διασώζειν ἀναπληρῶν ἀεὶ παρ᾽ ἑαυτοῦ τὸ ἐνδέον. καὶ πρὸς τὴν ἐξ ἀλογίας ἐγγινομένην ἀρρωστίαν, οὐκ ἐῶν ἀποφέρεσθαι. καὶ οὕτως ἄν τις τῶν ὀνομάτων ἕκαστον ἐφοδεύων, ποικίλας εὕροι τὰς ἐπινοίας. ἑνὸς τοῦ κατὰ τὴν οὐσίαν τοῖς πᾶσιν ὑποκειμένου. τίς οὖν οὕτω τὴν γλῶσσαν πρὸς βλασφημίαν ἠκόνηται, ὥστε τολμῆσαι εἰπεῖν ταῖς φωναῖς, τὰς ἐπινοίας ταύτας συνδιαλύεσθαι. τί οὖν ἄτοπον οὕτω καὶ ἐπὶ τοῦ θεοῦ τῶν ὅλων λαμβάνεσθαί τινα κατ᾽ ἐπίνοιαν, καὶ αὐτὸ τοῦτο πρῶτον, περὶ οὗ ὁ σύμπας ἡμῖν κεκίνηται λόγος. εὑρήσομεν γὰρ οὐδαμῶς ἑτέρως λεγόμενον τὸ ἀγέννητον. ἄφθαρτον γὰρ καὶ ἀγέννητον εἶναι τὸν θεὸν τῶν ὅλων λέγομεν. κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι τούτοις προσαγορεύοντες. ὅταν μὲν γὰρ εἰς τοὺς κατόπιν αἰῶνας ἀποβλέψωμεν, ὑπερεκπίπτουσαν πάσης ἀρχῆς εὑρίσκοντες τὴν ζωὴν τοῦ θεοῦ, ἀγέννητον αὐτὸν λέγομεν. ὅταν δὲ τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν ἐπεκτείνωμεν, τὸ ἀόριστον καὶ ἄπειρον. καὶ οὐδενὶ τέλει καταληπτὸν, προσαγορεύομεν ἄφθαρτον. ὡς οὖν τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον, οὕτω τὸ ἄναρχον αὐτῷ, ἀγέννητον ὠνομάσθη. τῇ ἐπινοίᾳ ἐπιθεωρούντων ἡμῶν ἑκάτερα. τίς οὖν ἀντερεῖ λόγος, καὶ ἐπινοεῖσθαι τῶν ὀνομάτων τούτων ἑκάτερον. καὶ ὁμολογίαν εἶναι τοῦ κατ᾽ ἀλήθειαν τῷ θεῷ προσόντος. ὁ δὲ ὡς μαχόμενα ταῦτα, καὶ ἀσύμβατα παντελῶς, ἀπ᾽ ἀλλήλων διΐστησι. τό τε κατ᾽ ἐπίνοιάν τι λέγεσθαι. καὶ τὸ ἀποπληροῦν τῷ θεῷ τὴν τοῦ εἶναι ὅ ἐστιν ὁμολογίαν.

εἰπών· μᾶλλον δὲ αὐτό ἐστιν οὐσία ἀγέννητος. τοῦτο δὲ, οὐδὲ μίαν μὲν ἔχει ὁμολογίαν πρὸς
τὰ προάγοντα. πῶς γὰρ καὶ ἑπόμενον αὐτὸ τὸ ἀγέννητον ὁ θεὸς ἔχει, καὶ πάλιν οὐχ ἑ-
πόμενον, ἀλλ' ἐν τῷ τῆς οὐσίας λόγῳ περιεχόμενον. ὅμως γε μὴν οὐκ ἐᾷ παντελῶς αὐ-
τῷ διαφθαρῆναι τὸ σόφισμα. εἰ γὰρ εἰπὼν ὅτι ἀκολουθεῖ αὐτῷ τὸ ἀγέννητον, ἐνταῦθα τὸν
λόγον ἔστησεν, οὐκ ἂν εἶχεν ὅπως ἢ τὴν ἀγεννησίαν οὐσίαν λέγῃ τοῦ θεοῦ τῶν ὅλων, ἢ ἀλλοτρίως
ἔχοντα κατὰ τὴν οὐσίαν τὸν μονογενῆ υἱὸν ἐπιδείξῃ, οὐδενὸς δυναμένου τῶν ἔξωθεν ἑπο-
μένων, πατρὸς καὶ υἱοῦ τὴν κατ' αὐτὴν τὴν οὐσίαν οἰκειότητα διϊστᾶν. νῦν δὲ τῷ ἐπα-
γαγεῖν, μᾶλλον δὲ αὐτό ἐστιν οὐσία ἀγέννητος, ἐνεδείξατο ὅτι αὐτὸ ὅπερ ἐστὶν ὁ θεὸς ἀγεννη-
σία ἐστί. τοῦτο δὲ αὐτῷ ὅσον ὄφελος πρὸς τὴν ἐγχείρησιν τῆς ἀσεβείας περιφανῶς ἐπιστεῦσθ',
μικρὸν τοῦ λόγου προσελθὼν ἐπιδείξω. ἔστι δ' ἄρα, ὁ μὲν ἐξ ἀρχῆς εἶπεν, ἐκ τῆς τῶν πρα-
γμάτων ἀληθείας κατὰ τὸ ἀκόλουθον τῶν δεδομένων ἀναφανέν. ὃ δὲ τελευταῖον ἐπέθη-
κεν, ἐκ τοῦ αἱρετικοῦ φρονήματος προσερρίφη ἀναισχυντότατα πάντων τοῦ λογογράφου
πρὸς τὴν ἐπιδιόρθωσιν τοῦ λόγου μεταπηδήσαντος. πῶς γὰρ τὸ αὐτὸ καὶ ἀκολουθεῖ τῷ
θεῷ, καὶ ταυτόν ἐστιν αὐτῷ, πᾶσιν ὄντος προδήλου, ὅτι τὸ ἀκολουθοῦν, ἕτερόν ἐστι, πα-
ρὰ τὸν οὗ ἐστιν ἐπακολούθημα. ὁ δὲ, ὥσπερ ἐνδοῦ τινος λαβόμενος ἐκ τοῦ καθυφαρπαγὴν
αὐτῷ προσληφθέντος λόγου, πρὸς τὴν κατασκευὴν ἐντεῦθεν χωρεῖ τοῦ τὴν ἀγεννησίαν
οὐσίαν εἶναι τοῦ θεοῦ τῶν ὅλων. ἵνα τούτου δεχθέντος, ὁμολογούμενον ἔχῃ τὸ ἀνόμοιον
κατὰ τὴν οὐσίαν εἶναι τὸν μονογενῆ τῷ πατρί. σκοπεῖτε δὲ ἅ φησιν.

Εὐνόμιος

» Ἀγέννητον δὲ λέγοντες, οὐκ ὀνόματι μόνον κατ' ἐπίνοιαν ἀνθρωπίνην σεμνύνειν οἰόμε-
» θα δεῖν, ἐκτιννύναι δὲ αὐτῷ τὸ πάντων ἀναγκαιότατον ὄφλημα τῷ θεῷ τὴν τοῦ εἶναι
» ὅ ἐστιν ὁμολογίαν. τὰ γάρ τοι κατ' ἐπίνοιαν λεγόμενα, ἐν ὀνόμασι μόνον καὶ προφορᾷ τὸ
» εἶναι ἔχοντα, ταῖς φωναῖς συνδιαλύεσθαι πέφυκεν.

Βασίλειος

Ἀναιρεῖ τὸ κατ' ἐπίνοιαν θεωρεῖσθαι ἐπὶ τοῦ θεοῦ τὸ ἀγέννητον, ἡγούμενος ἐντεῦθεν ῥᾳδίαν
αὐτῷ τὴν ἐπιχείρησιν ἔσεσθαι, τοῦ τὴν ἀγεννησίαν οὐσίαν εἶναι. ἐκ τούτου δὲ ἀναντιρρή-
τως δείξειν ἀνόμοιον εἶναι κατ' αὐτὴν τὴν οὐσίαν τὸν μονογενῆ τῷ πατρί. διὰ τοῦτο προσ-
πλέκεται τῷ ῥήματι τῆς ἐπινοίας. ὡς οὐδὲν σημαίνοντι τὸ παράπαν. ἀλλ' ἐν μόνῃ τῇ
προφορᾷ τὴν ὑπόστασιν κεκτημένῳ καὶ ἀνάξιον εἶναι θεοῦ προσποιεῖται, ταῖς ἐπινοίαις
αὐτὸν ἀποσεμνύνειν. ἐγὼ δὲ εἰ μὲν ἐπινοίᾳ θεωρητὸν ἢ μὴ, τὸ ἀγέννητον οὔπω διισχυρίζο-
μαι πρὶν ἂν ὑπ' αὐτῆς τοῦ λόγου τῆς ἐξετάσεως διδαχθῶμεν. αὐτὸ δὲ τοῦτο τί ποτέ ἐστιν ἡ
ἐπίνοια, ἡδέως ἂν αὐτὸν ἐρωτήσαιμι. ἆρ' οὐδὲν παντάπασι σημαίνει τὸ ὄνομα τοῦτο, καὶ
ψόφος ἄλλως ἐστὶ διὰ τῆς γλώττης ἐκπίπτων; ἀλλὰ τὸ τοιοῦτον οὐχὶ ἐπίνοια. παράνοια
δ' ἂν μᾶλλον καὶ φλυαρία προσαγορεύοιτο. εἰ δὲ συγχωροίη σημαίνειν μέν τι τὴν ἐπίνοιαν.
ψευδὲς δὲ τοῦτο παντελῶς καὶ ἀνύπαρκτον ὡς ἐν τοῖς μυθοποιίαις κενταύρων δή τινας
ἀναπλασμοὺς καὶ χιμαίρας, πῶς τὸ σημαῖνον ψευδὲς τῷ ψόφῳ τῆς γλώττης συναφανί-
ζεται. τῆς μὲν φωνῆς πάντως εἰς ἀέρα προχεομένης τῶν δὲ ψευδῶν ὀνομάτων ἐναπομε-
νόντων τῇ διανοίᾳ. οὐδὲ γὰρ ἐπειδάν ποτε ψευδῶν παντελῶς καὶ διακενῶν ἀναπλασμῶν.
ἢ ἐν τοῖς καθ' ὕπνον φαντασίαις, ἢ ἄλλως ἐν ματαίοις τοῦ νοῦ κινήμασιν ἡ ψυχὴ πληρωθεῖ-
σα παρακατάσχῃ τῇ μνήμῃ εἶτα διὰ τῆς φωνῆς ἐξαγγεῖλαι προέληται, ὁμοῦ τῷ προε-
νεχθέντι λόγῳ, συνηφανίσθη καὶ τὰ φαντάσματα. πολλοῦ γὰρ ἂν ἄξιον ἦν τὰ ψευδῆ
λέγειν, εἴπερ ἡ φύσις τοῦ ψεύδους, τοῖς λαλουμένοις συνδιεφθείρετο. ἀλλ' οὐκ ἔχον ἐστὶ φύ-
σιν τοῦτό γε. ὑπόλοιπον δ' ἂν εἴη δεικνύναι, πῶς μὲν ἡ συνήθεια καὶ ἐπὶ ποίων πραγμά-
των, τῇ ἐπινοίᾳ χρῆται. πῶς δὲ τὰ θεῖα λόγια τὴν χρῆσιν αὐτῆς παρεδέξατο. ὁρῶμεν τοί-
νυν ὅτι ἐν μὲν τῇ κοινῇ χρήσει, τὰ ταῖς ἀθρόαις ἐπιβολαῖς τοῦ νοῦ ἁπλᾶ δοκοῦντα εἶναι
καὶ μοναχά. ταῖς δὲ κατὰ λεπτὸν ἐξετάσεσι ποικίλα φαινόμενα. καὶ πολλὰ ταῦτα
τῷ νῷ διαιρούμενα, ἐπινοίᾳ μόνῃ διαιρετὰ λέγεται. οἷον τὸ σῶμα. ἁπλοῦν εἶναί φησιν
ἡ πρώτη ἔντευξις. ποικίλον δὲ ὁ λόγος ἐπιὼν δείκνυσι τῇ ἐπινοίᾳ αὐτὸ, εἰς τὰ ἐξ
ὧν σύγκειται διαλύων. καὶ σχῆμα καὶ χρῶμα, καὶ ἀντιτυπίαν, καὶ μέγεθος καὶ τὰ
λοιπά. πάλιν τὰ ἀνυπόστατα μὲν παντελῶς. κατὰ δὲ ἀναζωγράφησίν τινα τῆς
ἐννοίας. καὶ φαντασίαν μόνην ἀνατυπούμενα. ὡς ὅσα οἱ μυθοποιοὶ καὶ ζωγρά-
φοι πρὸς τὴν τῶν ἐντυγχανόντων ἔκπληξιν τερατεύονται κατ' ἐπίνοιαν, καὶ ταῦτα

» τῶν ἐπίσης ἀδύνατον. ἐπειδήγε δεῖ κατὰ ἀλήθειαν τὸ ποιοῦν, τοῦ γινομένου προϋ-
» πάρχειν καὶ τὸ ποιούμενον, τοῦ ποιοῦντος εἶναι δεύτερον. μήτε δὲ αὐτὸ ἑαυτοῦ πρότερον
» ἢ ὕστερον εἶναι δύνασθαι, μήτε ἕτερόν τι πρὸ τοῦ θεοῦ. ἢ γὰρ ἂν ἐκεῖνο πρὸ τοῦ δευτέρου,
» τὸ τῆς θεότητος εἶχεν ἀξίωμα. τίνος οὖν ἕνεκεν πᾶσαν αὐτοῦ ταύτην παρεθέμην τὴν λέ-
ξιν, ἵνα καταφανὴς ἡ ἀδολεσχία τοῦ ἀνδρὸς, ᾗ κέχρηται παρὰ πάντα τὸν λόγον γένηται.
εἰπὼν γὰρ αὐτὸς ἐναργὲς ὑπάρχειν ταῖς κοιναῖς πάντων ἐννοίαις. τὸ εἶναι τὸν θεὸν ἀγέν-
νητον, ἀποδείξεις τούτου κομίζειν ἡμῖν ἐπιχειρεῖ παραπλήσιον ποιῶν. ὥσπερ ἂν, εἴ τις ἐν
σταθερᾷ μεσημβρίᾳ τοὺς ἐρρωμένους τὰς ὄψεις λόγον διδάσκειν βούλοιτο, φανότατον εἶ-
ναι τῶν κατ᾽ οὐρανὸν ἀστέρων τὸν ἥλιον. εἰ δὲ ὁ τὰ τῇ αἰσθήσει, γνώριμα λόγῳ δεικνὺς
καταγέλαστος, ὁ τὰ ταῖς κοιναῖς περιλήψεσιν ὡμολογημένα διδάσκων, πῶς οὐχὶ τῆς ἴ-
σης παρανοίας ὑπεύθυνος. πολλῷ γὰρ δήπου ταῦτα τῶν διὰ τῆς ὄψεως φαινομένων τοῖς
σωφρονοῦσι πιστότερα. εἰ μὲν οὖν ἦν τις ὁ κατὰ τῆς ἀληθείας ταύτης ἀναισχυντῶν, καὶ
τὸν ἀγέννητον ἢ παρ᾽ ἑαυτοῦ ἢ παρ᾽ ἑτέρου γεγενῆσθαι διατεινόμενος, εἶχεν αὖ τινα συγγνώ-
μην τυχὸν ἡ ματαιότης τῶν λεγομένων. εἰ δὲ οὐδεὶς μέχρι σήμερον οὔτε τῶν ἔξω τοῦ λό-
γου τοῦ καθ᾽ ἡμᾶς, οὔτε τῶν ἐξ αὐτῆς τῆς ἐκκλησίας ἐπαναστάντων τῇ ἀληθείᾳ, εἰς το-
σοῦτον ἦλθον ἀποπληξίας ὡς διαμφισβητεῖν περὶ τῆς ἀγεννησίας τοῦ ἀγεννήτου, τί κέρ-
δος ἐκ τῶν λόγων τούτων οὐ συνωρέω. ἢ τῶν ἀριστοτελικῶν ἔντεχνος ἡμῖν καὶ χρυσίππειος συλ
λογισμῶν ἔδει πρὸς τὸ μαθεῖν ὅτι ὁ ἀγέννητος οὐ γεγένηται, οὔτε αὐτὸς ὑφ᾽ ἑαυτοῦ, οὔτε
ὑφ᾽ ἑτέρου. καὶ οὔτε πρεσβύτερος, οὔτε νεώτερος αὐτός ἐστιν ἑαυτοῦ. τί οὖν αὐτῷ ταῦ
τα βούλεται, δοκεῖ μοι, ὁμοῦ μὲν τοῖς ἀκολούθοις ἐγκαλλωπίζεσθαι, ὡς δὴ πυκνός τε
καὶ περιττὸς τὴν διάνοιαν. καὶ ὀξὺς μὲν ὑπιδέσθαι τὸ ἄτοπον. ὀξύτερος δὲ διαλύσαι τὸ
φωραθὲν, καὶ διὰ τοῦτο ἐναβρύνεσθαι τῇ τῶν λόγων στροφῇ καὶ περὶ τὴν ἀπόδειξιν λε-
πτουργεῖν, τοῦ μήτε ὑφ᾽ ἑαυτοῦ μήτε ὑφ᾽ ἑτέρου τὸν ἀγέννητον γεγενῆσθαι. ἔπειτα μέν-
τοι, οὐδὲ ἐν τοῖσδε τῆς ἑαυτοῦ τέχνης ἐπιλανθάνεται. ἀλλ᾽ ἐν τῇ τῶν ὁμολογουμένων
διατριβῇ, ὥσπερ στοιχεῖά τινα περὶ τῶν ἑξῆς λόγοις ἑαυτῷ παρεμβάλλει. οὐ γὰρ ἀργῶς
αὐτῷ ἐκεῖνο ἔχει ὅτι δεῖ κατὰ ἀλήθειαν τὸ ποιοῦν, τοῦ γινομένου προϋπάρχειν. ἀλλ᾽ ἵνα
ἐν τοῖς περὶ υἱοῦ λόγοις, προδιωμολογημένον ἔχῃ τὸ, ὕστερον προσγεγενῆσθαι τῷ πατρὶ
τὸν υἱόν. ἐπείπερ τὸ ποιοῦν ἐστι τοῦ γινομένου πρεσβύτερον. τούτῳ δὲ ὡς ἑπόμενον λάβῃ,
τὸ ἐκ μὴ ὄντων τὸν υἱὸν γεγενῆσθαι. ἀλλ᾽ ὁ μὲν τῆς εἰς τὸν υἱὸν ἀσεβείας ἔλεγχος, ἐν τοῖς
οἰκείοις τόποις ἀναμενέτω. ἐγὼ δὲ καὶ τὴν τοῦ ἀγεννήτου προσηγορίαν, κἂν τὰ μάλι-
στα δοκῇ ταῖς ἐννοίαις ἡμῶν συμβαίνειν, ἀλλ᾽ οὖν ὡς οὐδαμοῦ τῆς γραφῆς κειμένην, καὶ
πρῶτον στοιχεῖον οὖσαν τῆς βλασφημίας αὐτῶν, σιωπᾶσθαι ἂν δικαίως ἀξίαν εἶναι φή-
σαιμι, τῆς πατρὸς φωνῆς, ἴσον δυναμένης τῷ ἀγεννήτῳ, πρὸς τῷ καὶ τὴν περὶ τοῦ υἱοῦ
ἔννοιαν συνημμένως ἑαυτῇ διὰ τῆς σχέσεως συνάγειν. ὁ γὰρ ὄντως πατὴρ καὶ μόνος, ἐξ οὐδενός
ἐστιν ἑτέρου. τὸ δὲ ἐξ οὐδενὸς, ταυτόν ἐστι τὸ ἀγέννητος. οὐ τοίνυν ἀγέννητον προσαγορευ-
τέον μᾶλλον ἡμῖν, ἢ πατέρα. εἴγε μὴ μέλλοιμεν εἶναι σοφώτεροι τῶν διδαγμάτων τοῦ σωτῆρος εἰ-
πόντος. πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ πατρός. ἀλλ᾽ οὐχὶ τοῦ ἀγεννήτου. καὶ ταῦτα
μὲν εἰς τοσοῦτον. ἡμεῖς δὲ τὰ συνεχῆ τοῦ λόγου σκεψώμεθα. ὀλίγον γὰρ περιελθὼν, καὶ
» οἷον συγκεφαλαιούμενος ἑαυτῷ τὰ εἰρημένα, οὕτω γράφει. εἰ τοίνυν, εἰ μήτε αὐτὸς ἑαυτοῦ,
» μήτε ἕτερόν τι αὐτοῦ προϋπάρχειν δέδεικται, πρὸ δὲ πάντων αὐτὸς, ἀκολουθεῖ τούτῳ τὸ ἀγέν
» νητον. μᾶλλον δὲ αὐτὸ ἐστὶν οὐσία ἀγέννητος. ἣν τοίνυν ἐν τούτοις ἐφωράσαμεν κα-
κουργίαν. συνιδεῖν μὲν οἶμαι καὶ πάνυ ῥᾴδιον τῷ καὶ μικρὸν ἐπιστήσαντι, ἐμφανῆ δὲ ποιῆ-
σαι τοῖς πολλοῖς οὐκ ἀμαθές. πλὴν ἀλλὰ πειρατέον, τὴν ἐλπίδα θεμένους ἐπὶ τὸν διδόντα
ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. εἰπὼν ὅτι εἰ μήτε αὐτὸς ἑαυτοῦ μήτε ἕ-
τερόν τι ἑαυτοῦ προϋπάρχειν, ἀκολουθεῖ αὐτῷ τὸ ἀγέννητον. εἶτα συνιδὼν ὅτι ἐκ τῆς
τῶν τεθέντων ἀκολουθίας, πρὸς τὸ ἐναντίον αὐτῷ περιῆλθεν ὁ λόγος. εἰ γὰρ ἀκο-
λουθεῖ τῷ θεῷ τὸ ἀγέννητον, ἔξωθεν αὐτῷ παρέπεται δηλονότι. τὸ δὲ ἔξωθεν τοῦ θεοῦ,
οὐκ οὐσία αὐτοῦ ἐστιν. ἐκ δὴ τούτων οἰχήσεται διαρρυὲν αὐτῷ τὸ σκαιώρημα. ἵνα
μὴ τοῦτο πάθῃ, τί ποιεῖ, βραχὺ φροντίσας βραχὺ τοῦ γέλωτος. ὃν ἐπὶ τῷ τὰ ἀνα-
κόλουθα λέγειν ὑπέχειν ἤμελλε. τῇ ἐπιδιορθώσει ἀπήγαγε τὸν λόγον πρὸς ἃ ἐβούλετο,

Βασίλειος

Εὐνόμιος

Βασίλειος

σω· καὶ πρῶτόν γε τὴν πίστιν ἣν προτείνεται καταμάθωμεν, αὐτὰς τὰς ἐκείνου φωνὰς
Εὐνόμιος » παραθέμενοι. Τὴν δὲ κρατοῦσαν φησὶν ἄνωθεν παρὰ τῶν πατέρων εὐσεβῆ παράδοσιν, ὥσ-
» περ τινὰ γνώμονα καὶ κανόνα προεκθέμενοι, ἀκριβεῖ τούτῳ χρησόμεθα κριτηρίῳ πρὸς τὴν
» τῶν λεγομένων ἐπίκρισιν. Τούτοις ἐπάγει τὴν πίστιν ἔχουσαν οὕτω. Πιστεύομεν εἰς ἕνα θεὸν πα-
» τέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα. καὶ εἰς ἕνα μονογενῆ υἱὸν τοῦ θεοῦ θεὸν λόγον, τὸν κύριον ἡμῶν
» Ἰησοῦν Χριστόν, δι' οὗ τὰ πάντα. καὶ εἰς ἓν πνεῦμα ἅγιον, τὸ παράκλητον. εἶτα εὐθὺς ἐπισυνάπτει, ἡ μὲν
» οὖν ἁπλουστέρα καὶ κοινὴ πίστις πάντων, ὅσοις τὸ δοκεῖν ἢ τὸ εἶναι χριστιανοῖς ἐπιμελές, ὡς ἐν
Βασίλειος » ἐπιδρομῇ κεφαλαιωδέστερον εἰπεῖν αὕτη. Περὶ μὲν οὖν τῆς ἐν οἷς ἔπειτα ἐναντιότητος, καὶ
τῆς ἀναισχύντου μάχης τῶν εἰρημένων πρὸς ἄλληλα, μικρὸν ὕστερον ἐροῦμεν. ἐκεῖνο δὲ πρό-
τερον ἑαυτοὺς ὑπομνήσομεν, ὅτι οὗτος ἐστὶν ὁ ἐν τοῖς αὐτοῦ λόγοις πάνυ σοβαρῶς ἡμῖν ἐπαγ-
γελλόμενος, γυμνὴν παντὸς προκαλύμματος ἐκθήσεσθαι τὴν ἀλήθειαν. ἐνταῦθα τοίνυν
ποῦ γέγραπται πιστεύομεν τὴν ἀγεννησίαν οὐσίαν εἶναι τοῦ θεοῦ τῶν ὅλων. ἢ πιστεύομεν ἀνόμοιον
κατὰ τὴν οὐσίαν εἶναι τὸν μονογενῆ τῷ πατρί. ταῦτα γὰρ ἐχρῆν αὐτὸν, εἴπερ ὡς ὑπέσχετο μηδε-
νὶ παραπετάσματι δολερῷ τὸ ἑαυτοῦ φρόνημα συνεσκίαζεν. ἀλλ' οἶμαι πᾶσιν ἐπιβούλως
τοῖς λόγοις χρώμενος. τὰ μὲν παρ' ἑαυτοῦ σιωπᾷ, ἵνα μὴ ἀγυμνάστοις ταῖς ἀκοαῖς προσ-
βαλὼν, ἀπίθανον ἑαυτὸν καὶ δυσπαράδεκτον καταστήσῃ. τὴν δὲ τῶν πατέρων πίστιν προβάλλεται.
ἣ διὰ τὴν μεσότητα τῶν ἐν αὐτῇ ῥημάτων, οὐκέτι ἐναντίωμα πρὸς τὴν ὅλην τοῦ λόγου αὐτῷ
κατασκευὴν παρέξειν ἔμελλεν. καὶ ἀκολουθήσειν ἐφ' ἑκάστῳ ἐν ἐξηγήσεως εἴδει μετάγοντι τὸν
λόγον ἐφ' ἃ προείρηται. ὡς δὲ ἀληθῆ ταῦτα, δῆλον αὐτόθεν. ἐκθέμενος γὰρ αὐτὴν, εὐθὺς
ἐπιτηδεύει τῇ ἐξηγήσει. προφάσει χρώμενος, ἄλλῃ τέ τινι, καὶ ὅτι οὐκ ἐξαρκεῖ πρὸς τὴν διάλυ-
σιν τοῦ ἐγκλήματος. τίνος οὖν ἕνεκεν αὐτὴν προσβάλλου, ἀλλ' οὐκ εὐθὺς ἐπ' ἐκείνους ἦλθες
τοὺς λόγους, οἳ καὶ τὸ ἀκριβὲς εἶχον. καὶ ἐξαιρεῖσθαί σε τῶν ἐγκλημάτων ἔμελλον. νῦν δὲ
προτείνεται μὲν ὡς ἀσφαλὲς κριτήριον. διορθοῦται δὲ πάλιν ὡς οὐδὲν ὑγιὲς ἔχουσαν. τοῦ-
το δὲ παντὶ γνώριμον, ὅτι ὥσπερ ἀγκίστρῳ πρὸς θάνατον ἕλκοντι τῷ ἑαυτοῦ φρονήματι,
τὸ ἁπλοῦν τῆς ἐπιστάσεως οἱονεὶ δέλεαρ περιβάλλει. ἵνα τῷ φαινομένῳ ἐπιδραμόντες
οἱ ἀπειρότεροι, ἀφυλάκτως τῷ κακῷ τῆς ἀσεβείας περιπαρῶσιν. ὡς ἂν δὲ μὴ δέξειον αὐ-
ἀνάγκης τῇ ἐπιδιορθώσει τῆς πίστεως ἐγχειρεῖν, ἣν αὐτὸς ἀποσεμνύνει ταῖς ὑπερβολαῖς τῶν ἐ-
παίνων, ταύτην ὥσπερ ἐπιλανθανόμενος τῶν ἑαυτοῦ λόγων, σκέψασθε πῶς διασύρει.
Εὐνόμιος » ἡ μὲν οὖν ἁπλουστέρα καὶ κοινὴ πάντων πίστις ὅσοις τὸ δοκεῖν ἢ τὸ εἶναι χριστιανοῖς ἐπιμελές,
Βασίλειος » ὡς ἐν ἐπιδρομῇ κεφαλαιωδέστερον εἰπεῖν αὕτη. εἰπέ μοι, ἡ εὐσεβὴς τῶν πατέρων παράδοσις,
καὶ ὁ κανὼν ὡς αὐτὸς ὠνόμασας καὶ ὁ γνώμων. καὶ τὸ ἀσφαλὲς κριτήριον, νῦν ὄργανον ἀπά-
της. καὶ τέχνη σχηματισμοῦ. καὶ τὰ τοιαῦτα πάλιν προσαγορεύεται; εἰ γὰρ οὐχὶ τοῖς ὄντως
οὖσι χριστιανοῖς ἐφαρμόζει, ἀλλὰ τοῖς τὸ δοκεῖν περὶ τὸ εἶναι τετιμηκόσι, τί ἄλλο περὶ αὐτῆς
ὑπολαμβάνειν, ἢ ταῦτα προσῆκε; τίς ἂν οὖν μὴ παντελῶς παραπαίων, τὸν κανόνα τοῦ
εὐθέος, τοῖς τὴν ψυχὴν ἐν διαστρόφοις ἁρμόζειν εἴποι καὶ τὸν γνώμονα τῆς ἀληθείας. οἱ
γὰρ τὸ ὀνομάζεσθαι χριστιανοὶ πρὸ τοῦ ἀληθῶς εἶναι τετιμηκότες, ἐπὶ τῇ τῶν πολλῶν
ἀπάτῃ τὸν σχηματισμὸν τοῦτον ὑποδυόμενοι, πόρρω πάσης εὐθύτητος καὶ ἀληθείας εἰ-
σίν. οὔτε οὖν διεστραμμένον κατευθυνθήσεται ὡς ὁ τοῦ ἐκκλησιαστοῦ λόγος, οὔτε τὰ τῆς
ἀληθείας κριτήρια, τοῖς τὸ ψεῦδος κατὰ τὸν βίον ᾑρημένοις ἁρμόσει, ὅπερ τούτῳ δοκεῖ.
ἀλλὰ δι' ἃς εἴπομεν αἰτίας, εἰς οὕτω περιδήλους ἐναντιότητας ὑπηνέχθη. ἵνα οἷς μὲν ἐ-
παινεῖ τὴν πίστιν κοινωνεῖν τοῖς πατράσι τῆς εὐσεβείας δόξῃ. οἷς δὲ λαμβάνεται πάλιν αὐ-
τῆς, ὁδὸν ἑαυτῷ πρὸς τὴν ἐξήγησιν ὑποποιήσῃ. διὰ τοῦτο τὴν αὐτὴν καὶ κανόνα λέγει, καὶ
προσθήκης φησὶν ἀκριβεστέρας δεῖσθαι. τοῦτο δὲ αὐτῷ καὶ τῆς ἐσχάτης ἀμαθίας ση-
μεῖον ἔστω, εἴ πω καὶ τοῦτο ἄδηλον παρέξεται ζητεῖν. ὁ γάρτοι κανὼν ὦ σοφώτατε καὶ ὁ γνώμων,
ἕως ἂν μηδὲν ἐνδέῃ τοῦ κανὼν εἶναι καὶ γνώμων, οὐδεμίαν προσθήκην εἰς ἀκρίβειαν ἐπιδέ-
χεται. κατὰ γὰρ τὸ ἐλλεῖπον ἡ πρόσθεσις. ἀτελεῖς δὲ ὑπάρχοντες, οὐδὲ τῶν προση-
γορειῶν τούτων ὑμεῖς ἂν ἔτι τυγχάνοιεν. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἤδη δὲ καὶ οὓς ἐκ-
τίθεται περὶ θεοῦ λόγους ἐπισκεψώμεθα.
Εὐνόμιος » εἷς τοίνυν φησὶ κατά τε φυσικὴν ἔννοιαν καὶ κατὰ τὴν τῶν πατέρων διδασκαλίαν ἡ-
μῖν ὁμολογεῖται θεός. μήτε παρ' ἑαυτοῦ, μήτε παρ' ἑτέρου γενόμενος. ἑκάτερον γὰρ αὐ-

τας· μήτε μὴν ἀξιώμασι προσέχοντας, ἀμαυροῦσθαι τὴν διάνοιαν. ἢ τῇ τάξει τῶν προλαβόντων τὸ πλεῖον νέμοντας, ἀποφράττειν τὰς ἀκοὰς τοῖς ὑστέροις.

Βασίλειος Τί λέγεις; μὴ νέμωμεν τὸ πλέον τοῖς προλαβοῦσι· μή, αἰδεσθῶμεν τὸ πλῆθος τῶν τε νῦν ὄντων χριστιανῶν καὶ τῶν ὅσοι γεγόνασιν ἀφ' οὗ κατηγγέλη τὸ εὐαγγέλιον; μὴ λογισώμεθα τὸ ἀξίωμα τῶν ἐν παντοίοις χαρίσμασι διαφανέντων τινί· οἷς ἅπασιν ἐχθρὰν καὶ πολεμίαν τὴν ὁδὸν ταύτην τῆς ἀσεβείας ἐκαινοτόμησας. ἀλλὰ μύσαντας ἁπαξαπλῶς τοὺς τῆς ψυχῆς ὀφθαλμούς, καὶ παντὸς ἁγίου μνήμην τῆς διανοίας ὑπερορίσαντας, σχολάζουσαν καὶ ἐστραμμένην τὴν ἑαυτοῦ καρδίαν ἕκαστος ταῖς παραγωγαῖς σου καὶ τοῖς σοφίσμασι φέροντας ὑποθῶμεν; μεγάλης μέντ' ἂν εἴης τῆς δυναστείας ἐπειλημμένος, εἴπερ ὧν ταῖς ποικίλαις ἑαυτοῦ μεθοδείαις ὁ διάβολος οὐκ ἐπέτυχε, τούτων σοὶ τυχεῖν διὰ ἐπιτάγματος περιέσται, ἐάνπερ πεισθέντες σοι, τὴν ἐν παντὶ τῷ παρελθόντι χρόνῳ ὑπὸ τοσούτων ἁγίων κεκρατηκυῖαν παράδοσιν, ἀτιμοτέραν κρίνωμεν τῆς δυσσεβοῦς ὑμῶν ἐπινοίας. τῷ δέ, οὐκ ἐξαρκεῖ μόνον τῶν νῦν ἀκουόντων τοὺς λογισμοὺς ὑφελέσθαι, ἀλλ' ἀξιοῖ καὶ τοὺς ὕστερόν ποτε συνεσομένους τῷ λόγῳ, τὴν αὐτὴν ἔχειν γνώμην. ὢ τῆς ἀλαζονείας. τὸ καὶ ὕστερον οἴεσθαι αὐτῷ διαρκέσειν τὸν λόγον, καὶ ἀθάνατον εἰς τὸν ἐπιόντα χρόνον τὴν μνήμην αὐτοῦ φυλαχθήσεσθαι. καὶ ταῦτα νῦν ἀπαυθαδιάζεται ὁ μετ' ὀλίγα πρὸς τοὺς ἀκροωμένους διαθρυπτόμενος ὡς τῦφον παντὸς ἀμελῶν, οὑτωσὶ λέγων τοῖς ἐν τῷ δράματι δικασταῖς·

Εὐνόμιος » Πρὸς δὲ τούτοις, μὴ δὲ ἡμῖν χαλεπαίνειν, εἰ τύφου μὲν ἀμελήσαντας καὶ φόβου· τῆς δὲ παραυτίκα χάριτος καὶ ἀσφαλείας, τὴν ὑπὲρ τῶν μελλόντων ἄδειαν προτιμήσαντας. καὶ πάσης ἐπιγείου κακοπαθείας θανάτου τε πρὸς καιροῦ, φοβερωτέραν τὴν κατὰ τῶν ἀσεβῶν ὡρισμένην ἀπειλὴν εἶναι κρίναντας. παντὸς ἐπικαλύμματος γυμνὴν ἐκτιθέμεθα τὴν ἀλήθειαν.

Βασίλειος Ποίας ἀλαζονείας ὑπερβολὴν ὁ κόμπος οὗτος τῶν λόγων οὐχ ὑπεραίρει. ὃς πρόσεστι, τῇ εἰρωνείᾳ, καὶ ὕβρεις κατὰ τῶν δικαζόντων. εἴπερ τῷ πρὸς τὰ καλὰ δυσχερῶς ἔχειν, μόλις κατέχονται χαλεπαίνοντες. ἀμελοῦντι μὲν αὐθαδείας καὶ τύφου. τῆς δὲ ἐν τῷ παρόντι ἀσφαλείας, τὴν ὑπὲρ τῶν μελλόντων ἄδειαν προτιμῶντι. καὶ τοῦ πρὸς καιροῦ θανάτου, φοβερωτέραν κρίνοντι τὴν ὕστερον κόλασιν. τοῦτο δέ ἐστι τοιοῦτον.

Εὐνόμιος » Εἰ δὴ χαλεπαίνετέ μοι ὦ ἄνδρες πρὸς αὐτὸ τὸ ἀκρότατον τῆς ἀρετῆς ἀνελθόντι, καὶ ὑπερβάντι μὲν τὰ γήϊνα. πᾶσαν δὲ τὴν πολιτείαν εἰς οὐρανὸν μεταθέντι.

Βασίλειος Καινὸς οὗτος ἀλαζονείας τρόπος. δι' ὧν γὰρ ἀμελεῖν προσποιεῖται τοῦ τύφου, πρὸς τὴν ἐσχάτην φυσίωσιν ἑαυτὸν ὑπεραίρει. εἰ γὰρ ἐφ' οἷς ἐνδείκνυται συγγνώμης ἀξίως πεπρακέναι, τῆς εὐαγγελικῆς πολιτείας ὄντι τὰ κεφάλαια, ἑκάστων ἀφίησιν ὁ ποῖόν τινα αὐτὸν ἐν τοῖς κατορθωμένοις ἡγεῖσθαι προσήκει. ταῦτα μὲν οὖν ὥσπερ εἰ χαρακτῆρα τῆς ὅλης αὐτοῦ προαιρέσεως ἔχοντα, πολλῶν ἀποσιωπηθέντων, ἱκανῶς εἴρηται. ἵνα δι' ὧν μὲν ἐψεύσατο, τὸν πατέρα τοῦ ψεύδους ἐν αὐτῷ λαλοῦντα γνωρίσωμεν. ἐκ δὲ τῶν ἀλαζονευμάτων, τίνι συγκατακέκριται, διδαχθῶμεν. σαφῶς τοῦ ἀποστόλου λέγοντος, τὸν τυφωθέντα εἰς κρίμα ἐμπίπτειν τοῦ διαβόλου. ἐπ' αὐτοὺς δὲ λοιπὸν τοὺς ἐλέγχους τῆς ἀσεβείας ἔλθωμεν. πίστιν ἐκτίθεται πρῶτον ἐξ ἁπλῶν καὶ ἀδιορίστων λέξεων συγκειμένην, ᾗ ἐχρήσαντο καί τινες τῶν πατέρων. οὐχὶ πρὸς ζητήσεις ὑποκειμένας ἀποτεινόμενοι. ἀλλ' ἁπλῶς οὕτως ἐφ' ἑαυτῶν ἐν ἁπλότητι καρδίας διαλεγόμενοι. εἶτε καὶ ἄρειος ὥς φασι σοφιζόμενος τὸν ἀλέξανδρον ταύτην αὐτῷ προετείνατο. καὶ γὰρ τοῦτο λέγουσιν, ἀλλ' ὅμως μὲν ταύτην ὡς ὁμολογοῦσαν τῇ ἑαυτοῦ γνώμῃ προΐσχεται διὰ δύο προφάσεις. μίαν μέν, ὥστε τὴν τῆς καινοτομίας ὑπόνοιαν ἐκφυγεῖν, ἐν τῷ τὴν τῶν πρώτων πίστιν ὡς ὀρθῶς ἔχουσαν ἀποδέχεσθαι. ἑτέραν δέ, τοῦ πάντας ἀπροοράτως ταῖς πάγαις αὐτοῦ τῶν σοφισμάτων περιπεσεῖν. τῇ ἁπλότητι τῶν ῥημάτων τούτων καταπιστεύσαντας. ὅμως δὲ κἀκεῖνο συνεῖδεν ὅτι καὶ τὴν ἑαυτοῦ γνώμην ἀπροσώπως αὐτῷ παρεισαγαγεῖν ὑπάρξει. ἐξηγουμένῳ δῆθεν τὰ τῶν πρώτων καὶ μάλιστα μέν, λήσεσθαι ἀσεβῶν. εἰ δ' ἄρα καὶ φωραθείη, ἀναίτιος εἶναι δόξειν. ὡς οὐδὲν οἴκοθεν οὐδὲ παρ' ἑαυτοῦ τι λέγων. ἀλλ' ἀλλοτρίας γενόμενος διανοίας ἐξηγητής, ἐν ᾧ δὴ καὶ γελοιότατόν τι παθὼν, οὐκ ἐπῄσθετο. ἐπαινέσας γὰρ αὐτὴν πολλὰ καὶ μεγάλα, μικρὸν ὑποβάς, τοῖς αἰσχίστοις πάλιν ὀνείδεσι περιβάλλει. ἀλλ' ἵνα σαφέστερον ὃ λέγω γένηται, καὶ μέρη τὸν λόγον διελόμενος ἐξετά-

λαι συνέλαβε καὶ ὤδινε βλασφημίαν. ἑώρα δὲ, ὅτι τὸ μὲν ἐκ τοῦ προφανοῦς ἐν διδασκά-
λου τάξει προκαθεσθῆναι, πρὸς τῷ λίαν φορτικῷ καὶ προσάντει τοῖς ἀκούουσιν, ἔτι καὶ
ἀπίθανον ἑαυτὸν καὶ ὕποπτον τοῖς πολλοῖς κατασκήσει, ὡς δόξης ἐπιθυμίᾳ, ἐπὶ τὸ νεωτερί-
ζειν ἐληλυθότα. εἰ δὲ ἐν ἀπολογίας πλάσματι τοὺς λόγους ποιοῖτο, τῆς γε καινοτομίας
τὸ ὕποπτον διαφεύξεσθαι, καὶ μᾶλλόν τι τούτῳ προσάξεσθαι τοὺς ἀκούοντας. φύσει πάν-
των εἰωθότων ταῖς εὐνοίαις εἰωθότων τοῖς ἐλαττουμένοις προστίθεσθαι. διὰ τοῦτο κατηγόρους
αἰτιᾶται καὶ συκοφάντας, κἀκείνοις τοῦ λόγου τὴν αἰτίαν περιάπτει. ὥστε δὲ πᾶσιν αὐ-
τοῦ γενέσθαι τὴν τέχνην καταφανῆ, οὐδὲν χεῖρον αὐτῆς ἀκοῦσαι τοῦ προοιμίου τῆς λέ-

Εὐνόμιος » ξεως. ἔχει δὲ οὕτω. Τὸ μὲν συκοφαντεῖν καὶ διαβάλλειν τινὰς ἀκολάστου γλώττης καὶ
» γνώμης ἀγνώμονος, μαχομένων καὶ φιλαπεχθημόνων ἔργον εἶδότες. τὸ δὲ τοὺς ἐκ διαβολῆς
» εἶναι δόξαντας πονηροὺς, πάσῃ προθυμίᾳ πειρᾶσθαι τὸ ψεῦδος τοῖς ἐλέγχοις ἀποτρέ-
» πειν, ἀνδρῶν σωφρόνων. καὶ μετὰ τῆς ἰδίας εὐβουλίας τὴν τῶν πολλῶν ἀσφάλειαν περὶ πολ-

Βασίλειος » λοῦ ποιουμένων. Τὸ μὲν οὖν σχῆμα τοῦ λόγου, τοιοῦτον, οἷον ἂν γένοιτο τοῦ μηδὲν ἁπλῶς
μὴ δὲ ἀδόλως ποιοῦντος. τότε γὰρ τὸ περὶ τὴν καινοτομίαν ὕποπτον, τῷ τῆς ἀπολογίας προ-
καλύμματι συσκιάζει. καὶ εὔνοιαν θηρᾶται παρὰ τῶν ἀκουόντων, ὡς τῇ ἀνάγκῃ τῆς διαβο-
λῆς ἐπὶ τοὺς λόγους τούτους ἐλθών. ἐλέγχεται δὲ αὐτοῦ ἡ περὶ τὴν ἀπολογίαν σκηνὴ, ὅτι
τοῦ ἐγκλήματος ἐφ' ᾧ διαγωνίζεσθαι προσποιεῖται κατήγορον εἰπεῖν οὐκ ἔχων ἀπρόσω-
πον τὸ τῆς ἀπολογίας ὑποκρίνεται δρᾶμα. οὐ διὰ μακροθυμίαν ὀνομασθῆναι μηνυθῆναι τὸ
λελυπηκότων ἀπεχόμενος. πῶς γὰρ, ὅς γε τοσαύταις λοιδορίαις πλύνει τοὺς ἀντιλέγοντας,
ἀλλὰ τοῦ ψεύδους τὸ περιφανὲς ὑφορώμενος, ἐπιφημίζειν ἑαυτῷ ὡρισμένα πρόσωπα κα-
τηγόρων αἰσχύνεται. εἰ γὰρ εἶχεν ὀνομάσαι τινὰς, εἶπεν ἂν πάντως καὶ διεβόησεν. εἰ καὶ μὴ
τὴν ἑαυτοῦ ὀργὴν ἐκπληρῶν, ἀλλὰ τήν γε τῶν πολλῶν ἀσφάλειαν διοικούμενος. ὧν δὴ καὶ
μάλιστα προνοεῖν ἐπαγγέλλεται. μανθάνουσα γὰρ πονηρία, τῆς προκεκρυμμένης βλα-
βερωτέρα. ὥστε εἴπερ ἔγνωμεν τοὺς συκοφάντας, ῥᾷον ἂν διεφύγομεν τὰς ἀκολάστους
γλώσσας αὐτῶν, καὶ τὰς ἀγνώμονας γνώμας. αὐτοῖς γὰρ χρήσομαι τοῦ σοφωτάτου τοῖς
ῥήμασιν. ἀλλ' ἐπειδὴ τότε δι' ἣν δήποτε αἰτίαν ἀπεσιώπησε, νῦν ἐρωτάσθω. νῦν ἀπο-
κρινάσθω, τίνες οἱ κατήγοροι οἱ τῷ προλαβεῖν τὰς διαβολὰς, ἀναγκαίαν αὐτῷ τὴν ἀπο-
λογίαν κατασκευάζοντες. ἐκ ποίας οἰκουμένης ἐλθόντες. τίνες οἱ δικασταὶ, ἐφ' ὧν διατί-
θεται τὸν ἀγῶνα. ἐν ποίῳ δικαστηρίῳ τὴν γραφὴν ταύτην ὑπέστη. ποῦ γῆς ἢ θαλάττης
συγκροτηθέντι. τί γὰρ ἂν καὶ ἄποιον ἐν σελήνῃ, ἀλλὰ σιωπῶντες ἑάλωσαν, οἵ γε προκα-
λουμένων πολλάκις τῶν συνελθόντων εἰς τὰς ὑπὲρ τῶν ἐπιφερομένων εὐθύνας, οὐκ ἀ-
πήντησαν. ἐφ' οἷς δὴ καὶ κατεκρίθησαν τηνικαῦτα. κοινὸς γάρ μοι ὁ λόγος πρὸς ἅπαν ὁ-
μοῦ τὸ σύνταγμα, τὸ διὰ τὴν κοινωνίαν τῆς ἀσεβείας, ὥσπερ τι μέλος νενοσηκὸς τοῦ ὑγιαί-
νοντος σώματος τῆς ἐκκλησίας ἀπορραγέν. ἀλλ' ἐν κωνσταντινουπόλει; ἀλλ' οὐδὲν ἐκεῖ ἀ-
πολογίας ἔδει καὶ λόγων. τοὺς γὰρ ἐκ τῆς βασιλικῆς αὐλῆς, καὶ τῶν λοιπῶν τοὺς τὰ μέγιστα
δυναμένους ἑαυτῶν ποιησάμενοι, ἐκ πολλοῦ τοῦ περιόντος τοῖς πράγμασι προσεφέρον-
το. αὐτοὶ καὶ κατήγοροι, καὶ δικασταὶ, καὶ δήμιοι, καὶ πάντα ὄντες ὅσα ἐβούλοντο. ὅτε τῶν
ἐπισκόπων τοὺς μὲν, ἐκβάλλοντες. τοὺς δὲ, ἐγκαθιστῶντες. τοῖς δὲ τὸν περὶ τοῦ ζῆν ἐπικρε-
μαννύντες κίνδυνον, αὐτοὶ τὰς πόλεις ἀλλήλοις κατ' ἐξουσίαν πολλὴν διελάγχανον. καὶ
ὁ μάλιστα τῶν ἐν συρίᾳ πόλεων ἐκ πασῶν, τὴν κωνσταντινούπολιν ὡς ἐπὶ τυραννίδι κατέ-
λαβον. αὐτὸς δὲ οὗτος ὁ ἄμαχος καὶ δεινὸς λογογράφος, ἆθλον τῆς ἀσεβείας, τὴν κύζικον
ἀπηνέγκατο. θεοσεβίῳ δὲ μετὰ τοὺς ἐπὶ τοῖς ἀρρήτοις βλασφημίαις ἐλέγχους, ἡ ἐκκλη-
σία σάρδεων προεπόθη καὶ σύμπασι βιθυνοῖς, καὶ παφλαγόνας καὶ κίλικας, καὶ πάν-
τας ὅσους ἐν κύκλῳ φερόμενον τὸ κακὸν ἀπενείματο. ποίας οὖν ἀπολογίας ἔτι καιρὸς
ἦν τότε. ἀλλ' οἶμαι οὐδὲ βουλομένῳ δυνατὸν ψεύσασθαι. ὥστε παντὸς ἀληθέ-
στερον, ὅτι τὸ σχῆμα τοῦ λόγου, μηχάνημα αὐτῷ πρὸς τὴν ἀπάτην ἐστί. καὶ ταῦτα
μὲν καὶ τοσοῦτον. ὁ δὲ μικρὸν προελθὼν, σκέψασθε οἷα γράφει. οὐδὲ γὰρ ἄχρηστον ἴσως

Εὐνόμιος » πρὸ τῶν ἐλέγχων τῆς ἀσεβείας, ὀλίγα τοῦ περὶ αὐτὸν τύφου παραδηλῶσαι. Αἰτοῦμαι
» δὲ πρὸ πάντων ὑμᾶς, τούτοις τε νῦν ἀκουσομένους, καὶ τοὺς ὕστερον ἐντευξομένους, μὴ
» τῷ πλήθει διακρίνειν ἐθέλειν τῆς ἀληθείας τὸ ψεῦδος, τῇ πλείονι μοίρᾳ τὸ κρεῖττον συνάπτειν

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας τοῦ μεγάλου. ἀνατρεπτικὸς τοῦ ἀπολογητικοῦ Εὐνομίου, α.

Εἰ μὲν ἐβούλοντο πάντες ἐφ' οὓς τὸ ὄνομα τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπικέκληται, μηδὲν τῇ ἀληθείᾳ τοῦ εὐαγγελίου παρεγχειρεῖν, τῇ δὲ παραδόσει τῶν ἀποστόλων, καὶ τῇ ἁπλότητι τῆς πίστεως ἐξαρκεῖσθαι, οὐδὲν ἂν ἡμῖν ἔδει λόγων ἐν τῷ παρόντι, ἀλλὰ καὶ νῦν ἂν πάντως ἣν ἐξ ἀρχῆς ἐτιμήσαμεν σιωπὴν, ἠσπασάμεθα. ἐπειδὴ δὲ ὁ ἐχθρὸς τῆς ἀληθείας προσθήκαις ἀεὶ τὸ κακὸν πλεονάζων, πρὸς οἷς ἐξ ἀρχῆς ἐπέσπειρε ζιζανίοις τῇ τοῦ θεοῦ ἐκκλησίᾳ. καὶ νῦν ἑτέρων ὄργανα πᾶσαν αὐτοῦ ἀθρόως τὴν τέχνην ὑποδεχόμενα, ἐν προσχήματι χριστιανισμοῦ τὴν ἄρνησιν τῆς θεότητος τοῦ μονογενοῦς παρεισάγει, τῇ ἔξωθεν ταύτῃ καὶ ματαίᾳ σοφίᾳ τὸ καθαρὸν καὶ ἁπλοῦν τῆς διδασκαλίας τοῦ θείου πνεύματος συνταράσσων, καὶ ἐν πιθανολογίᾳ τοὺς ἀκεραιοτέρους παρακρουόμενος. ἀναγκαίως καὶ ἡμεῖς διά τε τὴν ὑμετέραν τὴν ἐπιταξαῦτον ἀγάπην, καὶ τὸ ἡμῶν ἀσφαλὲς, ἐν τούτῳ τῆς ἀφθονίας ὑπεριδόντες. καίτοι παντελῶς ἀγύμναστοι τοῦ τοιούτου εἴδους τῶν λόγων ὄντες, κατὰ τὸ ἐπιμετρηθὲν ἡμῖν παρὰ τοῦ κυρίου τῆς γνώσεως μέτρον, τῇ τε ἀληθείᾳ συνίστασθαι, καὶ ἀπελέγχειν τὸ ψεῦδος ὑπεδεξάμεθα, ἡγούμενοι τελείων ἀγαθῶν, ἑνός γε πάντως μὴ ἁμαρτήσεσθαι. ἢ γὰρ τοῖς ἤδη προειλημμένοις ἀλεξιτήριον τοῦ κακοῦ τὸν ἔλεγχον δώσειν, ἢ φυλακὴν μετρίαν παρέξει τοῖς ὑγιαίνουσιν ἢ πάντως γε αὐτοὶ τῶν ὑπὲρ τοῦ προελέσθαι τοῖς ἀδελφοῖς ἡμῶν τὰ βέλτιστα, μισθῶν ἐπιτεύξεσθαι. ἔστι δὲ ὁ μὲν πρῶτος εἰπεῖν φανερῶς, καὶ διδάξαι τολμήσας, ἀνόμοιον εἶναι κατὰ τὴν οὐσίαν, τὸν μονογενῆ υἱὸν τῷ θεῷ καὶ πατρί, ὅσα γε ἡμεῖς ἴσμεν, ἀέτιος ὁ σύρος, ὃν οὐκ ἐρῶ ποταποῖς τὸ ἐξ ἀρχῆς ἐντεθραμμένος ἐπιτηδεύμασι, ταῖς ἐκκλησίαις τοῦ θεοῦ προσιὼν εἰσεφθάρη, ἵνα μὴ δόξω λοιδορεῖν τὸν ἔλεγχον ἀφέμενος. ὁ δὲ, ἐκδεξάμενος τὴν ἀσέβειαν καὶ τελειώσας αὐτὴν, εὐνόμιος οὗτος ὁ γαλάτης, ὃς ἐκ τῶν αἰσχίστων ἴσως τὴν περιφάνειαν κτώμενος, ἡ γὰρ δόξα φησὶν ἐν τῇ αἰσχύνῃ αὐτῶν, τὴν ἐκ τοῦ γράψαι ἃ μηδεὶς ἄλλος τετόλμηκε πώποτε φιλοτιμίαν, τῶν ἀποκειμένων τοῖς εὐσεβέσιν ἀγαθῶν προτιμήσας, ὑποδύντα τέως λαλουμένην τὴν βλασφημίαν, ἐπήρθη δημοσιεῦσαι τῷ λαμπρῷ τούτῳ συντάγματι, ἀρχηγὸς καὶ προστάτης ὅλης αἱρέσεως ἀναρρηθῆναι φιλοτιμούμενος. ὃν ὑπὲρ οὖν καὶ εὐθύνειν πρόκειται ἡμῖν ἐν τῷ παρόντι. οὗ δὲ κακοῦ ἐν ἀμφοτέροις ὑπάρχοντος, δῆλον ὡς ἐν τῷ μαθητῇ τῷ κατηρτισμένῳ, καὶ ὁ διδάσκαλος συνεπελεγχθήσεται ὁ τὰ σπέρματα τῆς ἀσεβείας καταβαλλόμενος. εἴπερ δὴ ὑπάρξειεν ἡμῖν διὰ τῶν προσευχῶν ὑμῶν, τοσαύτην λαβεῖν τοῦ λόγου δύναμιν, ὥστε κατὰ τὸν ζηλωτὴν φινεὲς, τῇ μιᾷ πληγῇ τοῦ ἐλέγχου, ἀμφοτέρων ὁμοῦ καθικέσθαι τῶν κατὰ τὴν ἀσέβειαν συμπεπλεγμένων ἀλλήλοις. πολλὰ τοίνυν ἔχων αὐτὸν ἐν τούτῳ δεικνύωσι τῷ λόγῳ ψεύστην, ἀμαθῆ, ὑβριστὴν, ἔρωνα, βλάσφημον. τῶν μὲν ἄλλων τὴν μνήμην, ἐν παρέργῳ θήσομαι, τὴν δὲ βλασφημίαν, ἣν εἰς τὸ ὕψος τῆς δόξης τοῦ μονογενοῦς ἐλάλησε, τῶν ἐκ τῆς τέχνης προκαλυμμάτων ἀπογυμνώσας, ἐμφανῆ πᾶσι καταστῆσαι πειράσομαι. ἤδη δὲ βαδιοῦμαι πρὸς τοὺς ἐλέγχους, ἐξ αὐτῆς τῆς ἐπιγραφῆς τὴν ἀρχὴν ποιησάμενος. πρῶτον μὲν γὰρ αὐτῷ πάντων κακούργημα, τὸ σχῆμα τοῦτο τοῦ λόγου ἐπινενόηται, ἐν ἀπολογίας εἴδει τῆς διδασκαλίας συνθεῖν τι, ἵνα μὴ δόξῃ προηγουμένως ποιεῖσθαι τῶν δογμάτων τῆς ἀσεβείας τὴν ἔκθεσιν, ἀλλ' ἐξ ἀνάγκης τινὸς τοῖς λόγοις τούτοις ἐληλυθέναι. ἐβούλετο μὲν γὰρ ἐκ παντὸς τρόπου τὸ πονηρὸν τοῦτο καὶ ἄθεον εὐαγγελίσασθαι κήρυγμα, καὶ εἰς μέσον ἐνεγκεῖν, ἣν πά-

τὰ κάλλη. ὅς τις ἐν τοῖς ἑξῆς λέγεται ποταμὸς ὁ πορευόμενος ἐξ ἐδὲμ ποτίζειν τὸν παράδεισον. ἐν μὲν οὖν τοῖς κατόπιν ἐλέγετο, ὅτι πρότερον τὴν κτίσιν πληρώσας, οὕτως ἐπεισήγαγεν εἰς ἀρχὴν καὶ δεσποτείαν τὸν ἄνθρωπον. νῦν δὲ τὸ ἐναντίον πρότερον ἔπλασε τὸν ἄνθρωπον, τότε ἐφύτευσε τὸν παράδεισον. ἡ δὲ αἰτία ὅτι ἐκεῖ μὲν ἵνα πλήρει τῷ οἴκῳ τὸν οἰκοδεσπότην ἐπεισαγάγῃ. καὶ μὴ πένητα κτίσας, ὕστερον αὐτῷ τὴν ἀπορίαν χαρίσηται. ἐνταῦθα δὲ τὴν ἐκ προκοπῆς τελείωσιν χαρισάμενος, ἀλλαχοῦ ἔκτισε. καὶ ὕστερον ἐγκατοικίζει τῷ παραδείσῳ. ἵνα τὴν διαφορὰν καταμαθὼν, τῆς τε ἔξω ζωῆς, καὶ τῆς ἐν παραδείσῳ διαγωγῆς ἐκ τῆς συγκρίσεως ἑκατέρων. γνωρίσῃ μὲν τοῦ κάλλους τὴν ὑπεροχὴν, φοβηθῇ δὲ τῆς ἐκπτώσεως αὐτοῦ τὴν ζημίαν. ἵνα δὲ νοήσῃς φυτείαν ἀξίαν τῆς τοῦ θεοῦ χειρὸς, μνήσθητι τῶν ἐν τῷ εὐαγγελίῳ παρὰ τοῦ κυρίου εἰρημένων πρὸς τοὺς μαθητὰς, ὅτι ὑμεῖς ἐστὲ τὰ κλήματα καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι. δηλονότι ὡς παρ' αὐτοῦ φυτευθέντες. ἐξ ἐκείνης εἰσὶ τῆς φυτείας οἱ πεφυτευμένοι ἐν τῷ οἴκῳ τοῦ κυρίου, καὶ ἐν ταῖς αὐλαῖς τοῦ κυρίου ἐξανθοῦντες. καὶ πάλιν ἐν τῷ προφήτῃ. ἐγὼ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. ἀποτολμᾷ καὶ λέγει ὁ μιμητὴς τοῦ χριστοῦ, ὅτι συνεργοὶ ἐσμέν. θεοῦ γεώργιόν ἐστε. ἐγὼ ἐφύτευσα, ἀπολλὼς ἐπότισεν, ὁ δὲ θεὸς ηὔξανε. καὶ ὁ δίκαιος ὁμοίωται τῷ ξύλῳ τῷ πεφυτευμένῳ παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται. καὶ δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ἄμπελον ἐξ αἰγύπτου μετῆρας. ἐξέβαλας ἔθνη καὶ κατεφύτευσας αὐτήν. πειράθητι τοίνυν διὰ τῶν τοιούτων διδαγμάτων ἐν τῇ διανοίᾳ γενέσθαι ἐκείνου. ἵνα γένῃ κατὰ τὰς αὐγὰς τοῦ θείου φωτὸς, ἐν οἷς τὸ φῶς τῆς γνώσεως ἀνατέλλει. ὡς ὁ παράδεισος τῆς τρυφῆς φυτευόμενος. κἂν χωρίον δέῃ νοῆς δεκτικὸν τῶν ἁγίων, ἐν ᾧ πάντες οἱ ἐπὶ γῆς διαλάμψαντες ἐν ἔργοις ἀγαθοῖς ἀπολαύοντες τῆς τοῦ θεοῦ χάριτος, καὶ τῆς ἀληθινῆς, καὶ νοητῆς τερπνότητος διαιτῶνται, οὐκ ἀποπίπτεις τῆς πρεπούσης περὶ αὐτοῦ εἰκασίας. ἐκεῖ οὖν ἐρριζωμέναι τινὲς, καὶ παγίως ἡδρασμέναι αἱ ἀγαθαὶ δυνάμεις, λειτουργοὶ τῶν ἁγίων αἷς ὁ ἄνθρωπος παρεδόθη ἀρτιγενὴς ὢν καὶ πολλῆς δεόμενος συγγυμνασίας πρὸς τὴν τελείωσιν. ἐν ᾧ τὸ σύστημα τῶν ἁγίων, ἐν ᾧ αἱ ἀνατολαὶ τοῦ φωτὸς, ἐν ᾧ ἡ τρυφὴ τῆς ψυχῆς, ἐκεῖ ἔθετο ὁ θεὸς τὸν ἄνθρωπον. εἰ σάρκινος εἶ, ἔχεις τὴν ἀπογραφὴν τοῦ σωματικοῦ ἐκείνου, καὶ τὴν ἡδίστην ἐμφέρησιν. εἰ μεγάλην ποιῇ τὴν ἀπόλαυσιν τῶν αἰσθητῶν, ἐπίγου πρὸς αὐτήν. ἐκεῖ χορηγία τρυφῆς ἀδιάλειπτος. εἰ πνευματικὸς εἶ καὶ ὑψηλότερα φρονεῖς τῶν σωματικῶν ἀπολαύσεων, ἀνάβα τῇ διανοίᾳ πρὸς τὰ κάλλη τῶν ἀγγέλων. κατάμαθε τοὺς ἐν αὐτοῖς τῆς δικαιοσύνης καρπούς. θέασαι τὸν ποταμὸν τοῦ θεοῦ τὸν πεπληρωμένον ὑδάτων. οὗ τὰ ὁρμήματα εὐφραίνουσιν τὴν πόλιν τοῦ θεοῦ. ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. ἐκείνην τὴν πόλιν διαῤῥεῖ ὁ ποταμὸς τοῦ θεοῦ οὗτος ὁ ἀρχόμενος ἐξ ἐδὲμ ὁ ποτίζων τὸν παράδεισον. πάντα ταῦτα τῇ διανοίᾳ καταμαθὼν, δόξαζε τὸν θεὸν ὅτι αὐτῷ πρέπει πᾶσα δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

φυτείαν τοῦ κτίσαντος. ὅσα φρυγανικά, καὶ ὅσα θάμνα. τὰ μονοστέλεχα, τὰ πο-
λύκλαδα, τὰ ὑψίκομα, τὰ ἀμφιθαλῆ, τὰ φυλλοβόλα, τὰ ἀείφυλλα, τὰ γυμνού-
μενα, τὰ ἀειθαλῆ, τὰ κάρπιμα, τὰ ἄκαρπα, τὰ μὲν τῆς χρείας ὁρώμενα, τὰ δὲ πρὸς
ἀπόλαυσιν συμβαλλόμενα. πάντα μεγέθει καὶ κάλλει διαφέροντα. κατάσκια τοῖς
κλάδοις, ἀμφιθαλῆ ταῖς κόμαις, βρύοντα τοῖς καρποῖς. ἄλλοις ἐμοῦ καὶ ἄλλην χρείαν
καὶ τέρψιν πεποίημαι. ἑκάστου γὰρ τῶν καρπῶν πολὺ μὲν τὸ χάριεν, πλέον δὲ πάλιν τοῦ
τερπνοῦ τὸ χρειῶδες. πῶς σοι παραστήσω τῆς ἡδονῆς ἐκείνης τὸ ὑπερβάλλον; ἐὰν συγ-
κρίνω τοῖς ὧδε, καθυβρίζω μᾶλλον τῇ παραθέσει. ἢ τίνα σοι ἐνέργειαν ἐκ τῆς εἰκόνος
παραστήσω; πάντα τέλεια, πάντα ὥριμα, οὐ κατὰ μικρὸν αὐξηθέντα. οὐ γὰρ ἀπὸ ἄν-
θους ἐπὶ τὴν ἀκμὴν αὔξεται, ἀλλ' ἀπὸ τῆς οἰκείας ἀκμῆς ἐκφυέντα φύσεως ἀποτελέσ-
ματα, οὐκ ἀνθρωπίνης ἐπιτεχνήσεως. ἐκεῖ καὶ ὀρνίθων παντοδαπῶν γένη τῷ τε τῶν
πτερῶν ἄνθει, καὶ τῇ ἐκ φύσεως μουσικῇ ἀπόλαυσίν τινα θαυμαστὴν δι' ἑαυτῶν προσετί-
θει τοῖς ὁρωμένοις. ὥστε διὰ πασῶν τῶν αἰσθήσεων εὐωχεῖσθαι τὸν ἄνθρωπον. τὰ μὲν
ὁρῶντα, τὰ δὲ ἀκούοντα. ἄλλον ἁπτόμενον, ἄλλον ὀσφραινόμενον. ἕτερον ἀπο-
γευόμενον. καὶ ζώων ποικίλων θεάματα. πάντων ἡμέρων, πάντων ὁμιλούντων ἀλλή-
λοις καὶ ἀκουόντων, καὶ φθεγγομένων συνετά. οὐ φοβερὸς ὁ ὄφις τότε, ἀλλὰ προση-
νὴς καὶ ἥμερος. οὐχὶ φοβερὸν ἐπικυμαίνων τῇ γῇ, καὶ ἑφέρπων, ἀλλ' ὑψηλὸς ἐπὶ πο-
δῶν βεβηκώς. ἐκεῖ ἔθετο τὸν ἄνθρωπον, ὃν ἔπλασεν. ἀλλαχοῦ ἔπλασεν, καὶ ἐκεῖ εἰ-
σήγαγεν. ὡς γὰρ φωστῆρας ἐποίησεν ὁ θεὸς καὶ ἔθετο ἐν τῷ στερεώματι, οὕτω καὶ τὸν
ἄνθρωπον ἔπλασε μὲν χοῦν ἀπὸ τῆς γῆς. ἔθετο δὲ ἐν τῷ παραδείσῳ. σημείωσαι δὲ
ὅτι οὐκ εἴρηται, ὃν ἐποίησεν, ἀλλ' ὃν ἔπλασεν. ὃν μὲν γὰρ ἐποίησε, τὸ κατ' εἰκόνα ἐστίν.
οὗτος δὲ ἀσώματος. τὸ δὲ ἀσώματον, τόπῳ οὐ περιγράφεται. ἀκολουθεῖ μὲν γὰρ τῷ
πλάσματι τὸ ποίημα τουτέστι τῷ πλάσματι ἡ ψυχή. ὁμοῦ γάρ ἐστι τὸ σύνθετον, ἀλλὰ
προηγούμενος μὲν τῶν σωμάτων ὁ τόπος. ἡ δὲ ψυχή, κατ' ἐπακολούθημα ἐστὶν ἐν τό-
πῳ διὰ τῆς πρὸς τὸ σῶμα σχέσεως. οὐκ ἐκ τῆς οἰκείας φύσεως ἐμπεριγραφομένη τόποις
τῷ σώματι. ἆρα σε ἄφραινε ἐκ τῶν τοῦ παραδείσου τερπνῶν, ἢ ἐλύπησε πλέον τῇ τῶν
φθαρτῶν παραθέσει; πάντως γάρ που ἡ διάνοια ὑψηλὰ καὶ μετέωρα, καὶ ὑπερκό-
σμια φρονοῦσα, οἷα δὴ τὸ πολίτευμα ἔχουσα ἐν οὐρανοῖς, καὶ πρὸς τὴν ἄνω βλέπουσα
ἀξίαν τῶν ἐπηγγελμένων, ἐνενόει. καὶ περιεσκόπει ἀκοῦσαί τι τῶν ἐν ἐπαγγελίαις
ἡμῖν ἀγαθῶν. ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέ-
βη. εἰ ὀφθαλμὸς οὐκ εἶδε, τίς ὁ διηγούμενος; εἰ οὖς οὐκ ἤκουσε, ποῦ τὸ σὸν ἀποδέξεται;
εἰ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, πῶς ἡ διάνοια ἡμῶν χωρήσει; οὔτε τὰ σωματικὰ
ἐκβάλλομεν, καὶ τὰ πνευματικὰ ἐπιζητοῦμεν. ὡς γὰρ ἐπὶ τοῦ νόμου ἦν μὲν καὶ τὸ αἰ-
σθητόν, ἀλλὰ τύπον ἐποίει τοῦ νοητοῦ, οὕτω καὶ τὸν παράδεισον. νοοῦμεν μὲν σωματικῶς,
ἀλληγοροῦμεν δὲ πνευματικῶς. ἐφύτευσεν οὖν ὁ θεὸς παράδεισον ἐν ἐδὲμ κατὰ ἀνατο-
λάς, τὰ ὀνόματα τῶν φυτῶν σεσιώπηται. ὁ δὲ τόπος ἐν ᾧ ἐφύτευσε, παραδέδοται.
ἐν ἐδὲμ φησὶν ἐφύτευσεν, τουτέστιν, ἐν τῇ τρυφῇ. ἐδὲμ γὰρ τρυφὴ ὀνομάζεται. ἆρα οὖν
τρυφὴν τὴν διὰ βρωμάτων ὀνομάζει τῇ κοιλίᾳ παραδιδομένην, καὶ ἧς τέλος ὁ ἀφεδρὼν καὶ
τρυφὴν παραδέδωκε τὴν ἀπολλυμένην; καὶ τοῦτό ἐστιν ἡ παρὰ θεοῦ χάρις, γαστρὸς
πλήρωσις, καὶ ἀπάθεια σώματος, καὶ διάχυσις ἡδονὴν ἐμποιοῦσα; ἢ τοῦτο μὲν οὐδὲ εἰ-
πεῖν εὐσεβές. ἀκολασίας γάρ που καὶ ὕβρεως καὶ πάντων ὁμοῦ τῶν ἀπηγορευμένων
ἐφόδιον ὑπερπιαίνειν τὸ σῶμα, καὶ καταβαπτίζειν τὴν ψυχήν. εὐκατάφορον ποιοῦντα
πρὸς ἁμαρτίαν. οὐκοῦν τρυφὴν νοήσωμεν ἀξίαν θεοῦ, ἵνα καὶ τὴν φυτείαν πρέπου-
σαν τῇ γεωργίᾳ τοῦ θεοῦ διδαχθῶμεν. τίς οὖν δύναται γενέσθαι τρυφὴ ἁγίοις ἁρμόττου-
σα. κατατρύφησον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. ἐπεὶ οὖν ἄπει-
ρον τὸ κάλλος τῆς ἀρετῆς ἀπὸ τῆς πολυποικίλου σοφίας τὴν ἀρχὴν ἔχον. διὰ τοῦτο γέ-
γραπται, ὅτι ἐφύτευσεν ὁ θεὸς παράδεισον, οὐχὶ κατὰ ἀνατολήν, ἀλλὰ κατὰ ἀνατο-
λάς. ἕκαστον γὰρ τῶν πεφυτευμένων παρὰ τοῦ κυρίου φυτῶν ἐν ἰδίῳ φωτὶ κεκαλλωπισμέ-
νον ὀξὺ ἀστράπτει. ἐκεῖ τοῦ ποταμοῦ τὰ ὁρμήματα τοῦ εὐφραίνοντος τὴν πόλιν τοῦ θεοῦ.
ἀλλαχοῦ χειμάρρους τρυφῆς ὀνομάζεται τρέφειν καὶ αὔξειν τῶν νοητῶν ἐκείνων φυτῶν

Τοῦ αὐτοῦ εἰς τὸν παράδεισον.

Ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν. νόμισμον ἄξιον θεοῦ φυτείαν, καὶ παράδεισον πρέποντα τῇ φιλοκαλίᾳ τοῦ τοιούτου, καὶ τηλικούτου δημιουργοῦ ἐν τοῖς κατόπιν εἴρηται. ἐξαγαγέτω ἡ γῆ βοτάνην, χόρτου, καὶ ξύλον κάρπιμον σπεῖρον σπέρμα ποιοῦν καρπόν. εἰ ἐκ τῶν κοινῶν ξύλων ἦν ὁ παράδεισος, ἐμπεριείχετο δηλονότι τῇ πρώτῃ γενέσει τῶν φυτῶν. καὶ οὐδὲν ἔδει τῆς ἐξαιρέτου φυτείας τοῦ θεοῦ τὰ νῦν ἐν τῷ παραδείσῳ ὑπ' αὐτοῦ τοῦ θεοῦ φυτευθέντα δένδρα. νῦν μέντοι ὡς διάφορα παρὰ τὰ ἤδη ὑπάρχοντα γένη φυτῶν, τὰ ἐν τῷ παραδείσῳ ὑπ' αὐτοῦ τοῦ θεοῦ φιλοτεχνηθέντα συστήματα δένδρων ἀπὸ τοῦ λόγου δείκνυται. ὥσπερ γὰρ τὸν ἄνθρωπον ἐξαιρέτου τῆς πλάσεως παρὰ τὰ λοιπὰ ζῶα ἠξίωσεν, οὕτω καὶ τὸ ἐνδιαίτημα τοῦ ἀνθρώπου τῆς ἰδίας αὐτοῦ χειρὸς ἔργον ἐποίησε. τόπον ὑπερφέροντα τῆς ὅλης κτίσεως, θαυμαστὸν τῷ κάλλει, ἐν περιόπτῳ κείμενον, ἀντιπερικότητον διὰ ὕψος πάσαις ταῖς τῶν ἄστρων ἀνατολαῖς καταλαμπόμενον, πεφωτισμένον πάντοθεν, τὴν ἐκ τῶν ὡρῶν εὐκρασίαν ἡδίστην ἔχοντα, ἀέρι διαυγεστάτῳ περιλαμπόμενον. ἐκεῖ οὖν ἐφύτευσεν ὁ θεὸς, ὅπου οὐκ ἀνέμων βία, οὐχ ὡρῶν ἀμετρίαι, οὐ χάλαζα, οὐ πρηστῆρες, οὐ λαίλαπες, οὐ σκηπτοί, οὐ χειμερινὴ πῆξις, οὐχ ὑγρότης ἔαρος, οὐ θερινὴ πύρωσις, οὐ φθινοπωρινὴ ξηρότης, ἀλλ' εὔκρατος, καὶ εἰρηνικὴ συμφωνία τῶν ὡρῶν πρὸς ἀλλήλας ἑκάστης αὐτῶν ἰδίῳ κάλλει κεκοσμημένης, καὶ μὴ ἐπιβουλευομένης παρὰ τῆς γείτονος. οὔτε τοῖς ἠρινοῖς κάλλεσι τοῦ θέρους λυμαινομένου, οὔτε τῶν θερινῶν, ἢ τῶν μετοπωρινῶν καρπῶν καταρρυομένων ὑπὸ τοῦ γήρως, ἄλλη ἄλλοις γὰρ τὸν τόπον ἐκεῖνον αἱ ὧραι περιεχόρευον. ἀλλ' ὁμοῦ καὶ τοῖς παρ' ἑαυτοῖς ἐξαιρέτοις δορυφοροῦσαι, συνέτρεχον τοῦ ἔαρος τὰ τερπνὰ, τοῦ θέρους τὰ τρόφιμα ἡ μετοπωρινὴ εὐφροσύνη, ἡ χειμερινὴ ἀνάπαυσις, ἡ γῆ πίων, μαλακὴ, ὄντως ῥέουσα γάλα καὶ μέλι, πρὸς καρπογονίαν ἐπιτηδεία, κατάρρυτος πᾶσα ὕδασι γονιμωτάτοις. τρώοντι κάλλος ἀμήχανον παρεχομένοις. λεπτὰ γὰρ καὶ διαφανῆ τὰ ὕδατα. πολὺ μὲν τῇ ὄψει τὸ τερπνὸν ἔχοντα. πλέον δὲ τοῦ τερπνοῦ τὸ ὠφέλιμον παρεχόμενα. πρότερον οὖν αὐτὸν ἐδημιούργησε τὸν τόπον ἄξιον τῆς ὑποδοχῆς τῶν τοῦ θεοῦ φυτευμάτων. ἔπειτα ἐνεφύτευσεν ἐν αὐτῷ παντοδαπὰ κάλλη τῶν δένδρων, ὄψιν τε χαριεστάτην, καὶ ἀπόλαυσιν ἡδίστην δι' αὐτῶν χαριζόμενα. πῶς σοι δυνηθῶ ὑπ' ὄψιν ἐναργῶς ἀγαγεῖν τὴν πατρίδα, ἵνα σεαυτὸν ἐκ τῆς ἐξορίας ἀνακαλέσῃ. εἰ λειμῶνες ἀνθοῦσιν ἥδιστον θέαμα τούτων χαριέστερον τῇ διανοίᾳ φαντάσθητι. ἐνταῦθα τὸ ῥόδον μετὰ τῆς ἀκάνθης ἐστὶ κεκρυμμένον ἔχον τὴν ἀηδίαν τῇ χάριτι μονονουχὶ διαμαρτυρόμενον ἡμῖν, ὅτι τὰ τερπνὰ ὑμῖν ὦ ἄνθρωποι τοῖς λυπηροῖς ἀναμέμικται. τρώει γὰρ, οὐδὲν τῶν ἀνθρωπίνων ἀγαθῶν ἀκραιφνὲς, ἀλλ' εὐθὺς αἱ λῦπαι ταῖς εὐφροσύναις παραπεπήγασι. τῷ γάμῳ αἱ χηρεῖαι, τῇ παιδοτροφίᾳ ἡ μέριμνα. τῇ εὐπαιδίᾳ ἡ ἀποβολὴ, ταῖς περιφανείαις αἱ ἀτιμίαι. ταῖς εὐημερίαις αἱ ζημίαι, ταῖς τρυφαῖς αἱ πλησμοναί. ταῖς ὑγείαις αἱ ἀρρωστίαι. ἀνθηρὸν τὸ ῥόδον, ἀλλ' ἐμοὶ κατήφειαν ἐμποιεῖ. ὁσάκις γὰρ ἂν ἴδω τὸ ἄνθος, τῆς ἁμαρτίας ὑπομιμνήσκομαι τῆς ἐμῆς. δι' ἣς ἀκάνθας ἡ γῆ καὶ τριβόλους ἀνατέλλειν κατεδικάσθη. καὶ ἐνταῦθα μὲν ὀλιγοχρόνιος τῶν ἠρινῶν ἀνθῶν ἡ χάρις ἐπιποθοῦντας ἡμᾶς ἐπιλείπουσα. οὐ γὰρ ἔφημεν δρεψάμενοι, καὶ ἐν ταῖς χερσὶν ἡμῶν ἀπημαραύθη. ἐκεῖ μέντοι τὸ ἄνθος οὐ πρὸς βραχὺ διαλάμπον, ἀλλὰ διαρκὲς τὸ τερπνὸν ἔχον, χαρίεσσαν τὴν ὄψιν, ἀτέλεστον τὴν ἀπόλαυσιν. τὴν εὐωδίαν ἀκόρεστον, καὶ τὴν εὐχροιαν ἐξαστράπτουσαν. οὐ βίαι ἀνέμων παραλυποῦσιν, οὐ νεομηνίαι ἀπομαραίνουσιν, οὐ πάγετος ἀποπήγνυσιν, οὐχ ἡλίου φλόγωσις καταφρύγει, ἀλλὰ πνεῦμα μέτριον λεπτὴν καὶ ἡδεῖαν ἀναπνοὴν παρεχόμενον. κούφως αὐτοῖς καὶ προσηνῶς ἐπιπνέον, ἀδάμαστον χρόνῳ τὴν χάριν αὐτῶν διασώζει. τὰ δὲ τῶν φυτῶν κάλλη, ἄξια καὶ αὐτὰ τῆς δημιουργίας καὶ τῆς

ἤδη δὲ βίου ἀσκεῖν. ὃ δὴ ἂν ἁπάντων ἐν πάσῃ σοφίᾳ σπουδαζομένοις, προσήκει πρός τε τὴν ὅλην ἡδονὴν ὥσπερ πρὸς τὴν πολυκέφαλον ὕδραν ἱσταμένους σοφῶς. οὐ χρήματι τῷ ἐκτέμνειν, τὰς δὲ τῶν αἰσθήσεων ἐκκυπτούσας ἀεὶ κεφαλὰς πρὸς τὴν τῶν πλειόνων βλάστην ἀεὶ αὐταῖς ἐρεθίζειν, ἀλλὰ τῇ καρτερίᾳ καὶ ἐπιτεταμένῃ ἐγκρατείᾳ στερρῶς ἐπικαίειν. τά τε σώματα ἡμῶν θυσίαν ἁγίαν καὶ ἄριστον τῷ θεῷ καθάπερ μόσχον ὑπὲρ ἱερωσύνης προσφέροντας. ὅπου μὲν τὴν μοσχεραὶ ἐπιθυμίαν ὥσπερ λοβόν. ὅπου δὲ τὸ ὑπερτελὲς τῆς τροφῆς, ὡς στέαρ τὴν κοιλίαν καλύπτον. ὅπου δὲ ὅλην ὁμοῦ τὴν πρὸς γαμικὰς μίξεις ἐπιθυμίαν. ὥσπερ νεφροὺς μετὰ τοῦ χορηγοῦντος τούτοις τὰ σπέρματα στέατος, τῷ θείῳ τῆς ἐγκρατείας πυρὶ ἀναλίσκειν. ἵνα κατὰ τὸν πρέποντα τῇ παρθενίᾳ σκοπόν. πάσης μὲν φαύλης ἐπιθυμίας. πάσης δὲ ἡδονῆς ἀσκητικῶς κρείττονες ὑποφθοῦντες, τοῦ προκειμένου τοῖς ἄθλοις βραβείου καὶ τοῦ τῆς ἀφθαρσίας στεφάνου ἄξιοι ἀριθμῶμεν διὰ Ἰησοῦ Χριστοῦ. δι' οὗ ἡ δόξα τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας, ἀμήν.

ΤΕΛΟΣ

νος περιέχουσα· πᾶσαι δὲ αἱ δι' ἧς δήποτε ὁδοῦ ἐπὶ ταύτην ἐλαύνουσαι, τῷ ἁρμόζοντι ἀρμοσ-
ξόμενος ἐν τῇ ὁδῷ περινοεῖ ποσαν. ἵνα πάσης κηλῖδος καθαρὰν τὴν νύμφην τῷ νυμφίῳ ἁρ-
μόσασαι, τῶν παρ' αὐτῷ χαρίτων ἐνδοξότερον κατ' οὐρανὸν ἀπολαύσωσι. ταῦτα
σοι ὦ ἱερὰ κεφαλὴ εἰς κατανόησιν τοῦ ὄντος ἐν παρθενίᾳ κάλλους, ὡς ὁ καιρὸς ἐνεδίδου
ὑπέγραψα. οὐκ ἀπὸ τῶν θείων μόνον, ἀλλὰ κατὰ τὸν σοφώτατον παῦλον αἰχμαλωτί-
ζειν ἡμᾶς πᾶν νόημα βουλόμενος εἰς ὑπακοὴν τοῦ χριστοῦ. καὶ ἀπὸ τῶν ἔξωθεν πάντα τὸν χριστοῦ
μαθητὴν πρὸς ἐγκράτειαν ἀναπεῖσαι βουλόμενος. καὶ τῶν ἑλλήνων γὰρ οἱ σοφοὶ τό
τε πολυειδὲς τῆς ἡδονῆς καὶ τὴν πρὸς τοῦτο μάχην ἡμῖν διὰ μυθικοῦ πλάσματος αἰνιττό-
μενοι, ὕδραν τὴν γεννικὴν ἐν τῷ σώματι ἡδονὴν ἑρπετῷ πολυμόρφῳ, ἐν ἕλει φωλεύον
φυσιολογοῦντες ἀνέπλασαν. καὶ ταύτης τὴν μὲν ἁπλῶς τεμνομένην κεφαλὴν, πλει-
πλασίονας ἀντὶ τῆς μιᾶς ἐκφύειν παρέδοσαν. τὴν δὲ καυτῆρι τεμνομένην, ἀναιρεῖσθαι
καθάπαξ φιλοσόφως ὑπέδειξαν. ὅτι τῆς καθ' ὅλου ἡδονῆς, ἐν μὲν τῆς σαρκὸς ὑλικῇ φύ-
σει ὥσπερ ἐν ἕλει δεινοῦ τινος ἑρπετοῦ ἀεὶ φωλευούσης. δι' ἑκάστης δὲ αἰσθήσεως καθάπερ
τινὰ μίαν κεφαλὴν ἐκβάλλοις τὴν ἰδίαν διά τε ὄψεως καὶ γεύσεως καὶ τῶν λοιπῶν πο-
λυμόρφων ἡδονῶν ἀνισχούσης. ἐὰν ἐν ἀπολαύσει τε καὶ κόρῳ φασὶ τῆς καθ' αὑτὴν ἡδέως
ἑκάστην κεφαλὴν ἐθελήσωμεν τέμνειν, οὐ μᾶλλον τὴν φανεῖσαν τεμοῦμεν, ἢ πλείονας
ἀντὶ τῆς μιᾶς τούτῳ τῆς τομῆς τῷ τρόπῳ βλαστῆσαι ποιήσομεν. ἐὰν δὲ καθάπερ καυ-
τῆρι τῇ ἐγκρατείᾳ τὴν ἀναφανεῖσαν ἐκτέμωμεν, ἀβλάστητον αὐτὴν εἰς ἅπαξ σοφῶς
ἀναιρήσομεν. ὁ μὲν γὰρ τὴν ἐν τῇ γεύσει φασὶν ἡδονὴν φέρε τῷ παρασχεῖν τῷ κατ' αὐτὴν
ἡδὺ κόρῳ ἀνελεῖν βουληθεὶς, οὐ μᾶλλον ταύτην ἀνεῖλον, ἢ διὰ τῆς ἀπολαύσεως ἀκολαστο-
τέραν πρὸς τὸ ἐπιθυμούμενον ἀεὶ παρεσκεύασεν. ὁ δὲ τῷ μὴ δοῦναι τὸ ἡδὺ ὥσπερ πυρὶ
τῇ ἐγκρατείᾳ ταύτην κολάσας, ὡς ἂν μὴ τυγχάνουσαν ὧν ποθεῖ ἀνενέργητόν τε καὶ τετμη-
μένην καθάπαξ ὑπέδειξε. καὶ τοῦτο τέλος φασὶ μᾶλλον δὲ ἀδικεῖν εἰς ἄσκησιν ἐκεῖνος ὁ λόγος
ὁ καθάπαξ ἀποφαινόμενος. ὅτι τὸ ἕτοιμον εἰς ἐξουσίαν ἀργὸν εἰς ἐπιθυμίαν. ἀργεῖ μὲν γὰρ
ἡ ἐν τῇ γεύσει φέρε εἰπεῖν ἡδονὴ πρὸς ἐκεῖνο οὗ τὴν ἐξουσίαν τῆς ἀπολαύσεως ἔχει. ἐξουσιά-
ζειν δὲ ἀκρατῶς ἂν βούληται ἀπολαύειν ἀεὶ διδαχθεῖσα, ἀκόλαστος εἰς ἐξουσίαν πρὸς πᾶν τὸ
ἐπιθυμητὸν πολυμόρφως ἐξάγεται. διό φησιν οὐχ οὕτω τέμνειν ἑκάστην τῆς ἡδονῆς κεφα-
λὴν, ἀλλὰ τῷ μὴ χαρίζεσθαι τὸ ἡδὺ διὰ καρτερίας προσήκει. ὁ δὲ θεῖος λόγος τὸν ὑπὲρ
ἱερωσύνης μόσχον παρὰ τῷ σοφωτάτῳ μωυσῇ σφαγιάζων, διὰ τῶν ὁλοκαυτουμένων με-
λῶν τὸν τῆς ἀσκήσεως τρόπον φυσικῶς ὑπέδειξε. τοῦ μὲν ἥπατος τὸν λοβὸν, καὶ οὐχ
ὅλον τὸ ἧπαρ, καὶ τῆς κοιλίας τὸ καλύπτον ταύτην στέαρ καὶ οὐκ αὐτὴν τὴν κοιλίαν.
τῶν δὲ νεφρῶν οὐ τὸ στέαρ μόνον, ἀλλὰ καὶ αὐτοὺς σὺν τῷ στέατι τοὺς νεφροὺς ὁλοκαυτοῦσθαι
προστάσσων. ὅτι τοῦ μὲν ἥπατος ὀργάνου ἐπιθυμίας ὑπάρχοντος, καθ' ὃ καὶ περὶ τοῦ
κακῶς πρὸς ἐπιθυμίαν βληθέντος αἴνιγμα τοῦ. ὅτι ἴση ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς
τὸ ἧπαρ, καθάπερ λοβὸν τὴν ἰδίαν πρὸς ἁμαρτίαν ἐπιθυμίαν μόνην ἐν ᾗ καὶ ἡ χο-
λὴ ἀνέρχεται ὁλοκαυτοῦν. τὴν δὲ λοιπὴν καθαρὰν χολῆς καὶ μοχθηρᾶς ἐπιθυμίας, εἰς
τὴν τῶν καλῶν ἐπιθυμίαν τηρεῖν κατὰ φύσιν προσήκει. τῆς δὲ κοιλίας τὸ περιττὸν ὅ-
θεν πρὸς ἀλογίαν πιαινόμεθα ἀφαιροῦντας, τὸ ἀναγκαῖον μόνον φυλάττειν. ἐπὶ δὲ τῶν
νεφρῶν, οὐ τὸ στέαρ μόνον πολὺ πλῆθος εἰς ἀκολασίαν ἐξαφρίζον γονῆς, ἀλλὰ καὶ αὐτοὺς
τοὺς νεφροὺς καθαγιάζειν φυσικωτάτη φημὶ, περί τε τῆς ἀναγκαίου πρὸς ζωὴν καὶ τοῦ
φιλοκάλου πρὸς ἐπιθυμίαν, καὶ τῆς πρὸς σωφροσύνην καθαροῦ αἰνιξάμενος. ἐπει-
δὴ γὰρ ἀδύνατον χωρὶς τροφῆς ἐν σώματι ζῆν, τὸ ὄργανον τῆς τροφῆς τὴν κοιλίαν φημὶ
γυμνὴν αὐτὰ πάσης γαστριμαργίας καταλιπὼν, τὸ ἐπικαλύπτον στέαρ αὐτῆς καλῶς ἀφαι-
ρεῖται. πάλιν δὲ ἐπειδὴ ἀμήχανόν τι τῶν καλῶν ἡμᾶς ἔχειν μὴ ἐπιθυμίας δύναμιν φυ-
σικὴν πρὸς αὐτὸν κεκτημένους. τὸ μὲν φαῦλον εἶδος φημὶ τῆς ἐπιθυμίας, καθάπερ
λοβὸν μετὰ τῆς χολῆς ἀποτέμνει. τὸ δὲ καλὸν γένος τῆς πρὸς τὰς ἀρετὰς ἐπιθυμίας,
καθαρὸν ἀπολείπει. ἐπὶ δὲ τῶν νεφρῶν, οὔτε πρὸς ζωὴν ὡς ἡ κοιλία, οὔτε πρὸς ἐπι-
θυμίαν ἀναγκαῖοι ὁρῶνται τὴν μακρὰν πρὸς τὰς συνουσίας, μόνην ἐπιθυμίαν ὑπεδε-
ξάμενοι. οὐ τὸ στέαρ φημὶ μόνον τούτων, ἀλλὰ καὶ αὐτοὺς πυρὶ παραδιδόασιν. ὅτι δυνα-
τὸν αὐτὰ νεφρῶν τουτέστιν αὐτὰ γάμων ζῆν τε, καὶ τὸν παρθενίας βίον ἰσάγγελον ἐντεῦθεν

ἐνέργειαν τὰ μέλη τοῦ σώματος, καὶ διὰ ὁ νόμος τῆς ἁμαρτίας σχολάζει. καὶ ἄγνοιαν ἴσως αὐτῆς ἅτε ποιῇ τῆς φυσικῆς πράξεως τέως πεπεῖσθαι τοῖς μάλιστα, εἰ καὶ ὅτι μάλιστα αὐτομάτως ἡ φύσις πρὸς τὸ οἰκεῖον βαδίζει, ὡς ἐπὶ τῶν ἀλόγων ἐστὶν ἰδεῖν, αὐτοδιδάκτως τῇ φύσει ἀποχωρούντων εὐθὺς πρὸς τὰς μίξεις. καὶ παιδία δὲ ἐφωράθη ἐν τῇ ἀωρίᾳ τῶν μελῶν τὴν ἀνδρικὴν μίξιν μιμούμενα, ἐπειδὰν δὲ ἡ φύσις ταῦτα καὶ ἐπιτήδεια πρὸς ἣν πέφυκε χρῆσιν ὀφθῇ, εὐθὺς ὁ νόμος τῆς ἁμαρτίας εἰσῆλθε. νομοθετῶν μὲν ἑκάστῳ μέλει τὴν πρᾶξιν, ἀντιστρατεύων δὲ τὰ μέλη τοῦ νόμου τῷ νῷ, καὶ αἰχμαλωτίζων τῷ νόμῳ τῆς ἁμαρτίας διὰ τῶν μελῶν ἕκαστον ἄνθρωπον, καὶ οὐκ αὐτῆς τῶν μελῶν νόμον ἔχοντα διδάσκαλον, τῆς πρὸς ὃ πέφυκεν ἁμαρτίας ἄγνοιαν προφασίσαιτο. ἀλλὰ τά τε χείλη οἶδεν ἐν τοῖς ἐρωτικοῖς πρὸς ἣν πέφυκε χρείαν. καὶ ἕκαστον τῶν μελῶν τοσοῦτον τὸ τοῦ ἑτερογενοῦς μέλος γνωρίζει, ὅσον ἑαυτὸ κατὰ φύσιν ἐπίσταται. ἐπεὶ οὐκ ἂν οὔτε ἐπιθυμήσει τὴν τοῦ μέλους ἐνέργειαν, εἰ ἠγνόει τὴν φύσιν αὐτοῦ καὶ τὴν χρείαν. ὥστε οὐκ εὐθύνης ἄξιοι, τὸ γινωσκόμενον παρὰ ταῖς παρθένοις, σιωπώμενον δὲ διὰ τὸ ἀναγκαῖον ἐν καιρῷ ἀναπτύξαντες. ἐπειδ' ὅτι εἰ καὶ ἀγνοοῦσι τὴν τοῦ ἄρρενος φύσιν, ὡς ἂν μὴ αὐτὴ ἡ ἄγνοια δέλεαρ γένηται αὐταῖς ἁμαρτίας, οὐκ ἀλόγως εἰς ἀσφάλειαν αὐταῖς τὴν φύσιν ὡς ἔχει διεσαφήσαμεν. ἵν' ὥσπερ ἀκέραιοι εἰσὶν ὡσεὶ περιστεραί, οὕτω καὶ ὡς ὄφεις φρόνιμοι οὖσαι, πᾶσαν τὴν κατὰ τῆς ἀφθαρσίας αὐτῶν ἀδικίαν ἐκ τῆς ἐγκειμένης διδασκαλίας ἀποφωρούμεναι προφυλάσσονται. πρὸς δὲ τούτοις, ὅτι τῆς κοινῆς παρθενίας καθηγητικώτερον τὸν λόγον ποιούμενοι ὡς ταῖς παρθένοις εἰς ἔννοιαν, οὕτω καὶ τοῖς ἄρρεσιν ὀφείλομεν. καὶ ἔτι ὡς ἐκείναις τότε βλάπτον καὶ ὠφελοῦν ὑπεδείξαμεν, οὕτω καὶ τούτοις ἀποδεῖξαι. ἵνα μὴ ὀνόματι εὐνουχίας προσέχοντες, εἰς τὸ ἐναντίον ἐκπίπτωσιν, ἀλλ' ἐγνωκότες τὸ ἁμάρτημα ἐκ τῆς παρανόμου ἀποκοπῆς τῶν μορίων καὶ τὸν ἀποδοχῆς ἀξιούμενον παρὰ τοῦ κυρίου εὐνοῦχον, ὠφεληθῶσι μὲν πρὸς τὴν ἀληθῆ εὐνουχίαν τὸν νοῦν, τῆς δὲ ἀλόγου πρὸς τὴν ἀποκοπὴν τῶν μορίων ὁρμῆς πλείονες τῷ χρόνῳ ἄτοποι γενόμενοι, ὑπὸ τοῦ λόγου σωφρονούμενοι φρονίμως ἀνακαλῶσιν. εἰ οὖν τοσαύτη ἡ ὄντως παρθένος συζήσεται ἀκρίβεια, ἁπάσης μὲν ἄρρενος ἁφῆς καθαρὰν ἑαυτὴν δι' ὅλου φυλάξει, καὶ μηδὲ θηλειῶν δὲ καθεύδουσα, πρὸς ἑαυτὴν ἐστραμμένη ἐν οὐρανῷ ἔχει τὸν νοῦν ἔξω τοῦ σώματος ὅλον τοῦτον παντελῶς ποιήσασα, τὰ αὐτὰ ἐρεῖ τῷ εἰπόντι. οἶδα ἐμαυτὴν εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα. ὁ θεὸς οἶδεν ὅτι ἡρπάγην εἰς τὸν παράδεισον, καὶ ἤκουσα ἄρρητα ῥήματα. πάντως γὰρ ἀγρυπνοῦσαν περὶ αὐτὸν αὐτῆς ἔρωτα ἄνωθεν ἐξ οὐρανῶν ὁ νυμφίος ὁρῶν, καὶ ὅτι τὸ σκότος τῆς νυκτὸς οὐκ ἐφόδιον ἁμαρτίας ἀλλὰ σχολῆς θείας τῆς πρὸς αὐτὸν ὁμιλίας ποιεῖται. περιβεβλημένη μὲν τῷ τῆς νυκτὸς σκότῳ εἰς τὸ μὴ τὰς αἰσθήσεις παρὰ τῶν ἔξωθεν ἐνοχλεῖσθαι. πεφωτισμένη δὲ τῷ τοῦ νυμφίου φωτὶ ὅλον τὸν νοῦν καὶ τὴν ἐκείνου λαμπάδα δι' ὅλης νυκτὸς φιλοκάλως ἐν ἀποκρύφῳ κοσμοῦσα, ἁρπάσει καὶ ταύτην δικαίως ἕως τρίτου οὐρανοῦ εἰς τὸν παράδεισον, καὶ λαλήσει αὐτῇ τοιαῦτα, ἃ τοῖς μὲν ἐν σώμασιν ἔτι ζῶσιν ἄρρητα ἀποπέφανται. ἐκείνη δὲ τοσοῦτον προκόψασα ὡς μὴ εἰδέναι λοιπὸν εἴτε ἐν σώματι εἴτε ἐκτὸς τούτου ἔχει τὸ ζῆν, ἔνθα ἐν μυστηρίῳ γενήσεται, οὗ δὴ καὶ πάντα τὸν τῶν παρθένων χορὸν ἀρθῆναι βουλόμενός τε καὶ εὐχόμενος, εἰς προφυλακὴν τῶν τὸ τῆς παρθενίας κάλλος χραινόντων διεξῆλθον τὰ εἰρημένα. οὐχ ἵνα τῇ τούτων θεωρίᾳ μάθωμεν πῶς χρὴ πρὸς τὰ βλάπτοντα ὀλισθαίνειν, ἀλλ' ἵνα τὸν τρόπον τῶν ὀλισθόντων μαθόντες, ἴδωμεν πῶς δεῖ τοῦτον ἀποπηδῶντας ἐκκλίνειν. οὐδὲ γὰρ τοῖς τὴν ἰατρικὴν μετιοῦσι, τὰ δηλητήρια καὶ πάντα συνόλως τὰ νοσοποιὰ οἱ διδάσκαλοι θεωροῦντες ἐπὶ τὴν χρῆσιν τούτων αὐτοῖς παρακελεύονται, ἵνα τῇ γνώσει τῶν βλαπτόντων πρὸς κακίαν ἐφοδιασθέντες τὸν νοῦν, ἀντὶ ἰατρῶν λυμεῶνες τοῦ βίου δειχθῶσιν, ἀλλ' ἵνα τὰ φθοροποιὰ τῆς φυσικῆς ἡμῶν δυνάμεως μαθόντες προφυλάττωνται μὲν ταῦτα ἀντιθέτοις δυνάμεσιν. ἐπισυμβαίνει δέ που τοῖς σώμασι, διὰ τῆς ἐπιστήμης ἀνιῶσι. τελῶν οὖν κατὰ τὸν τρίτον τῆς εὐνουχίας τρόπον ὁδῶν ἃς ὁ τῆς ἡμῶν ὑπέδειξεν, ἐπὶ παρθενίαν ἡμᾶς ἀγουσῶν, δι' ἧς βούλεται φησὶν ὁ δυνάμενος χωρεῖν χωρείτω. ἀποδεκτὴ μὲν γὰρ καὶ ἡ διὰ μιᾶς τῶν δύο ταύτην ὁδεύουσα. μακαριωτέρα δὲ ἡ διὰ τῆς κρείττο-

ἀλλ' ἔτι βοῦς ἐστι κἂν μὴ ἔχῃ τὰ κέρατα, οὕτω καὶ ὁ ἄρσης ἀποκοψάμενος πάντα τὰ μόρια, οὐ τῇ ἀφαιρέσει τούτων γυνὴ ἐγένετο αὐτός. ἀλλ' ἔτι ἄρσης ἐστὶ τὴν φύσιν, κἂν μὴ ἔχῃ μόρια. καὶ ὡς ὁ κερατιστὴς ἀποκεκομμένος τὰ κέρατα κερατιστὴς ὅμως ἐστὶ τὸν θυμόν, παρεγκλίνων γοῦν τὸν αὐχένα, καὶ τὴν κεφαλὴν πρὸς τὴν ὁρμὴν σχηματίζων, τὴν ἀπειλὴν ἀσμένως ἐνδείκνυται. ἀλλὰ καὶ ἔπληξε πολλάκις ἐπελθὼν τῷ μέρει τῆς κεφαλῆς καθ' ὃ τῷ κέρατι ὥπλιστο, πληροφορῶν τὸν θυμὸν τῇ φαντασίᾳ τῆς ἐνεργείας. οὕτω γὰρ διατίθεται ὑπὸ τῆς ὁρμῆς συναρπαζόμενος, οὐχ ὡς πλήσσων ἁπλῶς, ἀλλ' ὡς τὸ πρὶν τῷ κέρατι διχερῶν, οὕτω καὶ ὁ ἄρσης ἀποκεκομμένος τὰ μόρια, ἄρσης ὅμως ἐστὶ τῇ ἐπιθυμίᾳ τοῦ πάθους. διὸ καὶ αὐτὸς κατὰ τὸ ὅμοιον σχηματισάμενος πρὸς τὴν πρᾶξιν, ἔρωτος πνέει καὶ ἐκ τόπου μανίας. ἀλλὰ καὶ ὁρμῶν πρὸς τὴν συμπλοκήν, κἂν μὴ φθείρῃ τῷ μέρει ἐκείνῳ ἐνοχλῶν τῇ θηλείᾳ, ὅμως αὐτὸς μὲν ὡς φθείρας τὴν ἐπιθυμίαν, οὕτως ὑπὸ τῆς φαντασίας διάκειται. τὴν δὲ πρὸς τὴν ἁμαρτίαν πικρότερον ἐρεθίζων, φθείρει μὲν ὅλον τὸν νοῦν, καὶ τὸ σῶμα δὲ πρὸς τὴν τῆς φθορᾶς πρᾶξιν οἰστρεῖ. διὸ ἐπείπερ σκοπός ἐστι τῇ παρθένῳ ἄφθορον ἑαυτῆς τὴν ἔνδον παρθενίαν φυλάξαι, ἀκριβούτω καὶ τὰς πρὸς τούτους ἀεὶ ὁμιλίας. εἰ γὰρ καὶ τὴν τῆς σαρκὸς παραίνεσιν συμβαλλομένην εἰς τὸ ἄχραντον τῆς παρθένου δεχόμεθα, ὡς εὐνοῦχος φησὶ περιλαμβάνων παρθένον καὶ στενάζων, πάντως δὲ ὅτι οὐ δύναται ὃ βούλεται πρᾶξαι, καὶ ἐπιθυμίᾳ εὐνούχου ἀποπαρθενῶσαι νεάνιδα, εἰ καὶ μητέρα γάρ φησι διὰ τὸ ἄγονον οὐ ποιεῖ, ἀλλ' ἀποπαρθενῶσαι αὐτήν. οὐ τοίνυν ἐπὶ σωφροσύνῃ ἐπαινεῖσθαι προσήκει τοὺς ἀποκοπτομένους τὰ μόρια. οὐδὲ γὰρ τοὺς ἵππους ὡς μὴ κερατίζοντας ἐπαινοῦμεν, ἀλλὰ τούτους μὲν εἰ μὴ λακτίζουσιν ἐπαινέσομεν· τοῖς δὲ βουσὶ μὴ κερατίζουσι τῆς ἡμερότητος κατὰ λόγον ἀποδεξόμεθα. οὐ γὰρ ἐν ᾧ μὴ δύναταί τις, ἀλλ' ἐν ᾧ δυνάμενος οὐκ εἰς ἀδικίαν κέχρηται τῇ δυνάμει θαυμάζεται. εἰ δὲ οἴονταί τι τὴν ἀποκοπὴν τῶν μορίων εἰς τὴν τῆς ψυχῆς ἀναμαρτησίαν συμβάλλεσθαι, ἐκκοψάτωσαν καὶ τοὺς ὀφθαλμοὺς πολλὰ παρὰ λόγον βλέποντας. ἀκρωτηριασάτωσαν δὲ τὰς χεῖρας ὁμοῦ καὶ τοὺς πόδας. ἐπιβυσάτωσαν δὲ καὶ τὴν ἀκοήν, ἵνα μηδὲν τούτων ὄργανον γένηται ἁμαρτίας. ἢ τοῦτο μὲν ἄλογον ἅμα καὶ μανιῶδες ὅλα τὰ μέλη πανταχόθεν περικόψαντα τὸ δὴ λεγόμενον· κορμοῦ δίκην τὸ λοιπὸν σῶμα ἀχρεῖον ἁπλῶς ἀπορρῖψαι μιᾶς τῆς αἰτίας, ὅμως τοὺς προλαβούσας διὰ τῶν μελῶν φαντασίας τὴν διάνοιαν ἁμαρτάνειν. ἐάσαντας δὲ ὡς ἐπλάσθη κατὰ τὸν ἀνωτέρω λόγον σώφρονι λογισμῷ ἡνιοχεῖν πάντα τὰ μέλη, οὐκ ἀνάγκης, ἀλλὰ προαιρέσεως ἡμετέρας τὸ κατόρθωμα τὸ καλὸν ποιουμένους. οὐ περὶ πάντων δὲ καθόλου εὐνούχων τὰ προκείμενα εἰρήκαμεν; ἀλλὰ περὶ τῶν ἵν' ἐξουσίαν ἑαυτοῖς πραγματεύσωνται, ὡς θέλουσιν ὁμιλεῖν γυναιξὶ ἀποκοψαμένων ἀτόπως, καὶ καθόλου περὶ τῶν τὰς πρὸς τὸ θῆλυ διατριβὰς μηδὲ διακονόντων ταῦτά φαμεν. οἴδαμεν γὰρ ὅτι ὡς ἁγίως ἀπέχονται ἄνδρες γυναικῶν, οὕτω καὶ οἱ εὐνοῦχοι τῷ ἐξ ἀκουσίως συμβεβηκότι αὐτοῖς κατὰ τὸ σῶμα εὐνουχισμῷ τὸν ἑκούσιον τῆς ψυχῆς εὐνουχισμῷ σώφρονι λογισμῷ ἑαυτοὺς εὐνουχίσαντες, καθαρῶς γυναιξὶν ὁμιλοῦσι. τῆς δὲ ἀκριβοῦς ἅμα καὶ ἀχράντου οὕνεκα μαρτυρόμεθα. ὅτι ὡς ἄνδρες ἤδη συναναστρεφόμενοι γυναιξί, δικαίως καθ' ἑαυτῶν αἰσχρὰς ὑπονοίας κινοῦσιν, οὕτω καὶ οἱ εὐνοῦχοι τοὺς περὶ γυναικῶν διατριβαῖς ἐμφωλεύειν σπουδάζοντας, οὐ καθαροὺς ἑαυτοὺς ὑπονοιῶν ἀπολύουσιν, οἱ γὰρ τὴν πρὸς τὸ θῆλυ ὁμιλίαν οὐκ ἀδιάφορον ἀλλὰ προθυμοτέραν ποιούμενοι. οὐκ ἀτόπως ἂν ὑπὸ τῶν προκειμένων τῆς φύσεως λογισμῶν ἐπὶ τὸ χεῖρον ἀνδρῶν πολιτεύοιντο. ὅτι ἐπ' ἐκείνων μὲν ἡ ἐξουσία τοῦ δύνασθαι περὶ ὀφθαλμῶν πεῖσαι αὐτοῖς τὸ ἀποτέλεσμα τοῦ ἁμαρτήματος, φόβῳ τοῦ πλάσματος, τῆς κατὰ τὴν βούλησιν αὐτοὺς ἁμαρτίας ἀναστέλλει. ἐνταῦθα δὲ ἡ ἀδυναμία τοῦ ἀποτελέσαι ὃ βούλονται τολμηροὺς αὐτοὺς πρὸς τὴν ἀπόλαυσιν τῆς ἐπιθυμίας ποιοῦσα, τὴν ἐκ τῆς βουλήσεως ἁμαρτίαν ἐν ἑαυτοῖς ἔτι μᾶλλον ἐξάπτει. μηδεὶς δὲ ἐπισκεπτέτω τῷ λόγῳ ὡς παρὰ τὸ πρέπον τῷ παρθενικῷ ἤθει εἰς τὴν θεωρίαν τῆς φύσεως τοῦ ἄρρενος ἐμβαθύνοντι. πρῶτον μέν, ὅτι οὐδεμία οὕτω νηπία ἐστὶ παρθένος ἡ βοῶσα τῷ στόματι, ὡς ἀγνοεῖν τι τῶν ἐν τῇ φύσει ἐκείνου οὗ τῆς πλευρᾶς ἀπεσπάσθη. ἕως μὲν γὰρ ἁπλῆ τε καὶ ἄφθορός ἐστι πρὸς τὴν φυσικὴν

ἐνέργειαν

ξηρόν τε καὶ ἄχρηστον πρὸς τὰς συνουσίας οἰστροῦσθαι· καὶ οὐκ οἰστροῦσθαι μόνον, ἀλλὰ
καὶ ὡς αὐτοῖς δοκεῖ ἀκινδύνως φθείρειν τὰς προστυχούσας· φασὶ γὰρ ὅτι ἀποκοπέντων
κάτωθεν τῶν διδύμων οἱ τῆς γονῆς ἀπὸ ὀσφύος καὶ φρενῶν ἐπὶ τὸ λοιπὸν μόριον διάκο-
νοι γίνονται· μύουσι μὲν μετὰ τὴν τομὴν αὐτῶν οἱ πόροι· ζεούσης δὲ ἐν τοῖς νεφροῖς τῆς ἐ-
πιθυμίας καὶ τὴν γονὴν οὕτως διαφοιτιζούσης, οἰστροῦται μὲν πρὸς καταβολὴν τῆς
γονῆς ὁ ἀνήρ, καὶ τὸ βρασσόμενον ἀποχετεῦσαι σπέρμα οὐκ ἔχων· ὁπλίζεται μὲν τούτῳ
ὃ ἑαυτῷ πρὸς τὰς συνουσίας ἐφύλαξε πρὸς τὴν πρᾶξιν· δέλεαρ δὲ τὴν τῶν διδύμων
εὐνουχίαν τῇ γυναικὶ εἰς ἀπάτην δεινῶς ποιησάμενος, ἀκολαστότερον μίγνυται· ὁ μὲν
γὰρ κατὰ φύσιν ἔχων ἀνήρ, διαδεξαμένων τῶν διδύμων αὐτόθεν τὴν γονὴν καὶ πρὸς σπο-
ρὰν ἐντεῦθεν παραπεμψάντων, ἐξῆς ἐμπεσόντος τοῦ σπόρου, διαφορηθεὶς τὴν ἐπιθυμίαν
καταμαραίνεται· ὁ δὲ οὐκ ἔχων ὅθεν γαργαλίζον κενώσῃ, μόγις τοῦ τόνου ὑφίησιν, ἄχρις
ἂν κάματος τοῦτον φασὶ λυσσῶντα ἐκλύσῃ. ταῦτα οὐχ ὁ τῆς φύσεως λόγος μόνον,
ἀλλὰ καὶ ἡ πεῖρα δὲ πρὸς τὸν βίον ἡμῶν ἐμαρτύρατο, ὡς πρὸς ἐμέ τις τῶν αἰδεσίμων
καὶ πολιᾷ καὶ βίῳ παλαιὸς ἀνὴρ ἐξομολογησαμένης πρὸς αὐτὸν γυναικὸς ἀπεφθέγξατο·
ἔφασκε γὰρ τὴν γυναῖκα πρὸς αὐτὸν εἰρηκέναι, ὅτι ὁ πιστευμένος αὐτὴν παρὰ τοῦ ἀνδρὸς
εἴτε δεσπότου εὐνοῦχος, ὡς ἀνὴρ αὐτῇ ἀκολάστως ἐμίγνυτο· καὶ κατετόλμα φησὶ πλέον
διὰ τῆς πράξεως, διὰ τὸ ἄγονον αὐτοῦ τῷ ἀτοκίῳ θαρσῶν. οὐχ οὗτος δὲ μόνον, ἀλλὰ καὶ
ἕτερός τις τῶν ὁμοψύχων ἡμῖν οὐκ ἂν ταχέως ψευσάμενος εἴρηκεν· ὅτι παρθένος τις τῆς
ἐκκλησίας κανονικὴ πρὸς αὐτὸν ἀπωδύρετο, καὶ ὅτι ἐπὶ τῆς κοίτης αὐτῆς γενόμενός τις
εὐνοῦχος, περιεπλέκετο μὲν αὐτὴν ἐμπαθῶς, καὶ ἐμφὺς ὅλος ὅλῃ· ἐπεὶ μὴ εἶχεν ὅ-
πως τὰ τῆς ἐπιθυμίας ἐργάσηται, τοῖς ὀδοῦσιν ἐκέχρητο· ζέουσαν ἐν τῇ σαρκὶ τῆς
μίξεως τὴν λύσσαν τοῖς δήγμασιν ἀγρίως ἐμφαίνων. ὡς δὲ λίαν ἔτι τῆς εὐνουχίας διὰ
τὸ ἀπειρόκακον ἐμπλανῆσαι τὴν παρθένον τῷ πειρασμῷ μετὰ τὴν πεῖραν ἀποστραφῆ-
ναί τε τὸν ἄνθρωπον, καὶ οὐ πρὸς τοῦτον μόνον, ἀλλὰ καὶ πρὸς πλείονας τὰ μολύσματα
τῆς ἐκείνου κατ' αὐτῆς ἐπιθυμίας ὀδύρεσθαι. καὶ δύο δὲ ἀνθρώπων ἡ μαρτυρία ἀλη-
θής ἐστιν, ἵνα μὴ καὶ ἑτέρους πλείονας καταλέγοντες, παρὰ τὸ ὡρισμένον ἡμῖν μηκύ-
νωμεν. συγγνώμης οὖν ἄξιοι ὡς οἶμαι ἡμεῖς, οὐκ εἰς τὸ ἄχραντον τῆς παρθένου μόνον
προφυλακῆς χάριν ἐκθέμενοι ταῦτα, ἀλλὰ καὶ εἰς τὸ ἀναστεῖλαι πολλοὺς ἤδη τοιού-
τους ἐπιπολάσαντας τῇ ἐκκλησίᾳ εὐνούχους σπουδάσαντες· φανερὸν γὰρ ὅτι δαίμονος
μεθοδεία τὸ ἔργον. διότι ὁ μὲν πάλαι βίος παρ' ἕλλησι τούτους, νυνὶ δὲ παρ' ἡμῖν ἀτό-
πως ἐπεδέξατο· καὶ σωφροσύνης μὲν ὄνομα κἀκεῖ τὴν τομὴν, κἀνταῦθα τὸ αὐτὸ κατὰ τῆς
φύσεως ἐναπέρεισε. δεινὸς γάρ ἐστιν ὁ μεθοδεύων ἡμῶν τὴν εἰς τὸν Χριστὸν πίστιν διὰ τοῦ πι-
στεύοντος καλοῦ κακίαν ἐργάσασθαι. τὸ αὐτὸ δὲ ἔστι μαθεῖν ἐκ τῶν παρελθόντων. ὡς γὰρ
δι' ὧν ἐδόκει θεὸν γνῶναι διὰ τούτων ἀγνοῆσαι τοὺς παρ' ἕλλησι παρεσκεύασεν. ὁ μὲν γὰρ κόσ-
μος τοῦ κοσμήσαντος πρόκειται μήνυμα. οἱ δὲ ἀπὸ τοῦ κάλλους τῶν ὁρωμένων οὐχὶ ἀνα-
λόγως τὸ κάλλος τοῦ ποιητοῦ τοῦτον ἐδόξασαν, ἀλλ' ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτί-
σει παρὰ τὸν κτίσαντα. καὶ ὡς δι' ὧν ἔδει γνῶναι Χριστὸν δι' ἐκείνων ἀγνοῆσαι παρασκευάζει,
διὰ τῶν κηρυσσουσῶν φημὶ γραφῶν τὸν Χριστὸν αἱρετικαῖς ἐννοίαις τὴν ἄγνοιαν τούτου δεινῶς
μηχανώμενος. καὶ ὡς τῷ πεπιστευμένῳ ὀνόματι τοῦ Χριστοῦ ἀπιστίαν τε καὶ ἄρνησιν τοῦ Χριστοῦ πα-
νοῦργος ἐνσπείρει, οὕτω καὶ διὰ τοῦ ὀνόματος τῆς μυστικῆς εὐνουχίας, ὀνόματι σωφροσύνης
ἀποκόποις καὶ ἀκολάστοις ἐργάζεται. οὐκοῦν οὐδὲ τούτοις ἀδιαφόρως συναγκαλά-
ζεσθαι τὴν παρθένον προσήκει. εἰ γὰρ θήλειαι θηλείαις ἐπὶ τῆς αὐτῆς κοίτης ἐν
διαθέτως περιπλεκόμεναι, ζεούσης αὐτῶν ἔνδοθεν τῆς ἀκμῆς πολλάκις ἐκ τῆς πρὸς
ἄλληλα τῶν σωμάτων ἀφῆς πρὸς ἃ ἐπλάσθησαν ἔχειν σώματα σχέσιν, τὴν μνή-
μην διερεθίζονται. ἱκανὸς γάρ ἐστιν ὁ νομοθέτης τὸν ἐν τοῖς μέλεσιν ἡμῶν τὴν ἁμαρ-
τίαν μέσος τῶν σαρκῶν λαθραίως χωρήσας ἐκ τῆς φιλικῆς πρὸς ἄλληλα τῶν θη-
λέων καὶ φιλόφρονος ἡδονῆς· ἀποκλέψαι μὲν τὴν φιλόφρονα. τὴν δὲ τῶν σαρ-
κῶν ἄρρενα πανοῦργος ἐνσπεῖραι, πόσον πλέον δεῖ τὰ ἄρρενα σώματα κἂν εὐνοῦχον ἢ
τὴν παρθένον φυλάττεσθαι, κἂν εὐνοῦχος γὰρ ᾖ ἀλλ' ἀνήρ ἐστι τὴν φύσιν. ὡς γὰρ ὁ βοῦς
ὁ κερατιστὴς ἀποτμηθεὶς τὰ κέρατα, οὐχὶ τῇ ἀφαιρέσει τῶν κεράτων ἵππος ἐγένετο.

πον ἔχειν ἐν τοῖς ἀγγέλοις ἐπισημότατον, καὶ ὄνομα διὰ τὴν τοῦ κατορθώματος ὑπερφάνειαν ἀνεξάλειπτον. ἀσφαλιζέσθωσαν δὲ μὴ ὡς διὰ ἀνθρώπων καὶ γῆς εἰς οὐρανοὺς ἀξίαν ἀνέβησαν, οὕτως ἀπὸ ἀγγέλων καὶ οὐρανοῦ εἰς τὴν γῆν τὸ μέγιστον καταπέσωσι πτῶμα. εἶδον γάρ φησι τὸν ἐν οὐρανοῖς ποτὲ διαπρέποντα, ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ. ὅπερ ἀκούοντας, ἀσφαλίζεσθαι αὐτοὺς παντοίως προσήκει. τοιούτους μὲν οὖν ἄξιοι γερῶν εὑρεθήσονται ἐν τῇ βασιλείᾳ, οἱ κατὰ νοῦν θεῖοι εὐνοῦχοι. οὐκ ἀποτεύξονται δὲ τῶν ὁμοίων. οὔτε οἱ τυραννικῇ χειρὶ ἐν παιδικῇ ἡλικίᾳ βιαίως εὐνουχισθέντες, ἀλλ' ἐν τῷ ἀκουσίῳ τῆς κατὰ σῶμα συμβάσης αὐτοῖς εὐνουχίας, τὸν ἑκούσιον κατὰ νοῦν εὐνουχισμὸν ἑαυτοὺς εὐνουχίσωσιν, ὡς σαββατίζειν μὲν πρὸς πᾶσαν κακίαν, ἐκλέγεσθαι δὲ ἃ θέλει ὁ θεός, καὶ ἀντέχεσθαι τῆς διαθήκης τῶν ἐντολῶν αὐτοῦ, οὐκ ἄγονοι ἀρετῆς κατὰ ψυχὴν εὑρεθέντες, τόπον ἕξουσιν ἐν τῷ οἴκῳ τοῦ κυρίου. κρείττονα υἱῶν καὶ θυγατέρων. οὐκέτι μὲν ὡς ξύλον ξηρὸν διὰ τὴν κατὰ σάρκα ἀπαιδίαν ὁρώμενοι, ὡς δὲ εὐθαλῆ φυτὰ πολλοῖς τοῖς τῆς δικαιοσύνης καρποῖς πανταχόθεν κοσμούμενοι. πεφυτευμένοι γάρ φησιν ἐν τῷ οἴκῳ κυρίου ὀφθήσονται ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐξανθήσουσιν. οὐκοῦν πάλιν ἐρῶ, οὐκ ἐνομοθέτησε παρθενίαν, ἀλλὰ τῇ διηγήσει ἀφεὶς τίνος ἄξιοί εἰσιν οἱ ὑπερακοντίσαντες τὴν φύσιν, τῷ τρόπῳ τῆς μυστικῆς εὐνουχίας ὑπέδειξεν. οἱ δὲ μὴ νοήσαντες τὸ καὶ εἰσὶν εὐνοῦχοι οἵτινες ἑαυτοὺς εὐνούχισαν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἑαυτοὺς ἀτόπως ἠκρωτηρίασαν αὐτῷ τῷ ἔργῳ ἀκολασίαν ἑαυτῶν μακρόθεν κατηγοροῦντες. οἱ γὰρ τὸ ὅπλον τοῦ σαρκικοῦ ἔρωτος ἵνα μὴ πορνὸν ἐνεργῇ ἀπορρίψαντες, δῆλοί εἰσιν. ὅτι ὁρμῶσι μὲν πρὸς τὴν μῖξιν. ἀφοπλίσαντες δὲ ἑαυτούς, οὐ τῷ μὴ βούλεσθαι ἀλλὰ τῷ μὴ δύνασθαι δὴ παρθενεύουσιν. ὁ δὲ θεῖος νόμος, οὐ τὴν πρᾶξιν, ἀλλὰ τὴν ἔννοιαν κρίνει. ὅτι πᾶς οὐχ ὁ μοιχεύσας τῷ ἔργῳ, ἀλλ' ὁ ἰδὼν πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν. ἡ δὲ ἀποκοπὴ τῶν μορίων, πλείονα τῆς ἐν τῷ ὀφθαλμῷ ἐπιθυμίας τὴν μοιχείαν τοῦ ἀποτεμνομένου κατηγορεῖ. ὅτι ἀπιστῶν ἑαυτῷ εἰ τῆς ἀκολασίας κρατήσει, ἀπέτεμεν τοῦτο ᾧ τὴν τῆς ἐπιθυμίας πρᾶξιν εἰργάσατο. μᾶλλον δὲ πεπεισμένος ὅτι πάντως ἀκρατῶς ἐνεργήσει, ἀφώπλισε μὲν τῇ τομῇ τῆς ἀκολασίας τὸ ὄργανον. ἵνα μὴ δοκῇ ἀκολασταίνειν διὰ τοῦ σώματος, ἀκολασταίνει δὲ ὅμως τῇ ἐπιθυμίᾳ, καὶ ἀκρατῶς πᾶσαν μοιχεύει. βοᾷ γὰρ καὶ κατὰ τῆς ἀκρασίας αὐτοῦ πόρρωθεν τὸ ἐγχείρημα. διὸ μετὰ τὴν τομήν, ἀκολαστοτέρους αὖτις ἔστι γίνεσθαι τούτους, οὐ δυνάμενοι γὰρ κρατεῖν ἑαυτῶν. εἶτα φοβούμενοι φανερωθῆναι ἐπὶ τῷ ἔργῳ ἵνα ἐξῇ αὐτοῖς ὡς βούλονται τῇ ἐπιθυμίᾳ κεχρῆσθαι. δοῦλοι ὄντες τῆς ἡδονῆς οὐ θέλοντες δὲ κώλυμα τῆς εἰς ἑξῆς καὶ ἀεὶ ἀπολαύσεως αὐτοῖς τὸ ἀποτέλεσμα τοῦ ἔργου γενέσθαι. ἀποκόψαντες τὸν ἔλεγχον τῆς ἐνεργείας, ἐλευθεριάζουσιν ἀκρατῶς πρὸς τὰς μίξεις. εἰ δὲ ὁ ξίφος ἐπενεγκὼν τεθωρακισμένῳ τινί, κἂν ὁ θώραξ κωλύσῃ τήν τε πληγὴν καὶ τὸν φόνον γενέσθαι, ὡς φονεὺς ὅμως τὴν δίκην ὑφίσταται. καὶ ὁ γυμνῷ δὲ ἐπενεγκεῖν θέλων τὸ ξίφος. εἶτα διὰ περίστασιν τὸ ξίφος τῆς χειρὸς ἐκβαλὼν ὡς φονεὺς κατὰ τὸ δίκαιον κρίνεται. ὅτι οὐ τὸ ἔργον ἀλλὰ τὴν βούλησιν κρίνει ὁ νόμος, καὶ ὁ ὡπλισμένος ἄρα τῷ παιδογόνῳ μορίῳ κἂν μὴ δυνηθῆναι ἐγχειρήσας τὴν τῇ πίστει τεθωρακισμένην ὡς βούλεται φθεῖραι, ὡς φθείρας κολάσεως ἄξιος. ὥσπερ οὖν καὶ ὁ γυμνὴν ἐρῶν πρὸς φθοράν, εἶτα ὁρμήσας μὲν πρὸς τὸ ἔργον, ἐκβαλὼν δὲ τῇ τομῇ τὸ ὅπλον καὶ μὴ γενομένης τῆς φθορᾶς, ὡς τὴν φθορὰν ἐργασάμενος κατὰ τὸ δίκαιον κρίνεται. ἐν ᾧ λοιπὸν κἀκείνη τούτῳ ἐπὶ τῇ ἀκολασίᾳ, οὐκ ἀλόγως κατηγορουμένη εὑρίσκεται. πῶς γὰρ πιστεύσομεν αὐτῇ ὅτι ἀπώσατο ἂν τὴν τῆς φθορᾶς παρὰ τοῦ ἀκολάστου ἐπιφερομένην πληγήν, μὴ παρόντος τοῦ ὅπλου. ἔνθα μὲν γὰρ πρὸς τὸν ἐκ φύσεως ὡπλισμένον ὑπὲρ τῆς ἀφθορίας καρτερῶς ἀπομάχεται, φανερὸν τὸ ἆθλον τῆς σωφροσύνης. ἔνθα δὲ ἄοπλος μὲν ὁ ἀνήρ, ἀδιάφορος δὲ ἡ πρὸς τοῦτον, μᾶλλον δὲ ἐκ τῆς προσπαθείας πρὸς ἡδονὴν ῥέουσα τοῖς πᾶσιν ἡ ὁμιλία. ἄδηλος μὲν ἡ σωφροσύνη, πλείστας δὲ τὰς ψήφους ἡ ἀκολασία παρὰ πάντων κατ' αὐτῆς ἀποφέρεται. ἀλλὰ ταῦτα μέν, ἐπὶ τῶν ὅλα ὁμοῦ μετὰ τῶν διδύμων ἀποκοψαμένων τὰ μόρια. τοὺς γὰρ μετὰ τὸ ἀνδρωθῆναι πρὸς συνουσίαν τὰ παιδογόνα μόρια μόνους τοὺς διδύμους ἀποτεμόντας, φασὶ δριμύ

φὸς λογισθήσεται. πῶς δὲ καθάπαξ τὸ τρωθὲν ἐπιθυμίᾳ τε καὶ ἡδονῇ καὶ πάθει, ὡς ἄτρωτον ἔτι γενήσεται, τῶν σημάντρων τῆς φθορᾶς ἐν τῇ ψυχῇ καὶ τῷ σώματι δι᾽ ὅλου μενόντων. μετάνοια μὲν γὰρ, ἀφίησιν ἁμαρτίαν. τὴν δὲ ἐφθαρμένην ὡς μὴ ἐφθαρμένην ποιῆσαι πάλιν ἀδυνατοῦσα, διὰ βίου ὀδύρεται. διὸ ἐπειδὴ μέγιστον τὸ κτῆμα καὶ τὸ ἔπαθλον τοῖς κατορθοῦσιν αὐτὸ ἐνδοξότατον, τῇ διδασκαλίᾳ τοῦ κυρίου πειθόμενοι σαββατίσωμεν οὕτως, ὡς ὁ λόγος ἀπαρχῆς ἕως τέλους ὑπέβαλεν. ἄχραντόν τε καὶ ἀνέπαφον πάσης κηλῖδος τὸ φυσικὸν κάλλος τοῦ θείου ἀγάλματος δι᾽ ὅλου τηροῦντες. μὴ μόνον δὲ σαββατιζέτω φησὶν ἡ παρθένος, ἀλλὰ καὶ ἐκλεγέσθω ἃ ἐγὼ θέλω. τί δὲ ἄλλο, ἢ ἀφθορίαν ὁ κύριος θέλει. ἵνα μηδὲ τῷ σαββατίζειν ἐκ συγκρίσεως τῆς ἐν τῷ γάμῳ φθορᾶς ἐν τῇ παρθενίᾳ ἐκλεξαμένη καὶ τῆς πρὸς τὸν κύριον ἐπὶ ταῖς ἐντολαῖς διαθήκης ἀντεχομένη, λήψεται παρ᾽ αὐτοῦ ἐν τῷ οἴκῳ καὶ ἐν τῷ τείχει αὐτοῦ τόπον ὀνομαστὸν τὸν κρείττονα υἱῶν καὶ θυγατέρων. οὐ γὰρ μόνον τοῖς φυλάσσουσι τὰ σάββατά μου εὐνούχοις καὶ ἐκλεγομένοις ἃ ἐγὼ θέλω, ἀλλὰ καὶ ἀντεχομένοις τῆς διαθήκης μου δώσω τὰ εἰρημένα. μεμνῆσθαι οὖν τῆς διαθήκης τοῦ νυμφίου ἡ παρθένος νύκτωρ καὶ μεθ᾽ ἡμέραν ὀφείλει. διαθήκης ἣν ὑπὲρ αὐτῆς ἀποθνήσκων ὑπὲρ ἀφθαρσίας αὐτῆς ἐγγράφως διέθετο, καὶ μεμνημένη τῆς ἐν τῷ δι᾽ αὐτὴν θανάτῳ αὐτοῦ διαθήκης. ὅτι παρέδωκεν ἑαυτὸν ὑπὲρ ἑαυτῆς ἵνα αὐτὴν ἁγιάσῃ, παρὰ πάντα τὸν βίον ἀντεχέσθω τῆς διαθήκης αὐτοῦ τουτέστι, μὴ ἀθετείτω τὴν ἐπὶ τῷ θανάτῳ αὐτοῦ ὑπὲρ τῆς σωτηρίας αὐτῆς τελεσθεῖσαν οἰκονομίαν. ἀλλ᾽ ἐπειδὴ ἀπεμπολήσασαν τὴν ἑαυτῆς ἐλευθερίαν, αὐτὴν τῷ ἑαυτοῦ αἵματι ἐξηγόρασε. καὶ ἐξαγοράσας οὐκ ἐλευθερίᾳ μόνον τετίμηκεν ἀλλὰ καὶ νύμφην ἑαυτῷ ἁρμόσας βασιλίδα ποιῆσαι ὑπερβαλλούσῃ χάριτι κατηξίωσε, διὰ τοῦτο ἀντεχέσθω τῆς διαθήκης αὐτοῦ. τουτέστιν ἵνα κοινότερον εἴπω. ὥσπερ τινὸς προικώου τῆς πρὸς αὐτὴν διαθήκης αὐτοῦ ἐγγράφως καὶ νομίμως συστάντος τοῦ γάμου. ἀεὶ ἀντεχέσθω πρὸς τὰ ἐπερωτήματα καὶ τὰς συνθήκας τῆς συμβιώσεως, ἑαυτὴν αὐτῷ ἄμεμπτον ἐν πᾶσι παρέχουσα. ὡς ἂν ἀξίως αὐτοῦ ἐνταῦθα συζήσασα, καὶ τῶν ἐκεῖ παρ᾽ αὐτοῦ ἀγαθῶν ἀπολαύσειε. τοῖς γὰρ φυλασσομένοις τὰ σάββατά μου πάλιν ἐρῶ φησὶ καὶ τοῖς ἐκλεγομένοις ἃ ἐγὼ θέλω καὶ ἀντεχομένοις τῆς διαθήκης μου. δώσω ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείττονα υἱῶν καὶ θυγατέρων. ὡς γὰρ ἂν μὴ δοκοῖεν ὡς ἄσπερμοί τε καὶ ἄγονοι ἐπονείδιστοι εἶναι, οὕτω μέν φησιν οἰκεῖοί τε καὶ φίλοι μου ἔσονται ὡς ἐν τῷ οἴκῳ μου καὶ ἐντὸς τῷ τείχει μου μένειν. τοσαύτης δὲ τιμῆς παρ᾽ ἐμοὶ κριθήσονται ἄξιοι, ὡς πᾶσαν εὐγένειαν παίδων μὴ δύνασθαι τῷ τόπῳ τῶν ἀξιωμάτων αὐτῶν ἁμιλλᾶσθαι. δώσω γὰρ αὐτοῖς τόπον φησὶν οὐκ εἰκαίως μόνον, ἀλλὰ καὶ περισκοπῆς καὶ ἀξίας ὡς πᾶσι περίβλεπτον ὄντα, ὑπὲρ τὴν τῶν παίδων διαδοχὴν αὐτοὺς τῇ τοῦ ἀξιώματος εὐγενείᾳ σεμνύνων. καὶ τί πλέον φησὶ περὶ τῶν μυστικῶν εὐνούχων ἔχω λέγειν, ὄνομα αἰώνιον δώσω αὐτοῖς, ὃ ὑπὲρ τὴν διαδοχὴν αὐτοῖς τῶν ἐκγόνων ἀρκέσει καὶ οὐκ ἐκλείψει. ἐνταῦθα μὲν γὰρ οἱ τῶν σωμάτων παῖδες τὸ τῶν πατέρων ἀποδιδόμενοι ὄνομα, ὥσπερ σβεννυμένην τῷ γήρᾳ τούτων διαδέχονται τὴν ζωὴν, οὕτω καὶ τὸ ὄνομα τῶν πρὸς θάνατον φερομένων τῶν πατέρων ἐκλεῖπον, ὑπεισιόντες ἐν αὐτοῖς ζωοπυροῦσιν. εἶτ᾽ ἐπ᾽ ὀλίγον οὗτοι τήν τε ζωὴν τοῦ τῶν προπατόρων γένους καὶ τὸ ὄνομα τῷ τρόπῳ παραμυθούμενοι. ὅμως ὑπὸ τῆς θνητῆς φύσεως διαφορούμενοι καὶ αὐτοὶ εἰς τὸ παντελὲς περιιόντος τοῦ χρόνου ἐκλείψουσιν ἀνώνυμον καταλιπόντες τὸ γένος. τὸ δὲ παρ᾽ ἐμοῦ μετὰ τοῦ ἐν πρωτείοις τόποις τοῖς εὐνούχοις διδόμενον ὄνομα, ἀντὶ πάσης γένους διαδοχῆς πάλιν ἐρῶ διόλου ἀρκέσει. ὥστε αὐτούς τε καὶ πάντας τοὺς ἐρῶντας αὐτοὺς ἐκ τῆς ἐκβάσεως τὴν ὑπερβολὴν ἀποφήνασθαι ὡς κρεῖττον ὄντως ἔσται υἱῶν καὶ θυγατέρων τῶν πολλάκις καὶ ἐπίψογον τὸ γένος καὶ τόπῳ αἰσχύνης καὶ ὀνόματι ἁμαρτίας ποιούντων. ὄνομα γὰρ φησιν ἀντὶ τοῦ ἀνθρωπείου τὸ τῶν ἀθανάτων ἀγγέλων δώσω αὐτοῖς καὶ οὐκ ἐκλείψει. ὥστε οὐρανὸν μὲν καὶ τοῦ οὐρανοῦ τὸ κάλλιστον ἔχειν αὐτοὺς ἐνδιαίτημα. ἐν δὲ τῷ καλλίστῳ τοῦ οὐρανοῦ τουτέστιν ἐν τῷ οἴκῳ τῷ ἐμῷ ἐντὸς τῶν περιβόλων οἰκοῦντας οὐκ ἀγγέλων μόνον φύσιν λοιπὸν καὶ ἀξίωμα ἀθάνατον ἔχειν ὡς μηδὲ χρείαν ἔχειν διαδοχῆς. ἀεὶ αὐτοὺς ἐν ἑαυτοῖς ἐν ἀειζώῳ βίῳ ἀντὶ διαδόχων δι᾽ αἰῶνος ἀρκοῦντας, ἀλλὰ καὶ τά-

ἀνώτερον ἐκτεθεῖσι τὰ εἰρημένα· οὐ γὰρ εὐνουχίαν νομοθετεῖ ἡ ἐνταῦθα τάξις ἐν τῷ ἡσαΐᾳ·
ἀλλὰ τίνων ἄξιοι γερῶν εἰσιν οἱ ἀγαθοὶ εὐνοῦχοι κηρύττει· καλῶς δὲ ἔχει αὐτῷ τὰ ῥη-
» τὰ ἐπισκέψασθαι· τάδε λέγει κύριος τοῖς εὐνούχοις τοῖς φυλασσομένοις τὰ σάββατά μου
» καὶ ἐκλεγομένοις ἃ ἐγὼ θέλω· καὶ ἀντεχομένοις τῆς διαθήκης μου· δώσω αὐτοῖς ἐν τῷ
» οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείττω υἱῶν καὶ θυγατέρων, ὄνομα
» αἰώνιον δώσω αὐτοῖς καὶ οὐκ ἐκλείψει· οὐκοῦν οὐχὶ τοῖς κατὰ περίστασιν καὶ ἁπλῶς
εὐνούχοις τὰ εἰρημένα ἀγαθὰ ὑπισχνεῖται, ἀλλὰ τοῖς φυλασσομένοις φησὶ τὰ σάββα-
τά μου· καὶ ἐκλεγομένοις ἃ ἐγὼ θέλω· σάββατον δὲ οὐκ ἐν ἔργῳ ἀλλ' ἐν πράξεως ἀρ-
γίᾳ νοεῖται· σαββατίζειν γὰρ βούλεται τὴν παρθένον, οὐκ ἐν τῷ ἐνεργεῖν τὴν παρθε-
νίαν φυλάττουσαν, ἀλλ' ἐν τῷ ἀκίνητον πρὸς ἐνέργειαν μεῖναι τὴν ἀφθορίαν τηροῦ-
σαν· οἷον ἄγαλμα φησὶ θεοῦ ἐκ ψυχῆς καὶ σώματος ἡ παρθένος ἐπὶ γῆς ἐπλάσθη· μυ-
στικῶς αὕτη σαββατιζέτω, μὴ χεῖρα, μὴ πόδα, μὴ ὀφθαλμὸν, μήτ' ἄλλο τι τῶν με-
λῶν· ἀλλὰ μὴ δὲ νοῦν φθοροποιὸν τοῦ φυσικοῦ κάλλους κινοῦσα· ἀλλ' ἑστηκέτω ὡς
ἀγαθὸν γλύμμα θεοῦ ἀκίνητον πρὸς πᾶσαν φαντασίαν τε καὶ ἐπαφὴν, δι' ὅλου ἐπὶ τῆς
πέτρας ἑστῶσα· μήτις καὶ δι' ὀφθαλμῶν ἢ δι' ἀκοῆς, ἢ δι' ἄλλης τινὸς μιᾶς αἰσθήσεως
λαθραίως παρεισρυεὶς, ἢ παρακινήσει τοὺς κατ' εἰκόνα θεοῦ ἐν ψυχῇ χαρακτῆρας, ἢ καὶ
συγχέας τοῖς ἀρχετύποις ἰδέας που κακῶς ἐγχαράξει· καὶ τὸ μὲν τῆς ψυχῆς κάλλος οὔ-
πω λυμαίνεται· τὸ δὲ σῶμα ὑλικὸν ὑπάρχον φθοραίοις τισὶν ἐπαφαῖς κηλίδων καὶ μώ-
μων ἁπανταχοῦ ἀναπλήσῃ· ἑστηκέτω οὖν πάγιον φημὶ τὸ τοῦ κυρίου ἄγαλμα σαββατί-
ζον δι' ὅλου· ἵνα μήτε ἀφ' ἑαυτοῦ κινούμενον παρασαλεύσῃ που· ἢ ἐν τῇ κινήσει τισὶ πρὸς
ταραττόμενον παραθραύσῃ τινὰς τῶν φυσικῶν χαρακτήρων· μήτε παρὰ τῆς ἔξωθεν
χειρὸς σαλευόμενον ἀποσυληθῇ τὸ τῆς φύσεως κάλλος· τάχα δὲ διὰ τοῦ σαββατισμοῦ
καὶ τὸ πῶς δεῖ κτήσασθαι παρθενίαν φυσικῶς τε ἅμα καὶ παραδόξως αἰνίττεται· ὡς
» γὰρ τὸν ὅρον τῆς σωτηρίας ἡμῶν ἐκτιθέμενος φησί· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου τίς ἀνα-
» βήσεται εἰς τὸν οὐρανὸν τουτέστι χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον, του-
» τέστι χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν· ἀλλὰ τί λέγει· ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου
» καὶ ἐν τῇ καρδίᾳ σου· καὶ οὐ χρείαν ἔχεις τὰ οὕτω σου μακρὰ οὐρανὸν ἢ ἀβύσσους πε-
» ριεργάζεσθαι· ἀλλὰ τῷ ἐγγὺς καὶ σοῦ χρῆσθαι δεξιῷ βοηθήματι· ἐὰν γὰρ ὁμολογήσῃς
» ἐν τῷ στόματί σου ἰησοῦν χριστόν· καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ
» νεκρῶν σωθήσῃ· οὕτω καὶ ἐπὶ τῆς παρθενίας φησὶ, μὴ εἴπῃς πῶς ἀναβῶ εἰς τὸν οὐρα-
νόν· ἐκεῖθεν τὴν τῆς παρθενίας μου ἀφθορίαν καταγαγεῖν· ἢ πῶς καταβήσομαι εἰς
τὴν ἄβυσσον ἵνα ταύτην πάλαι παρὰ διαβόλου φθαρεῖσαν ἐμαυτῇ ἀνακτήσωμαι·
ἀλλὰ τί λέγει· ἐγγύς σου ἐστὶ φησὶ καὶ κατὰ φύσιν σοι συγγενᾶται ἡ παρθενία· οὔτε
οὖν πελάγη εἰς τὴν κτῆσιν αὐτῆς χρείαν ἔχεις περάσαι· οὔτ' ἀέρα που ἄπειρον διαπτῆ-
ναι· οὔτε γῆς περιόδους ἰχνηλατοῦσα ταύτην ἀναμετρήσασθαι· ἢ οὐρανὸν ἐκ γῆς ἀ-
ναπτᾶσα, εἰς εὕρεσιν αὐτῆς ἐμβατεῦσαι, ἀλλ' ὅπερ εἴρηκα, ἀφεῖσα τὰ μήκη περιεργά-
ζεσθαι σαυτὴν ὡς ἔχεις ἐπίσκεψαι, καὶ ἐν σαυτῇ κατὰ φύσιν ταύτην κρυπτομένην εὑρή-
σεις· καὶ εἰ βούλει ταύτην παρὰ σοὶ ἄσυλον μένειν, διὰ βίου σαββάτιζε· τουτέστι μέ-
νε ὃ ἐγεννήθης· μὴ κινήσῃς χεῖρα πρὸς ἁφὴν ἀνδρὸς, μήτε πλέξῃς τὰ ἄπλεκτα· μὴ
δὲ τὰ λελυμένα συνδήσῃς· μὴ δὲ τὰ ἄφθορα μέλη ἑτερογενέσι συμπλέκουσα μέλεσι
φθείρῃς· ἀλλὰ μένε ἐπὶ τῆς κοίτης ὃ εἶ, μηδὲν πλέον περιεργάζου, σαββάτιζε καθ' ἑαυ-
τήν· μηδὲν ἐνεργοῦσα τὸ παραλῦον τὸ κατὰ φύσιν· οὐκ ἔχεις τοίχους καὶ περιβόλους
ὑπερβάλλεσθαι ἵνα τὴν παρθενίαν θηράσῃς· ἀλλὰ ταῦτα μὲν πράττουσα, καὶ ἀπο-
λέσεις ἴσως τὴν παρθενίαν· ἐπὶ τῆς κοίτης δὲ σαββατίζουσα, καθαρὰν αὐτὴν φυλά-
ξεις· καὶ οὕτω μὲν ἀκόπως φησὶ τὴν παρθενίαν κτῆμα τιμιώτατον ἕξεις· οὐ γὰρ ἐκ φύ-
σεως τι ἢ ἐργασαμένη τι καινὸν, ταύτην περιποιήσεις σαυτῇ· ἀλλὰ μένουσα ἄχραντος
ὃ ἐκ γαστρὸς ἐγεννήθης παρθένος, ἀεὶ ἀγαθὴ τοῖς πᾶσιν ὀφθήσῃ· ἀπολέσασα δὲ τοῦτο
τῆς παρθενίας τὸ κτῆμα, κἂν ἐκεῖνα πάντα ποιήσῃς ἃ εἴρηκα, οὐρανόν τε καὶ γῆν, θάλασ-
σάν τε καὶ ἄβυσσον καὶ ἀέρα ὅλον διαπεράσῃς, οὐδενὶ τρόπῳ τοῦτο ἀνακτήσασθαι ἔτι δυνή-
σῃ· πῶς γὰρ τὸ φθαρὲν ἔτι ἄφθορον γενήσεται· πῶς δὲ τὸ γνῶσιν ἀνδρὸς εἰληφὸς, ὡς μὴ εἰλη

διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. δέδεσαι γυναικί, καὶ
ἔφθης τῷ δεσμῷ τούτῳ πρὸ τῆς γνώσεως τοῦ κατὰ τὴν παρθενίαν καλοῦ προλη-
» φθῆναι, μὴ ζήτει λύσιν. λέλυσαι ἀπὸ γυναικός, μὴ ζήτει γυναῖκα. ἀντὶ τοῦ μὴ
» ζήτει δεσμὸν δεθῆναι. ἐὰν δὲ καὶ γαμήσῃς, οὐχ ἥμαρτες. καὶ ἐὰν γήμῃ ἡ παρθένος
» οὐχ ἥμαρτε, θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι, ἀνοίγοντες ἑαυτοῖς διὰ τοῦ γά-
» μου ὀδυνῶν ἐργαστήριον. ἐγὼ δὲ ὑμῶν φείδομαι. τοῦτο δέ φημι ἀδελφοί, ὁ καιρὸς
» συνεσταλμένος ἐστὶ τὸ λοιπόν. αἱ γὰρ χῶραι λευκαί, καὶ ἤδη εἰσὶ πρὸς θερισμὸν λοι-
» πόν. ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, οὐχ οἱ μὴ ἔχοντες ὡς οἱ ἔχον-
» τες. ὥσπερ οὖν οὗτοι μὴ ἔχοντες διὰ παρθενίαν ὑπόσχεσιν ὡς ἔχοντες τὴν παρθέ-
» νον ἐνυβρίζουσι. καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες. καὶ οἱ χαίροντες, ὡς μὴ
» χαίροντες. καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες. καὶ οἱ χρώμενοι τῷ κόσμῳ τού-
» τῳ, ὡς μὴ καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. θέλω δὲ ὑμᾶς
» ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ. ὁ δὲ γαμήσας
» μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσῃ τῇ γυναικί. καὶ μεμέρισται καὶ ἡ γυνὴ ἡ γαμή-
» σασα καὶ ἡ παρθένος, ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύ-
» ματι. ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσῃ τῷ ἀνδρί. τοῦτο δέ, πρὸς
» τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω. οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον
» καὶ εὐπάρεδρον τῷ κυρίῳ ἀπερισπάστως. εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον ἑαυτοῦ νο-
» μίζει, ἐὰν ᾖ ὑπέρακμος καὶ οὕτως ὀφείλει γίνεσθαι. ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει.
» γαμείτωσαν. γινωσκέτω μέντοι ὡς ἀνδρὶ θνητῷ μᾶλλον καὶ κόσμῳ ἢ τὸ τῷ κυρίῳ ἀρέ-
σκειν δι' ἡδονὰς ἀπόλαυσιν ἐπελέξατο. ὃς δὲ ἕστηκεν ἐν τῇ καρδίᾳ αὐτοῦ ἑδραῖος μὴ ἔ-
χων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος. καὶ τοῦτο κέκρικεν ἐν τῇ
καρδίᾳ αὐτοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιήσει. ὥστε καὶ ὁ γαμίζων τὴν
ἑαυτοῦ παρθένον, καλῶς ποιήσει. κρεῖσσον γὰρ γαμίζειν ἢ πυροῦσθαι. καὶ ὁ μὴ γαμίζων
κρεῖσσον ποιήσει. ἀντὶ θνητοῦ ἀνδρός, τῷ κυρίῳ ταύτην νυμφεύων. ὁ δὲ κύριος πρὸς τοὺς τὰς
ἐκ τῶν γάμων ἀηδίας καταμαθόντας. καὶ πρὸς τὸ δύσλυτον τοῦ πρὸς γυναῖκας δε-
σμοῦ χαλάσαντας. καὶ τὸ οὐ συμφέρει γαμῆσαι εἰπόντας, οὐ πάντες χωροῦσι τὸν
λόγον τοῦτον φησίν. ἀλλ' οἷς δέδοται. εἰσὶ γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρός, ἐγεννή-
θησαν οὕτως. ὅσοι φύσεως πλεονεκτήματι τὸ πρὸς τὰς συνουσίας ἐρεθίζειν ἐκτετμη-
μένοι, καταφρονοῦσι τῶν γάμων. καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν
ἀνθρώπων. διδασκαλίᾳ καὶ τηρήσει παρθενεύειν πεισθέντες. ὥσπερ οὖν καὶ ἡ παρὰ
τοῦ πατρὸς τηρουμένη παρθένος, περὶ οὗ εἴρηται. ὃς δὲ κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ τη-
ρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιήσει. καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς
διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. οἳ καὶ καλλίονες τῶν ἄλλων ὑπάρχοντες. διότι οὔ-
τε ἐκ τῆς φύσεως πρὸς σωφροσύνης ἐφόδιον ἔχοντες. οὔτε παρὰ ἀνθρώπων κρατού-
μενοι, αὐτοὶ ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, πρὸς τὴν παρθενίαν ἀσκοῦσι γά-
μου μὲν καὶ βίου διὰ τοῦτον καταφρονοῦντες. τὸ δ' ὅλον τῆς βασιλείας μιᾶς ἀθλητικοῦ
ἱδρῶτος ἐχόμενοι. ὁ μὲν γὰρ ἐκ κοιλίας μητρὸς εὐνοῦχος. φύσει σώφρων ὑπάρχων, οὐδὲν
ἴδιον ἔργον ἐν τῷ τῆς παρθενίας κάλλει ἐπιδείξασθαι ἔχει. φύσεως ὥσπερ ἔφη πλεονε-
κτήματι, καὶ οὐχὶ τῇ πρὸς τὴν παρθενίαν διαθέσει τὸν γάμον ἀπογραφείς. ὥσπερ οὖν καὶ
ὁ παρ' ἀνθρώπων εὐνουχισθεὶς τηρήσει τὴν παρθενίαν ἀσκεῖν βιαζόμενος, οὐκ ἴδιον κα-
τόρθωμα τὴν ἀφθορίαν τῆς παρθενίας, ἀλλὰ τῶν τηρούντων δεικνύει. ὁ δὲ ἑαυτὸν εὐ-
νουχίσας, ἐξαίρετον ἔργον διὰ τῆς ἐγκρατείας τε καὶ πρὸς πάντα ἀσκήσεως τὸ τῆς παρ-
θενίας κάλλος ποιούμενος. ἰδίοις καὶ οὐκ ἀλλοτρίοις κατορθώμασιν ἐν τῇ βασιλείᾳ σε-
μνύνεται. ἐπισημαίνουσι δὲ ὅτι τὸν ἐν τῷ ἡσαΐᾳ πρὸς τοὺς εὐνούχους λόγον ἀναλαμ-
βάνων, τὴν διαφορὰν παραδίδωσι τῆς εὐνουχίας, ἐπιμένων τῆς διδασκαλίας τῷ τρό-
πῳ. ὡς γὰρ διὰ μωϋσέως μὲν τὸ μὴ μοιχεῦσαι ἁπλῶς, δι' εὐαγγελίου δὲ τὸ πῶς μὴ μοιχεῦ-
σαι καὶ τὸν τρόπον ἀνέπτυξεν, οὕτω καὶ διὰ ἡσαΐου μὲν τὸ εὐνουχεῖσθαι, ἐν εὐαγγελίῳ δὲ τὸ
πῶς. καὶ ὅτι οὐ μονοειδὴς ἡ εὐνουχία, ἀλλὰ τρίτον ταύτης εἶδος νοεῖται ὑπέδειξεν. ὥστε ἐκεῖ
μὲν γενικῶς τὸν εὐνοῦχον, ἐνταῦθα δέ, καὶ ἰδικῶς μὲν χαρακτηρίζεσθαι. καὶ οὐ μάχεται τοῖς

μὲν, ἀλλὰ τοῖς τὸν κατ᾽ αὐτὴν πολυτίμητον μαργαρίτην ἐμπορεύεσθαι προθεμένοις, τὸ ἄσυλον τούτου πανταχόθεν ὑποδεικνύντος. περὶ δὲ τῶν παρθένων, ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι φησὶν ὡς ἠλεημένος ὑπὸ κυρίου. ἐπεὶ μὴ δὲ ὁ δεσπότης ἡμῶν τῆς φύσεως, ἐν νόμῳ ἢ ἐν εὐαγγελίῳ παρθενίαν ἐνομοθέτησεν. ὁ γὰρ τοιαύτην τότε ἄρρενι πρὸς τὸ θῆλυ, καὶ ἀνάπαλιν τῷ θήλει πρὸς τὸ ἄρρεν οἵαν περ ἐν ἀρχῇ ὁ λόγος ὑπέδειξε τὴν σχέσιν διὰ τὸ ἀναγκαῖον τοῦ γάμου μηχανησάμενος. τοῖς δὲ ἐξ ἀθανάτων θνητοῖς γενομένοις τὴν διαδοχὴν τοῦ γένους ἐπισκεδάσας τὴν ὡς εἴρηταί που ἀθανασίαν ἀράμενος, καὶ διὰ τοῦτο αὐξάνεσθε καὶ πληθύνεσθε εἰρηκώς, πῶς οἷόν τε ἦν παρθενίαν τότε νομοθετεῖν καὶ μάλιστα, ὅτι εἰς ἀναπλήρωσιν τῶν ἐν τοῖς πολέμοις διὰ τῆς οἰκείας μοχθηρίας δαπανωμένων πληθὺν ἀναγκαίαν ἑώρα. ἀλλ᾽ ἐν μὲν τῷ διὰ Μωϋσέως νόμῳ καὶ εὐλογίας ἄξιον τὸ παιδοποιῆσαι ἐνομίζετο. ἐπειδὴ δὲ ἤνθησε μὲν τοῖς οἰκείοις καρποῖς πανταχόσε ὁ κόσμος. καὶ τοσαύτῃ πληθύϊ ἀνθρώπων κατεσπάρη ἡ γῆ ὡς μὴ δὲ χωρεῖν λοιπὸν τῶν ἐπιγεννωμένων τὸ πλῆθος. ἐνέστη δὲ καὶ τὸ ἐπὶ τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν προφητευόμενον. ὅτι οἱ τῇ διδασκαλίᾳ αὐτοῦ φρονίμως πεισθέντες συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα. καὶ τὰς ζιβύνας εἰς δρέπανα. καὶ οὐ μὴ λάβωσιν ἔτι ἔθνος ἐπ᾽ ἔθνος μάχαιραν καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. καλῶς ἡ παρθενία ἀπροφάσως τοῖς διὰ σώματος φθειρομένοις ἐκ σωμάτων τῆς ἀφθαρσίας βλαστάνει. οὐ νομοθετεῖ δὲ ὅμως ὅπερ ἔφην, οὔτε διὰ Μωϋσέως παρθενίαν ὁ κύριος τῆς τῶν ἀρρένων καὶ θηλειῶν σωμάτων φύσεως στοχαζόμενος, οὔτε ἐν εὐαγγελίῳ ταύτην ἐντέλλεται. ἀλλὰ τὸν μὲν Μωϋσέως νόμον ἀνειληφώς. τὸ λεῖπον πρὸς ἀκριβῆ ἀρετὴν ἐκδιδάσκει λέγων. ἐρρέθη οὐ μοιχεύσεις. ἐγὼ δὲ σοι λέγω μὴ δὲ ἐπιθυμήσῃς, καὶ τὰ ἑξῆς. καὶ καθίσας μετὰ ἐπὶ τοῦ ὄρους, ἀπὸ μακαρισμῶν ἀνοίγει τὸ στόμα. ἐπελθὼν δὲ τοῖς Μωϋσέως καὶ ἅπαντα πρὸς τὴν ἀληθῆ ἀρετὴν ἐπιτείνων. καὶ τὰς πρὸς σωτηρίαν συντεινούσας ἀρετὰς ἐκδιδάξας. πληροῖ τὴν διδασκαλίαν καὶ καταβαίνει ἀπὸ τοῦ ὄρους. οὐδαμοῦ ἐν ταῖς ἐντολαῖς παρθενίαν. οὔτ᾽ ἐν παλαιᾷ οὔτε ἐν καινῇ διαθήκῃ νομοθετήσας. ἐβούλετο γὰρ μὴ ἐπίταγμα εἶναι τὸ κατόρθωμα τῆς παρθενίας, ἀλλὰ πλεονέκτημα φιλαρέτου ψυχῆς, ἀπὸ αὐτεξουσίου αὐθεντίας τὸ ὑπὲρ τὴν ἐντολὴν καὶ ὑπὲρ τὴν φύσιν ἀφ᾽ ἑαυτῆς κατορθούσης. ὁ μὲν γὰρ γάμος, τῆς φύσεως ἔνθα καὶ ὁ νόμος διατάττεται τῇ φύσει τὸ πρόσφορον. ἡ δὲ παρθενία ὑπερβᾶσα τὴν φύσιν ἀδούλωτος νόμῳ ἐστὶν, ὑπὲρ τὸν νόμον τῆς ἀφθαρσίας τὸ κατόρθωμα, τῷ ποιητῇ τε καὶ νομοθέτῃ προσφέρουσα. διὰ τοῦτο οὖν ὁ μὲν κύριος ἐρῶ πάλιν. οὐδαμοῦ ἐνομοθέτησε παρθενίαν. εἴασε δὲ ἵνα ὥσπερ ἀπὸ ἀφθαρσίας εἰς φθορὰν παρὰ φύσιν ἀμέτρῳ τῇ ἐξουσίᾳ χρησάμενος ἐβιάσθη ὁ ἄνθρωπος, οὕτως ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν τὴν ἑαυτοῦ φύσιν κρείττονι τῆς φύσεως προαιρέσει βιάσηται. καὶ οὐ νομοθετεῖ μέν φημι οὐδὲ ἐπιτάττει τὸ κατόρθωμα τοῦτο ἐξαίρετόν τι καὶ ὑπὲρ τὴν φύσιν καὶ ὑπὲρ τὸν νόμον φιλαρέτου ψυχῆς εἶναι γινώσκων. ἀκούσας δὲ τοῦ πρὸς αὐτὸν εἰρηκότος οὐ συμφέρει γαμῆσαι, τὸ ὑπερφυὲς ἐνδεικνύμενος τῆς παρθενίας, φησὶν οὐ πάντες χωροῦσιν. ὡς καὶ ὁ θειότατος ἀπόστολος κατ᾽ ἴχνος ἑπόμενος. τὰ μὲν ἀναγκαῖα πρὸς ζωὴν, ἐν ταῖς ἐπιστολαῖς διατάσσεται. καὶ τὴν ἐκκλησίαν ἑκάστῳ τάγματι ὡς ἓν σῶμα. ἀπὸ κεφαλῆς ἕως ἄκρων ὡς αὖ τις εἴποι ὀνύχων κοσμεῖ. περὶ δὲ τῶν παρθένων. οὐδὲν μὲν ἀφ᾽ ἑαυτοῦ ἀποφαίνεται. ἐρωτώμενος δὲ, μιμεῖται τὸν κύριον καὶ φησί. περὶ δὲ τῶν παρθένων, ἐπιταγὴν κυρίου οὐκ ἔχω. οὐδαμοῦ γὰρ εὑρίσκω οὔτε ἐν νόμῳ οὔτ᾽ ἐν εὐαγγελίῳ τοῦτο τὸ μέγιστον κτῆμα τῆς φιλαρέτου ψυχῆς τὸν κύριον ἐπιτάξαντα. ὡς δὲ ὁ κύριος ἐρωτηθείς. τὸ μὲν οὐ πάντες χωροῦσι τοῖς ἐρωτήσασιν ἀπεκρίνατο. οὐκ ἔκρυψε δὲ οὔτε τὸ μέγεθος οὔτε τὸν τρόπον ᾧ ἄν τις κατορθώσειε παρθενίαν. ἀλλ᾽ ἐπηνίξατο τὸ τρίτον εἶδος τῆς εὐνουχίας ὑποδεῖξον οὕτω κἀγώ. εἰ καὶ ἐπιταγὴν κυρίου οὐκ ἔχω, ἀλλὰ γνώμην δίδωμι. ὅπου γὰρ ὑπὲρ τὴν φύσιν μέλλει γίνεσθαι τοῦτο τὸ κατόρθωμα, ἐκεῖ ἐκβάλλεται μὲν ἅπαν δουλοπρεπὲς ἐπίταγμα. ἐλευθέρα δὲ συμβουλῇ ἀποφαινοῦσα πῶς χρὴ τὸν ἐλεύθερον παντὸς ἐπιτάγματος κρείττονα ἀπὸ ἐξουσίας γενόμενον πρὸς ἀφθαρσίαν παραδόξως τὴν φύσιν βιάσασθαι, κυρίως εἰσάγεται. ὡς οὖν ὁ κύριος τοὺς τρόπους τῆς κατὰ τὴν παρθενίαν εὐνουχίας ἐρωτηθεὶς, οὕτως ὁ μαθητὴς τῆς παρθενίας τὴν συμβουλὴν εἰσηγήσατο λέγων. περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω. γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν

ἅπαντα χοῦ καὶ ἡ τοιαύτη φρονίμως νηφέτω· μήποτε ἁπτομένη συνεχῶς κατὰ βραχὺ ἑρψῇ ἐκ σαρκῶν εἰς αὐτὴν λαθραίως ἡδονὴ, καὶ συμβῇ αὐτῇ, ἀπὸ τοῦ ἰοῦ ταύτης δηχθεῖσαν, ὃ μὴ γένοιτο λέγειν· ἐλθούσης δὲ τῆς ἡδονῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη μοι ἡ ἐντολὴ τῆς ἀγάπης ἡ εἰς ζωὴν, αὕτη εἰς θάνατον. εἰ γὰρ καὶ οἱ ἄγγελοι καταπίπτουσιν, οἱ ἰσάγγελοι τὸ πτῶμα πολλῷ μᾶλλον φοβεῖσθαι ὀφείλουσι· μήποτε μάτην ἰσαγγέλους αὐτοὺς τῇ ἀσκήσει τῆς παρθενίας γενέσθαι ἰδόντας τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαὶ, πρὸς αὐτὰς διὰ τῶν σαρκικῶν ἡδονῶν καταβῶσι· καὶ ῥηθῇ αὐτοῖς ἐγὼ εἶπα θεοί ἐστε· καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ἐπὶ τὰ σαρκικὰ ἴδια πάλιν ἀπολισθήσαντες, ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. ὥστε πολλῷ κάλλιον τὴν παρθένον τὸ ἀσφαλὲς ἑαυτῇ καὶ ἀπρόσκοπτον τῶν ὁρώντων πραγματευομένην, πανταχόθεν φρονίμως ἀνεπίμικτον εἶναι· αἱρουμένην τοὺς ἐπὶ τῷ ἀδεξίῳ, μέμψεις βαστάζειν, ἢ πρὸς ἡδονὴν καὶ βλάβην τινῶν ἀποσύρεσθαι· πάντα μὲν τὰ λοιπὰ παρορῶσαν, μόνῳ δὲ τῷ νῷ δι' ὅλου ἐμβλέπουσαν· καὶ τὸ ἐκ τοῦ θήλεός τε καὶ ἄρρενος ἰσάγγελον τῆς ἀφθορίας κάλλος, ἀπὸ τοῦ παρόντος βίου εἰς τὸν τῆς παλιγγενεσίας αἰῶνα ὃ χρᾶται ἐντεῦθεν ἤδη ἐνδεικνῦσαν. συνάγει γὰρ ἡμῶν ἐκ τῆς φθορᾶς εἰς τὴν ἀφθαρσίαν ἡ παρθενία τὸν βίον. οἱ μὲν γὰρ πρῶτοι δὴ ὀλίγον ὅπερ ἔφην ἀπὸ σωμάτων τοῖς ἐπ' ἀλλήλοις γάμοις τὴν γῆν ἀνθρωπότητος ὅλην κατέσπειραν· ἡ δὲ τὰ κατὰ πᾶσαν γῆν διὰ τῆς τῶν γάμων ἡδονῆς ἐσπαρμένα εἰς τὰς τῶν οὐρανῶν ἀποθήκας συνάγει. ταύτην γὰρ τὴν τῶν ἐσπαρμένων εἰς ἀφθαρσίαν συναγωγὴν αἰνιττόμενος ὁ κύριος ἔλεγεν· ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἴδετε, ὅτι ἤδη αἱ χῶραι λευκαί εἰσι πρὸς θερισμόν· ἁπάσης γὰρ τῆς πρὶν ἀοικήτου, οἰκουμένης λοιπὸν γενομένης. πολὺν ἤδη τὸν τῶν ἀνθρώπων στάχυν καὶ βρίθοντα τοῖς ἐκγόνοις εἰς πᾶν κλῖμα ὁ κύριος ἡμῶν εἰδὼς, συναγωγῆς τῶν ἀσταχύων τούτων καιρὸν εἶναι λοιπὸν δοκιμάζει. διόπερ ἡ παρθενία κατὰ φύσιν γνωρίσασα· ὅτι ὥσπερ εἰς τὸν τοῦ παρόντος βίου σπορὰν διὰ τῆς τῶν γάμων ἡδονῆς τὰ σπέρματα τῆς ἀνθρωπότητος κατεβάλετο· οὕτω καὶ εἰς τὸν ἐκεῖ βίον τὰ σπέρματα τοῦ βίου ἡμῶν διὰ τῆς ἀφθορίας ἐντεῦθεν ἤδη καταβάλλεσθαι σπουδάζει. δι' ἑαυτῆς καθαρὰ τὰ τῆς ἀφθαρσίας σπέρματα πρὸς τὸν ἄφθαρτον βίον τῷ γεωργῷ ἀπαρτίζει· ἀναχαιτίζουσα μὲν ἀτονωτέρα τῆς ἀφθαρσίας χειρὶ ἀντιπρόφασις τὴν τῶν θηλειῶν σωμάτων φυσικὴν πρὸς τὰ ἄρρενα συμπλοκὴν, ἀπαθεῖ δὲ δυνάμει τὸ καθ' ἑαυτὴν κάλλος τῷ τῆς παλιγγενεσίας αἰῶνι λαμπρότερον ἑτοιμάζουσα. προέλαβον γοῦν ἀρετῆς κατορθώματι αἱ παρθένοι τὸ μέλλον ἐν τῇ παλιγγενεσίᾳ διὰ τῆς τῶν σωμάτων ἐξαναστάσεως μεταβολῆς, αὐταῖς δυνάμει θεοῦ κατορθοῦσθαι· ἐντεῦθεν ἤδη ὡς οἱ ἄγγελοι οὔτε γαμοῦσιν οὔτε γαμίζονται. ἀλλὰ καὶ ψυχῆς ἀρετῇ καὶ σώματος ἀφθορίᾳ ἰσάγγελοι οὖσαι. καὶ ὅτι σπέρμα τοῦ ἀφθάρτου βίου τὴν παρθενίαν ὁ κύριος ἡμῶν ἐκ γῆς εἰς οὐρανὸν παραδόξως πεμπόμενον ἐβουλήθη γενέσθαι, ἐμμελετῆσαι τὰ σώματα ἡμῶν τὸ τῆς ἀφθορίας κάλλος διὰ τῆς τῶν παρθένων ἀφθορίας ἤδη θελήσας δῆλόν ἐστιν, ἐξ ὧν πάντα τῷ νόμῳ πεισθεὶς μόνον τὸν γάμον ἀπείπατο. ἔδει γὰρ ἐξ ἀφθόρου παρθένου ἄφθορον καὶ κατὰ σάρκα τεχθέντα. μὴ δὲ τῆς κατὰ τὸν γάμον πειραθῆναι φθορᾶς οὐκ ἀπὸ ἀφθόρου φθορᾷ σώματος διὰ τὸν γάμον. ἀλλὰ ἀπὸ ἐφθαρμένων τοῖς γάμοις τὴν κατὰ φύσιν ἀφθορία ἡμῶν ὑπηρετούμενον. καὶ ὡς ὁ ἀδὰμ σπέρμα διὰ τῆς τῶν γάμων ἡδονῆς τοῦ παρόντος βίου ἐγένετο, οὕτως αὐτὸν σπέρμα τοῦ μέλλοντος αἰῶνος διὰ τῆς κατὰ τὴν παρθενίαν ἀφθαρσίας γενέσθαι. ἵν' ὡς ἐκείνῳ διὰ τῶν γάμων σπείραντι ἀεὶ τὸν ἐπὶ γῆς βίον ἠκολουθήσαμεν, οὕτω τῷ νῷ διὰ τῆς παρθενικῆς ἀφθορίας σπείραντι, τὸν ἐκεῖ αἰῶνα φρονίμως ἀκολουθήσωμεν. εἰ δὲ μὴ ἐκ παρέργου καὶ κατὰ τὸν παράδεισον καὶ τὸν ἐκεῖ βίον τὸν ἀδὰμ ἐπεσκέψω, εὕροις ἂν αὐτὸν ἐν μὲν παραδείσῳ μὴ χρείαν ἐσχηκότα γνῶναι ἑαυτοῦ τὴν γυναῖκα· μετὰ δὲ τὴν παράβασιν καὶ τὸν θάνατον καὶ τὴν ἔκπτωσιν τοῦ παραδείσου τότε τὴν γυναῖκα γινώσκοντα. ἵνα τὸ θνητὸν λοιπὸν τῆς φύσεως τῇ διαδοχῇ τῶν παίδων παραμυθήσηται, ὡς ἂν προφάσεως τῷ εἰς παράδεισον ἄγοντι ἡ παρθένος ἀκολουθήσασα, μετ' ἐκείνου ἄφθορος ἐν παραδείσῳ ἤδη τρυφᾷ· φυγοῦσα μὲν τὴν ἔξω παραδείσου κατάραν τὴν λέγουσαν ἐν λύπαις τέξῃ τέκνα καὶ τὰ ἑξῆς. οὐ δυναμένη δὲ συνεῖναι ἐκεῖ πῶς ἔγνω ἀδὰμ τὴν γυναῖκα αὐτοῦ· οὐδὲ γὰρ ἐν παραδείσῳ ὄντος αὐτοῦ, ἀλλ' ἐκβληθέντος τοῦτο ἐρρέθη. οὐχ ὡς παρθενίαν δὲ λοιπὸν τῷ βίῳ νομοθετοῦσι τοῦτο φα-

δρῶν εἰς τὴν ἀγγέλων τάξιν μετέβησαν, οὕτω καὶ αὗται διὰ τῆς ἴσης ἀσκήσεως ἐκ γυναικῶν εἰς τὸ αὐτὸ αὐτοῖς ἀξίωμα μεταβᾶσαι, ὡς ἐν τῷ παρόντι βίῳ, τῇ μὲν ψυχῇ ἴσαι τοῖς ἄρρεσιν οὖσαι, τῇ δὲ τοῦ θήλεος περιβολῇ πρὸς τὴν ἰσότητα χωλαίνουσαι, κατὰ τὸν μέλλοντα αἰῶνα ἴσαι κατὰ πάντα δι' ἀρετῆς τοῖς ἀγγέλοις γεγονόσι καὶ αὐταὶ ἀριθμηθῆναι. εἰ γὰρ ὅτε ἰσάγγελοι ἀποδείκνυνται οὔτε γαμοῦσιν οὔτε γαμίζονται, αἱ κατὰ τὸν παρόντα βίον τοῦτο δι' ἀσκήσεως κατορθώσασαι. ἐντεῦθεν ἤδη ἰσαγγέλους ἑαυτὰς τοῖς πᾶσιν ἀπέδειξαν. τὴν μὲν τοῦ θήλεός τε καὶ ἄρρενος πρὸς τὰς μίξεις φημὶ τῶν σωμάτων ἰδιότητα δι' ἀρετῆς ἐκτέμνουσαι. γυμναῖς δὲ ψυχαῖς κατὰ γῆν τοῖς ἀνθρώποις συζῶσαι. εἰ δὲ οὔτε πρὸς τὸ ἄρρεν οὔτε πρὸς τὸ θῆλυ κατὰ τὴν συναίσθησιν τῆς ἐν ᾧ ἐστι σώματος ἡδονῆς ἡ ψυχὴ πρὸς τὰ πάθη μορφοῦται, οὐκ ἔνι ἄρρεν καὶ θῆλυ. οὐκ ἔνι πάθος καὶ ἡδονή. ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός. νενεκρωμένων μὲν τῶν σωμάτων διὰ τῆς ἀνενεργήτου πρὸς τὰ ἰδιώματα τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος ἡδονῆς, μόνης δὲ τῆς ψυχῆς ἐν ἀφθαρσίᾳ δι' ἀρετῆς συζώσης, ἐν τούτοις καὶ ἁπτέσθω μὲν ἡ τοιαύτη τοῦ θεράποντος τοῦ νυμφίου. ἄγε μὴ ἔτι ζῇ αὐτῆς ἐν σαρκὶ ἡ τοῦ θήλεος ἡδονή. δεξιούσθω δὲ ἀπλάστως τὸν ἀδελφὸν κατὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ τοὺς πόδας νίπτουσα τούτου. ἄλλον ἐστὶ μᾶλλον δεόμενον θεραπεύουσα. ἐν νεκραῖς ταῖς τοῦ σώματος χερσὶ νεκροῦ τοῦ ἐπ' αὐτῆς σώματος ἁπτομένη. ἐπειδὴ γὰρ ἐνέκρωσε τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. καὶ ζῇ οὐκέτι αὐτὴ ζῇ δὲ ἐν αὐτῇ Χριστός. ὃ δὲ νῦν ζῇ ἐν σαρκὶ ἐν πίστει ζῇ, περιπτέσθω τὰ τῆς ἀρετῆς. Χριστοῦ μόνου ζῶντος ἐν αὐτῇ καὶ τὰ ἴδια ἐνεργοῦντος. συνεσταυρωμένον τῇ ἁμαρτίᾳ Χριστῷ καὶ νεκρὸν περιφέρουσα σῶμα. καὶ περιπτέσθω τὰ τῆς ἐντολῆς τοῦ νυμφίου. διὰ πάσης περιέξεως τὸ τῆς ψυχῆς κάλλος λαμπρότερον ἀναφαίνουσα. ὅταν γὰρ ἁπτομένου τοῦ σώματος μὴ συμπαθῇ ἡ ψυχὴ πρὸς τὴν τοῦ ἄρρενος φαντασίαν, ἀλλ' ἀναισθήτως τρόπον τινὰ ἅπτηται τούτου νεκρὰ μένει ἐν τούτῳ ἡ ἡδονή, οὐ δυναμένου τοῦ ἔξωθεν ἁπτομένου αὐτῆς πρὸς τὸ οἰκεῖον πάθος ἐγεῖραι. οὕτω γὰρ καὶ ἐν τοῖς διωγμοῖς ἔκδοτοι παρθένοι διὰ τὴν περὶ τὸν νυμφίον πίστιν ἀσεβέσιν ἀνθρώποις δοθεῖσαι, ἣ καὶ τὰ σώματα ἄφθοροι διεφυλάχθησαν, τῷ δι' ὃν ἔκδοτοι γενέσθαι ὑπέστησαν τὸ τῶν ἀσεβῶν ἀνδρῶν ἐπιχείρημα ἐν ταῖς σαρξὶν αὐτῶν νεκρὸν ἀπελέγξαντος. καὶ ἄφθορα αὐτῶν φημὶ καὶ τὰ σώματα μετὰ τὰ τεράστια δυνάμεως δι' ὅλου φυλάξαντος, ἢ ἐπιχειρηθεῖσαι μὴ συμπαθούσης πρὸς τὴν ἡδονὴν τῆς ψυχῆς νεκρὰ καὶ τὰ σώματα ἐδόκουν ὑβρίζεσθαι. ἄφθορον τὴν ψυχὴν οὐ συμμορφουμένην τῇ τοῦ ὑβρίζοντος ἡδονῇ τῷ νυμφίῳ καὶ πίστει καὶ παρθενίᾳ λαμπρότερον ἐπιδείξασαι. βουληθέντος ἴσως ἐν αὐταῖς ἐπιδείξασθαι τοῦ Χριστοῦ, ὅτι τὴν εἰς αὐτὸν ὁμολογίαν προτιμῶσι πάντως τοῦ περὶ σῶμα σεμνοῦ φαινομένου. οὔτε τὴν ψυχὴν πρὸς τὴν ἄξενασιν φθείρεσθαι, οὔτε τὰ σώματα δι' ὧν οὐ συνεπάθησαν τῇ ἡδονῇ καθόλου φθαρῆναι. ἄγε μήτις τὸν ἀπὸ ἐκ τόπου μανίᾳ παρθένον ἐσφραγισμένην ὑβρίζειν βουλόμενον, φθείρειν διὰ τῆς πρὸς τὴν νεκρὰν μίξεως λέξειεν. αἰκίζεσθαι μὲν γὰρ ἂν δύναιτο ταύτην, φθείρειν δὲ αὐτὴν οὐδέποτε. ἑαυτὸν μὲν γὰρ φθείρει καὶ φθείρεται, ἄφθορος δὲ ἐστὶν ἡ παρθένος ψυχῆς μὴ παρούσης. ἢ ὅμοιαι αἱ ἐν τοῖς διωγμοῖς καὶ κατὰ πᾶσαν περίστασιν ὑπ' ἀνδρῶν ἐνοχλούμεναι, τὴν κατὰ σάρκα νέκρωσιν οὖσαι, κἂν ὁποῖα πάσχουσιν ἄφθοροι διαμένουσιν. ὁ γὰρ περιλαβὼν τῆς ἀσκήσεως χρόνος, αὐτάρκως αὐτὰς πρὸς τὴν πεῖραν ἐγύμνασεν ἵνα ἐν σαρκὶ ζῶσαι, μὴ κατὰ σάρκα στρατεύωνται. διὸ καὶ τοὺς λοιποὺς ἀποφαίνουσαι πρὸς τὴν ὁμοίαν ἀρετήν, φασί. πνεύματι περιπατεῖτε. καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. οὐκοῦν ὅσαι τοιαῦται. δεικνύτωσαν φημὶ καὶ διὰ δεξιώσεως τὸ φιλάδελφον. ἐπεὶ καὶ ἡ Μαρία τοὺς πόδας τοῦ Χριστοῦ φιλοῦσα, οὐχ ὡς ἀνδρὸς πόδας, ἀλλ' ὡς Χριστοῦ ἐφίλει. τοῖς μὲν δάκρυσι τὴν παλαιὰν τῆς γυναικείας ἡδονὴν ἐν αὐτῇ φρονίμως κατασβεννύουσά τε καὶ μαραίνουσα, τῇ δὲ περὶ τὸν Χριστοῦ διαθέσει καὶ τοῖς ἁγίοις φιλήμασι τὸ ἐν τῇ ψυχῇ πνεῦμα φρονίμως ἀνάπτουσα. ἔζη μὲν οὖν πνεύματι καὶ πνεύματι στοιχοῦσα, καὶ περὶ τὸν νυμφίον ἅπαντα ἀπὸ τῶν ἑαυτῆς ἁμαρτιῶν μετὰ συνέσεως περιέπουσα. νεκρὰ δὲ ἦν τῇ ἁμαρτίᾳ τὴν τοῦ θήλεός τε καὶ ἄρρενος συνουσίαν ἐπὶ τῆς ἀφῆς τῶν ποδῶν καὶ τῶν φιλημάτων ἐμφόβως νεκρώσασα. ἁπτέσθω οὖν φημὶ ἡ τοιαύτη ἅπερ που ἐστὶ καὶ τοιαύτη. καὶ τῇ πρὸς τὸν Χριστοῦ ἐντολὴν ἐκπληρούτω. ἁπτομένη δὲ

ἁπανταχοῦ

τῶν ἔξωθεν ἐπὶ τὰ ἔσω ὅλα συνήθως ἐπιστρέψασαν, τῷ μὲν νυμφίῳ ἐν ἀπορρήτοις τὸν νοῦν παντοίως ὡς θεῷ λόγῳ ἀεὶ ὁμιλεῖν. ἐν δὲ τῷ νόμῳ αὐτοῦ μελετᾶν ἡμέρας καὶ νυκτός. καὶ τοῖς μὲν νυμφαγωγοῖς νόμῳ τέ φημι καὶ εὐαγγελίῳ καὶ εἴ τις τούτοις ἐστὶ σύμπνους τὸ κάλλος τοῦ νυμφίου ἐκδιηγουμένοις εὐφραίνεσθαι. τοὺς δὲ τοῦ λόγου ἁγίους τῶν νοημάτων γονοὺς λογικὴν καὶ σοφὴν ἀεὶ καὶ μᾶλλον ἀείσκεσθαι. ἄχρις ἂν τῆς πρὸς τὴν σοφίαν ὅλη δι' ὅλου ἑνώσει, ἐν τούτῳ ᾧ κεκόλληται γινομένη, ἀπὸ μὲν φθαρτοῦ ἄφθαρτος. ἀπὸ δὲ ἀμαθοῦς, ἔμφρων τέ φημι καὶ σοφὴ ὡς πλήρης τοῦ λόγου ᾧ ἐκολλήθη. καὶ συντελοῦντι φανῇ, ἀπὸ ἀνθρώπου θεὸς ἀθάνατος ὡς ἐκεῖνος ᾧ ἥνωται τοῖς πᾶσιν ἀναλλάχθῃ. ὡς γὰρ ὁ νυμφίος αὐτῆς καταλιπὼν θρόνους καὶ κυριότητας κατὰ τὸ θνητὸν ἐκολλήθη, ἵνα ἐν αὐτῇ κατὰ συμπάθειαν γεγονὼς εἰς ἀπάθειαν αὐτὴν τῆς ἑαυτοῦ μεταβάλῃ, οὕτω καὶ αὐτὴ τῷ δι' αὐτὴν ἀπεκδυσαμένῳ τὰς ἀρχὰς καὶ ἐξουσίας. καὶ ἑαυτὸν ἀπὸ μορφῆς θεοῦ εἰς μορφὴν δούλου διὰ τὸ ὑπὲρ τὴν νύμφην φίλτρον κενώσαντι κατὰ τὸ ἀθάνατον κεκολλῆσθαι ὀφείλει. ἵνα καὶ εἰς τὸν ὅμοιον τρόπον αὐτῷ πρὸς τὸν πατέρα ἀνιόντι συνανέλθῃ. ἀντὶ τούτου γέγραπται· καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὅπερ ἑρμηνεύων ὁ εἰς ἀφθαρσίαν ἐπικαλῶν προσερμηνευόμενος χριστῷ τὴν νύμφην φησί· τὸ
» μυστήριον τοῦτο μέγα ἐστί· λέγω δὲ εἰς χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. οὐ γὰρ κατελήλυθε ὁ χριστός, ἵνα προσκολληθεὶς τῇ νύμφῃ εἰς γῆν ἀπομένῃ, ἀλλ' ἵνα παραλαβὼν καὶ μεταβαλὼν αὐτὴν, ἐκ γῆς εἰς οὐρανοὺς ἀναγάγῃ. καὶ ἡ χριστῷ νυμφευθεῖσα, οὐχὶ Ἰωάννην ἔχει αὐτῇ πρὸς τὰ νυμφικὰ λουτρὰ μόνον ὑπηρετούμενον, ἀλλὰ καὶ ἀγγέλους ἀνιούσῃ εἰς τὴν τοῦ πατρὸς ἑστίαν τὸν ἐπιθαλάμιον ᾄδοντας. ἄφθορος οὖν οὐ τῇ πρὸς τὸν ἄφθαρτον λόγον ἑνώσει ἡ παρθένος μένει μόνον ἀλλὰ καὶ μετὰ τὴν ἕνωσιν γίνεται. οὐ γὰρ ὡς ὁ τῶν σωμάτων νυμφίος τὴν ἄφθορον παρθένον τῇ νυμφεύσει φθείρων γυναῖκα ποιεῖ, οὕτω καὶ ὁ τῶν ψυχῶν ἡμῶν νυμφίος τὴν ἄφθορον ψυχὴν τῇ πρὸς αὐτὸν κοινωνίᾳ φθείρων νυμφεύεται. ἀλλ' ἐφθαρμένην διὰ τῶν σαρκικῶν ἡδονῶν παρὰ διαβόλου λαβών. καὶ γυναῖκα αὐτοῦ διὰ τῆς φθορᾶς κακῶς γινομένην, τῇ πρὸς αὐτὸν κοινωνίᾳ ἄφθορον ἐκ γυναικὸς παρθένον ποιεῖ. ταύτην γὰρ τὴν μυστικὴν νυμφαγωγίαν ἡμᾶς καὶ διὰ τοῦ προφήτου
» παιδεύων, πρὸς τὴν ἑαυτοῦ νύμφην φησίν. οὐχ ὡς οἶκον με ἐκάλεσας καὶ ἀρχηγὸν τῆς
» παρθενίας σου; ὥσπερ ἔλεγε. καὶ ἀρχηγὸν τῆς ἀφθορίας σου. ὡς γὰρ ἀρχηγός τε καὶ ἄρχων τῆς κατὰ τὴν γαμετὴν φθορᾶς ὁ ἀνὴρ κύριος αὐτῆς διὰ τούτου γινόμενος. οὕτως ἀρχηγός τε καὶ ἄρχων τῆς ἑκάστου ἡμῶν ἀφθορίας ἐστὶν ὁ κύριος. διὰ τῆς ἀφθορίας τε κύριος ἡμῶν καὶ τὴν ἀρχὴν ἀναδυόμενος ὃν καὶ οἶκον δεῖ τῆς ἀφθορίας ἡμῶν ἐπιγινώσκειν ἐν ἑαυτῷ μένοντας καὶ οἰκοῦντας. διότι ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. ἵνα ὡς οἶκον αὐτὸν ἀρετῆς ἁπάσης καὶ ἀφθαρσίας διὰ βίου οἰκοῦντες, μὴ ἐκπίπτωμεν τῆς ἐν αὐτῷ κατὰ τὴν ἀφθαρσίαν ἑστίας. ὡς γὰρ ἐνοικεῖ καὶ ἐμπεριπατεῖ τοῖς ἀξίοις οὕτω πάλιν οἱ ἄξιοι ἐν τούτῳ οἰκοῦσι. διὸ καὶ ὅταν λάβῃ ἡμᾶς ἐκ τῶν κατὰ τὸν κόσμον
» πραγμάτων εἰσελθόντας εἰς αὐτὸν καὶ ἐν αὐτῷ κατοικοῦντας τῆς ἀνεκπτώτου ἡμῶν ὡς προνοούμενος φησί. μείνατε ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. οὕτω δὲ καὶ τοῖς λοιποῖς ἅπασι μέγα τι καὶ ὑπέρλαμπρον πρᾶγμα ἡ παρθενία νοούμενον, τῆς παλιγγενεσίας ἔτι καὶ τοῦ ἀφθάρτου βίου ἐντεῦθεν ἤδη αἰνίγματι καθαρὸν ἀποδείκνυται. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσι οὔτε γαμίζονται ἀλλ' εἰσὶν ὡς ἄγγελοι καὶ γενήσονται υἱοὶ θεοῦ. οἱ τὴν παρθενίαν ἀσκοῦντες ἄγγελοί εἰσιν, ἐν ἀφθάρτοις σαρξὶ τὸν τῶν ἀνθρώπων βίον περιπολοῦντες. καὶ ἄγγελοι οὐκ ἄσημοί τινες, ἀλλὰ καὶ σφόδρα ἐπιφανέστατοι. ὅτι ἐκείνων ἄνευ σαρκῶν κατὰ τὸν οὐρανὸν τὴν ἀφθαρσίαν, καὶ τόπῳ καὶ ἀβιάστῳ φύσει παρὰ τῷ παμβασιλεῖ τῶν ὅλων θεῷ φυλαττόντων. οὗτοι ἐπὶ γῆς σαρκὸς ἡδοναῖς ἐνοχλούμενοι καὶ τῇ πείρᾳ τοῦ διαβόλου ἐκκείμενοι, τὴν ἀφθαρσίαν ἰσάγγελον δι' ἀρετῆς τῷ ποιητῇ παραδοξότερον διεφύλαξαν. ἔνθα καὶ μάλιστα τὸ τῶν παρθένων αὐτῆς κάλλος θαυμάσιον. ὅτι θῆλυ περικείμεναι σῶμα, τὴν μὲν ἐκ τούτου ἐγγινομένην μορφὴν τῇ ψυχῇ διὰ τῆς ἀσκήσεως ἀπεκρούσαντο. ἴσαι δὲ τοῖς ἄρρεσι καθάπερ οὖν ἴσαι καὶ τὴν ψυχὴν ἐποιήθησαν, διὰ τῆς ἀρετῆς ἀνεφάνησαν. ὥσπερ ἐκεῖνοι οἱ δι' ἀσκήσεως ἐξ ἀν-

τάς τε μορφὰς καὶ τὰ σχήματα μετὰ τοῦ ἐμφαινομένου ἑκάστῳ τόνου συγχυθέντος ἠφα-
νίσθησαν· οὕτω φθονεροὶ, ἕως ἂν ἐν τῷ σκότῳ τοῦ διαβόλου ὡς ἐν νυκτὶ πρὸς τὰ τοῦ φθό-
νου ἔργα βουλεύονται, παρείας τέως δοκοῦσι τὰς ἐννοίας καὶ τὰ σχήματα μηδὲ τῶν μορ-
φῶν ὡς παρὰ τῷ φθόνῳ ἐπλάσθησαν ἀλλήλοις διαλλύναι· ἐπειδὰν δὲ δίκην ἡλίου ὁ
σπουδαῖος ἀνὴρ πρὸς τὰ τῆς ἀρετῆς ἔργα ἑωθινὸς ἀνατείλῃ, οἱ μὲν λοιποὶ ἅπαντες ὅ-
σοι τοῦ φιλοκάλου τε καὶ φιλοθέου βίου τὸν τρόπον θαυμάζουσι, τοῦ θείου ἔρωτος εἰς γνῶ-
σιν παρ' αὐτοῦ λαμπρῶς ἐμφορούμενοι, τὰ τῆς ἀρετῆς σπέρματα τρέφουσιν· οἱ δὲ ἀ-
χειρωτον μὲν αὐτὸν διὰ τὸ θεοφιλὲς καθάπερ ἥλιον, λαμπρυνόμενον δὲ τοῖς τῆς ἀρετῆς
ἔργοις ἔτι μᾶλλον ὁρῶντες, ὥσπερ κηρινοὶ ὅπερ ἔφην τάς τε τῶν σωμάτων μορφὰς ὁμοῦ
καὶ τὰς ψυχὰς τοῦ φθόνου γεμούσας ἀθρόως ἐτάκησαν· γαληνιαίαν οὖν δεῖ τὴν τῆς
παρθένου ψυχήν· καὶ καθάπερ ἔκπνοος καθαρωτάτης πηγῆς τοῦ νοῦ ταῖς θείαις ἐννοίαις
λιμνάζουσαν ἀκύμαντον εἶναι, μήθ' ὑπὸ τῶν ἔξωθεν δι' ἀκοῆς βαλλομένων λόγων κυ-
μαινομένην, μήθ' ὑπὸ τῶν ἐμπιπτόντων διὰ τῆς ὄψεως φαντασιῶν τὴν γαληνιαίαν κατά-
στασιν φθείρουσαν· ἵν' ὡς ἐν καθαρωτάτῳ κατόπτρῳ, καὶ ἑαυτῆς τὴν ἰδέαν καὶ τοῦ νυμ-
φίου τὸ κάλλος ὁρῶσα, τοῦ πρὸς αὐτὸν ἔρωτος γνησιώτερον ἐμφορῆται· διόπερ οὐ δεῖ οὐ-
δ' ἑτέραν ὄψιν τῷ τοῦ ὕδατος τούτου κατόπτρῳ ἐγκύπτειν, ἵνα μὴ τὴν προσόπουσαν εἰκα-
σείουσαν ἀφανίζῃ· οὐδ' ὑπὸ ὀργῆς ἢ λύπης ἢ τινῶν ἑτέρων παθῶν ὅλως κυμαίνεσθαι·
ἵνα μὴ ἄλλοτε ἀλλοίας μορφὰς τῷ νῷ ἐν τῷ σάλῳ δεικνύναι, ἀλλ' ἀεὶ ὡσαύτως καὶ ἐν τῇ
κατὰ θεὸν χαρᾷ κεχυμένην· ἀκύμαντον μὲν παθῶν διόλου φυλάττεσθαι· μηδενὸς δὲ ἑ-
τέρου ἰδέαν ἐν ἑαυτῇ ἢ τοῦ νυμφίου δεικνύναι· μόνου μὲν ἐκείνου ἀεὶ κατοπτριζομένου ἐν
ἑαυτῇ τὸ ἴδιον κάλλος, μόνης δὲ τῆς ψυχῆς τὴν τούτου μορφὴν ἐν τῷ κατ' αὐτὴν κατό-
πτρῳ ἐχούσης ἐκλάμπουσαν, καὶ τῷ τῆς μορφῆς αὐτοῦ κάλλει κοσμεῖσθαι θελούσης· διό-
περ ἀσφαλιζόμενος αὐτῆς τὴν ψυχὴν ὁ σοφώτατος λόγος, φησίν· ἐὰν πνεῦμα τοῦ ἐξου-
σιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς· ἵνα μὴ ἀνελθούσης τῆς κατ' ἐξουσίαν ἐν-
νοίας, ἡ φαντασία τόπον ὥσπερ ἐν κατόπτρῳ εὑροῦσα, καὶ μηδενὸς παρόντος ἐμφήνῃ
τῆς ἁμαρτίας τὰ εἴδωλα· ἀλλὰ πᾶς μὲν τόπος φησὶν ἐν τῇ ψυχῇ τῆς παρθένου, τῆς ὄ-
ψεως Χριστοῦ πεπληρώσθω· μηδεὶς δὲ τὸ σύνολον τόπος ἐν αὐτῇ σχολαζέτω, ἔνθα ἀναβᾶσα
περίεργος ἔννοια εὕροι ὅπου τὰ ἑαυτῆς κατοπτρίζηται· μηδενὸς οὖν συνελέντι φάναι
μὴ παρόντος μὴ ἀπόντος ἀνθρώπου κάτοπτρον ἔστω ἡ τῆς παρθένου ψυχὴ, ἢ τοῦ ἁγίου
αὐτῆς νυμφίου· μὴ δὲ μία δὲ ἄλλη μορφὴ ἐν ταύτῃ ὁράσθω ἢ μόνη ἐκείνη, μηδενὶ δὲ ἑτέ-
ρῳ τὶ τῆς ψυχῆς ἐσοπτρον αὐτῇ φιλοκάλως σμηχέτω, ἢ ὥστε ἐκεῖνον ἐλλάμποντα τού-
τῳ τοῦ οἰκείου κάλλους τὴν ἰδέαν μακαρίαν αὐτὴν ἀπεργάζεσθαι· ἐὰν γὰρ τῶν θνητῶν
τις τῷ κατόπτρῳ τούτῳ ἐγκύπτῃ, ἀνάγκη περὶ τὴν θέαν τῆς τούτου μορφῆς ἀσχολουμέ-
νην τὸν νοῦν, τὴν πρότεραν τοῦ νυμφίου μορφὴν ἐπικεκρυμμένην ὑπεξελθοῦσαν λοιπὸν
μηδαμοῦ θεωρεῖν· ὡς δὲ ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν, οὕτως ὁ κολλώμενος
τῷ κυρίῳ ἓν πνεῦμα ἐστί· τούτῳ τὰ μὲν σώματος πάθη κεκαθαρμένος, τὴν δὲ ψυχὴν εἰς
τὸ αὐτὸ τῆς μορφῆς σφραγισάμενος κάλλος· καὶ οὐχὶ πρὸς τὴν ὄντως παρθενίαν τὴν
παρθένον ἀνάγοντος, διὰ τοῦ κατὰ τὸν νυμφίον ὑποδείγματος γαμικήν τινα ἔννοιαν αὐ-
τῇ ἐμποιοῦμεν· ἀλλ' ἀπὸ τῆς κατὰ τὸν γάμον ἐνώσεως, τὴν πρὸς τὸν θεὸν λόγον τῆς λο-
γικῆς ψυχῆς ἕνωσιν σοφῶς ὑποδείκνυμεν· ὅτι ὡς τὰ σώματα τῇ γαμικῇ κοινωνίᾳ τῶν
αὐτῶν ἡδονῶν καὶ παθῶν καὶ φθορᾶς κοινωνεῖ, ἐν τῇ ἡδονῇ καὶ τοῖς πάθεσι, καὶ τῇ τῆς
μίξεως φθορᾷ, διὰ τῆς πρὸς τὴν πρᾶξιν συμπνοίας γινόμενα· οὕτω καὶ ἡ λογικὴ ψυχὴ
τῇ πρὸς τὸν θεὸν λόγον νυμφικῇ κοινωνίᾳ, ἀρετῆς καὶ ἀφθαρσίας καὶ ἀπαθείας τῆς ἀλη-
θοῦς ἀπολαύσειεν ἐν πνεύματι· ἵνα τῇ ἀπαθείᾳ, καὶ τῇ ἀφθαρσίᾳ διὰ τῆς ἐκ τοῦ θεοῦ
λόγου πρὸς τὸν ἁγιασμὸν αὐτοῦ ἀνυποκρίτου συμπνοίας καθαρὰ γένηται· διὸ τὴν Χριστῷ
διὰ τῆς κατὰ τὴν παρθενίαν ὑποσχέσεως ἁρμοσθεῖσαν, ὡς ἂν σοφίᾳ καὶ λόγῳ ἑαυτὴν
διὰ βίου νυμφεύουσαν, σοφὴν προσήκει καὶ ἔμφρονα εἶναι· πάσης μὲν ἀλογίας τε καὶ
ἀφροσύνης τὸ αἶσχος διὰ συνεχοῦς τῆς ἐν τοῖς θείοις μελέτης ἐκβάλλουσαν· τῷ δὲ τῆς
σοφίας κάλλει φαίνεσθαι τὸν νοῦν κοσμουμένη· ἐπειδὴ ἡ τινι ἄλλῳ μακαρίῳ ἀνδ' δοντι
εἶναι, τῇ τοῦ Χριστοῦ μάλιστα νύμφῃ ἁρμόττει, τὰς διὰ τῶν αἰσθήσεων τῆς ψυχῆς ἐνεργείας ἀπὸ

τάτε κατὰ σῶμα παρεῖναι καλὰ, μὴ προηγουμένων τῶν ἐν ψυχῇ ἀγαθῶν. ἀλλὰ δεῖ
ψυχήν τε αὐτὴν πρὸς ἑαυτὴν συμφωνήσασαν, καὶ σύμφωνον τὸ σῶμα πρὸς ἑαυτὴν
λαβοῦσαν. οὕτω τέλειον ἐξ ἀμφοτέρων ψυχῆς τε καὶ σώματος πρὸς ἕνα δρόμον ἀ-
πειθῶς κινουμένων, ἐπιδεῖξαι τὸν μακάριον βίον. οὐκοῦν ἡ παρθένος καθάπερ ἔλαιον
ὕδατι τὴν ψυχὴν τῷ σώματι καθαρὰν ἀεὶ ἐφιζάνουσαν ἔχουσα. καὶ τῷ φωτὶ ταύ-
της τὸ ὑποκείμενον σῶμα ἡνιοχοῦσα. ὥσπερ τῆς ἀπὸ σώματος ἰλύος τῶν παθῶν,
οὐδὲν ἐξ ἡδονῆς θολερὸν τῷ τῆς ψυχῆς κάλλει ἐπέμιξε διὰ νηστειῶν καὶ ἀσκήσεως. τούς τε
ἀναδιδομένους ἐξ αὐτῆς βρασμοὺς κατασβέσασα, καὶ τὰς γνάθους αὐτῆς τὸ πλεῖστον τοῖς
τῆς ἐγκρατείας κατορθώμασιν ὑφαγνίσασα. οὕτως οὐδὲν τῶν ἀπὸ ψυχῆς ἐκ ζή-
λου καὶ ὑποκρίσεως παθῶν, οὐδὲν ἐξ ἀφροσύνης τεταραγμένον τῷ σώματι μετα-
δώσει. παντὸς θυμοῦ καὶ ὀργῆς καὶ ἐπιθυμίας πάσης ἀτόπου, τὸν νοῦν διαδῦτε, καὶ
φωτεινὸν τῷ βίῳ δεικνῦσα. εἰ δὲ ἀνεπίμικτον μὲν παθῶν τὸ ἐκ ψυχῆς καὶ σώματος ἀν-
θρώπινον ὄργανον ἔχειν ὀφείλει. ἑκάτερον δὲ ἐν τῇ ἰδίᾳ φύσει ἠρεμοῦν τὴν ἰδίαν χρείαν
δεικνύον. προσήκει αὐτὴν ὥσπερ τοὺς εἰς σῶμα ῥέοντας διὰ γαστρὸς θολερούς ἀπο-
κρούεται ὀχετούς. οὕτω καὶ τοὺς εἰς ψυχὴν ῥέοντας ἀποστρέφειν. οὕτω γὰρ ἂν μένοι αὐ-
τῇ ἑκάτερον ἐν τῇ φυσικῇ καταστάσει ἀθόλωτον. ὡς ἴσως γε ἂν τὰ πάθη ἐνοχλῇ τῇ ψυ-
χῇ, τοῦ παρθενικοῦ κάλλους οὐ δυναμένου ὃν δὴ τρόπον ἀχράντου ὀφθῆναι. μᾶλλον
δὲ μηδὲ τοῦ μηδὲν ἐκ τῆς κατὰ τὸ σῶμα ἀσκήσεως ὠφελεῖσθαι. καὶ πολλοῦ τοῦ αἴσχους ἐκ
τῆς τῶν παθῶν κακίας ἐν τῇ ψυχῇ ὁρωμένου. ἐπεὶ ἐὰν τὸ ἀπὸ σώματος ἀναδιδόμε-
νον εἰς ψυχὴν ἰλυῶδες, διὰ τῆς ἀσκήσεως. ὥσπερ εἰς ὑποστάθμην τὴν ἀνάγκην τῆς φύ-
σεως κατασβέσασα, τοῖς ἐν τῇ ψυχῇ πάθεσι συνταράσσηται, οὐδὲν ὤνησεν ἡ τοῦ σώμα-
τος καθαρότης, τοῦ νυμφίου μὴ δυναμένου διὰ τὸν τάραχον τῶν παθῶν τῇ ἐν τοιᾷδε ψυ-
χῇ ἀναπαύεσθαι. μᾶλλον δὲ καὶ πολλὰ ἔβλαψεν ἑαυτὴν τοιαύτη. τὸ μὲν ἀληθῶς ἀ-
ρέσκον τῷ νυμφίῳ, δι᾽ ἀπαιδευσίαν μὴ ἀνιχνεύουσα. διὰ μοχθηρίαν δὲ λογισμοῦ, καὶ
τῶν ὑπὲρ σωματικῶν κατορθωμάτων μισθὸν ἑαυτὴν ζημιώσασα. εἰ γὰρ διὰ τὸ τῆς ψυ-
χῆς κάλλος τὴν τοῦ σώματος ἀφθορίαν ἀσκοῦμεν, ποῦ ἐστιν ἡ δοκοῦσα ἀφθορία τοῦ σώ-
ματος, τῆς ψυχῆς μυρίοις πάθεσι φθειρομένης. ἂν μὲν γὰρ τὸ σῶμα ὄργανον ἁμαρ-
τίας λαβὼν ὁ διάβολος, διὰ τούτου τῇ ψυχῇ ἐπιτίθεται. ἂν δὲ τῆς σαρκὸς ἐπιβῆναι
δι᾽ ἐγκρατείας τε καὶ σκληραγωγίας οὐκ ἐπιτρέπῃ, τούτων αὐτῇ πολλάκις χωρὶς σώμα-
τος τὴν ψυχὴν γυμνὴν εἰληφὼς, οἷς ἐν αὐτῇ ἐργάζεται πάθεσι, τὴν ἑαυτοῦ ἐπιθυμίαν
ἀνύει. τοιαῦται γάρ εἰσιν ὅσαι νηστείαις καὶ χαμευνίαις καὶ τῇ λοιπῇ ὑπερτόνῳ κα-
τὰ σῶμα ἀσκήσει τῆς σαρκὸς τοῦτον ἀποδιώξασαι. τοῖς, ὀργῆς καὶ θυμοῦ καὶ ὑπο-
κρίσεως ἢ ζήλου πάθεσιν αὐτὸν ἐν τῇ ψυχῇ ὑποδέχουσιν. ὅσῳ δὲ ἔλαττον ψυχῆς σῶμα
τῇ ἀξίᾳ, τοσοῦτον ἔλαττον οἶμαι τὸ διὰ σώματος ἁμάρτημα τοῦ διὰ γυμνῆς τῆς ψυχῆς
καταφαίνεται. ὅτι ἐκεῖ μὲν φυσική τροφή τε καὶ ὄρεξις, πρὸς τὴν γαστριμαργίαν ἢ πορ-
νείαν τὸ σῶμα διὰ τῶν συντρόφων ἡδονῶν γαργαλίζεται. ἐνταῦθα δὲ οὐδὲ τινὸς σωμα-
τικῆς ἡδονῆς μοχθηρίᾳ προαιρέσεως, τὰ πάθη παρὰ φύσιν τῇ ψυχῇ ἐπεισάγει. καὶ εἰ
πάθος ψυχῆς ἡ τῆς παρθένου φθορὰ πάθος ψυχῆς καὶ ὁ θυμὸς καὶ ἡ ἔρις, καὶ τὰ ἄλλα
πάντα ὅσα εἴρηκεν ὁ ἀπόστολος. ἔτι δὲ μᾶλλον ὁ φθόνος ὁμοιότατον γοῦν ὅτε ὁ ἐρῶν
καὶ ὁ φθονῶν τὴν ὀδύνην ὑφίστανται. ὡς γὰρ τοῦ ἐρῶντος, τὴν ψυχὴν καὶ τὸ σῶμα, ἀ-
ποτυγχάνοντος τῆς ἐπιθυμίας, τήκει ὁ ἔρως. οὕτω τοῦ φθονοῦντος καὶ ψυχὴν καὶ σῶ-
μα ὁ φθόνος συντήκει. οὐδὲν γὰρ μᾶλλον οἱ ἐρῶντες ἀποτυγχάνοντες τῆς ἐπιθυ-
μίας ὑπὸ τοῦ ἔρωτος, ἢ οἱ φθονοῦντες ἀδικοῦντες τῆς ἰδίας ἐπιθυμίας, ὑπὸ τοῦ
φθόνου καὶ ψυχὴν καὶ σῶμα συντήκονται. τοιοῦτόν τι πάθος αὐτίκα πάσχοντες,
οἷον ἂν ἐκεῖνοι ἀνδριάντες ἐν νυκτὶ παρὰ τῶν κηροπλάστων μορφωθέντες, ἡλίου ἀνατεί-
λαντος, ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος κατατηκόμενοι πάθοιεν. ἐκεῖνοί τε γὰρ ἕως μὲν ἂν ἡ
νὺξ αὐτοὺς καὶ τὸ σκότος κατέχῃ, πεπηγυῖαν ἐν τῇ σκιᾷ ὑπὸ τῆς νυκτερινῆς αὔρας τὴν μορ-
φὴν ὡς ἐπλάσθησαν, ἐν τῷ ἐμφαινομένῳ τοῖς πλάσμασι τόνῳ καὶ στερρᾷ τέως δεικνύου-
σιν. ἐπιλάμψαντος δὲ τοῦ ἡλίου καὶ τὸν οἰκεῖον δρόμον ἀνύοντος. τὰ μὲν λοιπὰ ἅπαν-
τα τρέφεται ὑπὸ τῆς ἡλιακῆς δυνάμεως, καὶ φωτὸς ἀπολαύει. οἱ δὲ συντακέντες,

» ὅπως ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος, καὶ παραστήσῃ αὐτὴν ἑαυτῷ
» ἔνδοξον ταύτην μὴ ἔχουσαν σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. ἀλλ' ἵνα ᾖ ἁγία καὶ
» ἄμωμος καὶ σώματι καὶ πνεύματι. καὶ διὰ τοῦτο μεμνημένη ἡ παρθένος ὀφείλει πῶς ἀρέσει
τῷ κυρίῳ. ἵνα ᾖ ἁγία καὶ τῷ σώματι καὶ τῷ πνεύματι. οὐχὶ τὰ δὲ μὲν φυλάττεσθαι δεῖ·
τῶν δὲ καταπολμᾶν ἀδιαφόρως ὀφείλει. ἀλλὰ πάσας ἁπαξαπλῶς τὰς σπιλούσας
αὐτὴν ἢ ῥυτίδας ἐμποιούσας ἀφορμὰς πόῤῥωθεν ἀναστέλλειν, ἵνα ᾖ ἁγία καὶ τῷ σώματι
μηδὲν ἀπὸ τούτου ἐπὶ τὴν ψυχὴν μόλυσμα φέρουσα. καὶ τῷ πνεύματι μηδενὶ νοήματι
τοῦτο θολοῦσα. οὐ γὰρ ἀπὸ σώματος μόνον ἐπὶ ψυχὴν διαβαίνει τὰ πάθη, ἀλλὰ καὶ ἀπὸ
ψυχῆς ἀρχόμενα, καὶ μὴ δυναμένων φημὶ ἴσως ὅτι ὑπουργεῖν τῶν σωμάτων κατὰ φαν-
τασίαν, ὡς διὰ σωμάτων ἐνεργούμενα ἐν τῇ διανοίᾳ τελεσιουργεῖται. ὡς γὰρ οἱ τὸ ὕδωρ
μετὰ τοῦ ἐλαίου κινοῦντες, τὴν ἑκατέρου χάριν τῇ ἐπινοίᾳ βιαζόμενοι, ἀφανίζουσι τοῦ
τε ἐλαίου τὸ φωτοειδὲς τῇ ἰλυώδει τοῦ ὕδατος συνταράσσοντες. καὶ τοῦ ὕδατος αὖθις
τὴν φύσιν τῇ συμπλοκῇ τοῦ ἐλαίου θολοῦντες, οὕτως οἱ τὴν ψυχὴν τῷ σώματι διὰ τῶν
παθῶν συγκινοῦντες, ἑκατέρῳ τὸ πρὸς τὸν βίον χρειῶδες κακῶς ἀφανίζουσι. τήν τε ψυ-
χὴν φωτοειδῆ, καὶ λαμπρὰν οὖσαν τῇ ἰλύϊ τῶν σαρκικῶν δι' ἡδονῆς παθῶν ὅλην θο-
λοῦντες. καὶ τοῦ σώματος τὸ καθαρὸν καὶ διαυγὲς τῷ λόγῳ τούτῳ ἀναφύρουσι ἀ-
χρεῖον πρὸς τὸν βίον δεικνύοντες. ἀλλ' ὥσπερ κινούμενα μετ' ἀλλήλων ἐκεῖνα τὴν φυ-
σικὴν χάριν ἀπόλλυσιν, ἀναχωρήσαντος δὲ αὐτῶν τοῦ ταράχου ἠρεμίας μεταλαχόντα
διΐστανται μὲν ἀπ' ἀλλήλων. εἰς δὲ τὴν οἰκείαν ἑκάτερον φύσιν πρὸς ἑαυτὸ συναγόμε-
νον ἀνατρέχει. τὸ μὲν ἔλαιον καθαρὸν τῷ ὕδατι ἐφιζάνον. τὸ δὲ ὕδωρ δι' ὅλου ὄχημα τού-
του γινόμενον, οὕτω καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, κινούμενα μὲν τοῖς ἐξ ἀλλήλων πάθεσι με-
τ' ἀλλήλων, τὴν οἰκείαν φύσιν ἑκάτερον παρὰ θατέρου θολούμενον διαφθείρει. ἠρεμίας
δὲ ἀπολαύσαντα, εἰς τὴν οἰκείαν φύσιν χωρισθέντα διΐστανται. ἡ μὲν ψυχὴ καθάπερ
ἡνίοχος τὸ φωτοειδὲς ἑαυτῆς κάλλος ἄνωθεν ἐπιλάμπον τῷ σώματι φαίνουσα. τὸ δὲ σῶ-
μα ὡς ἂν βαρὺ ὑφιζάνον μὲν τῇ ταύτης ἀξίᾳ, ὄχημα δὲ αὐτῇ πρὸς τὸ ἐνταῦθα χρεῖον
γινόμενον. οὐκοῦν τοιοῦτόν τι συμβαῖνον ἐν τῇ ἑαυτῆς φύσει ἡ παρθένος ἰδοῦσα. οὔτε
τοῖς ἐκ σαρκὸς πάθεσι τὸ τῆς ψυχῆς φωτεινὸν συνταράξει, οὔτε τοῖς ἀπὸ ψυχῆς ἔχουσι
τὴν ἀρχὴν συγχεῖν τὸ ἑαυτῆς κάλλος ἀνέξεται. ἀλλ' ἑκάτερον ἐν τῇ ἰδίᾳ χώρᾳ τε καὶ
τάξει καὶ χρείᾳ καθ' ἡσυχίαν φυλάττουσα. εἰρήνην μὲν τοῖς μέρεσι μετὰ σοφίας βρα-
βεύσει. ἐν ἠρεμίᾳ δὲ μακρὰν καὶ ψυχὴν καὶ σῶμα κατὰ φύσιν ἀσκήσασα, τὸ ἐξ ἀμφοῖν, ἐν-
αρμόνιον εἶδος καθαρὸν ἐπιδείξει, τὸ μὲν φωτοειδὲς τῆς ψυχῆς ἀκύμαντόν τε καὶ ἀθόλω-
τον δι' ὅλου φυλάττουσα. τὸ δὲ τοῦ σώματος εἶδος, παντὸς κινήματος τοῦ ἐξ ἡδονῶν βορβο-
ρώδους καθαρὸν ἀσκητικῶς συντηροῦσα. σῶμα μὲν γὰρ γαστριμαργίαν, καὶ μάλιστα καὶ τὰς
πρὸς συνουσίαν ἡδονὰς βρασσόμενον, κατὰ τοῦ κάλλους τῆς ψυχῆς ἀναδίδωσι, ψυχὴ δὲ
ζῆλόν τε καὶ ὀργήν. ὑποκρίσιν τε καὶ ἔχθραν, ἐπ' ἀφροσύνης κλονουμένη φέρει κατὰ τοῦ
σώματος. καὶ ἴσως ὅτι φόβῳ τῶν ἐκ σαρκὸς παθῶν νηστείαις καὶ σκληραγωγίαις τὰ σώ-
ματα πρὸς τὰ ἴδια πάθη νεκρώσαντες, τὰ ψυχῆς ἴδια ἐν νεκρῷ σώματι περιφέρο-
μεν, ὡς αὐτόθεν τὸ κολάζον πρὸς τελειότητα φαίνεσθαι. ὅτι τὸ ἕτερον χωρὶς τοῦ ἑτέ-
ρου κατορθοῦσιν, ἀτελὲς πρὸς τὴν ἀληθῆ ἀρετὴν τὸ ἔργον ἐλέγχει. οὔτε γὰρ τὰ σώ-
ματος πάθη διὰ νηστειῶν ἐκτεμόντες. τὴν δὲ ψυχὴν τοῖς ἰδίοις ἐκ ζήλου καὶ ὑποκρί-
σεως καὶ τῶν ἄλλων παθῶν κινήμασι τεθολωμένην καταλιπόντες, χρήσιμον πρὸς ἀρε-
τὴν τὴν τοῦ σώματος ἄσκησιν δείκνυμεν. οὔτε τὴν ψυχὴν τῶν ἰδίων παθημάτων κα-
θάραντες, τὸ δὲ σῶμα ἄφετον πρὸς τὰς σαρκὸς ἡδονάς, καὶ τὴν λοιπὴν θρύψιν ἀφέν-
τες, κἂν μὴ πορνεία ἢ πρὸς πορνείαν ἀκολασία, τέλειον τὸν πρὸς ἀρετὴν βίον ἡμῶν δεῖξαι
οὐ δυνάμεθα. ἀλλὰ δεῖ τὸν μέλλοντα παντὸς μολυσμοῦ καθαρὸν τὸν τῆς ἀρετῆς δρό-
μον δεικνύναι, τοῖς τε κατὰ ψυχὴν καλοῖς, προστιθέναι καὶ τὰ τοῦ σώματος ἀγαθά. καὶ
τοῖς κατὰ τὸ σῶμα ἀσκητικοῖς πονήμασι, τὰ τῆς ψυχῆς κατορθώματα συμφωνοῦν-
τα δεικνύναι. οὔτε γὰρ ἀνύπουλος καὶ ἀληθὴς ὁ βίος ἀναδείκνυται. ἁρμονίαν τῶν τῆς
ψυχῆς τε καὶ σώματος μελῶν καὶ συμφωνίαν πρὸς ἄλληλα μὴ ἐχόντων. ἐπειδὴ καὶ
ἀμήχανον οἶμαι τά τε κατὰ ψυχὴν κατορθοῦσθαι καλά, τῶν κατὰ σῶμα ἐμποδιζόντων.

τῇ σῇ καταλύει τὸ ἔργον τῆς ὄντως ἀγάπης. μὴ δὲ τῇ ψευδωνύμῳ ἀγάπῃ ἀπόλλυε
τὸν ἀδελφὸν, πρὸς κακοήθη ὑπόνοιαν σκανδαλίζων δι᾽ ὃν ὁ χριστὸς ἀπέθανεν. ἐάν τις γὰρ ἴδῃ
τὸν ἔχοντα γνῶσιν τοῦ ὄντως καλοῦ ἐν εἰδωλείῳ κατακείμενον, καὶ ἀντὶ τῆς ἀληθοῦς καὶ
καθαρᾶς ἀφθαρσίας τὸ εἴδωλον ταύτης ἐν σώματι κολακεύοντα. οὐχὶ ἡ συνείδησις αὐ-
τοῦ ἀσθενοῦς οὔσης μολυνεῖται, καὶ οἰκοδομηθήσεται εἰς τὸ καταθαρσεῖν τῆς ἁμαρτίας;
οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦ-
» σαν, εἰς χριστὸν ἁμαρτάνετε. διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω
» κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. μὴ, οὐκ ἔχομεν ἐξουσίαν φα-
» γεῖν καὶ πιεῖν; μὴ, οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν; ἀλλ᾽ οὐκ ἐχρησάμην
» τῇ ἐξουσίᾳ ταύτῃ φησί. καλὸν μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου τὸ τῆς παρ-
θενίας, οὐδεμία κενώσει προσπάθεια. φυλὴ οὖν λαοὶ καθ᾽ ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐ-
τῶν καθ᾽ ἑαυτὰς, καὶ οὐχὶ ἀγαπᾶν διὰ τούτων τοὺς ἀδελφοὺς ἀποτρέπομεν. ἀλλὰ πάν-
τας μὲν ὡς ὁμογαστρίους ἀγαπᾶν συγχωροῦμεν. καὶ τοὺς ὁμογαστρίους δὲ, ἀγαπᾶν ἀσφα-
λῶς συμβουλεύομεν. δέος γὰρ μὴ ἐκ τῆς συνηθείας καὶ τοῦ θάρσους ἡμῶν ἀφορμὴν λα-
βοῦσα ἡ ἁμαρτία, κατεργάσηται ἐν ἡμῖν πᾶσαν ἐπιθυμίαν. ἰσχυρὰ γάρ ἐστιν ἡ ἁμαρ-
τία, καὶ δι᾽ ἁφῆς χειρῶν ἀδελφοῦ, καὶ διὰ φιλόφρονος τέως φιλήματος, τὸ φρόνημα τῆς
σαρκὸς πρὸς τὰ ἴδια λαθραίως ἐγείρει. καὶ τοὺς τῆς ἐπιθυμίας ὀφθαλμοὺς ὥσπερ
τοῦ ἀδὰμ μετὰ τὴν γεῦσιν τοῦ ἥδοντος, πλέον εἰς τὸ κακὸν διανοίξαι. οὐκοῦν κἂν ὁμογά-
στριος ἀδελφὴ, μὴ συνεχῶς ἁφῆς καὶ φιλημάτων τοῦ ἀδελφοῦ ἐμφορείσθω. μὴ ἀπὸ τῆς
συνεχείας τῷ χρόνῳ φημὶ πάθος φυσικὸν ἀνακύψῃ, καὶ μάλιστα ὅταν καὶ τὸ τοῦ σώματος
κάλλος τὰς τοῦ ἔρωτος λαμπάδας ἐν τοῖς ὀφθαλμοῖς τούτων ἐπὶ πλέον ἐξάπτῃ. τῆς
γὰρ ἐκ τούτου φλογὸς καὶ ὁ ἔξωθεν λόγος ἀφέλκων, τὰ τῶν καλῶν φησὶ φιλήματα φυ-
λάττεσθαι δεῖ, ὡς τὰ τῶν ἰοβόλων δήγματα. διαχεῖται γάρ φησιν ὁ ἰὸς τῆς ἡδονῆς διὰ
τοῦ φιλήματος καθόλου τοῦ σώματος. διὸ ἀσπάζεσθε φησὶν ἀλλήλους ἐν ἁγίῳ φιλήμα-
τι, ἵνα πνοὴ τοῦ φιλήματος τῆς σαρκὸς ἐν τῇ τοῦ ἁγίου πνεύματος καθαρᾷ εὐωδίᾳ, ταῦ-
τα ἀλλήλοις ἁρμόζοντες. οὐ μεμπτέοι δὲ οἶμαι καὶ εἰς τοῦτο τῆς ἀκριβείας διὰ τὸ ἄ-
μωμον τῆς παρθένου ἐλθόντες. εἰ μὲν γὰρ μὴ φθάσασα ἤδη ἡ ἁμαρτία, τὰ ἑαυτῆς πα-
λαίσματα ἐν τοῖς προσώποις τούτοις κατὰ τὸν βίον ἡμῶν ἐκαινούργησε. καὶ δὴ μέμ-
ψεως ἂν ἡμᾶν ἴσως παράπαν ἄξιοι, ὡς ἄχρι τούτου τὸν λόγον γυμνάσαντες. εἰ δὲ πᾶν
εἶδος ἁμαρτίας κατά τε μητέρων καὶ θυγατέρων διὰ τῶν σαρκὸς ἡδονῶν καινοτομῆσαι,
διϊσχυσεν. ὥσπερ οὖν καὶ τὸν ἀμνὸν ἐπὶ τῇ φθορᾷ τῆς ἀδελφῆς ἐστηλίτευσεν, οὐκ ἄξιοι
μέμψεως οἶμαι οἱ εἰς τὸ ἄχραντον τῆς παρθένου καὶ ταύτην τὴν προφυλακὴν εἰσηγού-
μενοι. ὁλκὸς γάρ φημι ἡ ἐντεθεῖσα τοῦ φίλτρου τοῖς τῶν ἀρρένων σώμασι πρὸς τὰ θή-
λεα δύναμις. πάντων ἀλογήσασα κρίσεων, αὐτόματα ὡς ἂν εἴποι τις ταῦτα καὶ ἀν-
τιτείνοντα οὐδένα τῶν λογισμῶν ἀλλήλοις συμπλέξαι. ὅτι θήλεια μὲν θηλειῶν ἁπτό-
μενα σωμάτων. καὶ ἄρρενα πάλιν ἀρρένων, ἀκίνητον ἔχει τὴν φυσικὴν πρὸς ἄλληλα
σχέσιν. πλὴν εἰ μή τις κατὰ φαντασίαν τοῦ πρὸς ὃν κατὰ φύσιν τὴν ἐρωτικὴν κίνησιν
ἔλαβε τὴν μνήμην ἐρεθιζόμενος, καὶ πρὸς τὸ ἀλλότριον τῇ σχέσει ὁμόφρου τοῦ πρὸς τὸ οἰκεῖον
παρανομήσειε. θῆλυ δὲ σῶμα τοῦ ἄρρενος ἐφαπτόμενον, καὶ ἀνάπαλιν τοῦ θήλεος αὖ-
θις τὸ ἄρρεν κἂν ἐν ἑαυτοῖς ψυχαὶ λογισμοῖς ταῦτα ἀφορμήσωσι πρὸς τὴν συμπλοκὴν,
ὅμως ὑπ᾽ ἀλλήλων κατὰ τὸ λεληθὸς ἐρεθίζεται, καὶ ὥσπερ στυππεῖον μὲν στυππείου ἁψά-
μενον, καὶ πῦρ αὖθις λαμπρὸν πυρὸς καθαροῦ οὐκ ἀπνίζεται. στυππεῖον δὲ πυρὸς ὀ-
σφρανθὲν ταχέως ἀνάπτεται, καὶ οὐ χρεία πολλῆς ἐργωδίας οὔτε τινὸς τοῦ ἐμπνέοντος ἔ-
ξωθεν ἵνα τὸ ἐκ τοῦ στυππείου πῦρ ἀναλάμψῃ. ἀλλὰ μόνον τε συνεπλάκη καὶ εὐθὺς ἔχει
φαινομένης τὰς φλόγας. οὕτω τὸ θῆλυ σῶμα τοῦ ἄρρενος ἐφαπτόμενον οὐ χρείαν ἔχει πολ-
λῆς ἐργωδίας οὔτε τοῦ πρὸς τὴν μίξιν ἐμπνέοντος ἔρωτος, ἀλλὰ τὴν φυσικὴν ἔχοντα
πρὸς ἄλληλα σχέσιν. ἅμα τε ἥψατο, καὶ εὐθέως ἔχει ἐντυφόμενον κατὰ τὸ λεληθὸς τῆς
» ἡδονῆς τὸν σπινθῆρα. διὰ τοῦτο φησὶν, ἀποδύσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κα-
» τακαύσει; ἢ περιπατήσει τις ἐπ᾽ ἀνθράκων πυρὸς, τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως
» οὐκ ἀθῳωθήσεται πᾶς ὁ ἁπτόμενος γυναικός. εἰ δὲ ἑαυτὸν παρέδωκεν ὑπὲρ τῆς νύμφης

βιώσει πλάσματα ἀτόπως ἀσκῶν· εἰ δὲ ὁ τὴν παρὰ θνητοῦ ἀνδρὸς ἀπολελυμένην λαμ-
βάνων μοιχεύειν ἀσεβεῖ· πολλῷ ἀσεβέστερον διὰ βίου μοιχεύει, ὁ τὴν τοῦ ἀθανάτου ἀν-
δρὸς νύμφην μηδέποτε ἀπολελυμένην παραφθείρειν τολμῶν· καὶ ἡ ἑαυτὴν γὰρ ἀπο-
λύει τῇ μεταθέσει πρὸς τὰ σαρκὸς πάθη αὐτομολοῦσα, ἀλλὰ σὺ μὴ ἅπτου ταύτης·
ζῇ γὰρ αὐτῆς ὁ ἀνὴρ, καὶ οὐ βούλεται αὐτὴν ἀπολῦσαι· συγχώρησον αὐτῇ ἰδεῖν ἑαυτὴν
ὅποι ἐγένετο· πῆξαι τὸ πάθος, ἐκνῆψαι τὸν ἔρωτα τῶν σαρκῶν· ἐπισκέψασθαι χρό-
νῳ ἡλίκον τολμῶν ἐγχειρεῖ, καὶ ἀνακάμψει πάντως πρὸς τὸν νυμφίον· εἰ γὰρ χριστὸς φῶς
καὶ ἀνάστασις, καὶ ἀφθαρσία καὶ ζωὴ καὶ τὰ λοιπὰ ἐκ πατρὸς ὑμῖν ἀγαθὰ, ἡ χριστοῦ ἑαυτὴν
ἀπολύσασα· τί ἄλλο, ἢ ἀπὸ φωτὸς εἰς σκότος· καὶ ἀπὸ ζωῆς εἰς θάνατον· καὶ ἀπὸ
ἀφθαρσίας εἰς φθοράν· ἀπό τε ἀναστάσεως εἰς τὸ τοῦ ἅδου καὶ θανάτου μέγιστον πτῶ-
μα, ἑαυτὴν ἡ ἀθλία ἀπέλυσεν, ἃ ἐπισκεψαμένη πάντως ἡλίκον κακῶν ἐστι βυθὸς,
φρίξει μὲν συγχύσεως καὶ κατηφείας γέμοντα τῆς ἁμαρτίας τὸν ζόφον, τὸ δὲ γλυκὺ τοῦ
φωτὸς ἐν ᾧ ἦν πλέον ποθήσει· καὶ τὸ μὲν φοβερὸν τοῦ θανάτου καὶ αἱ δεξιαὶ τῆς φθορᾶς κα-
πνοδοῦσα, σφοδρότερον ἐπὶ τὴν ζωὴν καὶ τὴν ἀθανασίαν ἐκ τούτων ἀποπηδήσει· εἰς δὲ
τὸ τοῦ ἅδου χαλεπώτατον πτῶμα ἐγκύψασα, τῆς παρὰ τοῦ κυρίου δεδωρημένης αὐτῇ ἀνα-
στάσεως θερμότερον πάντως ἀνθέξεται· οὐ γὰρ δὴ οὕτως ἐστὶ μανίας ὑπόπλεως, ὡς μὴ
δὲ τῷ χρόνῳ τοῦ πάθους λωφήσαντος, τοῦ θνητοῦ τὸν ἀθάνατον προτιμήσαι νυμφίον· τί
οὖν τῆς ἀθλίας ἁρπάζεις τὸν ὄλισθον, τὸ τῆς ἐπισκέψεως τοῦ ἁμαρτήματος τὸν καιρὸν προκα-
τάζεις· τὸ τῆς βουλῆς τὸν χρόνον ἐκκλείεις· ἵνα τὴν μὴ ἀπολελυμένην παρὰ τοῦ κυρίου
γαμήσας, σαυτὸν μὴ ἄνδρα ἀλλὰ μοιχὸν κοίτης δεσπότου ἐπιβὰς ἐπιβαίνεις ἀποδείξῃς·
ἀνέπαφος οὖν ἔστω πάσης χειρὸς, ἐξοχώτατον ἀνάθημα θεοῦ οὖσα ἡ παρθένος, ἄχραν-
τον δὲ αὐτὴν καὶ σώματι καὶ ἐννοίᾳ φυλάττουσα, ἀσφαλῶς φημὶ καὶ τοῖς ἐν χριστῷ ἀδελ-
» φοῖς ὁμιλείτω· πρὸς τοῦτο γὰρ αὐτῇ ἀκριβῶν καὶ ὁ γνήσιος τοῦ θεοῦ θεράπων φησί· βούλο-
» μαι δὲ πάντας ὑμᾶς φρονίμους μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν· ἡρμο-
» σάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ χριστῷ· φοβοῦμαι δὲ μήπως
» ὡς ὁ ὄφις εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ
» τῆς ἁπλότητος τῆς εἰς τὸν χριστόν· ὥστε πρὸ ἁπάντων δεῖ τὰ νοήματα τῆς παρθένου ἄ-
φθορα δι᾽ ὅλου φυλάττειν· τῆς γὰρ ψυχῆς ἀφθόρου μενούσης ἄφθορον καὶ τὸ σῶμα φυ-
λάττεται· τῆς δὲ ψυχῆς ταῖς μοχθηραῖς ἐννοίαις φθαρείσης, κἂν ἄφθορον δοκῇ μένειν τὸ
σῶμα, ἀλλ᾽ οὐ καθαρὰ ἡ ἀφθορία τούτου δὲ εἴσηκται τοῖς τῶν νοημάτων μολύσμασι
φθειρομένου· ἀγαπᾶν οὖν δεῖ, ἀλλὰ μετὰ λόγου καὶ κρίσεως ἔμφρονος, τὸ ποσὸν τῆς ἀ-
γάπης μετρούσης· ἡ ἀγάπη γὰρ οὐκ ἀσχημονεῖ· καὶ λέλυσαι ἀπὸ γυναικὸς, μὴ ζήτει
γυναῖκα· ἄτοπον δὲ σπουδάζοντα λελύσθαι τῷ ὀνόματι τῆς ἀγάπης, τοῖς δεσμοῖς τῶν
ἡδονῶν διὰ τῆς συνηθείας ἑαυτὸν περιβάλλειν· οὐκέτι λοιπὸν, οὔτε σώματι, οὔτε ψυχῇ
λελύσθαι κατὰ τὴν ἐπαγγελίαν δυνάμενον· οὔτε γὰρ ἡ ψυχὴ λέλυται τοῦ τοιούτου πε-
ρὶ τὰ πάθη τῆς ῥοφαίδδεις συνηθείας ἀσχολουμένη· οὔτε τὸ σῶμα τὰ δεσμὰ τῶν γαμι-
κῶν φροντίδων δεξάμενον· εἰ γὰρ καὶ μὴ γάμος ἐστὶ τὸ ὄνομα, ἀλλ᾽ ἡ φροντὶς τῶν γεγαμη-
κότων αὐτοῖς ἐμφυεῖσα· δούλοις τῶν σωματικῶν φροντίδων οἷς ἑαυτοὺς φέροντες ἀ-
λόγως προσέδησαν, ἐπὶ ψόγοις ποιεῖ· ἄτοπον δὲ παρθενικὸν βίον διώκοντας, ταῖς τῶν
γάμων τιμήμασιν ἀναιτίως ἐμπλέκεσθαι· καὶ προσποιουμένας τῇ κηδεμονίᾳ τοῦ νυμ-
φίου ἀρνεῖσθαι· ἀνθρώποις κηδεμόνας ἐπὶ ψόγῳ ἑαυτῶν ἐπαγείρεσθαι· εἰ δὲ ἐρᾷς κα-
τὰ τὸν ὄντως νοούμενον ἐραστὴν τὰ ἄλλα πάντα παρορᾶν πάντως ὀφείλεις· ἡ δὲ ὡς ἀνε-
χομένη καὶ γυμνὴ ἐπὶ ἐδάφοις ἐν ὁποιῳδήποτε σχήματι πενίας τοῦ ἐρωμένου τυγχάνειν,
ἢ διὰ τὸ ἀνέτως ἐθέλειν αὐτῷ συμβιοῦν καὶ τὰς πρὸς τοῦτο χρείας παρὰ ἀνθρώπων
διώκειν, τοῦ θείου ἔρωτος ἀσχημόνως ἐκπίπτειν· ἡ γὰρ σπαταλῶσα παρθένος, ζῶσα τέθνη-
κε· μὴ βλασφημείσθω οὖν ἡμῶν τὸ ἀγαθὸν τῆς παρθενίας ὄνομα, ἀγάπης τῆς ἀχραν-
του ὀνόματι σαρκικοῖς πάθεσιν ὑβριζόμενον· οὐ γάρ ἐστιν ἡ ἀγάπη διάθεσις ὕπουλος,
καὶ μόρφωσις ἐννοίας ἡδονῇ δουλουμένη καὶ ζωώδης προσπάθεια· ἀλλὰ σαρκικῶν ἰ-
» διωμάτων ἀθόλωτος ἔννοια, καὶ εἰρήνη παθῶν, καὶ ἁγιασμὸς ἐν πνεύματι ἁγίῳ· εἰ δὲ
» διὰ ἀγάπην ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς, μὴ τῇ ἀγάπῃ

ἀρνοῦνται. τὴν γὰρ παράβασιν τῆς παρθενίας αἰσχρὰν καὶ ἐπονείδιστον διὰ τὴν δου-
λείαν τῆς ἡδονῆς παρὰ πᾶσιν γνωρίζουσαι, τῇ ἀρνήσει τῷ μείζονι κακῷ οἴονται τὴν ἁμαρ-
τίαν παραμυθεῖσθαι. ἀνθρώποις μὲν οὖν πρὸς οὓς εἰς ἀπολογίαν τῆς παραβάσεως
τὴν ἄρνησιν προΐσχονται αἱ θαυμάσιαι αἰδούμεναι. τὸν δὲ θεὸν πρὸς ὃν γεγόνασιν αὐταῖς
αἱ δεξιαὶ διὰ τὸ εἰς βάθος κακῶν ἐμπεσεῖν λοιπὸν οὐ φοβούμεναι. οὐκ εἰδυῖαι ἄρα, ὅτι δι-
πλοῦν καὶ παρ' ἀνθρώποις καὶ παρὰ τῷ θεῷ τὸ ἔγκλημα καθ' ἑαυτῶν ἀτόπως κατασκευά-
ζουσι. τῶν μὲν ἐκ τῆς περιβεβοημένης παρθενίας εἰ καὶ ἀρνοῦνται τὸ ὑποχεῖσθαι ταύ-
την, τὸ μανιῶδες καὶ ἰταμὸν πρὸς τὰ πᾶσιν ὁμολογούμενα ἀντιφερομένων. ἔτι δὲ καὶ
μισούντων. τοῦ δὲ, πρὸς οἷς παρέβησαν εἰς τὰς συνθήκας τῆς παρθενίας, τὴν ἀντὶ μετα-
νοίας ἄρνησιν, πικρότερον εἰς τὸ παρ' αὐτῷ δικαστήριον κρίνοντος. ἵνα οὖν μὴ ἀγάπης
ὀνόματι εἰς τοῦτο τῆς ἁμαρτίας ἐμπέσῃ ἡ παρθένος βάραθρον, ἀπροσπαθῆ τὴν ἀγάπην
καὶ καθαρὰν μαθέτω. οὐ γὰρ χώραν αὕτη ἕξει περιαληθινοσάσῃ πρὸς ἡδονὴν τὸ προσω-
πεῖον τοῦ γάμου. οὐδὲ σοφίσασθαι ὀνόματι γάμου τὸν ζῶντα ἑαυτῆς ἄνδρα μὴ ἀπολε-
λυμένη δυνήσεται, ὑπὲρ ἐκείνου τὴν μοιχικὴν πρᾶξιν μετὰ τοσαύτας τὰς παρ' αὐτοῦ τι-
μὰς ἀσεβῶς περιτμήσασα. οὐκ ἀλλοτρίως γὰρ αὕτη καὶ ἐπὶ τῶν τοιούτων τὸ ἀποστο-
» λικὸν ἀναφθέγξεται, ὅτι ὅταν καταστρηνιάσωσι τοῦ Χριστοῦ γαμεῖν θέλουσιν. ἔχουσαι κρί-
» μα ὅτι τὴν πίστιν ἠθέτησαν. οὐ γάμον ἀλλὰ μοιχείαν διὰ βίου κακῶς μεθοδεύουσαι.
μηδεὶς οὖν οἰκέτης εἰς τοσοῦτον ἀσεβείας οἰστρηλατήσῃ, ὡς τῆς δεσποτικῆς ἅπτεσθαι νύμ-
φης. μηδεὶς οὕτω ἔστω μανιώδης ἱερόσυλος, ὡς τῆς ἀχράντου ἱερείας χερσὶν ἀκολά-
στοις ἐφάπτεσθαι. μηδεὶς τοσοῦτον ἀπονοίας ἡκέτω, ὡς τηλικαύτην δίκην τοῖς ἱε-
ροσύλοις ἐπηρτημένην ὁρᾶν. μὴ τῶν ἀψύχων ἐκ χρυσοῦ καὶ ἀργύρου ὕλης πεποιη-
μένων σκευῶν, ἀλλ' αὐτῶν τῶν ἐμψύχων καὶ ζώντων ἀναθημάτων ληστρικῇ χειρὶ βε-
βήλως ἐπιλαμβάνεσθαι. μᾶλλον δὲ μηδεὶς οὕτως ἔστω ἀνόσιος, ὡς μὴ τὰ ἐν τῷ ναῷ
ἄψυχα σκεύη, ἀλλ' αὐτὸν τὸν ναὸν τοῦ θεοῦ τουτέστι τῆς παρθένου τὸ σῶμα. καὶ αὐτὴν τὴν
τιμιωτάτην ἁπάντων ἐν τούτῳ ψυχὴν τῆς παρθένου ἱερώτατον ἐν τῷ ναῷ τοῦ θεοῦ ἀνάθη-
μα, τοῖς ἀκολασίας πυρσοῖς βαρβαρικῶς καταφλέξαι. ἀλλ' εἰ ἑκοῦσαν ἐπιδοκονίαν
τὴν ἡ παρθένος, παραβᾶσα μὲν τὴν πρὸς τὸν νυμφίον συνθήκην. πάντα δὲ καὶ ναὸν, καὶ
ἀνάθημα, καὶ φιλίαν τὴν πρὸς αὐτὸν καὶ βασιλείας κοινωνίαν δι' ἡδονὴν πάθους συγ-
χέασά τε ὁμοῦ καὶ πατήσασα. μὴ χρήσῃς τῇ τοιαύτῃ σεαυτὸν εἰς κοινωνίαν τῆς ἁμαρ-
τίας. ἐπεὶ οὐδὲ ὁ καλὸς Ἰωσὴφ τῇ δεσποίνῃ ἐπιμανείσῃ αὐτῷ, ἑαυτὸν πρὸς τὴν τῆς ἀ-
κολασίας ἀπόλαυσιν χρῆσαι ἠθέλησεν. ἀλλ' εἰ καὶ μὴ σὺ ἔλθῃς ἐπὶ τὴν κοινωνίαν τοῦ
γάμου ἄλλῳ ἑαυτὴν ἐπιδίδωσιν. ἐκεῖνος οὖν τὰς ἐπὶ τῇ ἁμαρτίᾳ εὐθύνας ἐχέτω.
σὺ δὲ σεαυτὸν καθαρὸν φύλαττε ἐπὶ τῇ κοινωνίᾳ, τῆς εἰς τὸν θεὸν παρανομίας εὐθύνης.
» δεῖ φησὶν τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι. οὐαὶ δὲ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παρα-
» δίδοται. συνέφερεν αὐτῷ εἰ μὴ ἐγεννήθη. οὐ κατὰ τὸν ὅμοιον τρόπον ἔκρινον ἡ πρότε-
ρον τὴν παρθενίαν ὑποσχομένη. μετατιθεμένη δὲ αὐτὴν ἀνθρώπῳ τινὶ εἰς ἡδονῆς ἀπό-
λαυσιν ζεῦξαι. κἂν λέγῃ δεῖ με γαμηθῆναι ὡς τὸν υἱὸν τοῦ ἀνθρώπου δεῖ παραδοθῆ-
ναι, ἀλλὰ οὐαὶ δι' οὗ ἐκείνη τὰς πρὸς τὸν νυμφίον παραβᾶσα συνθήκας τὴν ἑαυτῆς ἐπι-
θυμίαν πληροῖ. συνέφερε γὰρ ἐκείνῳ τῷ ἀνθρώπῳ τολμῶ εἰπεῖν τὸ αὐτὸ, ἢ ἵνα κοινω-
νὸς τῆς εἰς τὸν θεὸν παρανομίας τῆς ἀκολάστου ἐκείνης δικαζόμενος ἀριθμῇ. οὐκ ἀκούεις δὲ
ὅτι καὶ ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται; εἰ καὶ ἀπολέλυται γὰρ φησὶ δι' αἰτίαν, ἀλ-
λὰ ζῇ αὐτῆς ὁ ἀνήρ. τί οὖν ἐνοχλεῖς τῇ ἀπολελυμένῃ. τί οὐκ ἐᾷς δίδωσι καιρὸν κἀκεί-
νῃ ἑαυτὴν διορθώσασθαι ἐφ' οἷς ἀπελύθη, καὶ τὸν ἀπολύσαντα σπλαγχνισθέντα ἐπὶ
τῇ διορθώσει, εἰς ἑαυτὸν αὖθις τὸ ἑαυτοῦ ἀνακτήσασθαι μέλος, ἀλλὰ προαρπάζεις τὸν και-
ρὸν τῆς διορθώσεως, ζῶντος τοῦ ἀνδρὸς τὴν ἀπολελυμένην γαμῶν. ἔασον φησὶν ἢ πρὸς
τὸν ζῶντα ἐπανελθεῖν ἅμα καὶ ἐπαναχθῆναι καλλίονα γενομένην γυναῖκα, ἢ ἀεὶ μένειν
χήραν, μήτε γυναῖκα ὑπάρχουσαν, τῆς ἐπὶ τῇ ἀφέσει αἰτίας ἣν παρέσχε τῷ ἀνδρὶ δί-
κην διδόναι. σὺ δὲ πρὶν καὶ συνεῖναι τὸ οἰκεῖον ἐν τῇ ἀπολύσει ἁμάρτημα ἁρπάζεις
τὴν πρὸς αὐτὴν συζυγίαν, τολμηροτέραν πρὸς τὰ ἁμαρτήματα ἀτόπως ἐργάζῃ, ζῶν-
τος μὲν τοῦ ἀνδρὸς ἀεὶ τῆς ἀλλοτρίας μοιχεύειν. ἄκολον δὲ ὅπερ ἔφην πρὸς τὰ ἐν τῇ συμ

ἀλλὰ καὶ τοῦ κατὰ σάρκα νενομισμένου παρὰ ἀνθρώποις γάμου παντάπασιν ἀπηλλάχθησαν·
παρθενίαν γὰρ τῷ Χριστῷ ἐπαγγειλάμεναι. εἰ δὲ ὑπὸ τῶν σαρκὸς ἡδονῶν κανθεῖσαι, τὴν τῆς
πορνείας ἁμαρτίαν γάμου ὀνόματι περιστέλλειν ἐθέλουσιν. οὐκ ἀγνοοῦσαι οἶμαι κἂν
ἄγνοιαν δὴ προσποιῶνται. ὅτι ἡ παραβᾶσα τὰς πρὸς τὸν νυμφίον ἑαυτῆς δεξιάς. οὔτε
τούτου ἐστὶ νύμφη ὃν παρανόμως κατέλιπεν. οὔτ' ἐκείνου ὃ διὰ πάθος ἐξάξον ἑαυτήν,
κατὰ νόμους γυνὴ δύναται ἀρεσθῆναι. τότε γὰρ νόμιμος καὶ κατὰ τὰς θείας γραφὰς
συνίσταται γάμος, ὅταν μὴ πάθος ἡδονῆς προκαταλάβῃ τοῦ νόμου τὴν χρείαν. λο-
γισμὸς τοῦτε εἰς βοήθειαν ἀναγκαίου καὶ τῆς τῶν παίδων διαδοχῆς τοῦ γάμου προσθεὶς τὸν
σκοπόν, τίμιον ὄντως μνηστεύει τὸν γάμον, ὅτε τῶν ἀναγκαίων τοῦ γάμου προειληφότων τῷ
λογισμῷ, καὶ κρηπῖδος ἁγίας ἐν Χριστῷ κατὰ νόμους τεθείσης, ἐπακολούθημα τοῦ κατὰ τὸν
γάμον ἀναγκαίου, ἡ ἐκ τῆς μίξεως ἡδονή, μία σὰρξ τὴν δύο ποιοῦσα ἀρέσηται. ἐπει-
δὴ γὰρ ὁ ἐν ψυχῇ λογισμὸς τὰς ψυχὰς προλαβὼν κατὰ τὸ φαινόμενον ἀναγκαῖον συνῆ-
ψεν, εἰκότως προκινουμέναις ταύταις καὶ ἡ τῶν σαρκῶν τῶν ἐν αἷς εἰσιν σύννομος ἕνωσις
ἠκολούθησεν. ὅταν δὲ τῶν ψυχῶν ἄλλο τὴν ἀρχὴν προθεμένων, αἱ σάρκες διὰ ἡδονὴν
τὰ οἰκεῖα πραγματευσάμεναι, τὰς ἐν αὐταῖς ψυχὰς τῷ κατ' αὐτὰς πάθει δουλαγωγού-
σας ἐνώσωσιν, ἀκολουθήματα τῶν σαρκὸς κακῶν γινόμεναι αἱ ψυχαί, παράνομον τὴν μί-
ξιν ἐργάζονται. οὐ γὰρ ὁ ἐν ψυχῇ λόγος καὶ νόμος οὐχ ἁγίας τὸ ἔργον, τοῦτο παντάπασιν
» παράνομον ὑπὸ τῆς συνηθείας ἐστηλίτευται. διὰ τοῦτο φησί, γυνὴ δέδεται νόμῳ, ἐφ' ὅ-
» σον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς. ἐὰν δὲ ἀποθάνῃ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι. οὐχ
» ἁπλῶς, ἀλλὰ μόνον ἐν Κυρίῳ φησίν. ὅτι καὶ ἡ τῷ θανάτῳ τοῦ ἀνδρὸς ἐλευθέρα γινομένη
πρὸς γάμον. οὐχ ὅτι ἠλευθερώθη ἁπλῶς, ἀλλ' ἐν Κυρίῳ ὀφείλει γῆμαι. τί δέ ἐστι τὸ ἐν Κυρί-
ῳ τὸν γάμον συστῆναι τὸ μὴ προϋποσυρῆναι ὑπὸ τῶν σαρκὸς ἡδονῶν πρὸς τὴν μίξιν. ἀλλὰ
κρίσει τοῦ λυσιτελοῦντος πρὸς τὸν βίον ἑλέσθαι τὸν γάμον. διὸ καὶ τὸ ἀναγκαῖον τοῦ γάμου
ὁ ποιητὴς ἐν τῇ φύσει διετάξατο. εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, μὴ ἀπατάτω ἑαυ-
τὴν φημὶ ἡ ἀπὸ παρθενίας εἰς σαρκὸς πάθη κατενεχθεῖσα, ὅτι γάμος αὐτῇ τὸ ἁμάρτη-
μα λογισθήσεται. πρῶτον μέν, ὅτι κακὴν κρηπῖδα τῆς συμπλοκῆς τὴν ἡδονὴν καὶ τὴν
τῆς παραβάσεως ἁμαρτίαν ἑαυτῇ κατεβάλλετο. ἔπειθ' ὅτι οὐκ οὖσα ἐλευθέρα. οὐ γὰρ
ἀπέθανεν αὐτῆς ὁ ἀνήρ, ἵνα ᾧ βούλεται γαμηθῇ, ζῶντος τοῦ ἀθανάτου ἀνδρὸς μοι-
χαλὶς χρηματίσει. θνητὸν διὰ πάθη σαρκὸς τῷ τοῦ Χριστοῦ παστῷ ἐπεισάγουσα. ὅτι μὲν
γὰρ περιείληφε τὰ τοῦ γάμου νόμιμα ὁ νυμφίος, τὸ σχῆμα τῆς παρθενίας, αἱ δεξιαί, ἡ ἐ-
π' ἐκείνῳ πρόοδος ἐπὶ πάντων αὐτῶν μαρτυρεῖ, ὅτι αὐτῷ ἀνδρὶ συμμνηστευομένη τὰς ἐπὶ τῷ
προειληφότι ἀνδρὶ προόδους ἐπόμπευον. εἰ γὰρ οὖν πρότερον τῶν πατρῴων θαλάμων
προῄεσαν ἡ παρθένος πρὶν ἢ ἀνδρὶ νομίμῳ συζυγεῖσα ὑπὸ τούτῳ αὐθέντῃ τε καὶ προστά-
τῃ τοῦ βίου ἐπιγραψαμένη. λοιπὸν τῷ ὀνόματι τοῦ λαχόντος ἀνδρὸς τοῦ πατρῴου οἴ-
κου προελθεῖν, καὶ ἡ παρθένος ἄρα προῆλθε τῶν πατρῴων θαλάμων ὡς ἂν ἐπιγραψα-
μένη σύννομον ἑαυτῇ τὸν νυμφίον, καὶ τῇ ὑπὸ τούτῳ προστασίᾳ, τὰς εἰς φανερὸν προό-
δους πομπεύει. εἰ δὲ μάρτυρες προόδων οἱ ταῦτα ὁρῶντες, μάρτυρες ἄρα οἱ αὐτοὶ καὶ
τίνι ἐξαγμονὴ ἢ τίνα ἐπιγραψαμένη ἄνδρα τῶν πρώτων οἴκων εἰς μέσους προῆλθεν.
εἰ δὲ ὁ γάμος οὗτος τοῖς μάρτυσι καὶ τοῖς προόδοις καὶ πᾶσι περιφανής. οὐκ ἀπέ-
θανε δέ φημι ὁ ἀνὴρ αὐτῆς. μοιχεύεται οὖν ἡ τοιαύτη ζῶντος τοῦ ἀνδρὸς διὰ βίου μοι-
χωμένη. μᾶλλον δὲ δι' ἡδονῆς μὲν ἀπόλαυσιν ἀκολάστως πορνεύουσα. διὰ δὲ τὸ ζῆν τὸν
ἄνδρα παρανόμως μοιχεύουσα. καὶ οὐχ ὁρᾷ πῶς μὲν αὐτὴ ἀντὶ ἀθανάτου θεοῦ θνητὸν
ἐπὶ κακῷ ἑαυτῆς ἄνθρωπον περιέπει, ἐν ὀφθαλμοῖς ἀεὶ τοῦ ἀνδρὸς εἰς αὐτὸν ταῖς πα-
ρανόμοις μίξεσι ἀσεβοῦσα. πῶς δὲ ἐκεῖνος ὁ ἄνθρωπος τῇ τοῦ Χριστοῦ κοίτῃ ἐτόλμησε μανιω-
δῶς ἐπιβῆναι. ἐκ γὰρ τῶν ἀνθρωπίνων δεῖ τὴν δίκην οὕτως ἐξαμαρτανόντων στοχά-
ζεσθαι. τίνος μὲν ἀξία ἡ ἀντὶ ἀγχινοῦς ἀνδρὸς πρὸς δοῦλον ἑαυτῆς φθειρομένη καὶ τῇ
δεσποτικῇ κοίτῃ τὸν οἰκέτην εἰς ἐπιβουλὴν ἐπεισάγουσα. τίνος δὲ ἄξιος ὁ δοῦλος δεσποί-
νῃ ἑαυτοῦ καὶ κοίτῃ κυρίου ἑαυτὸν ἀσελγῶς ἐπιρρίψας. ἀλλ' αἱ σοφαὶ τοσαύτην ἀσέ-
βειαν καθ' ἑαυτῶν διὰ σαρκὸς πάθη τολμήσασαι, πρὸς οἷς οὐ δακρύουσι τόπον ἑαυ-
ταῖς κουφότερον τοῖς δάκρυσιν ἑτοιμάζουσαι, ὅτι κἂν ὑπέσχοντο πρότερον παρθενίαν
ἀρνοῦνται.

τοὺς δὲ φοβουμένους τοὺς ἐπὶ τῇ θρασύτητι ψόγους, δειλοὺς καὶ μικροψύχους ἀπήλεγξε. καὶ τοὺς μὲν συμπαθεῖς εἶναι σπουδάζοντας, πρὸς τὰ πάθη κακῶς ἐμαλάκισε. τοὺς δὲ τὸ ἐμπαθὲς φεύγοντας ἀνηλεεῖς καὶ ἀπανθρώπους ἐποίησεν. ὥσπερ οὖν καὶ τοὺς τῆς ἀγάπης τὸ κάλλος μεταδιώκοντας ψευδωνύμῳ ἀγάπῃ, ἢ εἰς σαρκὸς ἡδονὰς καὶ ἐπὶ ψόγον τῷ πάσι βίον ἀπρεπῶς κατηκόντισεν, ἢ φυλαξαμένους τὸν ἐπὶ τούτοις μῶμον, μισαδέλφους καὶ τοῦ καλοῦ ἀναισθήτους ἐποίησε. πάλιν οὖν μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερά, ἵνα μὴ πλανηθεὶς εἰς μίαν τινὰ τῶν τῆς κακίας θυρῶν ὀλισθήσῃς, ἀλλὰ μέσην ὁδεύων τὴν ἀρετήν, καὶ ἁπανταχοῦ βλέπων πῶς ἀκριβῶς περιπατεῖς. μὴ ὡς ἄσοφος ἀλλ' ὡς σοφός. ὅτι ἐν μέσῳ παγίδων περιπατεῖς. καὶ ἐπάνω ἐπάλξεων πόλεων διαβαίνεις. πρόσεχε οὖν ὅπως μήτ' εἰς παγίδα που ῥαθυμοῦσα ἐμβάλῃς τὸν πόδα σου, μήποτε ἀπὸ τοῦ τείχους τῆς πόλεως ἡμῶν πεσοῦσα ἀποθάνῃς κακῶς. ἀγαπᾶν οὖν δεῖ τοὺς πρὸς τὸν νυμφίον παρακαλοῦντας, ἀλλὰ δεῖ τὴν ἀγάπην δικαίαν καὶ μὴ συγκεχυμένην ποιεῖσθαι. ἵνα μὴ τοὺς ὑπηρέτας τοῦ νυμφίου, ἀπὸ τῆς συνεχοῦς ἀκοῆς αὐτῶν τὰ περὶ τοῦ νυμφίου λαλούντων ἴσως τοῦ νυμφίου ἀγαπήσασά ποτε. καθέλῃ μὲν τὸ ἀξίωμα τοῦ νυμφίου. τοὺς δὲ νυμφαγωγοὺς τῷ ἰσοτίμους τῷ δεσπότῃ ἄγειν, ἀδικήσῃ τὰ μέγιστα. ἤδη δέ τινες ἔλαθον, οὐκ ἴσα τῷ νυμφίῳ τοὺς ὑπηρέτας ἀλλὰ καὶ πλέον αὐτοὺς ἀσεβῶς ἀγαπήσασαι. καὶ τοῦ μὲν νυμφίου λοιπὸν πρὸς ὃν ἐνυμφάσαντο καθάπαξ ἐπιλαθόμεναι, ὅλαι δὲ τῶν οἰκετῶν τοῦ νυμφίου νύμφαι γενόμεναι. μᾶλλον δὲ οὐδὲ τῶν οἰκετῶν τοῦ νυμφίου, ἀλλὰ ἀλλοτρίων τινῶν γυναῖκες αἰσχρῶς ἀφεθεῖσαι. οὐδένα γὰρ σαρκικὸν ὁ νυμφίος ἡμῶν ὑπηρέτην ἔχειν ἀρέσκεται, ἀλλὰ πάντας πνευματίζοντας. αἱ δὲ μὴ τῷ πνεύματι τῶν ὑπηρετουμένων τῷ νυμφίῳ, ἀλλὰ ταῖς σαρξὶν αὐτῶν ἑαυτὰς ἀτόπως νυμφάσασαι. δῆλον ὡς κἀκείνους ἀλλοτρίους τῆς ὑπηρεσίας τοῦ νυμφίου καὶ ἑαυτὰς οὐχ ὑπηρέτους τοῦ νυμφίου, ἀλλὰ ἀλλοτρίοις δούλοις νυμφευθείσας ἀπήλεγξαν. οὐκ οὖν καὶ τούτοις ἀκριβῶς ὁμιλείτωσαν, τὴν νυμφευομένης λαθραίως ἐκ τῆς ὁμιλίας σωματικὴν συνήθειαν φρονίμως ἐκτέμνουσαι. καὶ ἐν τῷ ὁμιλεῖν φυλασσόμεναι. μὴ ἐκ τοῦ θαρσεῖν ὡς τοῦ νυμφίου οἰκείοις λάθωσι, ἢ ἐκείνους πρὸς ἃ μὴ δεῖ ἀποσφήλασαι, ἢ ἑαυτὰς παρὰ τὸν προκείμενον σκοπὸν ἐπὶ τὰς σαρκὸς ἡδονὰς ἀτόπως καταβαλοῦσαι. ἀλλ' ἀγάπην δεῖ τῶν πλησίον κεκτῆσθαι, ὅτι ἀγαπήσεις τὸν πλησίον σου, ὡς ἑαυτόν. καὶ τοῦτο ἀρέσκον αὐτῷ ὁ νυμφίος τῇ νύμφῃ παράγγελμα δέδωκε. ναί φησιν ἀγαπήσεις, καὶ ἐφ' ὅσον ἑνὶ τούτων ποιεῖς ἐμοὶ τῷ σῷ νυμφίῳ ποιεῖς. ἀλλ' οὐκ ἐμπαθῆ εἶναι δεῖ τὴν ἀγάπην, οὐδὲ ὄνομα αὐτῇ ἐπὶ ψευδωνύμης ἀγάπης, τῷ ἔργῳ ἀναιρεῖν τὴν ἀξίαν τῆς ὄντως ἀγάπης. ὅτι ἴσως ἂν διὰ τὴν πρὸς τὸν νυμφίον ἀγάπην ἀγαπῶσα φαίνῃ τοὺς ἀδελφούς, σῴζεις καὶ τὸ πρὸς ἐκεῖνον καὶ τὸ πρὸς αὐτοὺς τὸ τῆς ἀγάπης σεμνόν. ἐπειδὰν δὲ οὐκέτι δι' ἐκεῖνον ἀλλὰ τούτους δι' αὐτοὺς ἀπὸ τῆς συνηθείας ἧς ἀγαπῶσα, διαφθείρασα καὶ τὴν πρὸς ἐκεῖνον ἀγάπην καὶ ἐμπαθῆ ταύτην ποιήσασα ψευδώνυμον καὶ οὐχὶ τὴν ἀληθῆ ἔχεις ἀγάπην. ἀγάπης γὰρ σαρκὸς πάθη οὐχ ἅπτεται. οὐδὲ ἄλογος οὖσα, ὑπὸ συνηθείας ζωώδους ἀκρίτως τὸ σεμνὸν ἑαυτῆς ἐπὶ σώματα καταφέρει. ἀλλὰ λογικὴ οὖσα καὶ ὅλη σοφίας μεστή, ἐμφρόνως ἑαυτὴν πρὸς ἀξίαν τοῖς προσώποις κατὰ τὸ δίκαιον ταλαντεύει. τοὺς μὲν ὑπηρέτας τοῦ νυμφίου, λογισμῷ δι' ἐκεῖνον τιμῶσα. αὐτὸν δὲ ἐκεῖνον οὐ διὰ τούτους ὅτι περὶ αὐτοῦ αὐτῇ διαλέγονται, ἀλλὰ δι' αὐτὸν περιέπουσα. καὶ εἴ τις μὲν ἐκείνου ἐραστής, τοῦτον διὰ τὸ πρὸς ἐκεῖνον φίλτρον ἑταῖρον νομίζουσα. εἰ δέ τις τοῦ περὶ αὐτοῦ ἔρωτος ἀμελεῖ. οὐκέτι τοῦτον καὶ αὐτὴν κολακεύει, ὡς οἰκεῖον ἐρῶσα. ἀλλὰ καὶ μάλιστα ἐκ τῆς κολακείας τὴν ἐπιβουλὴν ὑποπτεύουσα. ὅτι ἀμελῶν τοῦ νυμφίου περὶ ὃν αὐτῇ ἐπτόηται, προσποιεῖται τῇ περὶ τὸν νυμφίον αὐτῆς θεραπείᾳ. δελεάζει μὲν ταύτην ὡς συμπονῶν αὐτῇ πρὸς τὴν ἐκείνου ἀρέσκειαν, ἐφ' ἑαυτὸν δὲ αὐτῆς τὸν ἔρωτα ἐκ τῆς συνεχοῦς ὁμιλίας μεταθεῖναι σπουδάζει. ἐν νυμφαγωγοῦ ὀνόματί τε καὶ σχήματι, μοιχὸς τῆς νύμφης πανοῦργος γινόμενος. ἐντεῦθεν γὰρ πολλαὶ τῷ τῆς ἀγάπης ὀνόματι κατὰ βραχὺ πρὸς τὰ τῆς σαρκὸς πάθη ὑπὸ τῆς συνηθείας κατενεχθεῖσαι, πόρναι καὶ μοιχαλίδες καὶ ἀλλότριαι, οὐ τῆς τοῦ κυρίου μόνον νυμφάσεως,

τὰ καθ' ἕκαστον περιστέλλουσα ἐπιτηδευέτω τὸ ἔργον καὶ ὡς οἷόν τέ ἐστιν ἐπικρυπτέ-
τω τὰ μέλη, οὐ μόνον τοῖς ἑαυτῆς ὀφθαλμοῖς καὶ μετὰ τούτων τοῖς τῶν ἀγγέλων ἀεὶ
αἰδουμένη, ἀλλὰ καὶ ὥσπερ ἐν οἰκείῳ ἀσκητηρίῳ πρὸς αἰδῶ ἑαυτὴν φιλοκάλως ἀσκοῦ-
σα. εἰ δὲ οὕτε καθ' ἑαυτὴν οὖσα ἀδιαφόρως ἀπογυμνοῦσθαι· πολλῷ πλέον ἀδελ-
φῶν ἐν χορῷ παρόντων, ἑαυτὴν καὶ χιτῶνι καὶ αἰδοῖ σωφρόνως κοσμήσει· οὐ μόνον οὐδὲ
τῶν μελῶν ἀεὶ τῇ ἐσθῆτι καλύπτουσα παραγυμνοῦσθαι ἁπλῶς ἀφεῖσα, ἀλλὰ καὶ
μάλιστα περισχῶς ἑαυτὴν πρὸς τὸ ἀβλαβὲς περιστέλλουσα· ἵνα μὴ μόνον αὐτὴ ἀνεπη-
ρέαστος μένῃ, ἀλλὰ καὶ οἱ ὁρῶντες μηδεμίαν ἐκ τῆς θέας ὑπόθεσιν βλάβης λαμβάνω-
» σιν. ἰδόντες γάρ φησιν οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσι
» κατηνέχθησαν πρὸς αὐτάς. ἱκανὸν γάρ ἐστι παραγυμνούμενον κάλλος, καὶ υἱοὺς θεοῦ
πρὸς ἡδονὴν γοητεῦσαι. καὶ ὡς ἀνθρώπους διὰ ταύτην ἀποθνήσκοντας θνητοὺς ἀπο-
δεῖξαι· διὸ οὐ δεῖ τῆς ἑαυτῆς ἀβλαβοῦς μόνον φροντίζουσαν, τῆς τῶν βλαβῆναι δυνα-
μένων καταφρονεῖν σωτηρίας, ἀλλὰ πανταχόθεν καὶ ἑαυτῆς ἄσυλον τὸ τῆς παρθενίας
κάλλος φυλάττειν, καὶ τοῖς ὁρῶσιν αὐτὴν κέρδος ζωῆς, καὶ μὴ τὸν διὰ ἁμαρτίας θάνα-
τον πραγματεύεσθαι. εἰ γὰρ καὶ αὐτὴ πέπαυται τῷ τῆς παρθενίας ἀπταίστῳ, ἀλλ' ὅ-
μως προνοεῖσθαι δεῖ φησι, ὥστε μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. οὕτω
δὲ ἡ παρθένος, καὶ γνώμης, καὶ κινήσεως, καὶ μορφῆς, καὶ σχήματος. καὶ μόνη, καὶ μετ' ἄλ-
λων, πρὸς τὸ ἀρέσκον αὐτῆς τῷ νυμφίῳ ἔχουσα ὑγιῶς, τοῖς τε νυμφίου φίλοις καθαρῶς
ὁμιλήσει. οὐ γὰρ εἰς μισανθρωπίαν φέροντες αὐτὴν ἀπειλήσαμεν, ἀλλ' ἀκριβέσι τύ-
ποις ὅλην ἄνωθεν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν θεοῦ ἄγαλμα ζωγραφήσαντες, οὕτω πρὸς τοὺς
τῆς πίστεως οἰκείους ἐπιδεξίως περιάγομεν, ἵνα καὶ σχήματι καὶ λόγῳ νύμφη ἀληθῶς τοῦ
κυρίου ὀφθεῖσα, ὠφελήσῃ τοὺς ὁμιλοῦντας. ὁμιλείτω τοιγαροῦν ὡς νύμφη μετὰ αἰδοῦς
τοῖς τοῦ νυμφίου φημὶ ὑπηρέταις, καὶ ὁμιλείτω ἀπανταχοῦ τὸ ὠφέλιμον στοχάζουσα. δεῖ
γὰρ αὐτὴν ἀκεραίαν μὲν εἶναι ὡς περιστερὰν, φρονίμην δὲ ὡς τὸν ὄφιν. ἐπειδὴ γὰρ αἱ ἐν
σώματι ψυχαὶ ἀδυνατοῦσιν ἀλλήλαις γυμναῖς περὶ ἀρετῆς ὁμιλεῖν. τοῖς περικειμέ-
νοις σώμασιν ὀργάνοις πρός τε τὴν φωνὴν καὶ τὴν θέαν ἀναγκάζονται χρῆσθαι, καὶ ὁ
μὴ δυνάμενος ψυχῆς ἐνδεδεμένης σώματι κάλλος ἰδεῖν, ἢ λόγῳ ταύτης ἀκοῦσαι, τὸ τοῦ
σώματος κινήματι ὃ ἐστιν ὁρᾷ καὶ τῆς διὰ τούτου φωνῆς ἐπακούων. τὸ κάλλος αὐ-
τῆς, διὰ τούτων ἀναλογίζεται, καὶ οὐ φωνὴν μόνον ἢ καὶ βλέμμα, ὥσπερ ἐν κατό-
πτρῳ τὸ τῆς ψυχῆς εἶδος δεικνύει, ἀλλὰ καὶ στολισμὸς ἀνδρὸς, καὶ γέλως, καὶ βῆμα
ποδὸς, ἀναγγέλλει περὶ αὐτοῦ. ἔλαθον δέ τινες ἀπὸ τοῦ ἡδέως ἀκούειν τοῦ μουσικοῦ.
μηκέτι μὲν τὸν μουσικὸν, ἀλλὰ τὸ κρουόμενον ὄργανον δι' οὗ ἀπολαύουσι τῆς τοῦ μουσικοῦ
ἐπιστήμης καταβροχὺ ἀγαπῶντες. διὰ τοῦτο δὴ ἀναγκαίως τὴν παρθένον ἀκριβῶς τὴν
ἀκοὴν καὶ τὸ ὄμμα τηρεῖν, μήπως λάθῃ ἀντὶ λαλούσης ψυχῆς, τὸ δι' οὗ αὐτὴ λαλεῖ ἀγα-
πῶσα. δεινὸς γάρ ἐστιν ὁ ζηλοτυπῶν τὴν περὶ τὸ καλὸν ἡμῶν διάθεσιν, διὰ παντὸς τρό-
που ὑφελεῖν μὲν ἡμῶν τὸ ποθούμενον. τὸ δὲ ἴδιον πανούργως πρὸς τὸν πόθον ἀνθυ-
παλλάξαι. οὕτω γὰρ ἔλαθόν τινες ἀπὸ τοῦ ἡδέως ἀκούειν τοῦ περὶ ἀρετῆς λόγου. καὶ πε-
ρὶ τὴν κινοῦσαν τοῦτον ψυχὴν διακεῖσθαι, τῇ συνεχεῖ ἀκοῇ καὶ τῇ θέᾳ, ἐκπτοηθέντες
μὲν τὴν μορφὴν τῶν τοῦ στόματος χαρακτήρων, καὶ τῇ φωνῇ τὴν ἀκοὴν ἀτόπως θελ-
χθέντες. οὐκέτι δὲ τὴν ψυχὴν τὴν διὰ φωνῆς ἐνεργοῦσαν τὸν λόγον, ἣν τὸ πρὶν ἀγαπῶν-
τες περιεῖπον τὸν ἄνθρωπον, ἀλλὰ τὸ στόμα τὸ διακονούμενον αὐτοῖς τὰ τῆς ψυχῆς κα-
λὰ λοιπὸν ἀγαπῶντες. ἀγχίθυροι γάρ φησι καὶ ἕλληνες τὰς κακίας εἶναι ταῖς ἀρε-
ταῖς. ἑκάστῃ γὰρ ἀρετῆς θύρᾳ, τὴν κακίαν ὁμοιοτάτην ἰδέαν ἑκατέρωθεν παρήρμοσεν.
ἵν' ὁ σπουδάζων περὶ τὴν ἀρετὴν, παρεστὼς ταύτης τὸ πρόσωπον τῇ θύρᾳ, καὶ κρούειν
ταύτην δοκῶν, ἀνοιγείσης αὐτῷ ἔνθενδε ἢ ἔνθενδε μιᾶς τῶν θυρῶν τῆς κακίας. ἐκ
τῆς ὁμοιότητος ἀπατηθεὶς, ὡς εἰς τὸν τῆς ἀρετῆς οἶκον εἰσέλθοι. εἶτ' ἀπὸ πάντων γνῷ τῇ
ἀπάτῃ γελώμενος. χρόνῳ τε καὶ πείρᾳ μάθῃ, οὐ μόνον πόρρω ὑπάρχειν ἐκείνης τῆς
ἀρετῆς ἧς ποτε κρούειν ἐδόκει τὴν θύραν. ἀλλὰ μηδὲ τῶν οὐδῶν αὐτῆς τὴν ἀρχὴν
ὑπερβὰς, μήτε τῇ θύρᾳ, ὡς τὸ πρὶν ἐδόκει παρεστὼς γονῦ καὶ κρούων. οὕτω γὰρ
τοῖς μὲν θαρσαλέοις βουλομένοις εἶναι πρὸς ἀρετὴν, θρασεῖς ἀπαντήσασα ἔδειξε·

ὡς γὰρ τὸν θαυμαστὸν Παῦλον ἔτι ἐν σώματι ὄντα· τὰ μὲν, προέλαβον ἔργα, πολλὰς
τῶν διὰ τῆς διδασκαλίας τε καὶ πολιτείας αὐτοῦ τελειωθέντων εἰς τὸν ἐκεῖ βίον αὐτὰς
προειληφότων, καὶ τὰ γέρα αὐτῷ τῶν ὑπ' αὐτῶν καταβληθέντων ἱδρώτων παρὰ τῷ
δικαίῳ κριτῇ θεῷ ἑτοιμασάντων· τὰ δὲ, ἀναλύσαντι λοιπὸν καὶ σὺν χριστῷ γεγονότι ἕως
τῆς δεῦρο ἐφέπεται, τῶν δι' αὐτοῦ ἐν τοῖς ἱεροῖς τῶν ἐπιστολῶν αὐτοῦ γράμμασι πρὸς ἀ-
ρετὴν ἀσκουμένων· τοὺς ἐπαίνους ἅμα καὶ μισθοὺς τῷ ἀγαθῷ ἐκείνῳ διδασκάλῳ ἐνθέν-
δε πεμπόντων· οὕτω καὶ κατὰ τὸ ἐναντίον· αἱ μὲν προάγουσιν ἁμαρτίαι τῶν βλαβέν-
των ἐκ τῶν μοχθηρῶν λόγων ἢ πράξεων· προειληφότων τι εἰς ἅδου, καὶ τὰ κολαστήρια
τοῖς τῆς βλάβης αἰτίοις παρασκευαζόντων ἐκεῖ· αἱ δὲ καὶ ἐπακολουθοῦσι· τῶν καὶ
μετὰ τὸν ἐκείνων θάνατον δι' ἣν κατέλιπον τῷ βίῳ κακίαν δι' αὐτῶν βλαπτομένων· ὡς γὰρ
ἕως τοῦ νῦν ὁ μακάριος Παῦλος πρὸς θεοσέβειάν τε καὶ προνοίας ἐπίγνωσιν ὠφελεῖ· καὶ οἱ
δι' αὐτοῦ ὠφελούμενοι ἐπακολουθούσας αὐτῷ πέμπουσιν ἐντεῦθεν ἐπὶ τοῖς οἰκείοις κα-
τορθώμασι τὰς τῶν ἐπαίνων φωνάς, οὕτω Μαρκίων καὶ οἱ λοιποὶ τῶν αἱρετικῶν ἐγκα-
τασπειράντων τῷ βίῳ δόγματα βλάπτουσιν, ἁπάντων τῶν δι' αὐτῶν ἐντεῦθεν βλαπτο-
μένων, πικροτέροις τοὺς προκατάρξαντας τῆς κακίας κολαστηρίοις, καὶ πάλαι ὅμως τε-
θνεῶτας ἐκεῖ παραδιδόντων· εἰ γὰρ ἕνα φησὶν ἐάν τις τῶν μικρῶν σκανδαλίσῃ τούτων, τοῦ
θανάτου ἄξιος κρίνεται· ὁ τοσούτοις διὰ τοῦ μοχθηροῦ βίου πρὸς διαφθορὰν ἠθῶν κα-
ταλελοιπέναι ὑποδείγματα, ἢ φθοροποιὰ ψυχῶν ἐναφιέναι τὰ δόγματα σκανδαλίζων
καὶ μετὰ τὸν οἰκεῖον θάνατον, ἁπάντων ἄν, τῶν δι' αὐτὸν ἀποθνησκόντων, θανάτων ὑπεύ-
θυνος ἀξίως καὶ δικαίως ἀποφανθείη· καθ' ἕκαστον τῶν δι' αὐτὸν τραυματιζομένων ἢ ἀπο-
θνησκόντων ἐνταῦθα, κατὰ τὸν ἐκεῖ αἰῶνα τραυματιζομένου τε τοῦ αἰτίου καὶ ἀποθνήσκον-
τος· εἰ δὲ καὶ κατὰ τοῦτον τὸν τρόπον αἱ μὲν, προάγουσι πράξεις· αἱ δὲ, ἐπακολουθοῦ-
σι· καὶ ὥσπερ αἱ ἀπὸ κακίας ἐπακολουθοῦσαι μείζονι κολάσει τὸ αἴτιον τῶν καθ' ἕκα-
στον βλαπτομένων παραδιδόασιν· αἱ δὲ ἀπὸ ἀρετῆς μειζόνων καθ' ἕκαστον τῶν ὠφελου-
μένων τε ἀπὸ κακίας ἐπιστρεφόντων τὸν διδάσκαλον γερῶν ἀξιοῦσι· καὶ ἡ παρθένος ἄρα
ἔχει τινὰς καθ' ἑκάτερον ἀρετῆς ἢ κακίας· τὰς μὲν προαγούσας πράξεις, τὰς δ' ἐπακο-
λουθούσας· καὶ ἀθλία μὲν ἐκείνη, ἡ πρὸς τῇ διὰ τὴν οἰκείαν ἁμαρτίαν κολάσει· καὶ
διὰ τὸ τῶν ἑτέρων πτῶμα οἷς ὑπέδειξε τὴν πρὸς ἁμαρτίαν ὀλίσθους, ἀεὶ πικροτέρᾳ κολά-
σει παραδιδομένη· τρισμακαρία δὲ ἐκείνη, ἡ πρὸς τοῖς ἰδίοις στεφάνοις καὶ διὰ τὰς ἐκ τοῦ
πρὸς αὐτὴν ζήλου στεφανουμένας, καθ' ἑκάστην καὶ μετὰ θάνατον κατὰ τὸν ἐκεῖ αἰῶνα
στεφανουμένη· εἰ οὖν οὐδέν ἐστι κεκρυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται· διὰ πάντας τοὺς
προειρημένους λόγους ἡ παρθένος καὶ μόνη οὖσα, τὰς ἀναμαρτησίας ἑαυτῆς προνοείσθω·
οὐ τὰς τῶν λοιπῶν ἀνθρώπων ὄψεις μόνον, ἀλλὰ πολλῷ πλέον φημὶ τὰς ἑαυτῆς,
» καὶ τῶν ἁπανταχοῦ ὁρώντων ἀγγέλων ἐντρεπομένη· διὰ τοῦτο γάρ φησιν ὀφείλει ἡ γυνὴ
» ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους· οὐ γὰρ δεῖ κἂν ἐν οἴκῳ μόνη καθίζηται
καθ' ἑαυτὴν ἡ παρθένος, διότι μηδεὶς πάρεστι τῶν ἀνθρώπων, ἀδιαφόρως γυμνοῦσθαι·
πολὺ γάρ φημι ὑπαγωγὸς ἡ φύσις τοῦ θήλεος, πᾶσαν ἄρρενα φύσιν καθ' ἑαυτῆς ἐπισπᾶ-
σθαι· καὶ οὐ διὰ τοῦτο μόνον φυλάττεσθαι δεῖ τὰς τῶν δαιμόνων ἐπηρείας, ἀοράτως
ἐφεδρευούσας ἡμῖν, ἀεὶ ὑποπτεύουσαν, ἀλλὰ καὶ διὰ τοὺς πᾶσιν φησὶν αἰδεσίμους ἀγγέλους
ἐξουσίαν ἔχειν ὀφείλει· ἀνὴρ μὲν γὰρ ὡς τοῦ ἀγγελικοῦ τρόπον τινὰ ἀξιώματος ὤν, γυ-
μνῇ τῇ κεφαλῇ τοῖς φράτορσι θαρρῶν ἑωρᾶσθαι· γυνὴ δὲ ἀνδρὸς πολλῷ ἐλάττω λα-
χοῦσα τὴν φύσιν, ἐξουσίαν ἐχέτω ἐπὶ τῆς κεφαλῆς· διὰ τοῦ ἔχειν ἐπὶ τῆς κεφαλῆς τὴν
ἐξουσίαν, τὴν πρὸς τὸ κρεῖττον ὑποταγὴν εὐσχημόνως ὁμολογοῦσα, διὰ τοῦτο φησὶ καὶ αὐ-
τὴ ἡ φύσις ταῖς θριξὶ τὴν κεφαλὴν τούτων ἄνωθεν ἐπικάλυψον, αὐτὴν ἤδη που διδάσκουσα·
ὅτι προσήκει γυναῖκα μηδέποτε οὐχ ὅτι ἄλλο τι τῶν μελῶν, ἀλλὰ μηδὲ τὴν κεφαλὴν
ἀδιαφόρως γυμνοῦσθαι· καὶ ἐπειδὴ μόναι ἀνδρῶν μὴ παρόντων ἴσθ' ὅτε πρὸς τοῦτο
καταθαρσοῦσι· τὸ αἰδεσιμώτερον τῶν ἀνδρῶν ἀξίωμα προστέθεικε τῶν ἀγγέλων
εἰπών, διὰ τοὺς ἀγγέλους τοὺς ἁπανταχοῦ παρόντας τε καὶ τὰ πραττόμενα βλέποντας· αἰδείσθω
οὖν πᾶσα γυνή· ἔτι δὲ μᾶλλον ἡ παρθένος τοὺς ἀγγέλους, καὶ μόνη ἂν οὖν ἐν τῷ οἴκῳ ὑπάρ-
χουσα· καὶ ὅταν συμβαίνῃ ἀναγκαίως ἐπιμελεῖσθαι τοῦ σώματος· τά τε κατὰ κεφαλὴν καὶ

σίαις χρώμασί τε καὶ μεγέθεσιν ἔτι δὲ σχήμασιν, ἃ ὁ νοῦς ἐν αὐτῇ κατεζωγράφησε μὴ γε-
γραμμένη, καὶ ὡς ὁ τὴν σημειογραφικὴν τέχνην μαθὼν, πάντων τῶν σημείων τὰ σχήμα-
τα καὶ τὰ ὀνόματα. ἀλλὰ καὶ τοὺς τύπους τῶν ὀκτάδων φέρει καὶ τετράδων, ἐν τῇ
ψυχῇ τυπωσάμενος καὶ πρὸς τὴν χρείαν τῶν ὑπαγορευομένων διὰ τῆς χειρὸς τὰ ἐν τῇ
ψυχῇ ταῖς μνήμαις ἐγγεγραμμένα ἐπὶ τῆς δέλτου δεικνύει. καὶ ἀεὶ μὲν ἰδεῖν ἔξεστι σημεῖα
τῷ γραφείῳ χαράξαι. ἃ δὲ μηδέπω διὰ χειρὸς δεδεχῶτα ἐν τῇ ψυχῇ, ὅμως ἀπογεγραμ-
μένα ἀπόκειται. οὕτω καὶ ἡ ψυχὴ, τὰς μὲν ἐννοίας διὰ σώματος ἐνεργοῦσα, εἰς ἔργον
προήγαγε. τὰς δὲ μὴ φθάσασα σώματι ἀποτελεσθείσας ἡμῖν ἐπιδεῖξαι ἐν ἑαυτῇ τε-
τυπωμένας φυλάττει, εἰ καὶ μὴ σωματικῶς, ἀλλ' οἰκείῳ ἔργῳ ταύτας καθ' ἑαυτὴν
ἀσωμάτως ἐπιτελοῦσα. ὡς γὰρ ἔργον σώματος τὸ σωματικῶς τι ἐπιτελέσαι, οὕτω καὶ
ψυχῆς ἔργον, τὸ ταῖς ἐννοίαις τὰς ἀρεσκούσας φαντασίας τελεσιουργῆσαι ὡς θέλει. διὸ
καὶ τὰς ἐννοίας ἁμαρτίας, μὴ ὡς φαντασίας ἁπλῶς, ἀλλ' ὡς ἔργα ἐν ψυχῇ γινόμενα κα-
τὰ τὸ δίκαιον κρίνεσθαι. ὡς οὖν κἂν μὴ γράφῃ ἡ χεὶρ τὰ σημεῖα, ὅμως τοῖς σχήμασι τῶν
σημείων ἡ ψυχὴ ὅλη ἁπανταχοῦ καταγέγραπται. καὶ ὁ ἀποδύσας τὸ σῶμα ἴδοι ἂν
αὐτὴν τῷ λεγομένῳ κομμέντῳ πᾶσαν καταγεγραμμένην. οὕτω μετὰ τὸ ἀποδύσα-
σθαι ἡμᾶς τὸ σῶμα, πᾶσα ἔννοια ὡς ἐν γραφῇ ἐπὶ τῆς ψυχῆς γεγραμμένη ὀφθήσεται.
καὶ ὥσπερ ὁ μὴ μαθὼν τὰ σημεῖα, τούτων ἐν τῇ ψυχῇ οὐκ ἔχει ἐγγραφέντας τοὺς τύ-
πους. ὁ δὲ μαθὼν, κἂν μὴ γράφῃ ἡ χεὶρ τοὺς τύπους αὐτῶν τῇ μαθήσει ἐν ψυχῇ ἀπεγρά-
ψατο, οὕτω καὶ ὁ μὴ ἐννοήσας τι ἁμάρτημα, τούτου οὐκ ἔχει τὴν φαντασίαν ἐν ψυχῇ
γεγραμμένην. ὁ δὲ ἐννοήσας, κἂν μὴ προχωρήσῃ τὸ ἔργον ὅμως ἐν ψυχῇ ἔχει τὰς φαντα-
σίας τῶν νοηθέντων, ὡς ἐν πίνακι σαφῶς γεγραμμένας. ἀλλ' ὡς ἐκεῖ ὁ μαθὼν τὰ ση-
μεῖα, ἀμελεῖ τοῦ διαγράφεσθαι ταῦτα. λήθῃ αὐτὰ τῆς μνήμης ἂν ἀποβάλοι. ὡς
μηκέτι λοιπὸν τῷ χρόνῳ μηδεμιᾶς ἀναφέρειν ὀκτάδος σχῆμα ἢ τόνον, ἢ ὀνομασίαν εἰς μνή-
μην. οὕτω καὶ ὁ ἐννοήσας ἄτοπα. εἰ ἀμελήσει τῶν ἐννοιῶν καὶ ἐφ' ἑτέρας καλλίονας
τὸν νοῦν ἀσχολήσει, χρόνῳ αὖ ποτε ταῦτα τῆς μνήμης ἑαυτοῦ ἐκβαλὼν, τῇ λήθῃ αὐτὰς
τοῦ τῆς ψυχῆς πίνακος ἀπαλείψειεν. οὐδὲν γάρ ἐστι μνήμη, ἢ τύπωσις ἐννοιῶν ὡς ἐν ψυ-
χῇ ἀποζωγράφος. καὶ πῶς οἷόν τε φυγεῖν τὰς εὐθύνας ἐκείνων τῶν ἐννοιῶν, ὧν ἡ μνή-
μη ἔτι κινουμένη ἐν τῇ ψυχῇ, τοὺς τύπους ἐν τῷ πίνακι ζῶντας τοῖς ὁρῶσιν ἐνδείκνυσι. οὐ-
κοῦν ἵνα μὴ αἰσχρῶν ἀνάπλεως ὁ τῆς ψυχῆς ἡμῶν πίναξ ὀφθῇ, ἀπαλείψωμεν λήθῃ τὰς
μνήμας τῶν φαύλων ἐννοιῶν, τῶν ἀγαθῶν δὲ τὰς μνήμας ἀντ' αὐτῶν ἐντυπώσωμεν.
ὡς ἂν μὴ κεκρυμμένοι τὰ νῦν τῷ περιβολαίῳ τοῦ σώματος, μετὰ τὴν ἀπόθεσιν τούτου,
αἰσχροί τινες τοῖς μώμοις, καὶ ἐπονείδιστοι ταῖς γραφαῖς τοῖς πᾶσι παρὰ τὴν κατέχου-
σαν ἐν τῷ παρόντι βίῳ δόξαν ὀφθῶμεν. τάχα γὰρ τοῦτ' ἐστὶν ὃ εἴρηκεν ὁ ἀπόστολος.
» τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι προάγουσαι εἰς κρίσιν. τισὶ δὲ καὶ ἐπακο-
» λουθοῦσιν. αἱ μὲν γὰρ πᾶσιν ἀνθρώποις πρόδηλοι αἱ ἁμαρτίαι, αἷς καὶ τοὺς ὁρῶντας
εἰς βλασφημίαν καὶ τὰς ὁμοίας πράξεις κακῶς ἐσκανδάλισαν προάγουσιν. αἱ δὲ ἄ-
δηλοι τοῖς ἀνθρώποις κρυφίως γινόμεναι, οὐ διὰ τὸ τοὺς ἀνθρώποις ἀγνοεῖν, ἀπομένουσιν,
ἀλλ' ἀχώριστοι αὐτοῖς ἐπακολουθοῦσιν, ἵν' ἐπιδείξωσιν ἑαυτάς τε καὶ τὸν λανθάνοντα
τοὺς πολλοὺς τούτων ἐργάτην καὶ τοῖς ἀγνοοῦσιν ἀνθρώποις καὶ τῇ δικαίᾳ κρίσει αὐτὸν
παραδῶσιν, ὡς μασολαβεῖσθαι τὸν δείλαιον ὑπὸ τῶν οἰκείων κακῶν. ὑπὸ μὲν τῶν
προδήλων προαγόντων εἰς τὴν κρίσιν ἑλκόμενον, ὑπὸ δὲ τῶν ἀδήλων ἀχωρίστως αὐτῷ
ἑπομένων ἀπελαυνόμενον, καὶ ἑρμηνεύων τοῦτο τὸ νόημα, ἐπιφέρων φησίν. ὡσαύτως
καὶ τὰ καλὰ ἔργα τὰ λάμποντα ἔμπροσθεν τῶν ἀνθρώπων. ἵνα ἰδόντες δοξάσω-
σι τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, δῆλά ἐστι. καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ
δύνανται. δεῖ γὰρ ἡμᾶς φανερωθῆναι τοὺς νῦν ἀγνοουμένους ποίων πράξεων ἐσμὲν,
ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ. ὃς φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς κε-
κρυμμένας βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ παρὰ τοῦ
θεοῦ. ὅτι ἀπολαμβανόμεθα ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀ-
γαθὸν, εἴτε φαῦλον. οὐ παρασιωπητέον οὖν, οὐδὲ τὴν ἑτέραν ἔννοιαν. γενικώτε-
ρον δὲ δυναμένην τὴν συνετὴν παρθένον πρὸς τοὺς ἐπιβάλλοντας ἄθλους ἀλεῖψαι.

μου ἑαυτὴν ἀσφαλίσηται. μεμνημένη οὖσα δὲ ὅτι δεῖ ἡμᾶς φανερωθῆναι ἔμπροσθεν τοῦ
βήματος τοῦ Χριστοῦ. οὐ πρᾶξαι μόνον τι τῶν αἰσχρῶν, ἀλλὰ καὶ ἐννοῆσαι φοβηθήσεται.
καθάπερ γάρ τις ζωγράφος ἡμῶν ὁ νοῦς ὥσπερ ἐν πίνακι τῇ ψυχῇ, τὰς ἐννοίας ὡς θέ-
λει μορφοῖ. καὶ ἄφετος μὲν καὶ ἐλεύθερος καὶ αὐτεξούσιος ὤν. οὐδαμοῦ δὲ διὰ τὸ ἀ-
σώματον πρὸς τὴν τῆς γραφῆς φιλοτιμίαν στενοχωρούμενος. ἀλλ' ὅσην θέλει εὐρυχωρίαν
τόπου ἀνευρίσκων, ἐγγράφει φημὶ τὰς ἐννοίας ἃ βούλεται. εἶτα ὥσπερ ὁ ζωγράφος ἐν
παραβύστῳ που τὸν πίνακα ποικίλης ἱστορίας πληρώσας, ἀθρόως τοῦτον εἰς μέσον προφέ-
ρει. καὶ ἀφελόμενος τὰ ἔξωθεν προκαλύμματα εἰς θέαν ἐν μέσῳ τοῦτον τοῖς πολλοῖς
ἀνατίθησιν. οὐκέτι μὲν ἑρμηνεὺς τῶν γραφέντων γινόμενος, πᾶσι δὲ τοῖς θεαταῖς καὶ εἰς
τὸ ἔπειτα κρίνειν τὴν γραφὴν ὡς ἔχει καταμανθάνειν ἐφείς, οὕτω καὶ ὁ νοῦς καὶ μετὰ τὴν
ἔξοδον τοῦ βίου ὥσπερ τι προκάλυμμα τοῦ κατὰ ψυχὴν πίνακος ἐν παρ' ὅλον τὸν βίον
ταῖς ἐννοίαις κατεζωγράφησε τὸ σῶμα ἀφαιρεθείς, τὰ ἐν ἀπορρήτοις γραφέντα εἰς φῶς
τοῖς πᾶσι δείκνυσι. καὶ ἔστιν ἰδεῖν τὸν πίνακα τῆς ψυχῆς, ποικίλης μὲν ἱστορίας πεπλη-
ρωμένον, πᾶσι δὲ εἰς θέαν ἐγκείμενον. ἐὰν μὲν οὖν θεῖαί τινες διὰ ἀναγνωσμάτων ἱερῶν καὶ
ἐννοιῶν φιλαρέτων αἱ ἱστορίαι ὀφθῶσι, παντὸς ἐπαίνου ὁ ζωγραφήσας νοῦς καὶ ὁ ταύ-
την δεξάμενος τὴν γραφὴν τῆς ψυχῆς πίναξ ἄξιος κρίνεται. οὐδὲ ἀφίστασθαι τῆς θέας
τῶν ἱστορουμένων τὴν γραφὴν διὰ τὸ ἀξιοθέατον τῶν ἐθελόντων. ἁπάντων δὲ τὸ καθ' ἕκα-
στον τῶν γραφέντων καὶ μάλιστα καὶ τοῖς τύποις ἀλλὰ καὶ τὴν θεοειδῆ τῶν ἐγγραφέντων
μορφὴν θαυμαζόντων, καὶ μακαριζόντων τὸν θεῖον ζωγράφον ἐκεῖνον, ὅτι καλῶς τῷ ἐν
σαρκὶ βίῳ ἐχρήσατο. ἀπὸ τούτῳ τῷ τοῦ σώματος περιβολαίῳ νυκτὸς καὶ ἡμέρας
τοιαύτας γραφὰς παρὰ πᾶσαν τῶν θεατῶν ἐλπίδα φιλοκάλῳ χειρὶ τῷ τῆς ψυχῆς πί-
νακι ἐγχαράξας. ἐὰν δὲ αἰσχραί τε καὶ ἀπρεπεῖς ἀναφανῶσιν αἱ γραφαί, αἰσχύνης καὶ
γέλωτος ὁ ζωγράφος ἄξιος τοῖς πᾶσιν ὀφθήσεται. ἄλλας μὲν ἴσως ἐλπίδας πρὶν γυ-
μνοῦσθαι τὸν πίνακα τῆς ψυχῆς αὐτοῦ ἀποφῆναι, ἐναντία δὲ τῶν ἐλπισθέντων μετὰ τὸ
ἀφαιρεθῆναι τὸ τοῦ σώματος κάλυμμα ἅπαντα ἐν τούτῳ τοῖς θεαταῖς ἐπιδείξας.
ποῦ οὖν ἄρα οὗτος καταδύσεται ἐκ συγκρίσεως πρὸς τὸν ἕτερον παρὰ πάντων κρινό-
μενος. μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων. ποῦ
δὲ ὁ πίναξ ἐκεῖνος ἄρα τῆς ψυχῆς ἀποτεθήσεται, ὁ τοὺς ὀφθαλμοὺς τῶν θεατῶν αἰ-
σχρῶν ἱστοριῶν καὶ πάσης ἀλλοκότου ἰδέας ἀναπλήσας. ὡς γὰρ οἱ τοὺς ἐν σώματι ἔχον-
τες μώμους, πρὶν γυμνωθῆναι τῇ ἐσθῆτι κεκρυμμένους καὶ ἀδήλους τοῖς πολλοῖς ἔχου-
σι τούτους. περιφανεστάτῃ δὲ πολλάκις ἐσθῆτι κοσμούμενοι, τοὐναντίον καὶ καλοί τινες
οἱ δόξαν εἶναι ἐκ τοῦ ἔξωθεν κόσμου ὑπενοήθησαν. ἐκδυσάμενοι δὲ τὴν ἐσθῆτα καὶ γυ-
μνοὶ ἐν βαλανείῳ, ὀφθέντες καταγέλαστοι παρὰ πολλὴν τὴν ἔξωθεν δόξαν μυρίοις τοῖς
μώμοις ἐπίψογον τὸ σῶμα δεικνύντες ἐφάνησαν. καὶ οὐ χρεία ἑρμηνείας, μετὰ τὸ γυ-
μνὸν τοῖς πᾶσιν ὀφθῆναι τὸ σῶμα, ποῦ καὶ πῶς ἔχει τὸν μῶμον. ἀλλ' ἅμα τε ἐγυμνώ-
θη καὶ ὁ ἐν ἑκάστῳ μέλει μῶμος ὁρώμενος τῇ ὄψει ἑαυτὸν ἑρμηνεύει. οὕτω καὶ ἡμεῖς ἐκ-
δυσάμενοι τὸ προκάλυμμα τῆς σαρκός, οὔτε περιστεῖλαι τοὺς ἐν τῇ ψυχῇ μώμους, οὔτε
ἀποκρύψαι πῶς δυνησόμεθα. ἐν ὄψεσι δὲ τοῖς πᾶσιν ὁρώμενοι, ἃ τῷ σώματι ὡς ἐν ἐ-
σθῆτι ἐγκρύπτοντες ἐλανθάνομεν ἔχοντες, ταῦτα γυμνὰ πᾶσιν ὀφθαλμοῖς ἐπιδείξο-
μεν. οὐκέτι οὔτε ἀρνήσεως, οὔτε λογισμῶν χώραν ἔχοντες ὅτε αὐτὰ τὰ ἔργα ὁρᾶται.
καὶ ὁ ὡμόνοια ἐν τῷ πεπραχότι ἐπιγινώσκεται. οὐ γὰρ συγκεχυμένως τε καὶ καθόλου τὰ
πράγματα θεωρεῖται, ἀλλ' ὡς ἀποζώγραφα κατὰ μέρος γινώσκεται ὡς ἔχει. οἷον,
πῶς ἀνέστη φέρε εἰπεῖν ἐπὶ μοιχείαν ὁρμήσας τῆς κοίτης, καὶ ὁποίοις βήμασιν
ἐχρήσατο βαδίζων. ὅπως γε συγκεκραμμένος τῷ σχήματι καὶ σχῆμα ὁποῖον δεικνὺς
προσῆλθε, καὶ πόθεν παραδεχθεὶς ἥψατο τῆς ἀλλοτρίας. πῶς τε ἑαυτὴν τούτῳ
πρὸς τὴν παράνομον πρᾶξιν ἡ γυνὴ ἐπεδίδου, καθάπερ ἐν πίνακι φημὶ κατὰ μέ-
ρος ἕκαστα, ἀκριβῶς καταγεγραμμένα ὀφθήσεται, καὶ οὐ μόνον τὰ φθάσαντα ἔρ-
γα γενέσθαι. ἀλλὰ καὶ μὴ προχωρησάντων τῶν ἔργων, αἱ ἐν τῷ τῆς ψυχῆς πί-
νακι γινόμεναι ἔννοιαι. οὐδὲ γάρ ἐστιν ἐν ψυχῇ ἔννοια παρά τινος τυπωθεῖσα. καὶ
οὐδεμία ἐστὶ φαντασιώδης τε καὶ διεξοδικὴ ἔννοια ἐν ψυχῇ, ἢ γραφὴ τοῖς τῆς φαντα-

ἐμφορεῖσθαι. ἡ δὲ τῷ κυρίῳ νυμφευομένη, οὐ δυναμένη, οὔτε τὴν ὄψιν, οὔτε τὴν ἀκοήν, οὔτε τὴν παρουσίαν φυγεῖν, ἐν ὄψει αὐτοῦ ἅπαντα πράττει. διὸ δεῖ τὴν παρθένον κἂν μόνη τι λαλῇ εἰδέναι ὅτι ἐν ἀκοαῖς τοῦ νυμφίου λαλεῖ. κἂν πράττῃ τι μόνη, μὴ ἀγνοεῖν ὅτι τοῦτ' ἀκριβῶς οὗτος ὁρᾷ. κἂν ἐννοῇ τι, πεπεῖσθαι ὅτι ὀξέως τοῦτο κινούμενον, ἐπὶ τῆς καρδίας ἐπισκέπτεσθαι. ποιήσει γάρ τις φησὶν ἐν κρυφαίοις καὶ οὐ γνώσομαι; καὶ πῶς ὁ φυτεύσας τὸ οὖς οὐκ ἀκούσεται; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐ κατανοεῖ; ἢ ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει; ὁ διδάσκων ἄνθρωπον γνῶσιν, πῶς οὗτος οὐ τὰ πάντα γνώσεται, ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. διὰ τοῦτο ὁ μὲν τῆς ἁμαρτίας αὐτοῖς τετυφλωμένος ἀπὸ τῆς ἰδίας μοχθηρίας τὸν νοῦν καὶ ἑαυτὸν ἀπατῶν, ὡς ἄλλη λέγεται· σκότος καλύπτει με καὶ οἱ τοῖχοι κύκλῳ μου, καὶ τίς με ὁρᾷ. ἡ δὲ τὸ φῶς τοῦ νυμφίου καθαρὸν ἀεὶ εἰς τὸν ἑαυτῆς νοῦν δεχομένη, τὰ ἄξια τῆς ὀφειλούσης αὐτῷ προσεῖναι συνέσεως ἐπιφωνείτω καθ' ἕκαστον. ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ· καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. δοκιμαζέτω τοίνυν τὸ ἑαυτῆς βλέμμα τοῦ κυρίου ἡ νύμφη. καὶ εἰ μὲν ὁρῶν ἀρεσθήσεται, καὶ διὰ τοῦτο θαρροῦσα κινείσθω. εἰ δὲ οὐκ ἀρέσκει αὐτῷ, μὴ ἑαυτὴν ἀπατάτω· ἐπεὶ μηδεὶς τῶν ἀνθρώπων ὁρᾷ, ὅτι κἀκεῖνον λανθάνει. οὕτως ἐπισκοπείτω τὸν λόγον, τὴν ἔννοιαν, τῶν μελῶν καὶ δακτύλων καθ' ἕκαστον τὴν κίνησιν. καὶ εἰ μὲν ἀρέσκηται τούτοις, κινείσθω πρὸς ἕκαστον, εἰ δὲ μή, ὡς ὁρῶντος αἰδείσθω τὴν ὄψιν. εἰ γὰρ μεριμνᾷ πῶς ἀρέσει τῷ κυρίῳ, οὐδὲν ὀφείλει τῶν μὴ ἀρεσκόντων ποιεῖν. εἰ δὲ ὅτι οὐδεὶς τῶν ἀνθρώπων ὁρᾷ, πρὸς τὸ νεῦμα ἢ τὸν λόγον τολμᾷ, μάλιστα μὲν αὐτόθεν ἑαυτῆς ἐστι κατήγορος· αὐτὴν τὴν ἐπίνοιαν τοῦ λανθάνειν, κατήγορον τοῦ φαύλου τὸ συνειδὸς οὐδὲν ἔχουσα. ἔπειτα φανερῶς δ' εἴσεται πρὸς τὴν ἀξίαν τοῦ νυμφίου τυφλώττουσα. ἀσώματος γὰρ ὤν, μέσος καὶ ἐνθυμήσεων καὶ βλεμμάτων καὶ νοημάτων ἕστηκεν. ἀποστρεφόμενος μὲν τῆς τοιαύτης τὴν ὕπουλον γνώμην. τῆς δὲ πρὸς τοὺς ἔξω φαινομένης παρθενικῆς ὑπολήψεως, μισητὴν ἀποφαίνων· ὅτι τοὺς τῶν ἀνθρώπων ὀφθαλμοὺς ἀπατῶσα ὡς αὐτῷ ἑαυτὴν διὰ βίου νυμφεύουσα, οὔτ' ἐκείνου νύμφη, οὔτ' ἀνθρώπου καθαρῶς ἐστι γυνή, ἀλλὰ τὴν παρ' ἀνθρώπων δόξαν ἐπὶ τῇ παρθενίᾳ διὰ τοῦ παρθενικοῦ σχήματος κλέπτουσα ἐν ὀφθαλμοῖς τοῦ νυμφίου, παρ' ἀνθρώποις τὴν παρθενίαν ἑαυτῆς ἐμπομπεύει, μοιχεύεται. καὶ πρὸ τῆς μοιχείας ἁμαρτίᾳ ἣν εἰς τὸν νυμφίον ἑαυτῆς ἁμαρτάνει, ἔτι καὶ ἀσεβῶς εἰς τοῦτον ὑβρίζουσα. ὅτι τὴν ὄψιν τῶν ἀνθρώπων, αἰδεσιμωτέραν τῆς ἐκείνου ὄψεως ἀποφαίνει. ἐπὶ τούτων μὲν, διὰ τὴν ὑπόληψιν πράττειν τὰ ἀπρεπῆ οὐ τολμῶσα. ἐπ' ἐκείνου δὲ ἀεὶ παρόντος, ἀναιδῶς ἅπαντα πράττουσα. ὡς ὁρῶντος οὖν ἅπαντα καὶ ἀκούοντος τοῦ νυμφίου, ἡ παρθένος ἅπαντα πράξει οὐκ ἐὰν μόνος εἷς τις ἀκούῃ ἢ βλέπῃ τῶν νομιζομένων μὴ συγκρύπτειν ἢ συνεργάζεσθαι· φυλαττομένη ποιεῖν τι ἐφ' ᾧ ὁ κύριος οὐκ ἀρέσκεται. καὶ οὐκ ἐὰν μὴ ἀνὴρ ἀλλὰ γυνὴ καὶ τοῦτο κόσμον τῶν ὑπηρετουμένων παρῇ. κατατολμῶσά τινος, τῶν ἢ πρὸς καλλωπισμὸν ἢ ἄλλο τι νῦν ἔρωτα τῷ κυρίῳ μὴ ἀρεσκόντων. ἀλλὰ κἂν μόνη αὐτὴ ἢ μηδενὸς ἀνθρώπων παρόντος τὸ σύνολον· πράττειν τι τῶν μὴ ἀξίων τοῦ νυμφίου ἀνεχομένη. κἂν γὰρ μηδεὶς τῶν ἀνθρώπων ἄλλος παρῇ· ἀλλ' αὐτὴ ἑαυτῇ πάρεστιν ἡ παρθένος. καὶ πάντων μᾶλλον ἑαυτὴν ὀφείλει αἰδεῖσθαι. οὐ γὰρ δεῖ τοὺς μὲν ἄλλους ὡς αἰδοῦς ἀξίους φυλάξεσθαι, ἑαυτὴν δὲ ὡς οὐκ ἀξίαν αἰδοῦς ἀτιμάσει. ἀλλ' ὅπερ ἔφην πρῶτον ἑαυτὴν καὶ τὴν συνείδησιν ἑαυτῆς αἰδεσθήσεται κἂν μονωτάτη ὑπάρχῃ, ἔπειτα τὸν παρεστῶτα φύλακα ἄγγελον· οἱ γὰρ ἄγγελοι αὐτῶν φησὶ διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. καὶ οὐ δεῖ αὐτὸν κρυπτομένην ὄψιν ἀγγέλου τὴν ἐπιμέλειαν τῆς σωτηρίας ἡμῶν πεπιστευμένου, καταφρονεῖν. καὶ μάλιστα τὴν παρθένον, νυμφαγωγὸν ὥσπερ τῆς παρθενίας τοῦτον αὐτὸν καὶ φύλακα ἔχουσαν. πρὸ δὲ τῶν ἀγγέλων, αἰδείσθω αὐτὸν τὸν νυμφίον τὸν πανταχοῦ παρόντα, καὶ τὸν τούτου πατέρα, τό τε ἅγιον πνεῦμα. καὶ τί λέγω καθ' ἕκαστον· τὰ τῶν ἀγγέλων ἀναρίθμητα πλήθη· καὶ μετὰ τούτων, τὰ τῶν πατέρων ἅγια πνεύματα. οὐδεὶς γὰρ τούτων ἐστὶν ὃς οὐχὶ πανταχοῦ καθορᾷ. αὐτὸς μὲν σώματος ὄμμασιν οὐχ ὁρώμενος, ἀσωμάτῳ δὲ βλέμματι περιλαμβάνων εἰς γνῶσιν τὰ σύμπαντα. ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον, εἰ λανθάνειν βούλεται τοὺς πολλοὺς ἡ παρθένος. πολλῷ πλέον τούτοις τοσούτοις τε καὶ τοιούτοις ὑπάρχουσι, ἢ τοὺς ἀνθρώπους ὡς εἰκὸς αἰδεσθήσεται. καὶ ἐπειδὴ λανθάνειν τὸ πλῆθος τῆς ἁμαρτίας προείλετο. ἀδύνατον δὲ τούτους ὄντας πλῆθος λανθάνειν, οὐδέποτέ τι τῶν μὴ ἐπιβαλλόντων ποιήσει. τοιαῦτα μὲν οὖν ἐν τῷ παρόντι βίῳ περὶ ἑαυτὴν ἐννοοῦσα, πανταχόθεν οἰ-

Ἀβραὰμ καλῶν ὁ ἐρώμενος ἔλεγεν· ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω· ὁ δὲ ὡς ἂν ὃ ἐπόθει ἰδὼν, προθύμως τε εἵπετο, καὶ ἀλυπῶς ἂν οὕνεκα τοῦ ἔρωτος ἡδέως ἠνείχετο λέγων· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ᾔδει γὰρ ὅτι ὁ φιλῶν πρᾶγμα ἢ μέγα ὑπὲρ τὸ ὄντως καλὸν, οὐκ ἔστιν ἄξιος αὐτοῦ ἀπολαύειν, καὶ ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν· ἔτι δὲ καὶ τῇ ἑαυτοῦ ψυχῇ, οὐκ ἔστιν ἄξιος φίλος καὶ ἐραστὴς τοῦ καλοῦ καλεῖσθαι. διὸ τὸ γνήσιον τῆς περὶ αὐτὸν διαθέσεως οἱ τὰ αὐτοῦ μόνον μαρτυρῶντες ἐνδείξασθαι θέλοντες, ἰδοὺ φασὶν ἡμεῖς πάντα ἀφήκαμεν καὶ ἠκολουθήσαμέν σοι, τί ἔσται ἡμῖν καὶ ἀξίαν τὴν ἀμοιβὴν τοῦ περὶ αὐτὸν φίλτρου αὐτοῖς ἐντεῦθεν ἤδη ἀνακηρύσσων φησίν· ἀμὴν ἀμὴν λέγω ὑμῖν· ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθήσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, καὶ πᾶς ὅς τις ἀφῆκεν οἰκίας· ἢ ἀγροὺς, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ γυναῖκας, ἢ τέκνα, οὕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει. ἀκόλουθον γὰρ ἦν τοῖς ἔργοις τὸν περὶ αὐτὸν ἔρωτα δι' ὅλου βίου καθαρὸν ἀποδείξαντι, ἄξια τῶν περὶ αὐτῇ ἱδρώτων τὰ γέρα λαμβάνειν. τοιοῦτον δὴ ἔρωτα τὴν παρθένον ἐρῶσαν, καταφρονεῖν μὲν ἡδυπαθείας, καὶ τοῦ πλούτου καὶ τῆς νομιζομένης ἐν τῷ κόσμῳ τρυφῆς. πατοῦσαν δὲ τὴν πρόσκαιρον δόξαν, καὶ τῦφον, καὶ σώματος κάλλος, καὶ τὰς ἐμπαθεῖς κολακείας, ἀμεταστρεπτὶ τῷ λόγῳ ἀκολουθεῖν λέγουσαν· ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι. τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου. πάντα μὲν τὰ νομιζόμενα τοῖς περὶ τὸν βίον τοῦτον ἐπτοημένοις καλά. οἷά περ αὐτά τις ὀνομάζειν ἐθέλει, οὐχὶ καταγέλαστα ἀποφαίνουσαν. οὐ δὲ μόνον καλὸν τὸ οἰκεῖον ἐρῶσαν, κἀκεῖνο τεταμένῳ τῷ ὄμματι περιέπουσαν ὅτι καὶ ὁ νυμφίος τοῦ περὶ αὐτὸν ἔρωτος αὐτὴν ἀμειβόμενος. κἂν δούλη, κἂν ἀγεννὴς, κἂν πενιχρά τε καὶ ἄσημος. κἂν ἐν τῷ κατὰ γῆν βίῳ ἀπερριμμένη ὑπάρχῃ διὰ τὴν πρὸς αὐτὸν κοινωνίαν διαγλαΐζων βασιλίδα ὁμοίαν ποιεῖ. οὐ τῇ τῆς ἀφθαρσίας εὐγενείᾳ τῆς φύσεως τιμῶν μόνον, ἀλλὰ καὶ τῇ ἔξωθεν περιβολῇ φιλοτιμότερον, ὡς ἑαυτοῦ νύμφην ποικίλως κοσμῶν. ἧς ὁ ᾠδικὸς θαυμάζων τὴν δόξαν, πρὸς τὸν νυμφίον φησί· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη. ὥστε τὴν νῦν ῥακώδει ἐσθῆτι καὶ δουλικῷ σχήματι καὶ τῇ ἀτελεῖ νομισθεῖσαν, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, βασιλίδα καὶ εὐγενίδα καὶ κόσμῳ σεμνυνομένην τῷ βασιλεῖ παρεστῶσαν δείκνυσθαι. καὶ ἄτοπον τὸν μὲν νυμφίον διὰ τὸν περὶ αὐτὴν ἔρωτα, καὶ εὐγενείας καὶ πλούτου καὶ αἰσχύνης καταφρονήσαντα τὴν ἐσχάτην πτωχείαν τοῦ Ἀδὰμ ὑπομεῖναι, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. τὴν δὲ νύμφην μὴ δὲ τοῖς ἴσοις ὑπὲρ τῆς ἑαυτῆς ἀφθαρσίας τὸν ὑπὲρ αὐτῆς ἀποθανόντα ἀμείβεσθαι. ἀλλὰ κατασπαταλᾶν καὶ θρύπτεσθαι καὶ τῷ κόσμῳ σχηματίζεσθαι καὶ μὴ τῷ δι' αὐτὴν πτωχεύσαντι κατὰ τὸν βίον συμπτωχεύειν τε ἅμα καὶ ταπεινοῦσθαι, ἵνα καὶ εἰς τὸν οἰκεῖον τῆς θεότητος πλοῦτον ἐπανιέναι αὐτῷ. ἡ τῷ δι' αὐτὴν πτωχεύσαντι συμπτωχεύσασα. κοινωνός τε τοῦ πλούτου καὶ τῆς βασιλείας ἐν οὐρανοῖς εὑρεθῇ. παροράτω τοιγαροῦν πᾶν τὸ ἐν ὄψει φαινόμενον. κἂν καλοῦ δόξῃ φαντασίαν παρ' ἅπασιν ἀποφέρεσθαι. μᾶλλον δὲ τὴν ἀρχὴν, μὴ δ' ὁρᾶν ἀξιούτω. ἀλλ' ἔκστασίν τινα θείαν οἵαν ὑπέμεινεν ὁ ἐν τῇ ἐκστάσει εἰπὼν πᾶς ἄνθρωπος ψεύστης. τῶν τ' αἰσθήσεσι καὶ τοῖς συνδούλοις ἐκ τούτων ἐκστᾶσα, γυμνῷ φημὶ τῷ νῷ τοῦ καθ' ἑαυτὸν ἔρωτος ἐμφορείσθω. μηδαμῶς μὲν μὴ βλέμμα, μὴ κίνημα, μὴ λόγον ἑαυτῆς ἐμπαθῶς πρός τινα φέρουσα. ὅλας δὲ ἑαυτῆς τὰς δυνάμεις, θεραπαίνας τοῦ οἰκείου νυμφίου ποιοῦσα. πανταχοῦ γὰρ ὁρῶν τὸ ἐνδιάθετον αὐτῆς, διὰ πάντων ἀκριβέστερον, κατασκέπτεται. καὶ κατ' οὐδὲν δεῖ μέρος τὴν παρθένον μοιχεύεσθαι. μὴ γλώσσῃ, μὴ ἀκοῇ, μὴ ὀφθαλμῷ, μὴ ἁφῇ, μὴ ἄλλῃ τινὶ συνόλως αἰσθήσει. ἔτι δὲ μᾶλλον τῇ διανοίᾳ. ἀλλὰ τὸ μὲν σῶμα, ὥσπερ τινα ναὸν ἢ παστὸν τοῦ νυμφίου ἔχειν ἀπερισπασμένον. τὴν δὲ ψυχὴν ἐν τούτῳ αὐτῷ νύμφην καθαρὰν συνανάγειν. ἀκριβοῖ γὰρ οὗτος οὐ τὰ ἐν τοῖς ὀφθαλμοῖς ὁρώμενα, ἀλλὰ καὶ τὰ ἐν τῇ διανοίᾳ λανθάνοντα. καὶ οὐκ ἄν ποτε μοιχωμένη λάθοι τούτου τὸ ὄμμα. αἱ μὲν γὰρ θνηταῖς ἀνδράσι συζῶσαι, ὅταν πρὸς κακίαν ὀκείλωσι, τὰ τῆς μοιχείας περιεργάζονται πράγματα. τάς τε εἰσόδους καὶ τὰς ἐξόδους τῶν ἀνδρῶν ἐπιτηροῦσαι. καὶ τὸ ὄμμα καὶ τὴν ἀκοὴν αὐτῶν ὡς οἷόν τε μάλιστα πανούργως φυλάττουσαι, κατὰ τὸ λεληθὸς καὶ λόγων μοιχικῶν καὶ βλεμμάτων κλέπτουσι. καὶ τὴν ἀκοὴν καὶ τὴν ὄψιν πρὸς τὴν ἀκόλαστον ἡδονὴν

νῃ παρέσεσθαι, ἀλλὰ καὶ τῇ περὶ αὐτὴν ἀγάπῃ αὐτοῦ, καὶ τῇ εἰς πάντα διαρκεῖ δυνάμει θαρροῦσα, οὐδὲν ἕτερον, ἢ πῶς ἀρέσαι αὐτῷ φροντίζει, δι' αὐτοῦ τοῦ φροντίζειν πῶς ἀρέσῃ αὐτῷ, τὴν εἰς αὐτὴν εὔνοιαν αὐτοῦ ἐπὶ πλεῖον ἄγουσα. τί δέ ἐστι τὸ ἀρέσκειν παρθένον θεῷ; ἢ τὸ φυσικὸν αὐτῆς κάλλος ταῖς ἀρεταῖς ἀποστιλπνῶς ἀεὶ ἀναλάμπειν δεικνύναι, καὶ ἄφθαρτον τοῦτο δι' ὅλου φυλάττειν. ὥστε τὸ τῷ θεῷ ἐξαρεσκεύεσθαι θέλειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἑαυτὴν ἐπαινετόν τε καὶ μακάριον καὶ ὅμοιον αὐτῷ ἐξεργάζεσθαι. καὶ ἀρέσκει ἡ μεριμνῶσα πῶς ἀρέσῃ τῷ κυρίῳ, οὐκ ἐκείνῳ ᾧ μεριμνᾷ ἀρέσκειν διὰ τῆς μερίμνης κέρδος πορίζουσα, ἀλλ' ἑαυτῇ διὰ τῆς περὶ αὐτὸν μερίμνης κάλλος καὶ ἀφθαρσίαν συνάγουσα. εἰ δὲ τοσοῦτον τῆς παρθένου τὸ κέρδος, καὶ δι' ὧν μεριμνᾷ πῶς ἀρέσῃ τῷ κυρίῳ τὸ ὅλον ἑαυτὴν ὠφελεῖ καὶ μακαρίαν ποιεῖ, οὐδὲ μεριμνᾶσαν αὐτήν ποτε τὰ τοῦ κόσμου ἀρέσκεσθαι. ἀνάγκη γὰρ ἐν ᾧ μεριμνᾷ τὰ τοῦ κόσμου, καὶ τῆς περὶ τὸν κύριον μερίμνης ἀμελεῖν, καὶ αὐτὴν ἀπιστοῦσαν τῷ κηδεμόνι ἐλέγχειν. οὐδὲ γὰρ ἐγχωρεῖ καὶ πιστεύειν αὐτῷ ὡς ἐπαρκεῖν ἅπαντα δυναμένῳ, καὶ περὶ τὴν τῶν κοσμικῶν ἐπιδεῖσθαι φροντίδα. ἀλλ' εἰ μεριμνᾷ πῶς ἀρέσῃ τῷ κυρίῳ, εἰδέναι πάντως, ὅτι καὶ αὐτὸς μεριμνᾷ πῶς ἀρέσῃ αὐτῇ κατὰ μηδὲν ὑπόχρεως ὤν. εἰ γὰρ θνητὸν ἄνδρα γυνὴ προστάτην τοῦ ἑαυτῆς βίου ποιησαμένη, τῆς περὶ αὐτὸν μερίμνης ἀμοιβὴν παρ' αὐτοῦ τὴν εἰς ἅπαντα κηδεμονίαν ἀντιλαμβάνει, πολλῷ μᾶλλον ἡ θεῷ τὴν προστασίαν ἑαυτῆς ἐπιτρέψασα, κἀκείνῳ συμβιοῦν ἑλομένη, ἀφθονωτέραν τῆς περὶ αὐτὸν μερίμνης τὴν παρ' αὐτοῦ ἀμοιβὴν εἰς πάντα προνοοῦντος ἐνδέχεται. ἔχεις δὲ τὸ ἐνέχυρον τῆς πίστεως, ἀπὸ τῆς προλαβούσης κηδεμονίας. εἰ γὰρ μηδέπω μεριμνώσης ἀρέσκειν ἐφρόντισε καὶ ἑαυτὸν ὑπὲρ αὐτῆς ἑτοίμως παρέδωκεν ἵνα αὐτὴν τῷ ἑαυτοῦ αἵματι ἀγοράσῃ, πολλῷ μᾶλλον βουλομένης ἀρέσκειν φροντίσει, καὶ μηδὲ τῶν λοιπῶν τῶν πρὸς τὴν ὄντως ζωὴν αὐτῇ συντεινόντων, καὶ τὰ ἔξωθεν συγχρειώδη εἰς ἑαυτὸν ἀναλήψεται. οὐ καταθρύψεται δὲ τοῦ νοῦ, ὑπὲρ τὴν κατεπείγουσαν χρείαν ὥσπερ φιλήδονος γυνὴ τὰ περιττὰ ἀπαιτοῦσα. οὔτε γὰρ ἐκείνῳ διδόναι ἁρμόττον, ἃ ἐγκόπτει ἐκείνης τὴν πρὸς τοῦτον ἀρέσκειαν πρὸς τὰ ἴδια τοῦ σώματος περιφερομένης, οὔτε ταύτῃ συμφέρον ταῦτα λαμβάνειν, τὰ μετεωρίζοντα τῆς περὶ αὐτὸν ἀρεσκείας τὸν νοῦν ἀσχολίᾳ. ἀλλ' ἔσω τῆς χρείας τὸ ἀναγκαῖον τῆς ἐν σώματι ζωῆς φρονίμως θεμένη, οὐδὲν μὲν πλέον τούτων αἰτήσει· οὐδὲν δὲ καὶ τριβομένη ἐν τῇ ἐνδείᾳ τῶν ἀναγκαίων, πολλάκις δι' ἀπειρίαν τῆς περὶ αὐτὴν ἀγάπης, μικροψύχως λυπηθήσεται. ἀλλὰ πάντα στέγουσα, πάντα ἐλπίζουσα, πάντα ὑπομένουσα, προσηλωμένη αὐτῷ ἀνυποκρίτῳ φίλτρῳ τὴν ψυχὴν ἐν νεκρῷ καὶ ἀναισθήτῳ τρόπον τινὰ τῷ ἔξωθεν σώματι, ἀπερισπάστως τοῦ κάλλους αὐτοῦ ἐμφορηθήσεται. ὡς γὰρ ἐπικαίρου κάλλους ἐρῶν, οὐ τὰ χρήματα μόνον καὶ πάντα τὸν πλοῦτον ἑαυτοῦ ὑπὲρ τοῦ ἔρωτος ἀφειδῶς ἀναλίσκει, ἀλλὰ καὶ τροφῆς, καὶ ὕπνου, καὶ ἐσθῆτος καὶ σχήματος, καὶ ὑπολήψεως πάσης, ἔτι δὲ αὐτοῦ τοῦ σώματος καὶ τῆς ἐν τούτῳ ζωῆς καταφρονῶν ἕνεκεν τοῦ τυχεῖν τοῦ ἔρωτος μόνου, καὶ τείχη καὶ οἴκους, καὶ τὰ ἐν μέσῳ τολμηρῶς ὑπερβαλλόμενος ἅπαντα κατὰ ξιφῶν μαινόμενος φέρεται. οὐδέν τι μᾶλλον εἰ ἀποτυγχάνειν μέλλοι κατὰ τὸ σύνηθες σχῆμα βαδίζων ἐπὶ τὸν ἔρωτα τούτου φροντίζων, ἢ εἰ δέοι μετασχηματισάμενον καὶ μηδ' ἀπρεποῦς σχήματος ἕρποντα τυχεῖν τούτου μεθ' ἡδονῆς ἀνεχόμενος. οὕτως ὁ ἐρῶν ὄντως θεοῦ καὶ μεριμνῶν πῶς τῷ ἐρωμένῳ ἀρέσῃ, οὐ χρημάτων μόνον καὶ πλούτου ἕνεκα τοῦ πληροφορῆσαι τὸν ἐρώμενον, διὰ τοῦ ὑπακοῦσαι αὐτοῦ τοῖς τῶν ἐντολῶν ἐπιτάγμασι, καταφρονεῖν μόνον ὀφείλει, ἀλλὰ καὶ ἀναγκαίας τροφῆς καὶ ὕπνου καὶ τοῦ ἔξωθεν σχήματος, καὶ τῆς ἐν τῷ κόσμῳ τούτῳ διεφθαρμένης ἀληθῶς ὑπολήψεως. ἔτι δὲ αὐτοῦ σώματος, καὶ τῆς ἐν τούτῳ ζωῆς ἀμελήσας ἕνεκα τοῦ ἐπιτυχεῖν τοῦ ἔρωτος τοῦ ἐπουρανίου, καὶ τείχη τῶν πρὸς αἷμα γενῶν, καὶ οἴκους πατέρων καὶ τὸν ἐν μέσῳ κόσμον ὑπεράλλεσθαι. καὶ κατὰ ξιφῶν τοῦ μαρτυρίου ἐν ἀπαντήσει πηδήσας, εἰ μὴ μέλλοι ἐν τῷ συνήθει σχήματι ζῶν τυγχάνειν τοῦ ἔρωτος, καὶ τοῦ πιναροῦ σχήματος καὶ τοῖς πολλοῖς ἐπονειδίστοις τοῦ βίου μεθ' ἡδονῆς ἀνέχεσθαι. ἵνα τὴν θείαν ὥς τις εἴποι μανίαν ὑπὲρ τῆς τοῦ καλοῦ ἀπολαύσεως ἐνθέσμως μανείς, τοῦ ὄντως ἐρασμίου ὅσον βούλεται ἀπολαύσῃ. τοῦτον τὸν ἐραστὴν πρὸς ἑαυτὸν ἐκ τῶν κατὰ γῆν παθῶν

ἀνακαλῶν

ἡ μὲν γὰρ ἐν τῷ γάμῳ ζευχθεῖσα, τῇ δὲ ἑαυτῆς φροντίδι καὶ ἑτέραν τὴν τοῦ ἀνδρὸς προσλαβοῦσα, διδυμόν τινα ἐκ μιᾶς ψυχῆς τοῦ τε συμφυέντος αὐτῇ σώματος φροντίδα ὑφίσταται. οὐκέτι τῷ οἰκείῳ κάμνουσα σώματι, ἀλλ᾽ ἐν μιᾷ ψυχῇ τό τε τοῦ ἀνδρὸς καὶ τὸ ἑαυτῆς ἐν ταῖς νόσοις ἀεὶ τεμνομένη. εἶτα ἐντεῦθεν τὰς τῶν τέκνων παραφυάδας βλαστήσασα, ἑκάστῳ τῶν τικτομένων συναποσχίζεται τὴν ψυχήν, τὴν τοῦ ἐπιγινομένου φροντίδα προσθήκην τῶν ὑπαρχόντων ἀνιαρῶν, προσλαμβάνουσα. καὶ χρηστοῦ μὲν τυχοῦσα ἀνδρός, ἀεὶ τῷ φόβῳ τοῦ θανάτου τὸ δεινὸν ὑφίσταται τῆς χηρείας. δεινήν τινα τηκεδόνα καὶ παρόντος καὶ ἀποδημοῦντος διὰ τὸ ἄδηλον τῶν συμπτωμάτων κατὰ ψυχῆς δεχομένη. πικρῷ δὲ τὸ ἐναντίον ζευχθεῖσα, ὅλην μὲν τὴν ζωὴν κόλασιν ἔχει, οὐδέτερον δὲ διὰ σωφροσύνην. οὔτε τὸν θάνατον τοῦ ἀνδρὸς διὰ τὸ πικρὸν τῆς χηρείας. οὔτε τὴν ζωὴν διὰ τὸ ἀηδὲς τῆς συμβιώσεως ἐκλέξασθαι δυναμένη, τῷ ἀφύκτῳ δεσμῷ ταῖς ἀνίαις ἀεὶ τὴν ψυχὴν κατατέμνεται. εἶτα παῖδας τεκοῦσα, ἢ ἀγαθοὺς γενομένους ὁρᾷ, καὶ μείζονα τῆς κατὰ τὸν τόκον ὠδῖνος τὴν ἐκ τῆς ἀποτυχίας τούτων ὀδύνην διὰ βίου βαστάζει. ἢ φαύλους ἐκβάντας ἰδοῦσα, καὶ τῆς ἀτεκνίας βαρύτερον αὐτῇ τῇ τεκνογονίᾳ τὸ ἄχθος φέρει. ἢ πρὶν εἰς πεῖραν ἐλθεῖν τῶν προειρημένων δεινῶν, ἅμα τε νύμφη καὶ χήρα ἐγένετο. καὶ ἡ ἄπαις εἰς χηρείαν καταντήσασα. οὔτε γυνή, οὔτε παρθένος, οὔτε μήτηρ ἐστί, πάντων δὲ ὁμοῦ τῶν νομισθέντων ἡδέων ἀπὸ τοῦ γάμου τυχοῦσα, ἐζημίωται μὲν διὰ βραχεῖαν ἡδονὴν τὸ κάλλος τῆς παρθενίας. τοσοῦτον δὲ γάμου πεπείραται, ὅσον τὸ πικρὸν τῆς χηρείας γνωρίσαι, ἢ ἐν τῇ χηρείᾳ ὀρφανοὺς ἀνατρεφομένη τοὺς παῖδας ὑπόμνημα τῆς κατὰ τὸν ἄνδρα ὀδύνης τούτους ὁρᾷ. ἀεὶ μὲν ἐν δάκρυσιν, ἀεὶ δὲ ἐν στεναγμοῖς, ἀεὶ δὲ ἐν θλίψει τῆς τούτων ἀνατροφῆς πεφυρμένη. οὐ μόνον οὐδὲν παραμύθιον τοῦ συμβάντος κακοῦ ἀντίρροπον ἔχουσα, ἀλλὰ καὶ συγγενέσι, καὶ οἰκέταις, καὶ ἐπιτρόποις τῶν παίδων, καὶ αὐτοῖς ἀνδρωθεῖσι πολλάκις τοῖς παισί, καὶ πᾶσι συνελὼν τοῖς αἰκίζειν ἐθέλουσι λάφυρον ἔρημον ἐκκειμένη, οὐδὲν ἕτερον, ἢ δρᾶμα λύπης καὶ πένθους τὴν ζωὴν ἑαυτῆς τῷ βίῳ εἰσενεγκοῦσα. καὶ τί γὰρ δεῖ πλέον λέγειν, διαστῆναι μετὰ προικὸς ἡ γυνὴ ὠνουμένη τὸν ἄνδρα. δούλη μὲν ἀντὶ ἐλευθέρας ἐστί, μικρᾶς τῆς κατὰ τὸν γάμον ἡδονῆς τὴν φυσικὴν ἐλευθερίαν ἀπεμπολήσασα. θύραν δὲ ἀμυθήτων ὠδίνων, καὶ ὅλην ὑπόθεσιν ἀλγηδόνων ἑαυτῇ τὸν γάμον ἀνοίξασα. μένει γὰρ
» ἄρρηκτος κατ᾽ αὐτῆς ἡ ἀρά, κατὰ πάντα γάμον ὥσπερ ἐπιθαλάμιον ᾄδουσα. ἐν λύπαις
» τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἡ δὲ παρθένος τὸν πρὸς τὸν ἄνδρα ζυγὸν ἀπορρήξασα, καὶ πρὸς τὸν κύριον ὅλη δραμοῦσα, συναπέρρηξε τῷ ζυγῷ καὶ τὴν ἐκ τῆς κατάρας ὀδύνην. ἔφυγε γὰρ τὰς ἐπὶ τοῖς τέκνοις ὠδῖνας, ἔφυγε τὴν πρὸς τὸν θνητὸν ἄνδρα δουλείαν, καὶ συνόλως ἅπαντα τὰ ἐκ τοῦ γάμου δεινά. συναπέδρα τοῖς λοιποῖς, καὶ τὰ πρὸς τὴν πολύχουν τοῦ παρόντος βίου ἁμαρτίαν πολύπλοκα δίκτυα. πρὸ δὲ πάντων αὐτὴν τὴν ἐκ τῆς συμπλοκῆς τῶν σαρκῶν συμβαίνουσαν φθορὰν πρώτην φυγοῦσα, ἄφθορος ὅλη ἐν σαρκὶ ψυχῇ, τῷ κυρίῳ νυμφεύεται. οὐκέτι μὲν πρὸς θνητὸν ἄνδρα τὴν ἑαυτῆς ἀποστροφὴν εἶναι ἀνεχομένη, αὐτοῖς ἔχει δὲ αὐτὴν ἐν ἀσαλεῖ βίῳ τῷ κυρίῳ παραδεικνῦσα. τοῦ γὰρ γάμου φθορὰν καὶ ὕβριν τὴν ὑπόθεσιν κατιδοῦσα, καὶ ἐκ τῆς ὑποθέσεως τὸ ὅλον δρᾶμα τοῦ γάμου φρονίμως συνελογίσατο, καὶ ἀποφυγοῦσα τῶν ἀνιαρῶν τὴν πρώτην ὑπόθεσιν, συναπέφυγεν ἅμα καὶ τὴν ἐκ τῆς
» ὑποθέσεως φυομένην κακίαν. διό, ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσῃ τῷ κυρίῳ. ἡ δὲ
» γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσῃ τῷ ἀνδρί, καὶ μεμέρισται καὶ ἡ γυνή, καὶ
» ἡ παρθένος. ἡ ἄγαμος, μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία τῷ σώματι καὶ τῷ πνεύματι.
οὐκ οὖν πρὸς τὴν τὰ τοῦ κόσμου μεριμνῶσαν μερισαμένη τὴν μέριμναν, τὴν μὲν φθαρτῷ ἐζευγμένην ἀνδρὶ τὰς τοῦ κόσμου ὑπὲρ τῶν φθαρτῶν φροντίδας προσέρριψεν, ἑαυτῇ δὲ τὰς ὑπὲρ τῶν ἀφθάρτων συγγενεῖς οὔσας τοῦ οἰκείου νυμφίου ἀνέθηκε. διὸ οὐδὲν τῶν τοῦ κόσμου μεριμνῶσα ἀρέσκεται, ἵνα μὴ δόξῃ κοινοποιεῖν ἑαυτῇ πρὸς τὴν ἑτέραν, τὴν μέριμναν. ἀλλὰ πασῶν τῶν κοσμικῶν φροντίδων καθαρῶς καθαρεύουσα. καθαρῷ καὶ ἀταράχῳ τῷ νῷ πρὸς τὸν νυμφίον ἐπιτρέχει. οὐδὲ γὰρ ἀπατοῦσα τῇ ποριστικῇ δυνάμει τοῦ οἰκείου ἀνδρός, ὑπὲρ τὰ ἀναγκαῖα ὥσπερ ἐκεί-

ὡς δοκεῖ τούτων τῶν γάμων· καὶ τὴν περὶ αὐτῶν σπουδὴν ἢ ἤδη ἐνδεικνύσθωσαν·
ἡ δὲ παρθένος τὸν ἑαυτῆς νυμφίον ἀεὶ περιέπουσα. εἰ δοκεῖ καὶ αὐτῇ ὅλως μνηστευθῆναι,
τούτῳ μᾶλλον ταῖς ἀχράντοις νύμφαις πρὸς ἀφθαρσίαν προμνηστευέσθω, καὶ ἀνεῖναι
μὲν, περὶ τὸν θεῖον πονείσθωσαν θάλαμον. αὕτη δὲ μετὰ τῶν φρονίμων ἡμμένῃ λαμ-
πάδι περὶ τὸν νυμφίον χορευέτω, ἡ ἑπομένη τῷ νυμφίῳ τῷ οἰκείῳ φωτὶ τῆς παρθενίας, καὶ
ἑτέρας πρὸς παρθενίαν νυμφαγωγοῦσα. αἰσχύνης γὰρ ὡς ἀληθῶς, καὶ ὀνείδους μεστὸν τῇ
παρθένῳ τὸ πρᾶγμα, ὅταν αἱ μὲν προληφθεῖσαι τοῖς γάμοις, ὥσπερ δι᾽ ἀπειρίαν τῶν
ἐν οἷς ἔμελλον γίνεσθαι, ἐμπλακεῖσαι τῆς ὀδύνης τῶν γάμων τὰς ἀζύγας τῶν ὁμοίων
ἀλγηδόνων πειραθῆναι γενναίως ἀποτρέπουσαι. καὶ τὸ ἄχραντον τοῦτο νυμφίου καὶ τῶν
ἐκείνῳ νυμφευομένων· κατά τε τὸν παρόντα καὶ μέλλοντα βίον ὡς ἀληθῶς μακαρί-
ζουσαι, ἐπὶ παρθενίαν παρακαλῶσιν. ἡ δὲ παρθένος, προμνηστεύειν φημὶ ἀπαξιοῖ τοῖς
γάμοις, τὸ ἐναντίον οἶμαι δι᾽ ὧν περιττεύει ἐμφαίνουσα, ὅτι προληφθεῖσα ἄρα τῇ κατασχέ-
σει τῆς παρθενίας, δι᾽ αἰδῶ λοιπὸν πρὸς ταύτην σχηματίζεσθαι ἀναγκάζεται. ἀποδεχο-
μένη δὲ τῇ διαθέσει τὸν γάμον, καὶ μεταμελομένη τάχα, εἰς ἃς ἀπεστέρηται ἡδονὰς, οἷς
περιττεύει περὶ αὐτὸν, ἔχειν ἐν ψυχῇ διάθεσιν οὐ μετρίως ἐμφαίνει, ὥσπερ γυμνὰς τὰς
γαμουμένας ἐνδείκνυσθαι θέλουσα. ὅτι συνήδεται αὐταῖς, εἰς ἃς μέλλουσιν ἡδονὰς ἀπο-
λαύειν. μεμαρτυρημένη γοῦν πρὸς τὸν γάμον ἡ παρθένος, τόν τε βίον, καὶ ὅλον τὸ ἦθος·
τὰ ἐπιβάλλοντα ἔργα τῇ παρθένῳ ἐν παντὶ ἐπιγνώσεται. ἀδιάφθορον κατὰ πάντα
ἔργοις τὸ κάλλος τῆς παρθενίας τηροῦσα, ἵνα μὴ ἀδιαφόρως ἐκχεομένη πρὸς τὰ μὴ πρέ-
ποντα, οἷς περιττεύει λυμαίνηται τοῦτο ὃ μεταποιεῖσθαι σπουδάζει. ἀλλ᾽ οὕτω μὲν ἀκριβὴς ἔσται,
καὶ λαλοῦσα καὶ σιωπῶσα, καὶ προϊοῦσα ἡ ὄντως παρθένος. δεῖ δὲ ὅπερ ἔφην, μὴ
ἁπλῶς καὶ ὡς ἔτυχε, μηδὲ μόνην, ἀλλὰ κατὰ τὸν προειρημένον σκοπὸν, μετὰ κοσμίων
καὶ βίῳ, καὶ ἡλικίᾳ γυναικῶν προϊοῦσαν, μηδαμοῦ μὲν ἐν ἀπρεπέσι συνόδοις, ἢ ἀγο-
ραῖς, οὔτε ἀκόσμων ἀνθρώπων συμβαίνει ταῖς διατριβαῖς συγκροτεῖσθαι, ταύτην ὁρᾶ-
σθαι, ἀποσχοῦσαν δὲ τοῦ καιροῦ τῆς προελεύσεως τοιαύτην καὶ σχήματι καὶ βαδίσματι,
καὶ ὅλῳ τῷ κινήματι παρὰ τῶν ἐντυγχανόντων ὁρᾶσθαι. ὡς πάντας τοὺς ἀπαντῶν-
τας, καθάπερ ἄγαλμα θεοῦ προσιδόντας, πλήττεσθαι μὲν πρὸς αἰδῶ πάντως τὴν
ὄψιν, σωφρονίζεσθαι δὲ τὸν νοῦν τῇ τοῦ καλοῦ ἀπομνήσει, σέβειν δὲ τὴν θέαν, καὶ ὡς
θεοῦ ὥσπερ ἔφην εἰκόνι ἐπιχαίρειν, καὶ ἐντρέπεσθαι. ὡς γὰρ σατύρων εἰκόνες ὀφθεῖσαι
γέλωτα τοῖς θεωροῦσιν ἐκίνησαν, καὶ ὡς κατηφείας γέμουσαι, ἀλλ᾽ εἰκόνες τὸν νοῦν
τῶν ὁρώντων, καὶ τὴν ὄψιν πρὸς τὴν τῶν σκυθρωπῶν φαντασίαν συνέχεαν, καὶ ὡς
οὐδὲν μὲν τούτων κινουμένων τὴν τῶν ὁρατῶν ὄψιν πρὸς ἑαυτὸ διατίθησιν, ἐν ἀκινήτῳ
δὲ τύπῳ ὁρωμένη, ἐν τῇ ἀκινήτῳ μορφῇ τὰς τῶν ζώντων διαθέσεις ὅμως μετακινεῖ, καὶ
πρὸς τὰς οἰκείας φαντασίας μεταρρυθμίζει. οὕτω καὶ ἡ παρθένος σωφροσύνης εἰκὼν,
μᾶλλον δὲ αὐτοαρετῆς ἄγαλμα οὖσα, καὶ ὀφθεῖσα μόνον, τὰς τῶν ὁρώντων ὄψεις πρὸς
τὴν τοῦ θείου ἔννοιαν ἐπιστρέφειν ὀφείλει. πληγήτω γοῦν τις ἀκόλαστος τὴν ψυχὴν, τῷ
τῆς σωφροσύνης κάλλει ἐκ τῆς παρθενικῆς θέας ἀπομνησθείς. ἀναμνησθήτω δέ τις
θεοῦ, τὴν περὶ ζῆλον τῶν ἐντολῶν αὐτοῦ ἀσκουμένην εἰκόνα ἰδών. καὶ συνόλως εἰ-
πεῖν, μεταρρυθμιζέσθω, τῶν ἀπάντων τῶν τῇ παρθένῳ καὶ βλέμμα καὶ κίνημα, πρὸς
τὴν τοῦ καλοῦ φαντασίαν, καὶ πάντας μὲν οἱ συντυγχάνοντες, ἐπιστρεφέσθωσαν
τὴν διάνοιαν. μηδεὶς δὲ ὥσπερ σατύρου ἢ ἡδονῆς ὅλον τεθρυμμένην ὄψιν ἰδὼν διε-
χυθείη πρὸς ἁμαρτίαν, ἐφόδιον ψόγου μὲν τῇ ὀφθείσῃ τῆς ἐπιβούλου παρθενίας τὴν
θέαν. ἑαυτῷ δὲ μείζονος ἁμαρτίας τὴν συντυχίαν τῆς παρθένου λαβών. οἰκείου
θεοῦ εἰκόνος κατὰ πάντα ῥυθμὸν ἑαυτὴν ὡς ἂν εἴποι τις γλύμμα ἡ παρθένος ἀσκήσα-
σα, ὅλην μὲν ἑαυτὴν τῶν τοῦ κόσμου φροντίδων ἔξω ποιήσει. τῶν δὲ τοῦ σώματος ἡδο-
νῶν τὴν ψυχὴν ἀποστήσει, καὶ ὅλον τὸν νοῦν πρὸς τὸν ἔρωτα τὸν οὐράνιον τείνασα, τὰ κα-
τὰ γῆν τερπνὰ πάντα πατήσει. οὐκ ἀποδεχομένη μᾶλλον τούτοις νομιζομένοις λαμ-
προῖς ἐν τρυφαῖς, ἢ τῆς ταλαιπωρίας αὐτῆς ἣν ἐν τῇ ζωῇ διαντλοῦσι κατὰ λόγους
οἰκτιζομένη. ἐκ παραλλήλου γὰρ τὰς τῆς γεγαμημένης πολυμόρφους ὡς ἂν εἴποι τις χώ-
ρας πρὸς ἑαυτὴν θεωροῦσα, ἂν ἐντεῦθεν ἤδη ἀπολαύει, πάντως ἑαυτὴν τοῦ σκοποῦ ἀποδέξει.

χὴν ἀπαιδεύτοις ἐννοίαις, καὶ τὸ σῶμα ἀνέτοις σκιρτήμασι φθείρουσα πολλῷ αἱρετώτερον ἀνδρὶ συναφθεῖσαν, τούτῳ πρὸς τὸν βίον ἡνιοχεῖσθαι. τότε χρήσιμον εἰς βοήθειαν κατὰ τὸν οἶκον ἀμοιβὴν τῆς προστασίας αὐτῷ ἀντικτινοῦσαν. καὶ γηροκόμοις παῖδας εἰς διαδοχὴν τοῦ γένους ἀγαθοῖς παριστῶσαν. καὶ σὺν γυναιξὶ μέρει τοῖς τοῦ ἀνδρὸς ζηλοτυπίαις ὡς οἷόν τε τῷ νῷ παρθενεύουσαν, ὡς ὁ τῆς ἀληθείας λόγος ταῖς τοῖς τοιούτοις, καὶ ταῖς οἰκίαις ἀπαιδεύτως ἐπιπολαζούσαις, οὐδὲ παρθένοις γνωρίζει. ἀργαὶ γὰρ μανθάνουσι, περιερχόμεναι τὰς οἰκίας. οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι λαλοῦσαι τὰ μὴ δέοντα. εἰ δὲ χήραν ἀνδρὸς ἤδη πεῖραν λαβοῦσαν, καὶ ὀφθαλμοῖς ἀνδρῶν ὁμιλεῖν γυμνασθεῖσαν, οὐ δεῖ ἀναιδῆ καὶ γλῶσσαν καὶ πόδας πρὸς τοὺς τυχόντας κινεῖν, ἵνα μὴ τοῖς προειρημένοις ἐγκλήμασιν ὑποπέσῃ. πόσῳ μᾶλλον δεῖ τὴν παρθένον, τὸν τῆς αἰδοῦς πρὸς ἄνδρα, μηδέποτε ἀπαμφιεσαμένην χιτῶνα. σεμνὴν μὲν καὶ παρθένον φυλάττειν τὴν γλῶσσαν. ἀκριβὲς δὲ τὸ ῥῆμα πρὸς τὸ ἀναγκαῖον τῆς χρείας προάγειν. ἐκεῖνα γὰρ μόνον τῇ παρθένῳ ῥητέον. ὅσα τε ἀκουσθέντα τὸν νοῦν ὠφελήσει τῶν ἀκουόντων. καὶ διὰ τῆς εὐστόχου πρὸς αὐτὴν ἀποκρίσεως, πρὸς σύνεσιν τῶν θείων αὐτῆς τὴν ψυχὴν ἔτι μᾶλλον κοσμήσει. τὸ γὰρ διὰ τῆς γλώσσης φερόμενον ἔξω ῥεῖθρον τοῦ λόγου τῆς πηγῆς ὅθεν ῥεῖ, μαρτύριον γίνεται. ἐκ γὰρ τῆς καρδίας διέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, καὶ τὰ ἑξῆς. ἀφ' ὧν τῶν καρπῶν τὸ δένδρον γινώσκεται καὶ ἡ ἀληθῶς παρθένος. ὥσπερ ἀπὸ καθαρᾶς πηγῆς τῆς καθαρότητος τῶν ἠθῶν. ἀθόλωτον πάντων μολυσμάτων δεῖ προχεῖσθαι αὐτῆς ἠρέμα τὸν λόγον. μὴ μόνον μηδὲν ἐπιβλαβὲς καὶ ὄλεθρον πρὸς ἡδονὴν φέροντα τὸ νόημα, ἀλλ' οὐδὲ ἀργόν ποτε ἀπὸ λογικῆς ψυχῆς τοῦτον δεικνῦντα. πάντα γὰρ τὸν ἀπὸ παρθένου πηγῆς λόγον, ἄφθορον ἀρυόμενον. καθάπερ ἀφθαρσίας πόματος, δεῖ τὸν νοῦν ἐμφορεῖσθαι τοῖς ὁμοίοις, μετ' αἰδοῦς διαμοιβῆς, τὸν τὴν ἀρετὴν ἀντιπροπίνοντα. τοιαύτη μὲν ἔσται ἡ παρθένος λαλοῦσα. ἐπεί ποτε καὶ λαλεῖν ἀναγκαῖον ἀκριβωτέον γὰρ καὶ τινί. καὶ πῶς, καὶ πότε ταύτην λαλεῖν πρέπον ὁρᾶται. οὐ γὰρ ἁπλῶς πρὸς τοὺς τυχόντας δεῖ φθέγγεσθαι τῆς παρθένου τὸν λόγον. οὐδὲ πρὸς τοὺς αἰδοῦς ἀξίους πάλιν θρασέως ἀπογυμνοῦσθαι. οὐδὲ τὸ χρειῶδες οὐκ ἔχοντα παρὰ τῷ ἐπιβάλλοντι τῷ προσώπῳ τῆς παρθένου προχεῖσθαι. οὐδὲ τῆς χρείας τοῦτον ἐκ παρθενικοῦ στόματος ἀναγκαίως καλούσης. διὰ τῆς ἐμπεσούσης πρὸς τὴν χρείαν ἀφορμῆς, φιλοτιμότερον ὑπερβλύζει. ἀλλὰ πανταχοῦ καὶ τοῦ προσώπου καὶ τῆς χρείας καὶ τοῦ καιροῦ στοχαστέον. ὅταν ἀναγκάσῃ ἡ χρεία λαλεῖν πολλῷ ἐλάττονα ἂν ἀκούει λαλοῦσαν. ἐπεὶ καὶ ἡ φύσις, τὸ χρειῶδες τοῦ λόγου πρὸς ἀκοὴν δι' ἀναλογίας μετροῦσα, δύο μὲν ὦτα. μίαν δὲ γλῶσσαν ἡμῖν διειργάσατο. ὡς δέον, διπλασίονα εἰς παιδείαν ἀκούειν. ἡμιολίῳ δὲ πρὸς τὰ ἐρωτήματα συνεσταλμένον προάγειν τὸν λόγον. ὥστε καὶ ἡ φωνὴ πρὸς οὓς ἀκαίρως λαλεῖ ἡ παρθένος, πλεῖον ἀκούσεται πολλῷ μᾶλλον ἢ λαλήσει. καὶ πᾶς λόγος αὐτῆς οὐδὲν ἕτερον, ἢ ὠφέλειαν τοῖς ἀκούουσι φέρων τῶν χειλέων προσταλάζεται. ἡ δι' ἐρωτήματος τῷ νῷ παιδείαν ἐμπορευόμενος. τοῦ στόματος, ἐν κοσμίως πρεσβεύσεται. τὰ δ' ἄλλα ἐν τοῖς μυχοῖς ἠρεμήσει. πολλῷ πλεῖον τῶν ἄλλων διὰ παντὸς ἀρχομένη. θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. καὶ οὕτω μὲν τὸ στόμα ἑαυτῆς μετ' ἀρχῶν ἀσφαλίσεται. οὐκ ἔλαττον δὲ τὴν ἀκοήν. ὡς ἂν μηδὲν ἔξωθεν εἰς αὐτὴν ῥεύσειε φαῦλον τῷ νῷ πυλωρούσης ἐν ἠρεμίᾳ ἀκοῆς τε καὶ γλώσσης ἀεὶ δεομένη τοῦ κυρίου. μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. ἐπίψογον δὲ πολλῷ πλεῖον τῶν εἰρημένων, καὶ τοῦ παρθενικοῦ ἤθους ἀλλότριον, τὸ μὴ μόνον ἐπιπολάζειν οἴκοις παρθένον, ἀλλὰ καὶ γάμου προμνήστριαν γίνεσθαι. τίμιος μὲν γὰρ ὁ γάμος ἐν πᾶσιν, ἀλλ' ἄλλοις καὶ οὐ τῇ παρθένῳ προσῆκον, καὶ οὐ δεῖ τῆς ἰδίας τρίβου ταύτην ἀναχωρήσασαν, ἐν ταῖς τριόδοις τοῦ βίου τῷ λοιπῷ πλήθει συναναφυρομένην, ἀλύεσθαι. ἄλλη γὰρ ὁδὸς τῶν τοῖς γάμοις κρατουμένων, καὶ ἄλλη τρίβος φημί, τῶν τὴν παρθενίαν τιμώντων. καὶ μεμέρισται ἡ παρθένος, καὶ ἡ γαμήσασα. ἀναχωρητέον οὖν τῶν γαμικῶν ἐπιτηδείων τῇ παρθένῳ. μᾶλλον δὲ μηδὲ παραβλητέον αὐτῇ τὴν ἀρχήν, ἀλλ' αἱ μὲν λοιπαὶ ὅσαις ἔξεστι τοῖς σαρκικῶν περιέπειν νυμφίοις, προμνηστευέτωσαν τε,

» ἡ δὲ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ, ὥσπερ οὖν ἡ γαμήσασα μεριμνᾷ
» τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί, καὶ μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος. ἐπεὶ
ἀμήχανον καὶ τῶν ἔνδον μεριμνᾶν ὅπως ἀρέσῃ, καὶ πρὸς τοὺς ἔξω θεατάς, ὥσπερ ἐν
σκηνῇ καλλωπίζεσθαι. ἀλλ' ὡς ὁ ὑφ' ἡλίῳ λαλῶν διδασκάλῳ. οὐδέν τι τῆς παρακο-
λουθούσης σκιᾶς, τὰ κινήματα αὐτοῦ τῶν χειρῶν, καὶ τῆς ὅλης μορφῆς τοὺς τύπους μιμη-
λῶς δεικνυούσης, φροντίσας, ὅλως πρὸς τὴν τοῦ καθηγητοῦ ὁμιλίαν συντέταται, οὕτω
καὶ ἡ παρθένος. οὐδέν τι τῶν τοῦ σώματος εἰδώλων ἂν ἄμορφα ἢ δύσμορφα φαίνηται.
ταῦτα καὶ τῶν περὶ αὐτὰ μωκῶν φροντίσασα, ὅλη πρὸς τὸν καθηγητὴν αὐτῆς καὶ νυμ-
φίον ἐπέστραπται. τούτῳ διὰ βίου ἐν καθαρωτάτῳ φωτὶ συντόνως λαλοῦσα. μερι-
μνᾷ γὰρ πῶς ἀρέσῃ τῷ κυρίῳ, ἀρέσκει δὲ τοιαύτη οἵαν αὐτὸς αὐτὴν πλάσαι ἠθέλησεν.
οὐ μόνον οὖν οὐ δεῖ καλλωπίζεσθαι τὴν παρθένον, οὐδὲ ἥδυσμα ἡδονῆς βλέμματος ἀκο-
λάστου τὴν ἐπίνοιαν τῆς μορφῆς ἐργάζεσθαι, ἀλλὰ καὶ τὸ φυσικὸν τοῦ σώματος κάλλος,
συσκιάζειν ὡς οἷόν τε ταῖς ἐπινοίαις. ἐπειδὴ γὰρ κατὰ τὸν ἀνωτέρω λόγον. μάλαγμα
ἡδονῆς τῷ ἄρρενι τὸ θῆλυ ἐστί, καὶ βλέμματι ὑγροτέρῳ τοῦ ἄρρενος προσαγωγὴν ὄψεως πε-
πλασμένον, καὶ φωνὴ λιγυρὰ εἰς θέλγητρον ὀργανωθὲν ἀκοῆς, καὶ τῇ ἐμφαινομένῃ τῶν
μελῶν μαλακότητι. καὶ συνόλως παντὶ τῷ τοῦ σώματος σχήματί τε καὶ κινήματι.
πρὸς ἀπάτην τῆς ἡδονῆς μορφωθέν. καὶ οὐ λαλοῦσα γυνὴ μόνον καὶ ὁρῶσα, ἀλλὰ καὶ
καθημένη πῶς καὶ βαδίζουσα. διὰ τὴν ἐνοῦσαν, κατὰ τοῦ ἄρρενος αὐτῆς φυσικὴν δύνα-
μιν, ὡς σιδήρῳ φημὶ πόρρωθεν μαγνῆτις, τοῦτον πρὸς ἑαυτὴν μαγγανεύει. διὰ τοῦτο
δεῖ τὴν παρθένον, τῷ μηδενὶ τρόπῳ τοῖς τῆς ἡδονῆς δικτύοις ἐμπλακῆναι φυλαττομέ-
νην ἀρρενωπὸν τὸ ὄμμα, καὶ στιβαρὰν ποιεῖν τὴν φωνήν. τῷ δὲ βαδίσματι καὶ συνόλως
παντὶ κινήματι τῷ τοῦ σώματος, συνέχειν τῆς ἡδονῆς τὰ δελεάσματα. οὐχ ἁλοῦσαν φημὶ
ἔτι μᾶλλον ταῖς ἐπινοίαις πρὸς ἡδονὴν ἑαυτὴν καὶ παγίδα. ἐπέρεισέ τε ὁμοῦ, καὶ τῇ ἑαυ-
τῆς ψυχῇ, τὸ οἰκεῖον σῶμα ἀρτύουσα. πρὸς τὸ σύντονον δὲ τῆς ἀρετῆς εἶδος ἑαυτὴν σώ-
φροσι κινήμασιν ἀνδρείως ὀρθοῦσαν. οὕτω δὲ τὴν τοῦ θήλεως ἡδονὴν ἐν ἑαυτῇ ἀναι-
ροῦσα, καὶ τὴν πρὸς τοῦτο σχέσιν τοῦ ἄρρενος ἀποκόπτουσα, παρθένους ἑαυτῆς καὶ τὰς
προόδους ποιήσεται, οὐκ ἀκολασταίνουσα ταῖς συνεχέσι προόδοις, οὐδὲ παρὰ τὴν
ἐπιβάλλουσαν παρθένων χρείαν, τοῖς οἰκίοις ἑαυτὴν ἐπιρρίπτουσα. ἁπάσης δὲ προό-
δου καιρόν, τῆς ὀφειλομένης ἀρετῆς τὴν ἐντολὴν ποιουμένη. καὶ ἡνίοχον μὲν τῆς προό-
δου, τὴν ἐντολὴν ἔχουσα τοῦ κυρίου. τοὺς δὲ καιροὺς τούτων, κατὰ τὸ εὐπρεπὲς μέρος τῆς ἡ-
μέρας ἐγκρίνουσα. οὐ γὰρ ἁπλῶς διὰ τὸν εἰπόντα. ἀσθενὴς ἤμην καὶ οὐκ ἐπισκέψα-
σθέ με καὶ τὰ λοιπά. ὕλην χυδαϊσμοῦ τε καὶ ψόγου, τὴν ἐντολὴν τοῦ κυρίου ποιήσεται.
κατὰ πᾶσαν μὲν ὥραν, καὶ παρὰ τὸ πρέπον τῶν προόδων κατατολμῶσα, ἐν ἀκαιρίᾳ
κατὰ πάντα στυγνὸν τοῖς πολλοῖς φαινομένη. οὐδὲ τὸ καλὸν μὲν τῆς τοῦ θεοῦ ἐντολῆς ἐπι-
δεξίως αὐτῇ μὴ κεχρημένη, εἰς διαβολὴν ἑαυτῆς κακῶς περιτρέψει. ἀβασάνιστον δὲ τὴν
ἡλικίαν ἑαυτῆς ἁπλῶς ἐπὶ τὰς προόδους ἀφήσει. ἀλλὰ νέαν μὲν ἔτι ἄγουσα ἡλικίαν,
ἐπὶ τὸν οἶκον τοῦ θεοῦ μόνον, καὶ οὐ μόνη ἁπλῶς προελεύσεται, ἐντολῆς δὲ τοῦ κυρίου ἑτέρωθι,
ἀπαραιτήτως ἀγούσης, ἀξιόπιστον τὴν ἑαυτῆς πορείαν ταῖς μεθ' ὧν βασανίζουσα ὁ-
ρᾶται, ποιήσεται. οὐ γὰρ ἁπλῶς ἀγελαίαν δεῖ τὴν παρθένον, ἀπογραφεῖσαν τὰ γά-
μων δεσμά, ἁπανταχοῦ μετ' αὐθεντίας σοβεῖσθαι. ὥσπερ διὰ τοῦτο ἀποφυγοῦ-
σαν τὸν γάμον, οὐχ ἵνα τῷ κρείττονι νυμφίῳ ἀεὶ παρεδρεύῃ, ἀλλ' ἵνα ἐπ' ἐξουσίᾳ ἔχῃ
φοιτᾶν ὅπῃ βούλεται. οὐδὲ γὰρ ὡς ἂν μὴ μάρτυρα ἢ κριτὴν ἔχῃ τοῦ βίου τὴν πρὸς ἄν-
δρα κοινωνίαν ἀπέφυγεν. οὐδ' ἵνα ἐλευθέρα ζηλοτυπίας ὑπάρχουσα ἐγκαλινδεῖ-
ται ἐπ' ἐξουσίας οἷς ἂν ἐθέλῃ, μηδένα ἔχουσα τὸν ἐξετάσοντα αὐτῆς τὰ κινήμα-
τα. ἀλλ' ἵνα τὰς σαρκὸς ἡδονάς, καὶ τόκων ὠδῖνας, καὶ τὴν πολύμοχθον τῶν βιω-
τικῶν μεριμνῶν, ἀλγεινὴν φυγοῦσα φροντίδα, ὑπὸ μάρτυρι καὶ ζηλοτύπῳ ἀρε-
τῆς θεῷ, τὸν ἑαυτῆς πρὸς ἀφθαρσίαν βίον οἰκονομήσῃ. θεὸς γάρ εἰμί φησι ζηλωτής,
ζηλῶν τὸν ἐπὶ φθορᾷ τὸ ἐμὸν ἐν ὑμῖν κάλλος μοιχεύοντα. ἐπεὶ εἰ μέλλοι τὸν πρὸς ἄνδρα
ζυγὸν ἀπορρίψασα, ἄχρηστος καὶ τῷ βίῳ, πρὸς ὃν εἰς οἰκουρίαν, καὶ τεκνογονίαν ἐπλά-
σθη, καὶ τῇ ἐπαγγελλομένῃ παρθενίᾳ ἐπίψογος γίνεσθαι τὸ ὅλον ζημία. καὶ τὴν ψυ-

ὑπορρέουσα, συνεπῶς ἀποκλείει. οὐκοῦν οὐ δεῖ τὴν ἐκ τῆς συμπλοκῆς φεύγοντας ἁμαρτίαν, τοῖς διὰ τούτων τε καὶ ἐν τούτοις σφαλερῶς ὀλισθοῖς ἐμπλέκεσθαι. ὅτι ἡ μὲν διὰ φωνῆς καὶ βλεμμάτων ἁφὴ, ἐπὶ τὴν τῶν χειρῶν λαθραίως ὁδηγεῖ. αὗται δὲ πᾶσαι ὡς ἐν ἁλύσει ἀλλήλων ἐχόμεναι, τῆς κατὰ τὴν συμπλοκὴν ἁφῆς προμνήστριαι γίνονται. οὐ μίαν οὖν τὴν κατὰ τὴν μίξιν ἁφὴν μόνον τὴν παρθένον, ἀλλ' ὅλον τὸ γένος τῆς πολυμόρφου ἁφῆς, δι' ἧς τὸ πᾶν εἶδος διὰ τῶν αἰσθήσεων φύεται, τῇ παρθένῳ ἐπιμελῶς ἀφθόρως φυλακτέον, ἵνα τὴν ἀπὸ ὀφθαλμῶν καὶ φωνῆς, καὶ τῶν λοιπῶν πρὸς ἡδονὴν κινημάτων, πόρρωθεν πεμπομένοις αἰσθήσεσι, σωφροσύνης ἀντιπνοίαις σβεννύουσα, καὶ τὴν ἐξ αὐτῶν ἀναπτομένην πυρκαϊὰν, φρονίμως συναποσβέσῃ. μᾶλλον δὲ ἵνα μὴ τὴν ἀρχὴν παραδεξαμένη τῆς ἡδονῆς τὰ ἐναύσματα, μὴ δὲ ἔχῃ ὅλως ποτὲ ἐν ταῖς σαρξὶν ἀναφθεῖσαν τῆς ἡδονῆς τὴν πυρκαϊάν. παρθένος οὖν ἔσται τῆς παρθένου, καὶ ἡ ἀκοὴ καὶ τὸ βλέμμα· ἔτι δὲ ἡ ἁφὴ καὶ ὅλον τὸ κίνημα. κοσμῆσαι δὲ τῆς ἀληθῶς παρθένου δεῖ ὅλον τὸ κάλλος, ἵνα μήτε τῷ φυσικῷ κάλλει ἐκπομπεύειν σπουδάζῃ, μήτε ἀμοιροῦσα τούτου, καλλωπίζεσθαι θέλῃ. ἀπρεπὲς γὰρ ὡς ἀληθῶς τῇ παρθένῳ, καὶ τῆς ἐπαγγελλομένης ἀφθαρσίας ἀλλότριον, τὸ, ἢ ἐναβρυνομένην τοῖς δεδομένοις πρὸς εὐφυΐαν παρὰ τοῦ ποιητοῦ χαρακτῆρσι καὶ ἐκπομπεύουσαν, ὥσπερ ἰξῷ, τῷ κάλλει πλείονας ἐραστὰς τοῦ σώματος, εἰς κοινὸν σπουδάζειν πλῶμα κινεῖν, ἢ μὴ εὐστοχήσασαν εὐειδείας, ἄρτυμα ἡδονῆς τοῖς ὁρῶσι τὴν ἐπίνοιαν τοῦ καλλωπισμοῦ πραγματεύεσθαι. οὔτε γὰρ ἡ πρώτη σωφροσύνη δείκνυσι λογισμῷ ἐπὶ τῷ τοῦ ποιητοῦ ἔργῳ, ὡς ἐπὶ ἰδίῳ κατορθώματι θρυπτομένη, καὶ εἰς ὃν μὴ εἰσαχθῆναι ἀγῶνα, διὰ τῆς εὐχῆς τὸν ἀγωνοθέτην παρακαλεῖ, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν δεομένη, εἰς τοῦτον δι' ὧν τοὺς ἐραστὰς ἐπισπᾶται, ἑαυτὴν προφανῶς συνωθοῦσα, οὐδ' ἡ δευτέρα ὃ μὴ ἔλαβε δέλεαρ ἐπὶ τῆς σώματος ἡδονῆς, τοῦτον νόθοις μορφαῖς καθ' ἑαυτῆς μαγγανεύουσα. λανθάνει δ' ἑκατέρα, τὸ δοθὲν παρὰ τοῦ θεοῦ καλὸν, παρὰ τὸν προκείμενον σκοπὸν διαφθείρουσα. καὶ ἡ εὐειδὲς τὸ τῆς ψυχῆς κάλλος διὰ τοῦ κατὰ σῶμα ἀτόπως λυμαινομένη, καὶ ἡ τὴν δοκοῦσαν τοῦ σώματος ἀμορφίαν ἐφόδιον φυλακῆς τῆς κατὰ τὴν παρθενίαν λαβοῦσα, εἰς ἐπιβουλὴν ἑαυτῆς, ταύτην νόθοις μορφαῖς κακῶς μεταπλάττουσα. ἔδει δὲ τὸ ἀνάπαλιν. τὴν μὲν τοῦ προσκαίρου κάλλους καταφρονοῦσαν, μὴ ἐμπόδιον τὸ τοῦ σώματος κάλλος τοῦ τῆς ψυχῆς, ἀλλὰ συνεργὸν ἂν οὔπω που συμβαίνειν ποιεῖσθαι, τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὴν ψυχὴν μεταφέρουσαν. τὴν δὲ μηδὲν ἔλαττον ἐν τοῖς ὄντως καλοῖς φερομένην, τὴν διὰ τὴν νομιζομένην ἀηδίαν, ἀοχλησίαν τῶν πειρασμῶν γαλήνην ἀσκήσεως τοῦ ἀγήρω κάλλους λαμβάνειν. τοῖς μὲν ἀθανάτοις καλοῖς, ὡς ἰδίοις κατορθώμασιν· ἐντεῦθεν ἤδη πρὸς τὴν ἑτέραν ἁμιλλωμένην.

τοῖς δὲ κατὰ σῶμα ὑπὸ τοῦ χρόνου διαχεισομένην, οὐδὲν ἐκείνης διάφορον ἔχουσαν. οὐδὲ γὰρ τίς ὁ σκοπὸς δι' ὃν καλλωπίζονται, συνιδεῖν ἐπιταχέως. εἰ μὲν γὰρ ἵνα τῷ τῆς παρθενίας σκοπῷ συνεργάσωνται, καὶ δὴ τὸ ἐναντίον οὗ ἐπαγγέλλονται πράττουσι. πλείονας πειρατὰς διὰ τοῦ καλλωπισμοῦ καθ' ἑαυτῶν ἀτέχνως ἀλείφουσαι. εἰ δὲ ἵνα αὐτὸ τοῦτο καλαὶ δόξωσι φαίνεσθαι ἄλογον. εἰ μὴ μᾶλλον παρ' ὧν τὴν δόξαν ἀποφέρεσθαι σπουδάζουσι, τοῦ κατ' αὐτὰς νομιζομένου κάλλους ἐμφορεῖσθαι, τὴν περὶ τούτου φροντίδα ποιούμεναι. εἰ δ' ἵνα καὶ τύχοιεν οἷς ἀρέσαι σπουδάζουσιν, εἰς τὸ ἐναντίον φημὶ ἑαυτὰς κατενεχθήσας γυμνῶς ἐπιδείξουσιν. ἑταῖραι ἀντὶ παρθένων ὀφθεῖσαι. ἐκτὸς εἰ μὴ πρὸς τὴν τῶν δύο ἐπιθυμίαν μεσολαβηθεῖσαι διέλκονται. καὶ τῶν ἔξωθεν ἐραστῶν ἐμφορεῖσθαι βουλόμεναι. διὰ δὲ τοῦτο τῆς κοινῆς ἐπιθυμίας τὴν ὄψιν, ἥδυσμα γενέσθαι σπουδάζουσαι. καὶ τῷ ἔνδον ἐραστῇ δι' αἰδῶ ἢ φόβῳ κρατούμεναι. οὐδὲ γὰρ ἀόντε ἐστὶν ἀνύπουλον εἶναι τῶν τοιούτων τὴν γνώμην. καὶ τὴν ἔξω ὄψιν ἐπὶ τὸ σῶμα διὰ μηχανῆς ἐρεθιζούσας. καὶ τὸν ἔνδον δὲ ἡμισείας ἀρέσκειν ἐθελούσας. καὶ οὐκέτι ἔσται λοιπὸν ἡ γνώμη ὁμαλῶς ἑαυτῇ συμφωνοῦσα. ἀλλ' ὥσπερ ἐν μεταιχμίῳ πρός τε τὸν ἔνδον ἐραστὴν, καὶ τὸν ἔξω κακῶς σχιζομένη.

» οὐδεὶς δὲ δύναται δυσὶ κυρίοις δουλεύειν. ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει,
» ἢ τοῦ ἑνὸς ἀνθέξεται. τοῦ ἔξω καλλωπιζομένη πρὸς τοῦτον, καὶ τοῦ ἔνδον καταφρονήσει.

ἵνα μὴ τὴν ἐπιμέλοις κειμένην ἐνέργειαν τοῦ πυρὸς διὰ τῆς ἁφῆς, οὐκ ἐπὶ τοῦ μέ-
ρους μόνον οὗ ἥψατο, ἀλλ' εἰς ὅλον τὸ σῶμα, καὶ εἰς αὐτὴν τὴν ψυχὴν καταδέξονται·
εἰ γὰρ τῆς οὐρᾶς τις μόνον τοῦ ὄφεως ἥψατο, καὶ τοσούτῳ μακρὰ ἐν μέσῳ τοῦ σώματος ἡ
κεφαλὴ ἀφεστῶσα, ὅμως πρὸς τὴν ἐν τῇ οὐρᾷ γινομένην ἁφὴν, εὐθὺς ἐπιστρέφεται·
καὶ εἰ τοῦ ἐν τῷ ποδὶ ἡμῶν δακτύλου προσψαύσαντος, αἱ ἐν τῇ κεφαλῇ τρίχες, ὀρ-
θαὶ εὐθὺς ἐπανίστανται, καὶ ἡ ἐμπαθὴς πονηρὸς ἁφὴ, κἂν ἐν τῇ χειρὶ γίνηται μόνον,
ἀπὸ κεφαλῆς ἕως ἄκρων ὀνύχων, ὅμως πρὸς τὴν συναίσθησιν τῆς ἡδονῆς κατὰ τὸ τοῦ ἁ-
ψαμένου σύμβολον, συνείληφε τὸ σῶμα. καὶ ὡς λίθου βολὴ, κατὰ τοῦ ἐν τῇ δεξαμενῇ
ὕδατος γινομένη, οὐ τὸ παρακείμενον μέρος τοῦ ὕδατος καθ' ὃ πέπτωκεν ὁ λίθος μόνον
κυμαίνει, ἀλλ' ἄλλους ἐπ' ἄλλοις κύκλους ἐπαναστήσασα, ἕως τῶν ἄκρων τούτοις ἐσθ' ὅ-
τε κυμαίνουσα ἄγει· οὕτως ἐρωτικὸν βλέμμα, ἢ λόγος ἡδονῆς πεπλυμένος μελίγμασιν
εἰς τὴν τῆς παρθένου ψυχὴν, ὥσπερ εἰς καθαρὸν ὕδωρ σφοδρῶς ἐμπεσὸν, ἄλλας ἐπ' ἄλ-
λας ἐρωτικὰς, ὡς ἐν βυθῷ ἐγείρων ἐννοίας· ὅλην αὐτὴν πρὸς τὴν τοῦ βάλλοντος φαν-
τασίαν πληγεῖσα κυμαίνει. διὰ δὴ μάλιστα τὴν παρθένον τάς τε διὰ τῶν βλεμμάτων
καὶ τῆς φωνῆς κολακείας τῆς φθοροποιοῦ ἡδονῆς φάρμακον οὔσας, τῶν ἰδίων αἰσθή-
σεων, ὡς πορρωτάτω ἐλαύνειν· τὴν μὲν ἀκοὴν οὐ δέον, σώφρονι λογισμῷ ἀποφράτ-
τουσαν, τοὺς δὲ ὀφθαλμοὺς ἀποστρέφειν κατὰ φύσιν γινώσκουσαν· ὅτι ἂν ἅπαξ δι' ὀ-
φθαλμῶν καὶ ἀκοῆς ἐπὶ τὴν ψυχὴν πάροδον λάβωσι, καὶ τὴν ἑτέραν λοιπὸν διὰ τῆς χει-
ρὸς κολακείαν, συνείσοδον προσλαβοῦσαι τὰ ἑαυτῶν πάντως τῷ χρόνῳ ἐργάσονται·
ὡς γὰρ μετὰ τοῦ στρατιωτικοῦ τάγματος ἐπιστὰς τῇ πόλει ὁ στρατιώτης, οἰκίαν εἰς μονὴν
ἑαυτῷ ἐπιτήδειον ἐν κύκλῳ ζητεῖ, καὶ εἰ ἀποκλεισθεὶς βίᾳ τῆς θύρας, ἢ ἄλλῃ τινὶ τέχνῃ
παρὰ τοῦ δεσπότου τῆς οἰκίας ἀπωσθεὶς, ἀλλαχόσε ἐτράπετο, ἢ φθάσας τὴν πρώ-
την εὐθὺς, ἐπὶ τὰ ἔσω πάροδον ἔχει, καὶ ἕν τι τῶν ὅπλων ἑαυτοῦ λόγχην ἢ περικεφα-
λαίαν, ἢ θυρεὸν καταθέσθαι, κἂν διὰ τοὺς ἑταίρους ἐξελθὼν ἔξω εἶναι δοκῇ, οὐδὲν ἧττον τῇ
δυνάμει διὰ τοῦ ὅπλου οὗ κατέθετο, ἰδίαν λοιπὸν τὴν οἰκίαν καὶ ἑαυτοῦ καὶ τῶν ἑταίρων,
οὓς μεθ' ἑαυτοῦ οὐ μετὰ πολὺ εἰσῳκίσατο ποιησάμενος, οὕτως ὁ τῆς ἡδονῆς καὶ ἁμαρτίας
δεινὸς στρατιώτης, οἰκίαν ἑαυτῷ ἐν κύκλῳ ζητῶν, ἢ τὴν πρώτην εἴσοδον ἀπεκλείσθη καὶ
ἀλλαχόσε ἐτράπετο, ἢ φθάσας εὐθὺς διὰ τῶν αἰσθήσεων τὴν πρώτην ἐπὶ τὰ ἔσω πά-
ροδον ἔχει, καὶ ἕν τι τῶν ὅπλων αὐτοῦ, τὴν τοῦ βλέμματος λόγχην φημὶ, διὰ τῶν ὀφθαλ-
μῶν μακρόθεν τιτρώσκουσαν, ἢ τὸ κράνος τῆς ἡδονῆς τὸν γόητα λόγον διὰ τῆς ἀκοῆς· ἢ
ὥσπερ τινὰ θυρεὸν, τὴν διὰ τῶν χειρῶν ὅλον τὸ σῶμα πρὸς ἡδονὴν συγκινοῦσαν ἁφὴν
ἐν ψυχῇ καταθέσθαι. κἂν ἔξω δοκῇ εἶναι τῇ ἐργασίᾳ τῆς ἁμαρτίας μηδέπω φθεί-
ρας τὸ σῶμα, ἀλλ' οὐδὲν ἧττον τῇ δυνάμει διὰ τοῦ καταθέντος ὅπλου φθείρων τὸν νοῦν·
καὶ τῆς ἰδίας λοιπὸν ἡδονῆς καὶ τῶν ἑταίρων αὐτοῦ παθῶν, οἰκίαν ἐξαίρετον τὴν
δεξαμένην ἕν τι τούτων ταύτα ψυχὴν ποιησάμενος. ἀποκλειστέον οὖν τὴν πρώτην
διὰ τῶν αἰσθήσεων πάροδον τῷ τῆς σαρκὸς στρατιώτῃ, καθάπερ θύρας ἢ θυρίδας τὰς
αἰσθήσεις πανταχόθεν, τοῖς τῆς καρδίας μοχλοῖς ἐπιφράσσουσαν· ἵνα μὴ διὰ μιᾶς
γοῦν τινος τούτων πανουργότερον ἀναβὰς, σὺν ἑαυτῷ τὸν θάνατον ἑταῖρον ὄντα ἑαυ-
» τοῦ εἰσοικίσηται. θάνατος γάρ φησιν ἀνέβη διὰ τῶν θυρίδων ὑμῶν. θυρίδες γὰρ ὄν-
τως τῆς ψυχῆς αἱ αἰσθήσεις, ὡς ἣ ὥσπερ σώφρων τις γυνὴ, τὸ ἔξωθεν τῶν αἰσθητῶν
φῶς ἡ ψυχὴ εἰς κατανόησιν τοῦ ἐπιβάλλοντος ἔργου, ἠρέμα παρανοίγουσα αὐτὰς,
ἐναυγάζεται, ἢ σεσοβημένης περὶ τὴν τῶν ἔξω περίεργον κατανόησιν, καθάπερ ἑταί-
ρα τις ἀκόλαστος ἐγκύπτει, πρὸς τὰ τέρποντα τὸν αὐχένα κακῶς περιστρέφουσα, καὶ
πρὸς τὰ ἥδοντα διὰ τούτων ἐμπίπτουσα. ἀπὸ γὰρ θυρίδων τῶν ἑαυτῆς οἴκων ἐγ-
κύπτουσα, ὃν ἂν ἤδη τῶν ἀφρόνων τέκνων νεανίαν, ἐνδεῆ φρενῶν παραπορευόμε-
νον, ταῦτα λέγει. οἷς ἤδη διὰ τὸ ἀνάγωγον καὶ ῥεμβὸν τῶν αἰσθήσεων, ἑαυτὴν πρὸς
ἀκολασίαν ὅλην ηὐτρέπισεν. ἡ δὲ σώφρων οὐδὲν φημὶ, καθάπερ ἐπὶ ἑστίας τῆς ἐν
μέσῳ καρδίας, τὸν τῶν λογισμῶν τε καὶ αἰσθήσεων θρόνον καθίζουσα, ὅτι μὲν
χρειῶδες πρὸς ἀρετὴν καθαρὸν, παντὸς πάθους ῥέον, εἰσδέχεται. ὅτι δ' ἀ-
χρεῖον καὶ ἀλλότριον ταύτης, ἔξω τῶν θυρίδων ταῖς τῆς φρονήσεως χερσὶν αὐτὰς

λῶσιν αὐτῆς ἐμπαθῶς καταγίνεσθαι· καὶ οὐδὲν ὀνήσει τὴν τοιαύτην, τὸ σῶμα ἀ-
διάφθορον ταῖς ἐπινοίαις φυλάσσουσαν. τὴν δὲ ψυχὴν πρὸς τὰς ἀποτελέσεις
ἐπ' αὐτὴν διὰ τοῦ βλέμματος τοῦ σωματικοῦ ἔρωτος ἡδονὰς, ἀεὶ φθειρομένην. φόβῳ
γὰρ ἢ αἰδοῖ τῆς περιειληφυίας κατὰ τὴν ἔξωθεν παρθενίαν δόξης, μετ' ἀποκρίσεως ἐ-
χομένη, καὶ τὸ γυμνωθῆναι ταύτης, αἰσχύνης ἄξιον κρίνουσα, ταύτην μὲν ἀσκοῦ-
σα διασωτηρεῖ, ἀσωμάτοις δὲ χερσὶ περιλαμβάνουσα, κατὰ διάνοιαν τὸν ἐρώ-
μενον ἐντυπωμένον αὐτῇ, μεθ' ἑαυτῆς ἀεὶ περιφέρει. καὶ ἃ διὰ σώματος πρά-
ττειν, οὕνεκα τοῦ φωραθῆναι αἰσχύνεται, ταῦτα ταῖς ἐννοίαις ποιεῖν οὐκ αἰδεῖται. ἣν
οὐκέτι λοιπὸν, οὐδὲ σώματι αὐτῆς ὑγιῶς λέγει παρθένον. ἀνάγκη γὰρ τοῦ ἐρωμένου
ἀχωρίστως αὐτῇ μιγνυμένου κατὰ διάνοιαν, καὶ τὸ σῶμα τοῖς τῆς ψυχῆς πάθεσι συμ-
μορφοῦσθαι, καὶ συνδιατιθέμενον τοῖς ἐν διανοίᾳ κινήμασι, φθειρομένῃ τῇ διανοίᾳ
συνδιαφθείρεσθαι, καὶ ὕπαρ καὶ κατὰ τοὺς ὕπνους τὰ ἐρωτικὰ ὀνειροπολούσῃ, καὶ
αὐτὸ ταύτῃ συνονειρώττειν. τοιούτου δὲ πάθους τὴν ψυχὴν κατασχόντος, περιττὴ
λοιπὸν καὶ ἡ τῶν βρωμάτων ἐγκράτεια, καὶ ἡ λοιπὴ τοῦ σώματος σκληραγωγία.
οὐ τοῦ ἵππου τὸν ἱππέα πρὸς τὰ ἑαυτοῦ σκιρτήματα φέροντος, αὐτοῦ δὲ τοῦ ἱπ-
πέως τῷ ἐνόντι πάθει, κακῶς τὸν ἵππον αἰγροῦντος. ὡς γὰρ ἐπὶ τινῶν ἀπὸ γή-
ρως παρειθέντων τὸ σῶμα, ὁ νοῦς ἐκ τῆς προκαταγούσης ἀκολασίας νοσῶν παρὰ
δύναμιν πρὸς τὴν τῆς ἡδονῆς φαντασίαν μοχλεύει τὸ σῶμα, οὕτως ἐπὶ τῶν ἐμ-
παθῶν πρὸς ἔρωτα τὴν ψυχὴν γενομένων, καὶ παρειμένον τῇ ἀσκήσει τὸ σῶ-
μα, πρὸς τὰς ἰδίας ἐπιθυμίας ἡ ψυχὴ ἐρεθίζει. οὐκ ἀπὸ τῆς τοῦ σώματος ἀκμῆς
ἐπὶ τὴν ψυχὴν διαβεβηκότος τοῦ πάθους, ἀπὸ δὲ τῆς ψυχῆς ἐπὶ τὰ τοῦ σώματος
ἴδια κακῶς κινουμένου. εἰ οὖν βλέμμα τοσούτου πυρὸς ἔναυσμα γίνεται, ἀκούομεν
» τοῦ ἀποφαινομένου· οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ τὰ βλέφαρά σου,
» νευέτωσαν δίκαια, καὶ μὴ συναρπασθῇς σοῖς βλεφάροις, μὴ δὲ ἀγρευθῇς σοῖς ὀ-
» φθαλμοῖς. εἰ δὲ κατὰ τὸν ἀνωτέρω τῆς φύσεως λόγον, ἀφή τίς ἐστιν ἡ τοῦ βλέμ-
ματος κατὰ τῶν ὀμμάτων ἐπιβολὴ, καὶ ὥσπερ τοῖς ὀφθαλμιῶσιν ἐπὶ πλεῖον
ἐνατενίσαντες, τῆς νόσου μεταλαμβάνομεν, καὶ ἄλλοις φυσικῶς ὠφελοῦσιν ἐπι-
βάλλοντες τοὺς ὀφθαλμοὺς κατὰ τὸ λεληθὸς ὠφελούμεθα, καὶ ταῖς τῆς ἡδονῆς ἄ-
ρα συμβολαῖς ἐπιβάλλοντες τοὺς ὀφθαλμοὺς, τῆς κατὰ τὴν ἡδονὴν νόσου τὸν νοῦν
ἀναπίμπλαμεν. ὥσπερ οὖν καὶ τοῖς ὄντως καλοῖς ἐπιβάλλοντες, τούτοις διὰ τῶν
ὀφθαλμῶν εἰς τὴν ψυχὴν τὴν ὠφέλειαν δεχόμεθα, καὶ ἄτοπον μὲν τοῦ βλάπτεσθαι
πρὸς νόσον διὰ τῶν ὀφθαλμῶν τὴν παρθένον, ἐὰν μὴ θαρσεῖ τῇ χειρὶ ποτὲ ἅ-
ψασθαι, τούτων τῇ τοῦ ὄμματος ἀφῇ ἀδιαφόρως ἐφάπτεσθαι. προαγωγὸς γὰρ ὡς
ἄν τις καὶ προμνήστρια ἡ μὲν διὰ τοῦ ὄμματος ἀφὴ, τῆς διὰ χειρῶν περιλαμβανού-
σαν πόρρωθεν γίνεται. αὕτη δὲ αὐτῇ ἡ διὰ χειρῶν φημὶ, τῆς κατὰ τὴν συμπλοκὴν
θερμοτέρα θεράπαινα, καὶ ἡ τὴν πρώτην ἀφὴν τοῦ ὄμματος μὴ φυγοῦσα, οὐκ ἂν τὸ
ἐπ' αὐτῇ, οὐδὲ τὴν τῶν χειρῶν ἀποφύγοι. ἡ δὲ τῇ τοιαύτῃ ταύτης ἐρωτικῶς ἐμπλα-
κεῖσα, οὐκ ἂν μολυσμάτων καθαρὰ εὑρεθείη. ὡς γὰρ τοῦ πυρὸς ἁπτόμενοι, τὰ σήμαν-
τρα τοῦ πυρὸς διὰ τῶν ἐγγινομένων ἡμῖν καυστήρων δεχόμεθα, καὶ ἀμήχανον χει-
ρὶ πυρὸς ἐφαψάμενον, καθαρὰν τῆς καυστικῆς ἐνεργείας ταύτην δεῖξαι τὴν χεῖρα,
ἀλλ' ἢ φλυκτίδας τῇ ἀφῇ ἀθρόως ἐπαναστῆσαι, καὶ ὀδυνηρὰ ζέουσαί τε καὶ σφύζου-
σαι ἕλκη, ῥαγῆναι εὐθὺς ἀπειλοῦσιν, ἢ ἤδη φθάσαντα ἐν τῇ χειρὶ πικρὰ ὁρᾶ-
ται τὰ ἕλκη, οὕτως ἀμήχανον ἐρωτικοῦ πυρὸς ἐφαψάμενον, καθαρὰν τῶν τούτου
σημαντήρων τὴν ἀφὴν ἐπιδεῖξαι. ἀλλ' ἢ κατὰ τὸ ὅμοιον φλυκταίνας διὰ τῆς κατὰ
τὴν χεῖρα ἀφῆς τῇ καρδίᾳ λαθραίως ἐπαναστῆσαι, τὰ πικρὰ τοῦ ἔρωτος πά-
θη ζέουσί τε καὶ σφύζουσι, καὶ ἀσχέτοις παλμοῖς συνεχόμενα, τὰ τῆς ἁμαρτίας ἕλ-
κη ῥαγῆναι εὐθὺς ἀπειλοῦσιν, ἢ ἤδη ὅλην ἡλκωμένην βαθεῖ τὴν καρδίαν δείκνυσι.
πῦρ γάρ ἐστι καιόμενον φησὶν ἐπὶ πάντων τῶν μελῶν. οὐδ' ἂν ἐπέλθῃ ἐκριζῶν ἀπολέ-
σῃ. ὥστε ἐπειδὴ ἐπὶ πάντων τῶν μελῶν ἐστι τὸ πῦρ τοῦτο καιόμενον, τοῖς προθυμουμέ-
νοις καθαρὸν καυστήρων τὸ σῶμα δεικνύναι φυλακτέον, ἅπτεσθαι τινὸς τῶν μελῶν.

πλέον τι ἔχουσι τῶν ἐσθιόντων ἐν ἀρετῇ, κατ' αὐτὸ μόνον τὸ μὴ ἐσθίειν, οὔτε οἱ ἐσθίοντες
ἔλαττον, τῶν μὴ ἐσθιόντων κατ' αὐτὸ μόνον τὸ ἐσθίειν, ἐὰν ἡ ἔνδον αὐτῶν ἀρετὴ διασώζη-
ται. οὐκοῦν πρὸς τὴν ἐν ψυχῇ ἀρετὴν ἀφορῶντας δεῖ, τὰ περὶ σῶμα πάντα μα-
ποιοῦσι. οὐ γὰρ ὄντα καλὰ καθ' ἑαυτά, διὰ τὴν τοῦ καλοῦ ὑπηρεσίαν καλὰ κοσμούμε-
να γίνεται. ἵνα γοῦν μὴ ἐμποδίζηται ἡ πρὸς τὸ καλὸν ὑπηρεσία τῇ ἀσθενείᾳ τοῦ σώ-
ματος, οἴνῳ φησὶν ὀλίγῳ χρῶ, διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.
ὡς γὰρ ζέοντι δι' ἀκμὴν καὶ σφριγῶντι τῷ σώματι, οὐ δεῖ, καθάπερ ἤδη προείρηται, πῦρ
ἐπὶ πῦρ ὀχετεύειν, οὕτως οὔτε καταψυχομένῳ τῇ ἀσθενείᾳ, τὸ ψῦχον ἔτι καὶ μᾶλλον ἐπι-
βλαβῶς ἐπαντλεῖν. ἀλλ' ὡς ἐκεῖ τὸ κατὰ φύσιν θερμόν, τῷ ὑφαιρεῖν τὰς ἔξωθεν ὕλας
ἐκδαπανῶμεν, οὕτω δαπανηθὲν τοῦτο τοῖς πόνοις, καὶ λοιπὸν δι' ἡλικίαν, ἢ νόσον σβεν-
νύμενον, ἔξωθεν νάμασι βοηθοῦντες ἀναληψόμεθα. εἰρήνης γὰρ δεῖ καὶ ἐν τῷ σώματι
προνοεῖν τῷ ἀσθενοῦντι τῶν τεττάρων μερῶν ἐξ ὧν ἡρμόσμεθα, ἁπανταχοῦ παριστά-
μενον, ἵνα μὴ ἐκνικῆσαν ποτὲ τὸ ἐν ἡμῖν θερμὸν ἢ ψυχρόν, ἢ ὅλως τι τῶν τεττάρων,
πολέμου καὶ ἀναρμοστίας τοῦ διὰ ἀσθενείας καὶ οἴστρου, τὴν ψυχὴν ἀναπλήσῃ. ἀλλὰ
ταῦτα μέν, εἰς τὴν μίαν τῶν αἰσθήσεων τὴν γεῦσιν μόνον, ὥσπερ τῆς κατὰ στόμα παρθε-
νίας συμμέτρως εἰρήσθω. μεταβατέον δὲ λοιπόν, καὶ ἐπὶ τὰς ἄλλας αἰσθήσεις, τὴν
ἀληθῆ παρθένον ἰδεῖν προκείμενον ἔχοντας. ἴστε οὖν, τοῖς τὴν θεράπαιναν τῆς ὄν-
τως παρθενίας, διὰ τῆς ἀποχῆς τῶν τροφῶν, καὶ τῆς ἄλλης σκληραγωγίας παρθέ-
νον φυλάττουσιν, ὅτι δυνατὸν παρθένον ἔχοντα στόμα, μὴ παρθένον ἔχειν ψυχήν. ἱκα-
νὸν γὰρ καὶ βλέμμα τύποις ἐμποιῆσαι τῶν αἰσχρῶν τῇ ψυχῇ, καὶ λόγος πεφαρμακω-
μένος πρὸς ἡδονὴν ἐμπεσὼν τῇ ἀκοῇ φθεῖραι πρὸς ἀκολασίαν τὸν νοῦν. εὐλαβεῖται
γοῦν ὁ νυμφαγωγός, μήπως φθαρῇ οὐ τὸ σῶμα, ἀλλὰ τὰ νοήματα τῶν νυμφευομέ-
νων Χριστῷ. διὸ δεῖ τὴν παρθένον πρὸ τοῦ σώματος, μάλιστα τηρεῖν τὴν ψυχήν. οὐ τινὶ
μὲν φυλακῇ ταύτην τηροῦσαν, τινὶ δὲ ἁπλῶς ἀφιεῖσαν, ἀλλὰ πάσῃ φυλακῇ τὴν ἑαυ-
τῆς καρδίαν τηροῦσαν. ὡς ἂν μήτε διὰ φωνῆς ταύτης λόγος ῥυείς, πρὸς ἡδονὴν τοὺς
ἀκουστὴν τοῦ λόγου φαρμάξει, μήτ' ἔξωθεν αὖθις διὰ τῆς ἀκοῆς λόγος παρά τινος ἐμ-
πεσών, τὴν καρδίαν αὐτῆς πρὸς ἐπιθυμίαν κυμήνῃ. οὕτω γὰρ καὶ ἐπὶ τοῦ βλέμ-
ματος προσήκει ποιεῖν, μήτ' ἐμβλέπουσαν μαλακῶς, ἵνα μὴ ἡδονῆς ἰνδάλματα διὰ
τούτου τοῖς ὁρῶσι καθ' ἑαυτῆς ἀποστέλλῃ, μήτε τὸ ἔξωθεν πεμπόμενον βλέμμα,
ἅπτεσθαι αὐτῆς συγχωροῦσαν. ὡς ἂν μὴ καθάπερ τινὶ πεπυρακτωμένῳ βέλει τού-
τῳ τὴν καρδίαν βληθεῖσα, πρὸς τοὺς τῆς ἡδονῆς τύπους διακαιομένη, ἀνάπτηται.
ἔσῃ γάρ φησιν ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ. ἀλλὰ τὸ μὲν ἔξωθεν, ἀν-
τίτυπον τῇ παρ' ἑαυτῆς θέᾳ δεῖ τῆς ψυχῆς ἀποκρούεσθαι, τὸ δὲ αὐτῆς σωφροσύ-
νης μήνυμα τοῖς ὁρῶσι παρέχειν. ἱκανὴ γὰρ καὶ βλεφάρων περίεργος κίνησις, μυω-
πάσαι τε καὶ παροιστρῆσαι πρὸς ἡδονήν, ὑφ' ἧς ταῦτα σοβεῖται ψυχήν. ὅταν γὰρ τῷ
τοῖς ὀφθαλμοῖς αὐτοῖς ὀφθέντι καλῷ τὸ ὄμμα ἐμπαθῶς ἐπερείσασα, καθάπερ ἐν
κηρῷ τῇ ἀπὸ τῆς ἡδονῆς μαλαχθείσῃ ψυχῇ, τοὺς τύπους τῆς ὀφθείσης ἰδέας ἐν ἑαυ-
τῇ ἀπομάξηται, ἀνακεχώρηκε μὲν καὶ καθ' ἑαυτόν ἐστιν ὁ ποιήσας τοὺς τύπους. ἐν-
αποσφραγισθεῖσα δὲ τῇ διανοίᾳ τοῦ ὀφθέντος ἡ ἰδέα πρὸς τὰ ἑαυτῆς ἔργα ἐγκειμέ-
νη ἀεὶ φαντασιοῖ τὴν ψυχήν. διὸ δεῖ μάλιστα μὲν τὴν ἀρχήν, μηδενὶ ἀτενὲς τὴν
παρθένον ἐπιβάλλειν τὸ ὄμμα, ἢ ἐπιβάλλουσαν, ἀντιτύπῳ δυνάμει τοὺς βιαζομέ-
νους ἐντυπωθῆναι χαρακτῆρας ἑαυτῆς ἀποκρούεσθαι, ὡς ἂν μηδεμίαν σωματικὴν
ἰδέαν χρονίαις τῆς συνηθείας ἐπιβολαῖς ἐντυπώσηται. ἐὰν δέ που συμβῇ λαθόν-
τας τῷ σωματικῷ ἐγγενέσθαι τοὺς τύπους, τοῖς τῶν καλῶν συνεχέσι μνήμαις τού-
τους ἐξ αὐτῆς ἀφανίζειν. τοὺς μὲν παρὰ τῆς σωματικῆς ἰδέας ἐγγραφέντας, κα-
θάπερ ἐν κηρῷ, τῇ ἐπὶ τὰ θεῖα μεταθέσει τοῦ νοῦ ἀπαλείφουσαν, τοὺς δὲ τῶν ἁγίων
τοῖς περὶ αὐτὰ πεποιημέναις θεωρίαις ἐγγράφουσαν. ἐὰν δὲ τοὺς ἐγγινομένους αὐ-
τῇ τύπους ἐμμένειν ἀθραύστους, καθάπερ ἐν σφραγῖδι, τῇ διανοίᾳ ἐάσῃ, ἀνάγκη πε-
ρὶ τὴν ἐκσφραγισθεῖσαν ἰδέαν τὸν νοῦν ἀσχολούμενον. τὰ μὲν ἄλλα πάντα καλὰ πα-
ρορᾷ, πρὸς δὲ τὴν τῆς ἐνούσης ἰδέας φαντασίαν ἐπτοημένην ἀεί, περὶ τὴν ἀπό-

λαυσιν

σίον, οὐ προνοεῖν προθυμεῖται, ὁ ἑαυτὸν μὴ εἰδὼς ἀγαπᾶν. καὶ πῶς τὴν ἐντολὴν δι-
καίως πληροῖ, ὁ τὴν πρὸς τὸ δοῦλον σῶμα δίκην ὑμῶν μὴ δικάσας; ἀλλὰ προφάσει
μὲν δουλαγωγίας ὑπωπιάζειν ἐπαγγειλάμενος, τῇ δὲ ἀκρίτῳ ὁρμῇ τοῦτο κακῶς ἀνα-
λώσας; πῶς γὰρ ἔτι δοῦλον ἔσται τοῦτο, τοῦ δεσπότευοντος αὐτὸν τὸν δεσπότην εἰς ὑπη-
ρεσίαν τῆς βίας, ἧς παρ᾽ ἑαυτοῦ ὑπέμενον εἰληφός; πῶς δὲ δουλεύσει τῷ δεσπότῃ,
εἰς τὴν τῶν ἀδελφῶν ἐπιμέλειαν, πάντας τοὺς εὖ ποιεῖν δυναμένους, εἰς τὴν ἑαυτοῦ
θεραπείαν δούλοις παρειληφός; οὐκέτι γὰρ πρὸς τὰ τῆς ἀρετῆς κινήματα τῷ δεσπό-
τῃ ὑπηρετήσει. ἐν ἀσθενείᾳ δὲ κείμενον, τοῖς λοιποῖς ἅπασιν ἐπιμελείας ἔσται ὑπόθε-
σις. οἰκτιζόμενον τὸν δεσπότην ἀπὸ πάντων ἔχον, διὰ τὴν περὶ τοῦτο ταλαιπωρίαν.
ἐλεούμενον δὲ τὸν δοῦλον διὰ τὴν ἀνίατον τούτου αἰκίαν. οὔτε γὰρ ὁ δεσπότης τῶν
ἑαυτοῦ ἔργων ἐπιλαβέσθαι λοιπὸν, διὰ τὴν περὶ τοῦτο ἀσχολίαν, ἀλλ᾽ οὔτε ἀναγκα-
σθεὶς τῆς πρὸς αὐτὸ συνηθείας, ἐλευθέρως ἀφεθῆναι ἐπίνοιαν ἔχει. οὔτε ὁ δοῦλος ἔτι
ἐλέους τυχὼν, ἀνακτήσασθαι τὴν πρέπουσαν πρὸς τὸν δεσπότην δουλείαν. ἀλλ᾽ ὁ ἕ-
τερος τῷ ἑτέρῳ ὑπόθεσις ἀνιάτου κολαστηρίου γενόμενος, τὴν ἀλογίαν ἔχουσι, τοῦ εἰς τὸ
δεσμωτήριον τοῦτο ἀμφοτέρους βάλλοντος. καὶ παρὰ τοῦ ἀγωνοθέτου καὶ παρὰ τῶν
θεατῶν γελώμενον. ὅτι πρὸς δρόμον ὅμοιον οὗτος ἀπογραψάμενος, ἔλαθε δι᾽ ἀλο-
γίαν, οὐ μόνον οὐδὲν τῶν πρὸς τὸ στάδιον φρονίμως ἐσχηκώς, ἀλλὰ καὶ τὸν πρὸς δρό-
μον αὐτῷ δουλεύσαι ὀφείλοντα, ἀδίκως καταβαλὼν, καὶ ἔτι ἑαυτὸν τούτῳ, ἀνοήτως
συγκαταρρίψας. διὸ ἀναγκαίως τοῖς διὰ τὴν τοῦ καλοῦ κτῆσιν ὑπωπιάζουσι τὸ σῶ-
μα, πάλιν ἀποφαινοῦμεν. μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερά. ὡς γὰρ τὸ εἰς
γαστριμαργίαν ἐκκλῖναι ἐστὶ χαλεπὸν, οὕτω τὸ διὰ ἐπιτεταμένης κακουχίας, εἰς ἀχρη-
στίαν δι᾽ ἀσθενείας τὸ σῶμα καταβαλεῖν, ὡς ἀληθῶς ἀλογώτατον. οὐ γὰρ δι᾽ ἑαυτὴν ἡ
ἀποχὴ τῶν τῆς γαστρὸς ἡδονῶν ἐστι καλὸν, ἀλλ᾽ ὅτι πρὸς τὴν τοῦ καλοῦ κτῆσιν συμβάλ-
λεται. εἰ δὲ διὸ τὴν ἀποχὴν τῶν βρωμάτων ἐγκρίνομεν, τούτου διὰ τῆς ἐπιτεταμέ-
νης ἀποχῆς ἀμελήσομεν, εἰς τὸ ἐναντίον ἡμῖν ἀπὸ ἀλογίας τῆς ἀγωγῆς ὁ τύπος περι-
τραπήσεται. οὐκέτι μὲν διὰ τὴν συντήρησιν καὶ παρατροπὴν τοῦ ὀργάνου, δι᾽ ἀναγνω-
σμάτων τε, καὶ εὐχῶν ἐμμελεῖν τῷ θεῷ δυναμένοις πρὸς τὴν τῶν ἀδελφῶν ἐπιμέλειαν,
τῷ καλῷ ὑπακούειν. χρὴ οὖν καὶ σώματος ἐπιμέλειαν ποιεῖσθαι, οὐ διὰ τὸ σῶμα,
ἀλλ᾽ ὑπηρεσίαν φημὶ φιλοσοφίᾳ κτωμένοις. ἀδύνατον γὰρ τὴν ὑπηρεσίαν τοῦ σώμα-
τος ἐπιτήδειον πρὸς φιλοσοφίαν μὴ ἔχοντας, ἢ ἀναγνώσμασι φιλοσόφοις ἀρκέσαι, ἢ τοὺς
νοῦν ἐνατενοῦντα τῷ σώματι, προσευχὴν δεόντως συντεῖναι, ἢ συνόλως τι τῶν φιλο-
σοφίᾳ ἐπιβαλλόντων, εἰς ἑαυτοῦ καὶ τῶν κοινωνούντων τῷ βίῳ, ὠφέλειαν ἐργάσασθαι.
διὸ ὑπωπιάζω μου τὸ σῶμα φησὶ καὶ δουλαγωγῶ. κατεξανίστασθαι γὰρ δι᾽ ἀκμὴν τοὺς
σαρκῶν τοῦ δεσπότου βουλόμενον, τοῖς τῆς ἐγκρατείας ὑπωπίοις δουλαγωγῶ ἐπιγινώ-
σκειν τὴν δεσποτείαν συναναγκάζων. οὐ γὰρ οὕτως αὐτὸ παίω φησὶν, ὥστε τοῖς ἀμέ-
τροις πληγαῖς, ἄχρηστον πρὸς τὴν δουλείαν ποιῆσαι, ἀλλ᾽ ὁ σκοπός μοι τοῦ ὑπωπιά-
ζειν ἐστὶν, ἵνα δουλαγωγήσω τοῦτο, πρὸς ὑπηρεσίαν τῆς δεσποτείας. ὁ δὲ εἰς τοσοῦτον τοὺς
τύπτων ταῖς ἐνδείαις τὸν δοῦλον, ὥστε μὴ μόνον ἄχρηστον πρὸς τὴν ὑπηρεσίαν τοῦ δεσπό-
του γενέσθαι, ἀλλὰ καὶ ἑαυτῷ ἀδυνατεῖν ἐπαρκεῖν, τί ἄλλο, ἢ δοῦλον ἑαυτὸν τοῦ δού-
λου πεποίηκεν; ἀνάγκη γὰρ μηκέτι μὲν δυναμένου δουλεύειν τοῦ σώματος, ὑπ᾽ ἀσθε-
νείας δὲ παρειμένου, τὸν δεσπότην, τούτου δουλεύειν, ἀεὶ περὶ τὴν ὑπηρεσίαν αὐτοῦ τῆς
ἀσθενείας πονούμενον, καὶ οὐκέτι μὲν τῶν καθ᾽ ἑαυτὸν ἔργων μνήμην ποιήσασθαι συγ-
χωρούμενον, πάντα δὲ τὸν βίον τούτου προσδαπανῶντα. τῆς οὖν σαρκὸς πρόνοιαν
μὴ ποιεῖσθαι, οὐχ ἁπλῶς ἀπεφήνατο. ἀλλ᾽ εἰς ἐπιθυμίας φησίν. ὥστε τὸ μὲν ἐπι-
θυμητικὸν καὶ φιλήδονον τῶν σαρκῶν, διὰ τῆς ἀσκήσεως δεῖ ἀποτέμνειν. τὸ δὲ χρεῶ-
δες, εἰς τὴν τοῦ καλοῦ κτῆσιν προνοούμενον, συντηρεῖν. βρῶμα γὰρ ἡμᾶς, οὐ παρίστησι τῷ
θεῷ. οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη, καὶ
χαρὰ ἐν πνεύματι ἁγίῳ. δι᾽ ἃ καὶ ἡ τῶν βρωμάτων ἀποχὴ, μηδὲ λόγου παραλαμβά-
νεται. ἐπεὶ αὐτὸ καθ᾽ ἑαυτὸ τὴν ἀποχὴν τῶν βρωμάτων ἂν ἐξετάζῃς φησὶν, οὔτε ἐὰν
μὴ φάγωμεν ὑστερούμεθα, οὔτε ἐὰν φάγωμεν περισσεύομεν. οὔτε γὰρ οἱ μὴ ἐσθίοντες

τὸ τῶν σαρκῶν βάθος ἀμύσσοντά τε, καὶ κνισμοὺς δὲ καὶ γαργαλισμοὺς ἐμποιοῦντα, οὐκ ἔ-
λαττον τῶν αὐτόθεν φαικτῶν κατὰ τὸ λεληθὸς ἐπίβουλοι καὶ ταράσσει τὰ σώματα.
διόπερ οὐδὲ τοῖς ἅλσιν ἁπλῶς καὶ ἀδιαφόρως χρησόμεθα. ὥσπερ ἐνίοις τῶν ἀσκήσει
προσεχόντων ἐθιζόμεθα, δι' ὑπερβολὴν ἐγκρατείας, ἅπαν μὲν παραιτουμένοις
προσόψημα. μόνοις δὲ τούτοις μετὰ τοῦ ἄρτου, ἀντὶ παντὸς προσφερομένοις ἡδύσμα-
τος. οὐ συνιᾶσι δὲ ἄρα καὶ οὗτοι ὅτι γόνιμοι κατὰ φύσιν ὑπάρχοντες, καὶ ὀδαξησμοὺς
τῷ σώματι ἐμποιοῦντες, μᾶλλον τῶν ἄλλων πρὸς τὰς μίξεις τὰ σώματα ἐρεθίζου-
σιν. εἰ δ' ἐν τούτοις δεῖ σοφῶς πρὸς τὴν προκειμένην χρείαν τὸν ἡνίοχον δέχεσθαι,
πολλῷ πλέον τῶν ἀκροδρύων, τὴν πρὸς τὰ ὁμολογουμένως βλάπτοντα συγγένειαν
τῶν ποιοτήτων προσήκει φυλοκρινεῖν, ἁπανταχοῦ μὲν τὸ ἀναγκαῖον τῆς τροφῆς, πρὸς
ζωὴν μόνον φρονίμως ἐγκρίνοντας. τῶν δὲ προσοψημάτων τὴν ἐπινενοημένην κολα-
κείαν, πρὸς τὰ ἡδονῆς δελέατα ἀποπτύοντας. εἰ γὰρ ἄρτος καρδίαν ἀνθρώπου στηρί-
ζει, οὐδὲν πλέον τοῦ ἀναγκαίου τῆς τροφῆς τὸ προσόψημα, ἀλόγως προσφέρεσθαι. ἐπεὶ
μηδὲ τὸ ἄλλο ἥδυσμα τοῦ ἄρτου ὑπάρχοντας, ἴσως ποσότητα μετὰ τοῦ ἄρτου παραλη-
ψόμεθα. εἰ δὲ οὐκ αὖθις ἴσον τὸ ἄρτυμα, τῷ οὐ παραλαμβανομένῳ ἄρτυμα προσγίνοι-
το, πῶς αὖθις πλεονάζουσαν τὴν τῶν προσοψημάτων χρείαν, τῆς προηγουμένης τροφῆς
παραλάβοι; οὐκέτι γὰρ ἔσται ταῦτα τοῦ ἄρτου ἀληθῶς προσοψήματα. ἀλλὰ ὁ ἄρτος
ἀνάπαλιν τούτων. καὶ λήσεται πάλιν ἄλλῳ λόγῳ, ἡ γεῦσις κατασοφισαμένη, διὰ τῆς
ποικιλίας τῶν ὄψων, πρὸς ἡδονὴν τὸν ἡνίοχον. εἶτα ἐντεῦθεν ἀρεθήσεται, ὃ φεύγει
διὰ τῆς ἀσκήσεως, πάλιν διώκων. οὐκοῦν ὥσπερ ἐκ τετραχόρδου, συνελόντι φάναι,
ἀγαθὴ ἁρμονία. ἐπειδὴ ἐκ τεττάρων, γῆς καὶ ὕδατος, ἀέρος τε καὶ πυρὸς, συνέστηκεν ἡ-
μῶν τὰ σώματα, τῷ μὲν ἐνδέοντι, διὰ τῶν τροφῶν ἀεὶ βοηθήσει, τοῦ δὲ πλεονάζοντος,
τῇ ὑφαιρέσει, καὶ πρὸς τὰς γυμνασίας ἀγωγῇ, τὴν δυναστείαν μαλάξει. οὐ τὰς πο-
σότητας τοῦ ἐν ἡμῖν θερμοῦ τε καὶ ψυχροῦ, ἀλλὰ καὶ τὰς ποιότητας ξηροῦ τε καὶ ὑ-
γροῦ δοκιμάζων. καὶ τοῖς μὲν, εἰς ποσότητα προστιθεὶς, τῶν δὲ, ὑφαιρῶν. καὶ τῶν μὲν
ἐπιτείνων, τῶν δὲ ἀνιεὶς διὰ τῆς ἀγωγῆς τὰς ποιότητας. καὶ τὰς μὲν, ἐξαλλάσσων, τὰς
δὲ, κατὰ φύσιν τηρῶν. οὕτω πάσης ἀναρμοστίας ἀπηλλαγμένον, ἁρμοστὸν ὡς ἀληθῶς
τὸ τετράχορδον τοῦ σώματος ἡμῶν φημὶ, πρὸς τὴν τοῦ καλοῦ μελῳδίαν, τῇ ψυχῇ ἀ-
ποτελέσει. ἀλλὰ ταῦτα μὲν ἡμῖν εἰς τὸν τῆς γεύσεως τρόπον, διὰ τοὺς ὑπὲρ παρθενίας
δρόμοις, μᾶλλον δὲ ὑπὲρ αὐτῆς ὅλης ἀρετῆς ἀσκουμένοις εἰρήσθω. ἀπολείπεται δὲ ὅτι,
ὡς ἡ τοῦ σώματος κατὰ τῆς ψυχῆς δυναστεία, πρὸς τὴν τοῦ καλοῦ κτῆσιν ἐμπόδιος γί-
νεται, οὕτως ἀνάπαλιν ἡ ἀσθένεια, οὐ δυναμένου ὑπηρετεῖσθαι τοῦ σωματικοῦ ὀργάνου
ταῖς τῆς ψυχῆς προθυμίαις, τὸν πρὸς τὰ καλὰ δρόμον ἐκκόπτει. οὐδὲν γὰρ μᾶλλον
ἡ μολιβὶς τῶν σαρκῶν τὸ τῆς ψυχῆς πτερόν ἐστι τὰ κάτω καθέλκουσα, ἢ ἡ τοῦ σώμα-
τος ἀσθένεια ὑπὲρ αὐτὸ ἀχλοῦσά τε τοῦτο καὶ θλίβουσα, οὐκ ἐᾷ πρὸς τὰ ὄντα ὡς θέ-
λει ἀνίπτασθαι. οὐ τῆς τῶν καλῶν κτήσεως αὐτὴν δι' ἀδυναμίαν μόνον ἀποστεροῦσα
τὴν παρουσίαν, ἀλλὰ καὶ τῶν κτηθέντων ἤδη διὰ τὴν ἐκ τῆς ἀσθενείας ἀμελετη-
σίαν, ἀποσυλῶσα τὸ κάλλος. ὡς γὰρ παχεῖα γαστὴρ, οὐχ ἡ κατασκευῇ καὶ τῇ φύσει
παχεῖα, ἀλλ' ἧς ἡ παχύτης τροφῶν διὰ γαστριμαργίαν ἀφθόνως ἐστὶ, ἐπιθολοῦσα τὸν
νοῦν καὶ παχύνουσα, λεπτὸν οὐ τίκτει νόα, οὕτως ἡ ἄγαν λεπτὴ δι' ἀτονίαν ἄπνουν
τοῦτον ποιοῦσα ἐν τῇ ἀσθενείᾳ τοῦ σώματος, καὶ τὸν λεπτὸν ἤδη τικτόμενον ἀποσβέν-
νυσιν. καὶ ὅτι οὐ καθάπαξ τὰς δὲ μὲν δεῖ τὰς τροφὰς ἀποστερεῖσθαι, τῶν δὲ ἁπλῶς ἐμ-
φορεῖσθαι, ἀλλ' ὅτι προσήκει κἀν τούτοις, μὴ μόνον τὴν ποσότητα, σωφροσύνῃ
μετρεῖσθαι δυναμένην διὰ πλῆθος ταυτὸν τοῖς ἐκβεβλημένοις ἐργάζεσθαι, ἀλλὰ καὶ
τὴν ποιότητα ἰσοδυναμοῦσαν πολλάκις, τοῖς προφανῶς βλαβεροῖς ἐπικρίνειν, καὶ
συνόλως λόγον σέβοντας, λόγῳ, καὶ μὴ ἀλογίᾳ ἀσκεῖσθαι. εἰ δὲ ἀγαπήσεις τὸν πλη-
σίον σου ὡς ἑαυτὸν, καὶ διὰ ταύτην τὴν ἐντολὴν τῷ εἰπόντι, γυμνὸς ἤμην καὶ περιεβά-
λετέ με, πεινῶντα καὶ ἐθρέψατε, ἀσθενοῦντα καὶ ἐπεσκέψασθε, μετὰ σπουδῆς παριστά-
μεθα, ὑποκρίνεται τὴν ἐντολήν. ὁ ἕτερον μὲν παρίστασθαι προνοούμενος, ἑαυτὸν δὲ
ἀσθενοῦντα ἀνηλεῶς, λυμαινόμενος. φανερὸν γὰρ, ὡς ἐσφαλμένως ἀγαπᾷ τὸν πλη-

» κακῶς αὐτόθεν κενοδοῦντι φησίν. ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυ-
» ναῖκα τοῦ πλησίον αὐτοῦ, ἐχρεμέτιζε. καὶ ἀλλαχοῦ, ἀπ' ὀμφαλοῦ καὶ ὀσφύος τὸ ἄλογον
κατὰ τῆς ψυχῆς δυναστεύειν ὑπονοησόμενος. ἰδοὺ ἡ ἰσχὺς αὐτοῦ φησὶν ἐπ' ὀσφύϊ, ἡ δὲ
δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός. παιονομένης γὰρ ταύτης ἀπὸ τῆς γεύσεως, ἀνάγ-
κη τὰ ὑπ' αὐτὴν μόρια ἀπὸ τοῦ πλημμυροῦντος ὑγροῦ βραστομένου ἐν βάθει, πρὸς τὰς
φυσικὰς ἐνεργείας κινεῖσθαι. χορηγεῖ μὲν γὰρ ἡ γαστὴρ ἐπικειμένη τούτοις πρὸς τὸν οἶστρον
τὰ ὑπεκκαίοντα ταύτας. κατάποσις δὲ αὐτόθεν πηγάζει τὰς ὕλας. πρῶτης οὖν τῆς
γεύσεως ἡ παρθένος κρατήσει τὰς πηγὰς τῶν γαστρὸς ἡδονῶν, καὶ τῶν ἐντεῦθεν πρὸς
ἀκολασίαν ἐρεθιζουσῶν ἀφορμῶν, αὐτόθεν σωφρόνως ἡνιοχοῦσα. ἵνα μὴ παρθενεύειν προαι-
ρουμένη, εἶτα πρὸς τὴν γεῦσιν ἀφειδῶς ἐκπορνεύουσα, λάθῃ καθ' ἑτέραν ἀπόλαυσιν
ἡδονὴν, τὴν παρθενίαν ἀλόγως ἀπεμπολοῦσα. παρθένον γὰρ καὶ τὴν γεῦσιν εἶναι δεῖ
τῆς παρθένου, ἀπὸ μηδεμιᾶς τῆς ἡδόντος τὴν κατάποσιν κολακείας πρὸς ἡδονὴν
φθειρομένην, ἀλλ' ἄφθορον μὲν κἀν τούτῳ ἑαυτὴν φρονίμως φυλάττουσαν. πρὸς δὲ
τὴν τῆς ψυχῆς εἰς τὰ ἐπιβάλλοντα ὑπηρεσίαν, τὸ σῶμα ἐμφρόνως ἡνιοχοῦσαν. οὐδὲ
γὰρ δεῖ φυλαττομένην ἀποπεσεῖν τῇ τῆς γεύσεως ἡδονῇ, καὶ τὰς πηγαζούσας ἐκ γαστρὸς
ἡδονὰς διὰ τῆς πρὸς τὰ σιτία ἐγκρατείας ἀναστέλλουσαν τε καὶ ἰσχναίνουσαν, εἰς τὸ ἐναν-
τίον αὖθις περιτρέπειν τὴν τοῦ σώματος χρείαν. μὴ ἐκκλίνεις γάρ φησιν εἰς τὰ δεξιὰ ἢ
εἰς τὰ ἀριστερά. ὡς γὰρ τὸ ἀθέτον κατὰ πάντων ἁπλῶς ἐδεσμάτων ἀφιέναι τὴν γεῦσιν διὰ
τὰ προειρημένα ὡς ἀληθῶς χαλεπὸν, οὕτω τὸ ἀποκλεῖσαι ταύτην εἰς τὴν ἐξ ἀσθε-
νείας τοῦ σώματος ἀχρηστίαν, παντάπασιν ἀλογώτατον, αἱ ἀκρότητες γὰρ οὕτως, ὥς ἔ-
φη τίς τῶν σοφῶν, καὶ κατὰ τοῦτο ἀνισότητες. ὡς γὰρ διὰ πλῆθος τροφῶν ἀποσκιρ-
τῶν ἡμῶν ὁ ἵππος, φέρει κακῶς ὅπη βούλεται τὸν ἡνίοχον, οὕτως δι' ὑπερβάλλουσαν
ἔνδειαν, πρὸς τὴν προκειμένην τῆς ἀρετῆς ὁδὸν ἐμποδίζει, καὶ ὥσπερ οὐδὲν ταῖς πολ-
λαῖς τροφαῖς τοῦτον πιαίνοντα ταῖς τῶν σκιρτημάτων αὐτοῦ ἀταξίαις, κακοπαθεῖν τὸν
ἡνίοχον, καὶ ἁπανταχοῦ περιφέρεσθαι, πρὸς τὴν ζέουσαν τε καὶ δύσκαμπτον αὐτοῦ δύ-
ναμιν παντελῶς οὐκ ἀντέχοντα, οὕτως οὐδὲ τὴν ἐπ' ἀρετὴν ὁδὸν σὺν τούτῳ ὁδεῦσαι
προθέμενον, ὑπερβαλλούσῃ ἐνδείᾳ πρὸς τὸ ἀχρεῖον αὐτοῦ φημὶ τὴν δύναμιν καταβα-
λεῖν. ἵνα μὴ ἐξασθενήσαντι τούτῳ προσδεδεμένος, ἀνήνυτον ὑπὲρ αὐτοῦ ἀπομένει τὸν
πόνον. μήτ' ἐγεῖραι ἔτι καταπεσόντα πρὸς τὸν δρόμον δυνάμενος, μήτ' ἀφεῖναι ἀπὸ
τῆς πρὸς αὐτὸν φυσικῆς σχέσεως, συγχωρούμενος. ἀλλ' ἀεὶ μὲν τούτῳ διὰ τὴν κοινω-
νίαν συστένειν, καὶ περὶ τὴν ἐπιμέλειαν τῆς ὑγείας αὐτοῦ πονεῖσθαι ἀναγκαζόμενος. τῷ
δὲ μὴ ἔχειν σθεναρὸν τὸ πρὸς τὴν γυμνασίαν τῶν ἐπιβαλλόντων τῷ δρόμῳ ὑπηρε-
τούμενον, δι' ἀμελετησίαν λοιπὸν τὰ πολλὰ τῆς οἰκείας ἐπιστήμης ἑαυτοῦ ἐκβαλεῖν.
οὐκοῦν ἐπεὶ δεῖ τὸ συμφυὲς ἡμῖν ὄχημα, μήτε ἀνιέντας ἄγαν, μήτ' αὖ πάλιν σφο-
δρῶς ἐπιτείνοντας, πρὸς τὸν τῆς ἀρετῆς δρόμον προάγειν, διὰ τοῦτο προσήκει καὶ τὴν
κατάστασιν ὡς ἔχει τοῦ σώματος, καὶ τὰς ποιότητας τῶν τροφῶν θεωρεῖν, καὶ ἀκμά-
ζοντι μὲν καὶ τῷ σώματι καὶ θέρμης φυσικῆς πλεονάζοντι, ἐπισχεῖν ἔτι, καὶ διὰ τῶν
τροφῶν ἐξωθεῖν τὸ θερμόν. ἵνα μὴ ἡ πολυχύμοις τροφαῖς τὴν οὖσαν ἐκ φύσεως πι-
μελὴν ἐκ προσθήκης αὐξήσαντες, ἢ τῇ τοῦ οἴνου ἐκχύσει ζέουσαν τοῦ σώματος τὴν ἀκ-
μὴν ἔτι μᾶλλον ὀξάψαντες, κατὰ τὸν τῶν ἑλλήνων σοφὸν, πῦρ ὄντως ἐπὶ πῦρ ὀχετεύο-
μεν. ἀλλ' ἀκμάζοντι μὲν, καὶ θέρμης φυσικῆς πλεονάζοντι, τὸ ἐκ πηγῶν καθαρὸν ῥεῖ-
θρον σωφρόνως ἐποχετεύσωμεν, τὴν ἐν τῇ φύσει ζέουσαν φλόγα τὴν τοῦ ὕδατος ἀντιπα-
θεῖ δυνάμει καταμαραίνοντες, καὶ πρὸς τὸ ἥμερον τῷ ἐν ἡμῖν λόγῳ κιρνῶντες.
παρηβῶντι δὲ καὶ μαραινομένῳ, τὴν ἐκ τῶν τροφῶν καὶ τοῦ πόματος βοήθειαν σύμ-
μαχον ἐπεισάξωμεν. οὐ τὴν ποσότητα μόνον τῶν τροφῶν ἁπανταχοῦ πρὸς τὴν δύ-
ναμιν φρονίμως μετροῦντες, ἀλλὰ καὶ τὴν ποιότητα μάλιστα σοφῶς ἐπικρίνον-
τες. οὐδὲ γὰρ τῇ ἔξωθεν φαντασίᾳ, τούτων μόνον προσέξομεν, ἀλλὰ καὶ τὴν ἐν τῷ
βάθει δύναμιν τούτων μάλιστα σοφῶς κατοπτεύσομεν. ὅτι οὐ τῶν [illegible] μό-
νον τε καὶ ὀσπρέων, ἀλλὰ καὶ τῶν λαχάνων ἐστὶν οὐκ ὀλίγα, ἃ οὐ κατὰ τὴν ἔξωθεν δό-
ξαν πρὸς τὴν ἥμερον ἡνιόχησιν εἰς τροφὰς τῷ ἀσκητῇ καθάπαξ συμβάλλεται. ἀλλὰ

διὰ μὲν τῆς ὅλης ἐπιφανείας αὐτῆς, οὐ τῆς φαινομένης ἔξωθεν μόνον, ἀλλὰ καὶ τῆς ἐν τῷ βάθει πρὸς τὰς ἐμπαθεῖς ἁφὰς, κατὰ τῆς ψυχῆς δυναστεύει. τῶν δὲ χειρῶν μάλιστα καταλαβοῦσα τὸ κυριώτατον, διὰ τούτων, ὥσπερ διά τινων αὐτῇ πεφραγμένων ὅπλων, θερμότερον τῇ συναισθήσει θηρατέων τοὺς ἐμπίπτοντας ἀγρεύει πάντας. οὐ μὴν ἔρημον τῆς οἰκείας γοητείας καταλιμπάνει τὴν ὄψιν. ἀλλὰ πρὸς μὲν τὰς κεχυμένας χροὰς, καὶ τοὺς τραχεῖς χαρακτῆρας τραχύνουσα, ταύτην ὁμοῦ συγχέουσα. πρὸς δὲ τοὺς λείους τε καὶ πρὸς εὐφυΐαν, καὶ χρόᾳ καὶ σχήματι ἀπατηλῶς μορφωθέντας, πόρρωθεν διαχέουσά τε ἑαυτὴν καὶ λεαίνουσα, τὴν ἑαυτῆς δυναστείαν ἡ ἡδονὴ, καὶ διὰ ταύτης ἱκανῶς ἐπιδείκνυται. ἀλλὰ καὶ τὴν ἀκοὴν, ταῖς μὲν τραχείαις τῶν φωνῶν φυγαδεύουσα, ταῖς δὲ μαλακαῖς διὰ τοῦ ἐμπνέοντος λείως ἀέρος, ἐν βάθει χαλῶσα τὸ καθ' ἑαυτὴν πρὸς ἡδονῆς ἔργον, καὶ διὰ ταύτης ἀνύει. ἐῶ γὰρ λέγειν τὴν γεῦσιν, ὡς τὸ ὅλον ταύτης σύντροφος οὖσα. πρὸς μὲν τοὺς ἄλλους ἔχοντας χυμοὺς, ἐπισύφεταί τε καὶ ἀκιδίζεται. πρὸς δὲ τοὺς λείους τὰς ἑαυτῆς δεξαμενὰς ἀπλήστως ἀνοίγει. τί γὰρ ἄν τις εἴποι καὶ περὶ τῶν παιδογόνων μορίων ἔτι καὶ λέγοι. ὡς τὴν δεδομένην αὐτοῖς πρὸς τὴν τοῦ ὁμοιογενοῦς σπορὰν δύναμιν, τοῖς ἑαυτοῖς τὸ ὅλον ἐν καταδυσαμένη φαρμάκοις, τῇ συναισθήσει τῆς κατὰ τὴν ἁφὴν τούτων λειότητος, αἰχμάλωτον διὰ τῆς κατ' αὐτὴν ἡδονῆς ἄγει τὸν ἄνθρωπον. δι' ἁφῆς οὖν τινος ἐλάχει, καὶ ὄψις τὴν ψυχὴν πρὸς ἡδονὴν ἀπατῶσα. ταῖς γὰρ τῶν ὀμμάτων βολαῖς, καθάπερ ἀσωμάτοις χερσὶν, ὧν ἂν ἐθέλῃ πόρρωθεν ἁπτομένη, καὶ ὧν ταῖς τοῦ σώματος χερσὶν ἅψασθαι ἐπ' ἐξουσίας οὐκ ἔχει, ταῦτα ταῖς τῶν ὀμμάτων ἐπιβολαῖς ἐμπαθῶς περιπτύσσουσα. δι' ὧν ἀπεμάξατο τύπων, ὅλον πρὸς τὰς ἐγγινομένας φαντασίας τὸ σῶμα κυμαίνουσα. καὶ ἀκοὴ τῶν λείων φωνῶν δι' ἁφῆς ἁπτομένη, διὰ ταύτης τὴν ψυχὴν γοητεύουσα, καὶ συνελόντι φάναι πᾶσα αἴσθησις. ὥσπερ τὸ σῶμα ἐν ᾧ δυναστεύει κοινὸν, οὕτω καὶ τὴν ἐν τούτῳ ἁφὴν κοινὴν εἰληφυῖα, διὰ ταύτης ἑκάστην τε αἴσθησιν πρὸς τὸ οἰκεῖον ἡδὺ, καὶ δι' ὅλων ὅλον ἐν ἁφῇ κείμενον ἡμῶν τὸ σῶμα πρὸς τὴν καθόλου ἡδονὴν ποικίλως μοχλεύουσα. ἐπειδὴ οὖν ἐν πάσαις μὲν ἁφὴ, μάλιστα δὲ ἐν γεύσει καὶ τοῖς παιδογόνοις δυναστεύει μορίοις, καὶ ἑτέρα τῆς ἑτέρας, ὥσπερ ἐν ἁλύσει ἐξημμένη τε καὶ κρατοῦσα ἁφῇ, ἡ μὲν διακονεῖται, ἡ δὲ διάκονος γίνεται. πᾶσαι δέ γε ὑπὲρ τὴν βασιλίδα ἑαυτῶν ἡδονὴν τὴν τῶν αἰσθήσεων δι' ἁφῆς ἐνέργειαν παραπέμπουσαι, ἔτι καὶ μᾶλλον τοῖς πάθεσι τὴν ψυχὴν σωματοῦσι. πρόκειται δὲ τῇ παρθένῳ πάσης ἡδονῆς σωματικῆς, καθαρὸν ἀποδεῖξαι τὸν νοῦν. διὰ τοῦτο τὴν μάλιστα σωματοῦσαν ἁφὴν, δεῖ τῆς ψυχῆς ἀποκόπτειν, ὡς ἂν τὸ ὄχημα τῶν κατὰ τὰς ἄλλας αἰσθήσεις ἁφῶν ἀνελοῦσα, συνανέλοι ὡς ἐν κἀκείνων πρὸς τὰ οἰκεῖα ἡδέα τὰς ὕλας. τί οὖν μάλιστά ἐστιν ὃ σωματοῖ πρὸς ὕλην τὴν ψυχὴν, καὶ τὰς ἐν ταῖς ἄλλαις αἰσθήσεσιν ἡδονὰς, πολυμόρφως βλαστάνει; ἡ ἐν γεύσει τέ φημι καὶ ἡ πρὸς τὰς συνουσίας τὸ σῶμα ἁφὴ ἐμπαθῶς γαργαλίζουσα. τούτων δ' αὐτῶν ἡγεῖται μὲν, ἡ τῆς γεύσεως. ἡ δὲ τῆς μίξεως ἕπεται. ὅτι διὰ τῆς ἐν τῇ γεύσει ἁφῆς κολακευομένης πρὸς γαστριμαργίαν, ἀεὶ τῆς καταπόσεως πιαινόμενόν τε τὸ σῶμα καὶ ὑπὸ τῶν ἐν τῷ βάθει βρασσομένων λείως χυμῶν ἀρρήτως γαργαλιζόμενον, πρὸς τὴν τῆς μίξεως ἁφὴν οἰστρούμενον φέρεται. διὸ ἀναγκαῖον τὴν μέλλουσαν τῶν πρὸς τὰς μίξεις ἡδονῶν διὰ παρθενίας κρατεῖν, πολλῷ πλέον πρότερον τῆς κατὰ τὴν γεῦσιν ἡδονῆς, ὡς ἐπαντλούσης ἐκείνης τὰς ὕλας, ἄρχουσαν δείκνυσθαι. ἐκ λογικοῦ γὰρ καὶ ἀλόγου, κατὰ τὸ ἑλληνικὸν πρὸς φυσιολογίαν πλάσμα, ὥσπερ τινὰ κένταυρον συνθεὶς ὁ δημιουργὸς ὅλον τὸν ἄνθρωπον, τῷ ἀνθρωπομόρφῳ ἀπὸ κεφαλῆς ἕως στέρνων ἄνωθεν μέρει, τὸ ἀπὸ ὀμφαλοῦ καὶ ὀσφύος, καθάπερ ἵππου φύσιν, πρός τε τὰς γαστρὸς ἡδονὰς κτηνωδῶς ὑπάρχον, καὶ πρὸς τὰς μίξεις ἀλόγως κινούμενον, κάτωθεν φέρων προσήρμοσεν. οὐχ ὑπὸ τοῦ ἀλόγου μέρους τὸ λογικὸν ἐξαρπάζεσθαι βουληθεὶς, ἀλλὰ τῷ λογικῷ ὑποβεβλημένον ἔχοντι τὸ ἄλογον μέρος, ἡνιοχεῖσθαι πρὸς τὰς τῆς φύσεως ἀνάγκας πάνυ σοφῶς ἐφείς. διὰ γοῦν ταύτην τὴν δεδομένην αὐτῷ ἐξουσίαν, ὅταν μὲν ἄγῃ ἀλλ' ἄγηται ὑπὸ τοῦ ἀλόγου τὸ λογικὸν, ἐνδείξων τῷ ἡνιόχῳ ὁ λόγος, ὡς ἂν πρὸς τὴν τοῦ ἀλόγου ἡδονὴν,

λιος, μαλακωτέραν εἰργάσατο, ἵνα καὶ ἁφῇ, καὶ βλέμματι, καὶ κινήματι, καὶ τῇ
τῶν μελῶν συνόλως ἁβρότητι, καὶ ὁρῶν καὶ ὁρώμενον, μάλαγμα ἡδονῆς ᾖ τῷ ἄρρενι,
κατὰ πᾶσαν αἰσθήσεως προσβολὴν, πανταχόθεν προσπίπτον. ταύτης δὲ τῆς βίας
ἐν τοῖς σώμασιν ἡμῶν διὰ τὴν προειρημένην αἰτίαν ἐνυπαρχούσης, ἡ παρθένος, ἴσην
μὲν καὶ τὴν αὐτὴν τῇ οὐσίᾳ ψυχὴν καὶ ἀνδρὶ καὶ γυναικὶ ἐνυπάρχουσαν θεωροῦσα.
τῇ δὲ πρὸς τὸ θῆλυ τε καὶ ἄρρεν τοῦ σώματος προσπαθείᾳ, τὴν μὲν, θηλυνομένην, τὴν
δὲ ἀρρενουμένην γινώσκουσα, ἔκ τε τῆς τῶν σωμάτων, οἷς ἐνδέδενται ἐρωτικῆς συμ-
πλοκῆς, μυρίας ἀναδεχομένας παθῶν ἰδέας τὰς ψυχὰς καθορῶσα, ἀποστῆσαι μὲν
τῆς πρὸς τὸ σῶμα προσπαθείας, ταύτην ἀεὶ προθυμεῖται. διακόψαι δὲ τὴν πρὸς τὸ
ἄρρεν σχέσιν τοῦ θήλεος, ταῖς ἀπὸ τοῦ σώματος πρὸς τὸ οἰκεῖον καλὸν ἀποστροφαῖς ἐ-
παγγέλλεται. ταύτην δὲ τὴν ὁδὸν τῆς ἀρετῆς ὁδεῦσαι σπουδάζουσα, οὐκ αὐτὴν τοῦ
σώματος ἥντινα πρὸς τὸ ἄρρεν ἔχει σχέσιν, λοιπὸν ἐννοεῖ, ἀλλὰ τὴν ἐν αὐτῷ ψυχὴν ἀσώ-
ματον ἔχουσαν, τίνα ἔχει πρὸς τὸν ἀσώματον θεὸν οἰκειότητα, ὀξεῖ τῷ ὄμματι διασκέ-
πτεται, καὶ τοῦ ἀσωμάτου ἔρωτος, πολλῷ λαμπροτέραν ἀνάψασθαι τὴν λαμπά-
δα, τοῖς ὑπὲρ αὐτοῦ ἱδρῶσι γυμνὴν καὶ ἀνεπαίσθητον τῶν ἐν φθαρτῷ σώματι ἡδονῶν, ἑαυ-
τὴν ἐπιδεῖξαι σπουδάζει. ἐπειδὴ οὖν θεῖον ὄντως καὶ τῆς ἀχράντου ψυχῆς ἐξαίρετόν
τι χρῆμα ἡ παρθενία ἐστὶ, τοιαύτη δὲ καὶ ἡ τῶν ἀρρένων τε καὶ θηλέων σωμάτων πρὸς
ἄλληλα σχέσις, ἡ δὲ παρθένος οὐδὲν τῆς θήλεος ἡδονῆς ἐπιφερομένη ἐκ σώματος μόλυσ-
μα. πάντα δὲ τὰ σαρκὸς πάθη ἐκδῦσα, καθαρὰν ἑαυτὴν τῷ θεῷ οὗ ἐρᾷ ἐπαγγέλ-
λεται παραστῆσαι φιλοτιμεῖται, δῆλον ὡς βιαστὸν ἆθλον εἶναι τὴν τῶν οὐρανῶν βα-
σιλείαν γινώσκουσα, βιάσασθαι πρὸς τὸν προκείμενον σκοπὸν τὴν ἑαυτῆς φύσιν ὀ-
φείλει. οὐχὶ τῆς πρὸς τὸν γάμον ἐρεθιζούσης ἐν τῷ τοιῷδε πεπλασμένῳ σώματι ἡ-
δονῆς μόνον κρατοῦσα, ἀλλὰ πρὸς πᾶν εἶδος ἡδονῆς καρτερῶς ἱσταμένη. μία γὰρ οὖ-
σα τῷ γένει ἡ ἡδονὴ ὥσπερ πηγή τις ἀπὸ σαρκῶν ἀναβλύζει. καὶ καθάπερ εἰς πέν-
τε ὀχετοὺς, τὰς πέντε αἰσθήσεις διαιρεθεῖσα, διὰ τούτων ἐπὶ τὰ αἰσθητὰ ἔνδοθεν ῥε-
ῶν ἕκαστος διὰ τῆς οἰκείας τῶν αἰσθητηρίων ὀπῆς τὸ ἑαυτοῦ ῥεῖθρον τῷ καθ' ἑαυτὸν αἰ-
σθητῷ σφοδρῶς ἐμβάλλον, πᾶν ἔτι συγγενὲς ἀποκλύσαν, πρὸς ἑαυτὸ ἐπισύρεται,
ἰλύος τε τῆς ἀπὸ σαρκῶν πληρῶσαν, καὶ χειμάρρου τρόπον ἀντιστρόφως αὖθις ἀπὸ
τῶν ἔξω διὰ τῶν αὐτῶν ὀπῶν εἰς τὰς σαρκὸς δίνας ὀξύτερον ῥέον, τὴν αὐτῆς ψυχὴν
κυμαίνουσαν τοῖς πάθεσιν καταβρύχιον φέρει. διὸ ἀναγκαίως ἡ παρθένος ὀφείλει ταῖς
τῶν αἰσθητηρίων ὀπαῖς, τὸν λογισμὸν φρουρὸν ἐπιστῆσαι, τήν τε ἐπὶ τὰ ἔξω τούτων
φορὰν, οὐκ ἀνέτως ἁπαξαπλῶς αὐτοῖς ἐφεῖσα τὰς διεξόδους, σύμμετρόν τε καὶ ἠρε-
μαίαν παρέχειν. ἵνα μὴ ἀκωλύτως πρὸς ἃ βούλονται ἐκχεόμενοι, ἐπισυρομένην αὐ-
τοῖς ἔσθ' ὅτε τὴν ψυχὴν πρὸς τὰ οἰκεῖα κυμαίνοντας, κατασύρωσι. καὶ τὸ ἔξωθεν ἐπ' αὐ-
τὴν αὖθις αὐτῶν φερόμενον ῥεῦμα, θλίβουσα ταῖς ὀπαῖς διηθεῖν, καὶ παντὸς ῥύπου,
καθαρὸν εἰς αὐτὴν παραπέμπει. ἵνα μὴ τῇ ἀπὸ σαρκῶν ἰλύϊ πλημμυρήσῃ ἣν ἐμ-
παθῶς ἐπισύρεται, ὅλην αὐτὴν τοῖς οἰκείοις μολύσμασι ταράξασα θολώσῃ. οὐκοῦν
οὔτε τοὺς ὀφθαλμοὺς, πρὸς πᾶσαν ἁπλῶς τὴν τῶν ὁρατῶν θέαν ἀναπετάσει. ἵνα μὴ
πᾶσαν ἀδιακρίτως χαρακτήρων τε καὶ μορφῶν ἰδέαν εἰσοικιζομένη, δι' αὐτῶν πρὸς
τὰς ἐξ αὐτῶν φαντασίας ταράσσηται. ἀλλὰ πρὸς μέντοι καὶ ἀνιαρότατον δι' ἀνάγ-
κην τῆς πρὸς τὸν παρόντα βίον φανταγωγίας, τῶν τοῦ σώματος ὀφθαλμῶν, τοὺς τῆς ψυ-
χῆς ἐπιμύσει. πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ φωτὸς, καὶ τοῦ δι' αὐτοῦ δεικνυμένου κάλλους
αὐτῇ, κατανοήσει. καὶ μεμυκότας πρότερον σπουδαίως ἀνοίξει. οὔτε τὴν ἀκοὴν
παντὶ λόγῳ ἀνεξετάστως ὑφέξει. ἀλλὰ πρὸς μὲν τοὺς φαύλους τῶν λόγων, ὥσπερ
πρός τινα δυσώδους ῥεύματος φορὰν αὐτὴν ἀποφράξει. τοῖς δὲ σπουδαίοις καθαρὸν
ῥέουσι τῆς ἀρετῆς τὸ νᾶμα, φιλομαθῶς ἀποδώσει. καὶ τὴν μὲν γεῦσιν πρὸς τὰ ἥδον-
τα ἀεὶ κεχηνυῖαν, ἐν χαλινώσει τῷ λόγῳ. πρὸς δὲ τὴν τῶν ἀναγκαίων μετάληψιν, σω-
φρόνως ἡνιοχήσει. τὴν δὲ ἁφὴν ὡς ἂν ἀνδραποδωδεστάτην μὲν πασῶν αἰσθήσεων οὖ-
σαν, πάσας δὲ τὰς λοιπὰς τῇ οἰκείᾳ λειότητι πρὸς ἡδονὴν μαγγανεύουσαν, ἀκηλίδω-
τον παθῶν ὡς μάλιστα δι' ὅλου φυλάξει. ὅλῳ γὰρ τῷ σώματι αὕτη παρεκταθεῖσα,

τῆς παρθενίας μόνῳ προσέχοντες, οὐδέν τι τῆς ἀληθοῦς παρθενίας φροντίζουσι, διὰ τοῦ-
τ' ἀναγκαίως οἶμαι, τοῖς τὸν ὑπὲρ παρθενίας στέφανον ποθοῦσι λαβεῖν, ὑποφωνῆσαι
τὰ ἐνόντα σπουδάσω, ὡς ἂν μὴ δι' ἄγνοιαν ἀμελήσαντες τοῦ προηγουμένου καλοῦ, περι-
σαλεύσωσι μὲν τῇ τῆς θεραπαίνης δουλείᾳ πάντα τὸν βίον· διὰ δὲ τὸ μηδέποτε τὴν δέ-
σποιναν ταύτης θεραπεῦσαι καὶ τὴν τοῦ σώματος παρθενίαν οὐ κοσμουμένην τῷ τῆς
ἔνδοθεν κάλλει, μετὰ πολλοὺς ἱδρῶτας ζημιωθῶσιν. ἵνα οὖν σαφῶς ἕκαστον τῶν συν-
τεινόντων πρὸς τὸ τῆς ἀληθοῦς παρθενίας κάλλος ὀφθῇ, φέρε πρὸς τίνα σκοπὸν ἡ παρ-
θένος ἀφορῶσα τὴν ἑαυτῆς παρθενίαν ἀσκεῖ, θεωρήσωμεν. οὕτω γὰρ ἂν ἐφ' ἑκάστου κινή-
ματος αὐτῆς, εἴτε πρὸς τὸν προκείμενον βάλλει σκοπόν, εἴτ' ἄλλο προτεθειμένη, πρὸς ἄλλο
δὲ ἀφορῶσα, τοῦ καθ' ἑαυτὴν σκοποῦ ἀστοχεῖ, ὥσπερ ἐν αἰθρίᾳ ἰδόντες, τὴν ὡς ἀληθῶς
παρθένον ἂν καταμάθοιμεν, αὐτόθεν ὡς ἔχει φύσεως τὸ θῆλυ πρὸς τὸ ἄρρεν εἰ βούλει ἐπι-
σκεψώμεθα ἵνα καὶ τὸν τῆς παρθενίας σκοπὸν ἀκριβῶς ἀναφαινόμενον κατίδωμεν. ἐξ
ὀλίγων γὰρ τῶν πρώτων ζώων, καθάπερ ἔκ τινων πρωτοτύπων σπερμάτων, τὸν κόσμον
ὁ δημιουργὸς πληρῶσαι θελήσας, ἑκάστου μὲν εἴδους ζώων, καθάπερ τινὰ μίαν ῥίζαν τὴν
τοῦ σωματικοῦ ζώου ἰδέαν, ἐξ ἀρχῆς κατεβάλετο. ταύτην δὲ εἰς ἄρρεν τε καὶ θῆλυ ἀπὸ
τοῦ λογικοῦ ζώου, ἕως ἐπὶ πᾶν εἶδος ἀλόγου τεμών, καὶ τμῆμα τὸ θῆλυ τοῦ ἄρρενος ἐρ-
γασάμενος, οἶστρον μὲν ἑκάστῳ τμήματι τῆς πρὸς ἄλληλα συμπλοκῆς ἄρρητον τῇ φύσει
ἐντέθεικε. τούτων τὰ ἀποσχισθέντα, ἀλλήλων τοῖς ἀσχέτοις τοῦ ἔρωτος μίξεσιν ἀλλή-
λοις συμπλέκων, ἐκ τῆς συμπλοκῆς, ἅπαν εἶδος ζώων τοῖς ἐκ τῶν προαγόντων βλαστά-
νον γονεῦσι, δι' ἑνὸς πληθύνει, αὐξάνεσθε λέγων καὶ πληθύνεσθε, οὕτω καὶ πληρώσατε τὴν
γῆν. οὕτω δὲ τὸν κόσμον φημί, ἀφ' ἑνὸς τοῦ ἀδὰμ ἀνθρώπων γένους καθ' ἅπασαν γῆν, μυ-
ρίαις ἐθνῶν διαφοραῖς πεπληρωμένον ἀποδεῖξαι προθέμενος, ἀφ' ἑνὸς δὲ ἑκάστου τῶν
ἀλόγων εἴδους, κατὰ τὸν ὅμοιον τρόπον τετραπόδων τε καὶ ἑρπετῶν, ἔτι δὲ πτηνῶν τε καὶ
νηκτῶν, καὶ συνόλως ἁπάντων ζώων, ἀμυθήτοις ἰδέαις πλημμυροῦντα ὀφθῆναι θελή-
σας. τῇ μὲν δυναστείᾳ τοῦ ἄρρενος ὑποτάττει τὸ θῆλυ, τῇ δὲ τοῦ θήλεος ἡδονῇ, τιθασεύει
τὸ ἄρρεν. τὸ μὲν ἀπὸ τῆς πλευρᾶς τοῦ ἄρρενος εἰλημμένον, ὡς ἂν μέρος ὅλῳ τῷ ἀφ' οὗ εἰ-
λήφθη καταπειθὲς εἶναι πρὸς τὴν ἀρχὴν δικαιώσας. τὸ δὲ ἄρρεν ποθεῖν τὸ ἀπ' αὐτοῦ λη-
φθέν, καὶ τὴν πρὸς αὐτὸ διώκειν συμπλοκὴν εἰς ἑαυτὸ διὰ τῆς μίξεως, τὸ οἰκεῖον μέλος ἀ-
ναλαμβάνειν τοῖς τῆς φύσεως ἀνάγκαις μηχανησάμενος. τοῦτον δὲ τὸν τρόπον, ἐξ ἑνὸς
δύο, καὶ ἐκ δύο πάλιν ἕν, τό τε ἄρρεν καὶ τὸ θῆλυ σαφῶς ἀναδείξας. καὶ οὐ τὴν πρὸς
ἄλληλα συμπλοκὴν μόνον, διὰ τῶν προειρημένων τρόπων, ἡδεῖαν τοῖς σώμασιν αὐτῶν
ἐργασάμενος, ἀλλὰ καὶ πρὸς τὸ ἐκ τῆς συμπλοκῆς ταῖς τοῦ ἔρωτος λαμπάσι δᾳδουχούμε-
νον γένος, πολὺ τὸ φίλτρον ἐγκατασπείρας. ἐνεργητικὸν μὲν τὸ ἄρρεν, ὡς ἂν καὶ κατὰ τὴν
δημιουργίαν προτεῖνον, παθητικὸν δὲ τὸ θῆλυ ὡς ἂν τῆς τοῦ ἄρρενος μοίρας ἀποσπα-
σθέν, τὴν φύσιν ἐργάζεται. καὶ ἵνα μὴ τῷ πρὸς τὴν τοῦ ὁμοίου γένους διαδοχὴν φίλτρῳ
τὸ θῆλυ ἀγόμενον, ὡς ἂν παθητικὸν ἀβοήθητον καταλείποιτο, ἡδονῆς ὅλον φάρμακον
τῷ ἄρρενι τὸ θῆλυ κατασκευάσας, βιαίοις ἕλκουσι, καὶ ἐπὶ τὴν καταβολὴν τῆς γονῆς,
πρὸς αὐτὸ ἄγει τὸ ἄρρεν. οὐχὶ πρὸς τὸ ἄρρεν ἄγον τὸ θῆλυ, ἀλλὰ τῇ τοῦ θήλεος ἡδονῇ τὸ
ἄρρεν πρὸς αὐτὸ αἰχμάλωτον ἄγον. ὡς γὰρ ἡ μαγνῆτις λίθος ἄρρητόν τινα δύναμιν κα-
τὰ τοῦ σιδήρου ἐν τῇ φύσει λαβοῦσα, οὐκ αὐτὴ ἄγεται πρὸς τὸν σίδηρον, ἀλλὰ πόρρω-
θεν πρὸς ἑαυτὴν τὸν σίδηρον ἕλκει, οὕτω τὸ τοῦ θήλεος σῶμα, ἄφραστον κατὰ τοῦ ἄρρενος
τὴν δύναμιν εἰληφός, καὶ μὴ ἐδελίασα, ὡς ἂν εἴποι τις, τῆς ἐν αὐτῷ ψυχῆς τὸ τοῦ ἄρρενος
σῶμα, πρὸς τὴν μίξιν αὐτόματον ἕλκει. οὕτω τῷ ἀσθενεστέρῳ ζώῳ τοῦ δημιουργοῦ βοη-
θῆσαι θελήσαντος, ἵνα τῇ ἐνούσῃ αὐτῷ ἡδονῇ μαγγανεῦον τὸ ἄρρεν, οὐ διὰ τὴν παιδο-
ποιίαν μόνον, ἀλλὰ καὶ δι' αὐτὸν τὸν τῆς μίξεως οἶστρον, ὑπόρμαχον αὐτῷ ἔχει τὸ ἄρρεν.
» ἀντὶ τούτου γοῦν καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, οὐ τὸ θῆλυ,
ἀλλ' ὁ ἄρρην ὑπὸ τοῦ ἐγκειμένου οἴστρου πρὸς τὴν συνουσίαν τοῦ θήλεος ἐλαυνόμενος.
» καὶ προσκολληθήσεται τῇ γυναικί φησιν ὁ ἀνήρ, οὐχ ἡ γυνὴ τῷ ἀνδρί, καὶ γενήσονται
» οἱ δύο εἰς σάρκα μίαν. ταύτην δὲ τὴν δυναστείαν κατὰ τοῦ κρατοῦντος τῷ τοῦ θήλεος
γένει ὁ δημιουργὸς χαριζόμενος, καὶ αὐτὴν τὴν τοῦ σώματος πλάσιν τε καὶ ἰδέαν τοῦ θη-

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου

Καισαρείας Καππαδοκίας τοῦ μεγάλου.

Περὶ τῆς ἐν παρθενίᾳ ἀληθοῦς ἀφθορίας.

Πρὸς Λητόϊον ἐπίσκοπον Μελιτῆς.

Οἱ μὲν πολλοὶ τῶν τὸν νυμφίον ἡμῶν ἀποδεξαμένων Χριστὸν, ὅσοις ὁ θεῖος ἔρως πρὸς τὴν τοῦ καλοῦ κατανόησιν ἐπτέρωσεν, ἄλλας παρ' ἄλλοις τοῦ καλοῦ τὰς ἰδέας ἀσκουμένας ἐν τῇ ἐκκλησίᾳ ἰδόντες, οἱ μὲν, τῆς παρθενίας ὕμνους, οἱ δὲ, τῶν νηστείαις τε καὶ χαμευνίαις ὑποπιεζόντων τὸ σῶμα ἐγκώμια, ἄλλοι δὲ τὸ μεγαλόψυχον τῶν πιπρασκόντων διὰ τὸν Χριστὸν τὰ ὑπάρχοντα θαυμάζοντες, τοὺς ἐπαίνους ἐν μακρῷ διεξέρχονται. οὐχ ὅπως ἕκαστον μετιέναι προσήκει τῶν εἰρημένων, ἀναγκαῖον εἶναι διδάσκειν οἰόμενοι, ἀλλὰ τοὺς ἐπαίνους τῶν εἰρημένων εἰς τὴν τοῦ καλοῦ προκοπὴν μόνον ἀρκεῖν λογιζόμενοι. ἐγὼ δέ σοι ἐπισκόπων ὁμόψυχε Λητόϊε, οὐχὶ παρθενίας ὕμνον, οὐδὲ τῶν τὰ ὑπάρχοντα πιπρασκόντων ἐγκώμιον, ἢ τῶν νηστείαις κατατηκόντων τὰ σώματα ἔπαινον, ἀλλὰ τί τούτων ἕκαστον, καὶ πῶς κατορθούμενον πρὸς τὴν ὄντως ἀρετὴν συντελεῖ, ὥσπερ ἐν εὐθείᾳ ἐπιδεῖξαι προτεθυμήθην. οὐχ ἵνα σε προσλαβόντα τούτων τὴν σύνεσιν, πρὸς τὴν τοῦ καλοῦ κατανόησιν, ἐν τῇ θεωρίᾳ τῆς διαφορᾶς τῶν φύσεων ἐπιστήσω, ἀλλ' ἵν' ἅμα σοι διαρθρῶν ἕκαστον, οἷόν τι τὴν φύσιν ἐστὶν, οὐ τοὺς ὑπὸ σοῦ μόνον ἐρῶντας τοῦ καλοῦ λοιπὸν διὰ σὲ γνήσιον ἐν στέρνοις λαβόντας, ἀλλὰ καὶ τοὺς λοιποὺς τῶν ἐντυγχανόντων, καθάπερ ἐν πίνακι χρωματογραφηθὲν τῆς ὄντως παρθενίας τὸ κάλλος, πῶς, καὶ πόθεν, καὶ ποίοις ποτὲ χρώμασιν ἀρετῆς τοῦτο κοσμεῖται, ἀκριβῶς καταμαθεῖν παρασχὼν, ἀσφαλέστερον ἕκαστον μετιέναι τὸ σπουδαζόμενον καλὸν, μηδὲ τῆς ἐνούσης ἀνοίας διδάξω. μέγα μὲν γὰρ ὡς ἀληθῶς παρθενία, τῷ ἀφθάρτῳ θεῷ, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἐξομοιοῦσα τὸν ἄνθρωπον. οὐκ ἀπὸ σωμάτων δὲ ἄρα ἐπὶ ψυχὰς αὕτη ὁδεύει, ἀλλὰ ψυχῆς τῆς ἀσωμάτου οὖσα ἐξαίρετος, τῇ ταύτης θεοφιλεῖ παρθενίᾳ, ἄφθορα φυλάττει τὰ σώματα. τοῦ γὰρ ὄντως καλοῦ ἡ ψυχὴ φαντασίαν λαβοῦσα, καθάπερ τινὶ πτερῷ πρὸς αὐτὸ τῇ ἀφθαρσίᾳ πτερωθεῖσα, καὶ τῷ ὁμοίῳ τὸ ὅμοιον, τῇ ἐν αὐτῇ ἀφθαρσίᾳ φημὶ, τὸν ἄφθαρτον θεὸν θεραπεύειν μόνως πρὸς ἀξίαν ἀθροῦσα, τὴν τοῦ σώματος παρθενίαν θεράπαιναν εἰς τὴν τοῦ καθ' ἑαυτὴν κάλλους θεραπείαν ἐπάγεται, καὶ πάρεδρον ἀοχλήτως πρὸς τὴν τοῦ θεοῦ θεωρίαν ταύτην ἔχειν ἀεὶ βουλομένη, τὰς ἐνοχλούσας αὐτῇ τοῦ σώματος ἡδονὰς ὡς πορρωτάτω ἐλαύνει. τὴν μὲν τῶν ὑπὸ γαστέρα ἡδονῶν ἐγκράτειαν, τῆς σωματικῆς παρθενίας θεράπαιναν, αὐτὴν δὲ ταύτην τῆς καθ' ἑαυτὴν, ποιουμένη. ὡς, τὰ ἄλλα μὲν ἅπαντα, καὶ τροφῶν ἐγκράτειαν, καὶ τὴν λοιπὴν σκληραγωγίαν, μαχομένην ταῖς ῥεούσαις κατὰ τῆς ἐν σώματι παρθενίας διὰ τῶν αἰσθήσεων ἡδοναῖς. ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ σώματος παρθενίαν, δι' ἐκείνην, αὐτὴν δι' ἐκείνην, οὐ δι' ἕτερόν τι, ἢ δι' ἑαυτὴν φιλοκάλως ἀσκεῖσθαι. ἵνα τὴν ἑαυτῆς παρθενίαν, ἄφθορον ἁπάσης μοχθηρᾶς ἐννοίας φυλάξασα, τὴν πρὸς τὸν ἄφθαρτον θεὸν ἐξομοίωσιν, ὥσπερ ἐν ἀκηλιδώτῳ κατόπτρῳ λοιπὸν αὐτοῦ τὰς παρ' ἑαυτοῦ αὐτῇ ἐναυγάζοντος χάριτας, εἰς κάλλος ἑαυτῆς καὶ ἔπαινον κατορθωθεῖσαν, κερδήσῃ. ἐπειδὴ οὖν παρθενία μὲν, ἡ ὄντως φημὶ, ὡς ἤδη γε ἐν ὀλίγῳ φθάσας ὁ λόγος ὑπέδειξε, καὶ περὶ ὧν ἔτι σαφέστερον δείξει, τοῦ κατὰ ψυχὴν ἀφθόρου κάλλους, δι' ὃ καὶ τὰ σώματος ἐκπονεῖται καλὰ, ἐστὶν ἐξαίρετος, οἱ δὲ πολλοὶ τῷ ὀνόματι

ἐκάνης καὶ ἀπειθοῦς ἀκοῆς, ὦ τῆς ἀνδρείας, καὶ σοφῆς διανοίας, ὦ ὀξύτης πνευματικοῦ ἔρωτος, σφοδρῶς πρὸς τὸν ἄχραντον νυμφῶνα ἐπειγομένου. ὦ κέντρον πόθου ψυχῆς πρὸς τὸν θεὸν λόγον. ὦ συντόνου κοινωνίας νύμφης πρὸς τὸν νυμφίον. μέμνησαι ταύτην ὦ τέκνον, μέμνησαι. πρὸς μηδὲν ἀφορῶν ἕτερον, ἢ πρὸς τὸν εἰπόντα, πῦρ ἦλθον βαλεῖν καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη. ἔστι γὰρ πύρωσις τοῦ πνεύματος ἡ ἀναζωπυροῦσα καρδίας. διότι τὸ ἄϋλον καὶ θεῖον πῦρ φωτίζει μὲν ψυχάς, καὶ δοκιμάζει ἔσωθεν, ὥσπερ ἄδολον χρυσὸν ἐν καμίνῳ. κακίαν δὲ ἀναλίσκει, ὥσπερ καλάμην καὶ ἀκάνθας. ὁ γὰρ θεὸς ἡμῶν, πῦρ καταναλίσκον ἐστί, διδοὺς ἐκδίκησιν ἐν πυρὶ φλογὸς τοῖς μὴ εἰδόσιν αὐτόν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ αὐτοῦ. τοῦτο τὸ πῦρ ἐνήργησε τοῖς ἀποστόλοις, ἵνα καὶ λαλῶσιν ποικίλαις γλώσσαις. τοῦτο τὸ πῦρ διὰ τῆς δόξης παῦλον περιλάμψαν, τὴν μὲν αὐτοῦ διάνοιαν ἐφώτισε, τὴν δὲ αἴσθησιν τῆς ὄψεως ἠμαύρωσεν. οὐ γὰρ χωρεῖ σαρκικὸς ὅρασις, ἐκείνου τοῦ φωτὸς τὴν δύναμιν. τοῦτο τὸ πῦρ ὤφθη μωϋσεῖ ἐν τῇ βάτῳ. τοῦτο τὸ πῦρ ἐν εἴδει ὀχήματος τὸν ἠλίαν ἥρπασε. τούτου τοῦ πυρὸς τὴν ἐνέργειαν
» ζητῶν ὁ μακάριος δαβίδ, ἔλεγε. δοκίμασόν με κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς
» μου, καὶ τὴν καρδίαν μου. τοῦτο τὸ πῦρ κλεόπα καὶ τὸν σὺν αὐτῷ τὰς καρδίας ἐθέρμανε λαλοῦντος αὐτοῖς τοῦ σωτῆρος μετὰ τὴν ἀνάστασιν. ὅθεν οἱ ἄγγελοι, καὶ τὰ λειτουργικὰ πνεύματα πῦρ φλέγον εἰσί. τοῦτο τὸ πῦρ, τὴν ἐν τῷ ἔνδον ὀφθαλμῷ δοκὸν καταναλίσκον, καθαρὸν τὸν νοῦν ἀποκαθίστησιν. ἵνα ἀπολαβὼν τὸ κατὰ φύσιν διορατικόν,
» ὁρᾷ διηνεκῶς τὰ τοῦ θεοῦ θαυμάσια, κατὰ τὸν λέγοντα. ἀποκάλυψον τοὺς ὀφθαλ-
» μούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. τοῦτο τοιγαροῦν
τὸ πῦρ, δαιμόνων ἐστὶ φυγαδευτήριον, κακίας τε καυστικόν, ἀναστάσεως
δύναμις, καὶ ἀθανασίας ἐνέργεια. ψυχῶν ἁγίων φωτισμός, καὶ
λογικῶν δυνάμεων σύστασις. τοῦτο τὸ πῦρ εὐξώμεθα καὶ
εἰς ἡμᾶς φθάσαι, ἵνα πάντοτε ἐν φωτὶ περιπατοῦν-
τες, μὴ δὲ πρὸς βραχὺ προσκόψωμέν ποτε,
ἀλλ᾽ ὡς φωστῆρες ἐν κόσμῳ φαινόμενοι,
λόγον ζωῆς ἐπέχωμεν ἀϊδίως.
ἵνα ἀπολαύοντες ἐν τοῖς
τοῦ θεοῦ σὺν τῷ κυρίῳ ἡ-
μῶν ἰησοῦ χριστῷ ἐν ζωῇ
ἀναπαυ-
σώμεθα εἰς τοὺς
αἰῶνας τῶν αἰώνων ἀμήν.

θημεν, διὰ τὸ μὴ συμπαθεῖν ἡμᾶς αὐτῷ· οὔπω τὰ στίγματα αὐτοῦ ἐν τῷ σώματι ἡμῶν ἐβαστάσαμεν γενόμενοι ἐν τῷ μυστηρίῳ τοῦ χριστοῦ τοῦ σταυροῦ, ἔτι γὰρ ἐσμὲν ἐν τοῖς σαρκικοῖς παθήμασι καὶ ἐν ταῖς ἐπιθυμίαις· οὔπω κληρονόμοι θεοῦ, καὶ συγκληρονόμοι χριστοῦ γεγόναμεν, ἔτι γὰρ πνεῦμα δουλείας ἐνυπάρχει ἡμῖν, καὶ οὐκ ἐλευθερίας· οὔπω γεγόναμεν ναὸς θεοῦ, καὶ οἰκητήριον πνεύματος ἁγίου, ἔτι γὰρ ἐσμὲν ναὸς εἰδώλων, καὶ δοχεῖον πνευμάτων πονηρίας, διὰ τὴν ἐπὶ τὰ πάθη ὁρμήν· ὄντως γὰρ ὄντως οὐδέπω τὸ ἀκέραιον τοῦ τρόπου καὶ τὴν τῆς διανοίας λαμπρότητα ἐκτησάμεθα· οὔπω κατηξιώθημεν τοῦ ἀδόλου καὶ λογικοῦ γάλακτος, καὶ τῆς νοητῆς αὐξήσεως· οὔπω ἡμῖν ἡμέρα ηὔγασεν, οὐδὲ ἑωσφόρος ἐν ταῖς καρδίαις ἡμῶν ἀνέτειλεν· οὔπω συνεκράθημεν τῷ ἡλίῳ τῆς δικαιοσύνης, οὐδὲ ταῖς αὐγαῖς αὐτοῦ συνηστράψαμεν· οὔπω ἀπειλήφαμεν τὴν τοῦ κυρίου ὁμοίωσιν, οὐδὲ γεγόναμεν τῆς θείας κοινωνοὶ φύσεως· οὔπω γεγόναμεν ἄδολος πορφύρα βασιλική, οὐδὲ ἀνόθευτος εἰκὼν θεϊκή· οὔπω ἐτρώθημεν ὑπὸ τοῦ θείου ἔρωτος, οὐδὲ ἐπλήγημεν ὑπὸ τῆς πνευματικῆς ἀγάπης τοῦ νυμφίου· οὔπω τὴν ἀόρατον καὶ μυστικὴν κοινωνίαν ἐγνωρίσαμεν, οὐ τὴν ἐν ἁγιασμῷ δύναμιν καὶ εἰρήνην ἐπέγνωμεν· καὶ ἵνα συντελῶν τὰ πάντα εἴπω, οὔπω ἐσμὲν γένος ἐκλεκτόν· βασίλειον ἱεράτευμα· ἔθνος ἅγιον· λαὸς εἰς περιποίησιν· ἐπειδὴ ἔτι ἐσμὲν ὄφεις γεννήματα ἐχιδνῶν· πῶς γὰρ οὐκ ὄφεις, οἱ ἐπὶ γῆς συρόμενοι, καὶ τὰ τῆς γῆς φρονοῦντες, καὶ οὐκ ἐν οὐρανοῖς τὴν πολιτείαν ἔχοντες; πῶς δὲ οὐ γεννήματα ἐχιδνῶν, οἱ μὴ ἐν τῇ ὑπακοῇ τοῦ θεοῦ ἀρεσκόμενοι, ἀλλ' ἐν τῇ διὰ τοῦ ὄφεως παρακοῇ; ἐπειδὴ τοίνυν πῶς μὲν ἀξίως ὀδύρωμαι τὴν συμφορὰν ταύτην, οὐχ εὑρίσκω, πῶς δὲ ἐκβοήσας δακρύσω πρὸς τὸν δυνά-

» μενον ἐξελάσαι τὴν αὐλιζομένην ἐν ἐμοὶ πλάνην, ἀγνοῶ· καὶ πῶς ᾄσω τὴν ᾠδὴν

» κυρίου ἐπὶ γῆς ἀλλοτρίας· πῶς θρηνήσω τὴν ἱερουσαλήμ· πῶς ἀποφύγω τὴν μοχθηρὰν τοῦ φαραὼ δουλείαν· πῶς καταλείψω τὴν αἰσχρὰν παροικίαν· πῶς ἀρνήσομαι τὴν πικρὰν τυραννίδα· πῶς ἐξέλθω ἐκ τῆς αἰγύπτου· πῶς περάσω τὴν ἐρυθρὰν θάλασσαν· πῶς παρέλθω τὴν φοβερὰν ἔρημον· πῶς μὴ ἀπόλωμαι δηχθεὶς ὑπὸ τῶν ὄφεων· πῶς νικήσω τοὺς ἀλλοφύλους· πῶς ἐξολοθρεύσω τὰ ἔθνη· πῶς δέξομαι ἐν ταῖς ἐμαῖς πλαξὶ τὰ λόγια τοῦ θείου νόμου· πῶς ὄψομαι τὸν στῦλον τοῦ ἀληθινοῦ φωτός, καὶ τῆς ἐκ τοῦ ἁγίου πνεύματος νεφέλης· πῶς ἀπολαύσω τοῦ μάννα τῆς ἀϊδίου τροφῆς· πῶς πίω τὸ ἐκ τῆς ζωοποιοῦ πέτρας ὕδωρ· πῶς παρέλθω τὸν ἰορδάνην, ἵνα εἰσέλθω εἰς τὴν ἀγαθὴν γῆν τῆς ἐπαγγελίας· πῶς ἴδω τὸν ἀρχιστράτηγον, ὃν ἰδὼν ἰησοῦς ὁ τοῦ ναυή, πεσὼν παραχρῆμα προσεκύνησε τὸν θεόν· ἐὰν γὰρ μὴ διὰ πάντων τούτων γενόμενος ἐξολοθρεύσω τὰ ἐν ἐμοὶ ἔθνη, οὐ μὴ εἰσελθὼν καταπαύσω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ· οὐ μὴ μέτοχος γένωμαι τῆς τοῦ θεοῦ δόξης· τοιγαροῦν σπούδασον ἄμωμον τέκνον θεοῦ γενέσθαι, καὶ εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν ἰησοῦς· σπούδασον ἀπογραφῆναι ἐν τῇ ἐπουρανίῳ ἐκκλησίᾳ μετὰ τῶν πρωτοτόκων, ὅπως εὑρεθῇς ἐν δεξιᾷ τῆς μεγαλωσύνης τοῦ ὑψίστου· σπούδασον εἰσελθεῖν εἰς τὴν ἁγίαν πόλιν ἱερουσαλὴμ τὴν ἄνω πάντων, καὶ εἰς τὴν τοῦ παραδείσου τρυφήν· τούτων γὰρ τῶν θαυμαστῶν καὶ μακαρίων παραδειγμάτων οὐχ ἑτέρως πως καταξιωθήσῃ.

» εἰ μὴ καταφέροις δάκρυα ὡς χειμάρρους κατὰ τὸν λέγοντα ἡμέρας τε καὶ νυκτός, λούσω κα-

» θ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· οὐ γὰρ ἀγνοεῖς, ὅτι

» οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι· διὸ φησὶ μετὰ παρρησίας ὁ προ-

» φήτης, τῶν δακρύων μου μὴ παρασιωπήσῃς· καὶ πάλιν· ἔθου τὰ δάκρυά μου ἐνώπιόν

» σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου, καὶ ἐγενήθη τὰ δάκρυά μου ἐμοί, ἄρτος ἡμέρας καὶ νυκτός·

» καὶ ἐν ἑτέρῳ ψαλμῷ φησι· καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων· τὸ γὰρ ὄντι ἐκ πολλῆς θλίψεως, καὶ συνοχῆς καρδίας μετὰ καὶ πυρώσεως σπλάγχνων δάκρυον προχεόμενον ἐν γνώσει ἀληθείας, βρῶσις ἐστὶ ψυχῆς χορηγουμένη ἐκ τοῦ ἐπουρανίου ἄρτου, οὗ προηγουμένως μετέσχε μαρία καθεσθεῖσα πρὸς τοῖς ποσὶ τοῦ κυρίου, καὶ δακρύου-

» σα κατὰ τὴν αὐτοῦ τοῦ σωτῆρος μαρτυρίαν φησὶ γάρ· μαρία δὲ τὴν ἀγαθὴν μερίδα

» ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς· ὢ τῶν πολυτιμήτων δακρύων ἐκείνων μαργαριτῶν δίκην ἀπορρεόντων τῶν μακαρίων ἐκείνης ὀμμάτων, ὢ τῆς θείας

λόγος.

Ὅτις ἀντιπαρέχει ὁ θεῖος νόμος οὐκ ἐν μέλανι καὶ γράμμασιν ἐγκεχαραγμένος, ἀλλ' ἐν πνεύματι θεοῦ ζῶντος, καὶ οὐκ ἐν πλαξὶ λιθίναις ἐντετυπωμένος, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις ἐμπεφυτευμένος, οὗτοι τοὺς τῆς διανοίας ὀφθαλμοὺς φωτισθέντες, καὶ ἀεὶ ἐρειγόμενοι οὐ τῆς αἰσθητῆς καὶ βλεπομένης ἐλπίδος, ἀλλὰ τῆς νοητῆς. ἴσασιν ἀκριβῶς, ὡς οὐκ ἐκ τῆς οἰκείας αὐτῶν ἰσχύος περιγενέσθαι τῶν τοῦ πονηροῦ σκανδάλων δυνατόν, ἀλλ' ἐκ τῆς ἀηττήτου δυνάμεως τοῦ θεοῦ. οἱ δὲ μὴ λόγῳ θεοῦ τετιμημένοι, εἰκῇ φυσιούμενοι, οἴονται διὰ τοῦ ἰδίου αὐτεξουσίου καταργεῖν τὰς ἀφορμὰς τῆς ἁμαρτίας, τῆς διὰ μόνου τοῦ μυστηρίου τοῦ σταυροῦ καταργουμένης. τὸ γὰρ ἐν τῇ τοῦ ἀνθρώπου δυνάμει αὐτεξούσιον ἐστὶ τῷ ἑλέσθαι, ἢ μὴ ἑλέσθαι τῷ διαβόλῳ ἀντιστῆναι κεῖται. οὐ γὰρ ἐστὶ τῷ δυνάσθαι παντελῶς ἔχειν τὸ κράτος κατὰ τῶν παθῶν. ἐὰν γὰρ μὴ ὁ κύριος φυλάξῃ πόλιν, ἢ οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἀγρυπνεῖ ὁ φυλάσσων, καὶ κοπιᾷ ὁ οἰκοδομῶν. ἀμήχανον γὰρ ἐστὶ βῆναι ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, καὶ καταπατῆσαι λέοντα καὶ δράκοντα, μὴ πρότερον, καθὸ δυνατὸν ἀνθρώπῳ, ἐκκαθάραντα ἑαυτόν, δυναμωθῆναι παρὰ τοῦ εἰπόντος τοῖς ἀποστόλοις, ἰδοὺ δέδωκα ὑμῖν δύναμιν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. ἅπερ γὰρ ἴσχυον ἡ τῆς ἀνθρωπότητος φύσις ἐκτὸς τῆς τοῦ ἁγίου πνεύματος πανοπλίας, στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, οὐκ ἂν εἴρητο παρὰ τοῦ ἀποστόλου, ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. καὶ πάλιν ὃν ὁ κύριος Ἰησοῦς ἀναλοῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ. διὸ δὴ καὶ προστετάχημεν δεῖσθαι τοῦ κυρίου, μὴ εἰσελθεῖν ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ἐὰν γὰρ μὴ διὰ τῆς κρείττονος βοηθείας ῥυσθείημεν τῶν πεπυρωμένων βελῶν τοῦ πονηροῦ, καταξιωθῶμεν τῆς υἱοθεσίας, εἰς μάτην πολιτευόμεθα. ὡς πόρρω τῆς δυνάμεως τοῦ σταυροῦ τυγχάνοντες. ὁ τοίνυν βουλόμενος μέτοχος γενέσθαι τῆς θείας δόξης, καὶ ὥσπερ ἐν καθαρῷ κατόπτρῳ τὴν Χριστοῦ μορφὴν ὁρᾶν ἐν τῷ ἡγεμονικῷ, ὀφείλει ἀκορέστῳ στοργῇ, καὶ ἀπλήστῳ διαθέσει ἐξ ὅλης καρδίας καὶ δυνάμεως νύκτωρ τε καὶ μεθ' ἡμέραν ζητεῖν τὴν ἐκ τοῦ θεοῦ ἀντίληψιν ἐν δυνάμει. ἧς ἀμήχανον μετασχεῖν, εἰ μή, ὡς προείπομεν, πρότερον ἀπεχόμενον τῆς τοῦ κόσμου ἡδυπαθείας, τῶν τε ἐπιθυμιῶν τῆς ἐναντίας δυνάμεως, ἥτις φωτὸς ἀλλοτρία ἐστί, καὶ ἐνεργείας ἀνοίκειος ἀγαθῆς, καὶ πάντη ἀπεξενωμένη τυγχάνει. τοιγαροῦν εἴπερ βούλει μαθεῖν, τίνος οὕνεκεν ἐκπεσόντες, καὶ τῶν ἐν παραδείσῳ πλατέων συμπαρεβλήθημεν τοῖς ἀνοήτοις κτήνεσι, καὶ ὡμοιώθημεν αὐτοῖς, ἀποπεπτωκότες τῆς ἀχράντου δόξης. γίνωσκε ὅτι ἐπειδὴ διὰ τῆς παρακοῆς δοῦλοι τῆς σαρκὸς τοῖς πάθεσι γενόμενοι, ἑαυτοὺς ἀπῳκίσαμεν τῆς μακαρίας τῶν ζώντων χώρας. καὶ ἐν αἰχμαλωσίᾳ γενόμενοι, ἔτι ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος καθεζόμεθα, καὶ διὰ τὸ ἔτι ἐν Αἰγύπτῳ ἡμᾶς κατέχεσθαι, οὔπω ἐκληρονομήσαμεν τὴν γῆν τῆς ἐπαγγελίας, τὴν ῥέουσαν μέλι καὶ γάλα, οὔπω συνεφυράθημεν τῇ ζύμῃ τῆς εἰλικρινείας, ἀλλ' ἔτι ἐσμὲν ἐν τῇ τῆς πονηρίας ζύμῃ. οὔπω ἐρραντίσθη ἡμῶν ἡ καρδία τῷ αἵματι τοῦ ἀμνοῦ τοῦ θεοῦ. ἔτι γὰρ τὸ πέταυρον τοῦ ᾅδου, καὶ τὸ ἄγκιστρον τῆς κακίας ἐμπέπηκται αὐτῇ. οὔπω ἀπειλήφαμεν τὴν ἀγαλλίασιν τοῦ σωτηρίου τοῦ Χριστοῦ. ἔτι γὰρ τὸ κέντρον τοῦ θανάτου ἐμπέπαρται ἡμῖν. οὔπω ἐνεδυσάμεθα τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ θεὸν κτισθέντα ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. ἐπειδὴ οὔπω ἀπεδυσάμεθα τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. οὔπω φορέσαντες τὴν εἰκόνα τοῦ ἐπουρανίου, σύμμορφοι τῆς δόξης αὐτοῦ γεγόναμεν. ἔτι γὰρ τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦμεν. οὔπω προσεκυνήσαμεν ἐν πνεύματι καὶ ἀληθείᾳ θεοῦ, διὰ τὸ ἔτι βασιλεύειν τὴν ἁμαρτίαν ἐν τῷ θνητῷ ἡμῶν σώματι. οὔπω ἐθεασάμεθα τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ. ἔτι γὰρ ὑπὸ τῆς σκοτομήνης ἐνεργούμεθα. οὔπω ἐνεδυσάμεθα τὰ ὅπλα τοῦ φωτός, ἐπειδὴ οὔπω ἀπεδυσάμεθα τὰ τοῦ σκότους ὅπλα τε καὶ ἔργα. οὔπω μετεμορφώθημεν τῇ ἀνακαινώσει τοῦ νοός, ἔτι γὰρ συσχηματιζόμεθα τῷ αἰῶνι τούτῳ, ἐν τῇ τοῦ νοὸς ματαιότητι. οὔπω Χριστῷ συνδοξά-

Εἴ τις μεθιστᾷ τὸν ἀδελφὸν αὐτοῦ ἀπὸ τοῦ ὀρδίνου τῆς ὑπηρεσίας, ἐκτὸς τῶν ἐγκεχειρισμένων τὴν φροντίδα, γενέσθω ἀπολογίας.

Εἴ τις γνῷ ἀδελφὸν λάθρα ἀναχωρῆσαι θέλοντα τοῦ μοναστηρίου, καὶ μὴ μηνύσῃ τῷ ἀρχιμανδρίτῃ, ἢ τοῖς προεστῶσιν, ἀφοριζέσθω.

Εἴ τις ἐγείρεται τῆς τραπέζης παραγενόμενος τοῦ ἀρχιμανδρίτου, στηκέτω εἰς προσευχὴν ἕως τοῦ λυχνικοῦ.

Εἴ τις μετὰ τὴν κοινωνίαν ἐξέρχεται τῆς ὑπηρεσίας, ἕως πάντες λάβωσιν εὐλογίας, ἐκτὸς ἀνθρωπίνης ἀνάγκης, καθ' ἑαυτοῦ ἐσθιέτω.

Εἴ τις ποιεῖ τινὰ ἀπολογίας γενέσθαι ἀκαίρως, αὐτὸς γενέσθω ἀπολογίας.

Εἴ τις εὑρεθῇ λαλῶν εἰς τὰ κελλία ἐκτὸς τῶν ποιούντων αὐτά, ἢ τῶν ἡσυχαστῶν, γενέσθω ἀπολογίας.

Εἴ τις εὐτράπελα λαλῶν ἢ ἀργολογῶν, γενέσθω ἀπολογίας.

Εἴ τις εὑρεθῇ καταλαλῶν τινάς, ἢ ἀκούων καταλαλούντων τινῶν, καὶ μὴ ἐπιτιμῶν αὐτῷ, ἢ μηνύων τῷ ἀρχιμανδρίτῃ, σὺν αὐτῷ ἀφοριζέσθω.

Εἴ τις εὑρεθῇ εἰς τὸν κῆπον λαλῶν μετά τινος, ἢ διατρέχων ψαλμούς, ἢ κοιμώμενος ἐκτὸς τῶν ἐργαζομένων, ἢ τῶν ἐντετυπωμένων, γενέσθω ἀπολογίας.

Εἴ τις ἐξέλθοι εἰς ὀστιάριον μὴ ἐπιτραπεὶς ἐκ τῶν τετυπωμένων, γενέσθω ἀπολογίας. εἰ δὲ εἰς τὸ θρόνιον ἐξέλθοι, ἀφοριζέσθω.

Εἴ τις δίδωσιν ἔξω τι ἢ λαμβάνει παραγενόμενος τοῦ ἀρχιμανδρίτου, ἀφοριζέσθω.

Εἴ τις συντυχεῖν ὁμιλήσει τῶν ἀποστρεφόντων ξένων, πλὴν τοῦ δοῦναι τὴν εἰρήνην ἐκτὸς τῶν ἐντετυπωμένων, γενέσθω ἀπολογίας.

Εἴ τις ὀχλεῖ τῷ ἀρχιμανδρίτῃ προφάσει τῆς ἐφημερίας, πλὴν τοῦ κελλαρίου, ἢ τοῦ ἀρχιεβδομαρίου, γενέσθω ἀπολογίας.

Ἵνα ἑκάστης ἐφημερίας ὁ ἀρχιεβδομάριος καὶ ὁ φροντιστὴς περὶ πάσης χρείας φροντίζωσιν ἐπιμελῶς, ἵνα μὴ τῷ κρίματι τῆς ἀμελείας συμπέσωσιν.

Εἴ τις ἀκαίρως ἔρχεται εἰς τὸ ἑψητήριον ἢ εἰς τὸ κελλάριον, ἐκτὸς τῶν ἐντετυπωμένων, ἢ καὶ τῶν φροντιζόντων τῆς εὐταξίας, γενέσθω ἀπολογίας.

Εἴ τις ἐξυπνισθεὶς παρά τινος λυπηθῇ, ἐν τῷ καιρῷ τῆς ὑπηρεσίας, ἢ τοῦ ἀναγνώσματος, ἀφοριζέσθω.

Εἴ τις ὡς ἀσθενῶν μετὰ τὴν ἐπίσκεψιν τοῦ μηδὲ τὰ ὀρθρινὰ εἰσέρχεται εἰς τὸ νοσοκομεῖον, ἐκτὸς τῶν ἡσυχαστῶν, καὶ τῶν τὴν φροντίδα ἐγκεχειρισμένων, γενέσθω ἀπολογίας.

Εἴ τις παραγενόμενος τοῦ νοσοκόμου εἰσελθὼν ἀναπαύει εἰς τὸ νοσοκομεῖον, γενέσθω ἀπολογίας. εἰ δὲ θλίβεται ἢ ἀρρωστεῖ, δηλούτω πρῶτον τῷ νοσοκόμῳ.

Εἴ τις τῶν κοινουμένων ἀλλάσσει τόπον ὅπου κοιμᾶται παραγενόμενος τοῦ νοσοκόμου, ἀφοριζέσθω.

Εἴ τις τῶν τετυπωμένων ὑπηρετεῖν ἐν τῷ νοσοκομείῳ, παρατίθει τι ἀδελφοῦ παραγενόμενος τοῦ νοσοκόμου, γενέσθω ἀπολογίας.

Εἴ τις τῶν ἀρρώστων εὑρεθῇ καταλλάσσων παραγενόμενος τοῦ νοσοκόμου, ἢ τινὸς τῶν ὑπηρετούντων, γενέσθω ἀπολογίας.

Εἴ τις εὑρεθῇ ἐκτὸς τοῦ ἀρχιμανδρίτου γράφων τινὶ ἢ δεχόμενος γράμματα, ἔστω ἀφορισμένος.

Εἴ τις πέμπει τινὶ εὐλογίαν, ἢ δέχεται τί ποτε παρεκτὸς τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπολογίας.

Ἀνεπίγραφα ὄντα καὶ ἀδήλου.

Εἴ τις ἐξέλθοι τοῦ μοναστηρίου, μὴ λαβὼν εὐλογίαν, ἢ ἀπολυθεὶς ὑπὸ τοῦ ἀρχιμανδρίτου μετὰ εὐχῆς, ἔστω ἀκοινώνητος.

Εἴ τις κέκτηταί τι ἐν τῷ μοναστηρίῳ, ἢ ἔξω τοῦ μοναστηρίου, ἔστω ἀκοινώνητος.

Εἴ τις ἰδιάζει μετά τινος ἐπὶ τῇ ἀναχωρήσει τοῦ μοναστηρίου ἐφ' ἑτέρῳ τινὶ καινῷ, ἔστω ἀκοινώνητος.

Εἴ τις τῶν ἀρχικαυνιτῶν εὑρίσκει τινὰ ταράσσοντα ἢ διαλεγόμενον ἐν τῷ καυνίῳ, καὶ μὴ ἐκβάλλει αὐτὸν ἔξω τοῦ χοροῦ, αὐτὸς γενέσθω ἀπευλογίας.

Εἴ τις γένηται ἀπευλογίας οὕνεκεν παιδείας, καὶ καταφρονήσας μὴ ἀπολογήσηται καὶ λάβῃ εὐλογίαν, ἀφοριζέσθω.

Εἴ τις παρατιθῇ ἐν ταῖς τραπέζαις ἢ ἑαυτῷ ἢ ἄλλῳ, μὴ ἐπιτραπεὶς παρὰ τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

Εἴ τις ἄνευ μαφορίου ποιεῖ ἔργον ἐν οἱῳδήποτε τόπῳ, γενέσθω ἀπευλογίας.

Εἴ τις συντυγχάνει τῶν ἐρχομένων ἢ ξένων ἢ ἰδίων, μὴ ἐπιτραπεὶς παρὰ τοῦ ἀρχιμανδρίτου ἐκτὸς τῶν ἐντεταγμένων, γενέσθω ἀπευλογίας.

Εἴ τις ἄρῃ ἀπὸ ἀδελφοῦ τι καὶ ἀποκρύψῃ, γενέσθω ἀπευλογίας.

Εἴ τις μὴ λάβοι εὐλογίαν ἐσθίει ἄνευ παιδείας ὤν, ἀφοριζέσθω.

Εἴ τις οὐκ αἴρει εὐλογίαν εἰς τὸν ὄρθρον αὐτοῦ γενέσθω ἀπευλογίας, εἰ δὲ χρείας οὕνεκεν οὐκ ἔφθασεν ἀπολογησάσθω.

Εἴ τις εὑρεθῇ τὴν νύκτα ἰδιάζων μετά τινος, ἢ τὸν τόπον ἀλλάσσων ὅπου κοιμᾶται παραγνώμῃ τῶν ἐντεταγμένων, ἀφοριζέσθω.

Εἴ τις ἐμβάλλει ἑαυτὸν εἰς ἄλλο ἔργον, μὴ ἐπιτραπεὶς, γενέσθω ἀπευλογίας.

Εἴ τις ἀλλάσσει τί μετά τινος ἢ χαρίζεται παραγνώμῃ τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

Εἴ τις ἑσπέρας μετὰ τὸ περὶ ἡμῶν εὑρεθῇ ὁμιλῶν, ἀφοριζέσθω.

Εἴ τις τῶν ἐγκαινόντων ἔξω που κοιμᾶται τοῦ εὐκτηρίου, ἔστω ἀφορισμένος.

Εἴ τις ἐν τραπέζῃ ἐσθίων φλυαρεῖ, ἐγειρέσθω εἰς προσευχήν.

Εἴ τις γένηται ἀπευλογίας λυπηθεὶς ἄν τι παιδεύσει τὸν παιδεύσοντα, ἢ ἀντιλέγων μὴ καταδέξηται, ἀφοριζέσθω. εἰ δὲ λέγοι ἀδίκως παιδεύεσθαι, γνωριζέσθω τὴν αἰτίαν τῷ ἀρχιμανδρίτῃ, καὶ τοῦ παύλου ὁριζομένου καταδεχέσθω.

Εἴ τις ἔχει πρός τινα λύπην, καὶ καταφρονῶν μὴ διαλλάσσεται πρὸ τῆς ὑπηρεσίας, ἢ λέγει τὴν αἰτίαν τῷ ἀρχιμανδρίτῃ, ἢ τῷ ἀρχικαυνίτῃ, ἀφοριζέσθω.

Εἴ τις ἐν ἡμέρᾳ προσφορᾶς κωλύσῃ ἑαυτὸν τοῖς κοινωνίοις παραγνώμῃ τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

Εἴ τις ἀπὸ γραφῶν φιλονείκως διαλέγεται, γενέσθω ἀπευλογίας. εἰ δὲ παραγγελθεὶς ἐπιμένει, ὡς ἀνυπότακτος ἀφοριζέσθω.

Εἴ τις πλύνει ἢ ἑτέρου ἢ ἑαυτοῦ ἱμάτιον παραγνώμῃ τοῦ ἀρχιμανδρίτου, γενέσθω ἀπευλογίας.

Εἴ τις ἀπολιμπάνεται τῶν τραπεζῶν, μὴ εἰρηκὼς τὴν αἰτίαν, μενέτω ἄσιτος.

Εἴ τις τι ἀπολέσει, καὶ μὴ εὑρὼν αὐτὸ μὴ ἀναγάγῃ τῷ ἀρχιμανδρίτῃ, γενέσθω ἀπευλογίας.

Ἐὰν εὑρεθῶσι δύο ἐπὶ τὸ αὐτὸ πλησιάζοντες ἀλλήλοις, καὶ παραγγελθέντες μὴ χωρίζονται, ἔσονται ἀφορισμένοι ἕως διορθώσονται.

Εἴ τις ἑσπέρας μὴ φθάσῃ τὸ περὶ ἡμῶν, ἐκτός τινος αἰτίας, στηκέτω εἰς προσευχὴν, ἕως πάντες κοιμηθῶσιν.

Εἴ τις ἐν τῷ καιρῷ τῆς κοινωνίας λύπην ἔχων πρὸς τὸν ἀδελφὸν μὴ δῷ αὐτῷ εἰρήνην, ἔστω ἀφορισμένος.

χόμεθα, τὸ φρόνημα καὶ τὴν προθυμίαν τοῦ λέγοντος, ὅτι ἡμῖν ἐχαρίσθη τὸ ὑπὲρ χριστοῦ· οὐ
μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. κηρύσσουσι δὲ τῶν ἀποστό-
λων ἀγῶνας αἱ πράξεις, ἱστοροῦσαι, ὅτι τὰς ὕβρεις, καὶ τοὺς θανάτους μετὰ χαρᾶς ἐδέξαν-
το, ὑπὲρ τοῦ πληρῶσαι τὸ κήρυγμα κατὰ τὴν ἐντολὴν τοῦ κυρίου. παιδεύει δὲ ἡμᾶς καὶ ὁ ἀπό-
στολος λέγων· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ, θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς
ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα, καθὼς γέγραπται, ὅτι ἕνεκά σου θανατούμε-
θα ὅλην τὴν ἡμέραν. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερ-
νικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγ-
γελοι, οὔτε ἀρχαὶ, οὔτε ἐξουσίαι, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψω-
μα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ
τῆς ἐν χριστῷ ἰησοῦ, τῆς ἀγάπης τῆς ἐν χριστῷ κατηναγκασμένως, καὶ ἀπαραλείπτως ἐχούσης
τὴν τήρησιν τῶν ἐντολῶν. καθὼς αὐτὸς ὁ κύριος εἶπεν. ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τη-
ρήσει. ὁ δὲ μὴ τηρῶν μου τοὺς λόγους, οὗτος οὐκ ἀγαπᾷ με. καὶ ὑμεῖς φίλοι μου ἐστὲ,
ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. καινὴ δὲ καὶ ἰδία αὕτη ἐντολὴ τὸ ἀγα-
πᾶν ἀλλήλους. ἥντινα πληρῶν ὁ ἀπόστολος, φησίν. οὕτως ἱμειρόμε-
νοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον
τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, ὅτι ἀγαπητοὶ ἡμῖν γε-
γένησθε. ἀφορῶντες οὖν εἰς τὸν χριστὸν τῇ ἐνδόξῳ μιμή-
σει τὴν προθυμίαν ἐπιτείνωμεν. κατα-
νοοῦντες δὲ τοὺς ἁγίους, τὸ δυνατὸν ποι-
ώμεθα, ἵνα διὰ τούτων πρόθυ-
μότεροι γενόμενοι, ἄσπιλον
καὶ ἄμωμον μέχρι θα-
νάτου πᾶσαν
τὴν ἐντο-
λὴν τοῦ κυρίου φυ-
λάξαντες, εἰς τὴν ζωὴν
τὴν αἰώνιον εἰσέλθωμεν,
καὶ βασιλείαν οὐρανῶν κληρονο-
μήσωμεν, καθὼς ἐπηγγεί-
λατο ὁ ἀγαθὸς κύριος
καὶ θεὸς ἡμῶν
ἰησοῦς χριστὸς
ὁ μονογενὴς τοῦ
θεοῦ τοῦ ζῶντος υἱός.

τέλος.

Ἐρώτησις ιβ'.

Εἰ πᾶς ὀφειλέτης ἐστὶ πάντων τῶν ἐν πᾶσιν ἐπιμελείας, ἢ μόνον τῶν πεπιστευμένων, καὶ τούτων κατὰ τὸ μερισθὲν αὐτῷ ἀπὸ θεοῦ διὰ τοῦ ἁγίου χαρίσματος.

Ἀπόκρισις.

Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο ὁρατά τε καὶ ἀόρατα, ὁμολογοῦντος μέν, ὅτι οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. λέγοντος δὲ τοῖς ἑαυτοῦ μαθηταῖς, καθὼς ἀπέστειλέ με ὁ πατήρ, κἀγὼ ἀποστέλλω ὑμᾶς. παραγγέλλοντος δέ· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν σαμαρειτῶν μὴ εἰσέλθητε. μετὰ δὲ τὴν προφητείαν εἰς αὐτὸν πληρωθῆναι τὴν Δαβὶδ εἰπόντος, ὡς ἐκ προσώπου τοῦ θεοῦ καὶ πατρός, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. καὶ τότε τοῖς ἑαυτοῦ μαθηταῖς παραγγέλλοντος, πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη. πῶς οὐ πολλῷ μᾶλλον ἕκαστος ἡμῶν ἀκριβέστερον φυλάσσειν ὀφείλει τὸ τοῦ ἀποστόλου παράγγελμα γράψαντος· μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως. ἀναμένειν δὲ πότε, καὶ τί ἐπιταχθῇ. καθώς φησι καὶ πάλιν, ἕκαστος ἐν ᾧ ἐκλήθη ἀδελφοί, ἐν τούτῳ μενέτω. ἀλλὰ καὶ ὁ αὐτὸς δὲ ἀπόστολος, ὃ ἑτέροις παραγγέλλει, ἀκριβέστερον φυλάσσων, λέγει· δεξιὰς ἔδωκαν ἐμοὶ καὶ βαρνάβᾳ κοινωνίας. ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. ἐὰν δέ ποτε ἀνάγκη γένηται τῆς ἀγάπης τῆς πρὸς τὸν θεόν, ἢ τῆς πρὸς τὸν πλησίον καλούσης εἰς ἀναπλήρωσιν τοῦ ἐλλείποντος, ὁ ὑπακούσας ἔχει τὸν μισθὸν τῆς ἑκουσίου ὑπακοῆς. καλεῖ δέ, ὅτε ἐστὶ πρὸς τὸν θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ ἀγάπη πληροῦσα τὴν ἐντολὴν τοῦ κυρίου εἰπόντος· ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. ἡ δὲ πρὸς τὸν πλησίον ἐπειδὰν ὁ ἐγκεχειρισμένος τὴν προστασίαν βοηθείας χρείαν σχῇ, ἢ τὸ τάγμα τῶν φροντιζομένων χρείαν ἔχει τοῦ ἀναπληροῦντος τὸ προσλεῖπον. τοῦ ἀποστόλου εἰπόντος μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. ἡ γὰρ κατὰ Χριστὸν ἀγάπη, οὐ ζητεῖ τὰ ἑαυτῆς καὶ ἀλλαχοῦ· οἰκοδομεῖτε εἰς τὸν ἕνα καθὼς καὶ ποιεῖτε. ὥστε εἰς ὅτι μὲν ἀπεστάλη τις, μὴ πληρώσας τὸ κήρυγμα ἔργῳ καὶ λόγῳ, ὑπόχρεος ἐστὶ τοῦ αἵματος τῶν μὴ ἀκουσάντων, καὶ οὐκ ἔχει ἐξουσίαν εἰπεῖν τὰ αὐτὰ τῷ ἀποστόλῳ διαμαρτυρομένῳ τοῖς πρεσβυτέροις ἐφεσίων, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ νῦν ἀπὸ τοῦ αἵματος πάντων ὑμῶν. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ. ἐὰν δὲ πλέον τι τοῦ ἐπιτεταγμένου ποιῆσαι δυνηθῇ εἰς οἰκοδομὴν τῆς πίστεως ἐν ἀγάπῃ Χριστοῦ, μισθὸν ἔχει, ὃν ὑπέδειξεν ὑμῖν ὁ ἀπόστολος εἰπών· εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω. εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.

Ἐρώτησις ιγ'.

Εἰ χρὴ πάντα πειρασμὸν ὑπομένειν καὶ θανάτου ἔχειν ἀπειλὴν ὑπὲρ τοῦ φυλαχθῆναι τὴν πρὸς θεὸν ὑπακοήν, καὶ μάλιστα ἐν τῇ ἐπιμελείᾳ τῶν πεπιστευμένων.

Ἀπόκρισις.

Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, δι' οὗ τὰ πάντα ἐγένετο ὁρατά τε, καὶ ἀόρατα, ὁ ζωὴν ἔχων ὥσπερ ἔχει ὁ δεδωκὼς αὐτῷ πατήρ, ὁ τὴν ἐξουσίαν πᾶσαν λαβὼν παρὰ τοῦ πατρός, ἐπερχομένων τῶν συλλαμβανόντων αὐτὸν εἰς τὸν ὑπὲρ τῆς ἡμετέρας δικαιοσύνης, καὶ αἰωνίου ζωῆς θάνατον, μετὰ τοσαύτης ἀπήντησε προθυμίας λέγων· ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν, ἐγείρεσθε ἄγωμεν. ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν. καὶ ὡς ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ γέγραπται. Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτόν, ἐξελθὼν εἶπεν αὐτοῖς· τίνα ζητεῖτε; ἀπεκρίθησαν αὐτῷ, Ἰησοῦν τὸν ναζωραῖον. λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐγώ εἰμι. καὶ μετ' ὀλίγα· εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι, εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. πόσῳ μᾶλλον ἡμεῖς τὰ κατὰ φύσιν ἑκόντας ὑπομένειν ὀφείλομεν. ἵνα διὰ τὴν πρὸς τὸν θεὸν ὑπακοὴν νικῶντες τοὺς ἐπαγομένους ἀπὸ τῶν ἐχθρῶν πειρασμούς, δοξάσωμεν τὸν θεόν. ὅτι τὰ δοκοῦντα παρὰ τῶν ἐχθρῶν ἐπάγεσθαι λυπηρὰ μέχρι θανάτου, χαίροντας δι-

τοῦ σκανδάλου ἐδίδαξεν. ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. ὥστε ἡμᾶς εἰδέναι, ὅτι πᾶν φρόνημα ἐναντίως ἔχον τῷ φρονήματι τοῦ θεοῦ, τοῦτο σκάνδαλον ἐστί. καὶ εἰς ἔργον προελθὸν φονέως ἔχει τὸ κρίμα, κατὰ τὸ γεγραμμένον παρὰ ὠσηὲ τῷ προφήτῃ. ἔκρυψαν ἱερεῖς ὁδὸν, ἐφόνευσαν σίκιμα, ὅτι ἀνομίαν ἐποίησαν ἐν τῷ λαῷ. ἐὰν δὲ κατὰ μὲν τὸν ἴδιον λόγον ᾖ τῶν συγκεχωρημένων, λαμβάνηται δὲ ἐπὶ βλάβῃ, καὶ γίνηται σκανδαλισμοῦ πρόφασις τοῖς ἀσθενοῦσι τὴν πίστιν ἢ τὴν γνῶσιν, ὁ ποιήσας οὐκ ἐκφεύγει τοῦ σκανδάλου τὸ κρίμα. τοῦ ἀποστόλου λέγοντος περὶ τῶν τοιούτων, καὶ μὴ φειδομένων τῶν ἀσθενούντων. οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς χριστὸν ἁμαρτάνετε. ὥστε ὅταν ᾖ τὸ γινόμενον τῷ ἰδίῳ λόγῳ κακὸν ὑπάρχον, αἴτιον γίνηται σκανδαλισμοῦ. ἢ τι τῶν συγκεχωρημένων καὶ ἐν ἐξουσίᾳ ἡμετέρα κειμένων ὑπάρχον, τῷ ἀσθενοῦντι τὴν πίστιν ἢ τὴν γνῶσιν γίνηται σκάνδαλον, φανερὸν καὶ ἀπαραίτητον ἔχει τὸ φοβερὸν ἐκεῖνο κρίμα τὸ ὑπὸ τοῦ κυρίου εἰρημένον οὕτως. συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. πλατύτερον δὲ ἐν τοῖς πρώτοις ἐρωτήμασιν ἐξεθέμεθα, ἔνθα καὶ οἱ τρόποι τῶν σκανδαλιζομένων σαφέστερον ἐξετέθησαν. διόπερ ὁ ἀπόστολος καὶ ἐπὶ τῶν συγκεχωρημένων φησί. καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. καὶ πάλιν ἀλλαχοῦ λέγων, ὅτι πᾶν κτίσμα θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. ὅμως φησὶν οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. εἰ δὲ ἐπὶ τῶν συγκεχωρημένων τοιοῦτον τὸ κρίμα, τί ἄν τις εἴποι περὶ τῶν κεκωλυμένων. διόπερ καθολικώτερον ἡμᾶς παιδεύει, λέγων. ἀπρόσκοποι γίνεσθε καὶ ἰουδαίοις καὶ ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω. μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν.

Ἐρώτησις. ιά.

Εἰ χρὴ, ἢ ἀκίνδυνόν ἐστι παραιτεῖσθαί τι τῶν προστεταγμένων ὑπὸ θεοῦ, ἢ κωλύειν τὸν ἐπιταχθέντα ποιῆσαι, ἢ κωλύοντος ἀνέχεσθαι. μάλιστα ἐὰν γνήσιος ᾖ ὁ κωλύων, ἢ λογισμὸς εὐλογοφανὴς ἀντιπίπτῃ τῷ προστάγματι.

Ἀπόκρισις.

Τοῦ κυρίου λέγοντος, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, δῆλον δὲ ὅτι καὶ πάντα ἀσφαλέστερον παιδευόμεθα μνημονεύοντες αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος, ἡνίκα ἰωάννης ὁ βαπτιστὴς εἶπεν αὐτῷ, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ἀποκριναμένου, ὅτι ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ἐπὶ δὲ τῶν μαθητῶν, ἡνίκα ἀπηύξατο ὁ πέτρος τὰ ἐν ἱερουσαλὴμ προφητευθέντα ὑπ' αὐτοῦ τοῦ κυρίου ἐπάγεσθαι πειρασμοὺς, ἀγανακτικώτερον εἰπόντος. ὕπαγε ὀπίσω μου σατανᾶ, ὅτι σκάνδαλόν μου εἶ. ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. καὶ πάλιν, ἡνίκα ὁ αὐτὸς πέτρος παρῃτήσατο τὴν ὑπηρεσίαν διαθέσει τιμῆς τῆς πρὸς τὸν διδάσκαλον, πάλιν εἰπόντος τοῦ κυρίου, ὅτι ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. εἰ δὲ δεῖ πλέον βοηθῆσαι τὴν ψυχὴν ἐν τοῖς τῶν ὁμογενῶν ὑποδείγμασι, μνημονεύσωμεν τοῦ ἀποστόλου λέγοντος. τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν, ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἰησοῦ. ποῖος δ' ἂν ᾖ ἐνδοξότερος ἰωάννου, ἢ γνησιώτερος πέτρου, ἢ λογισμοὶ τῶν ἐκείνοις ἀποπεσόντων φανεῖεν ἂν εὐλαβέστεροι; ἐγὼ δὲ οἶδα, οὔτε μωσῆς ὁ ἅγιος, οὔτε ἰωνᾶς ὁ προφήτης εἰς ἀθέτησιν ὑπακοῆς χρησάμενοι λογισμοῖς, ἀνέγκλητοι ἔμειναν παρὰ θεῷ. δι' ὧν παιδευόμεθα μήτε ἀντιλέγειν, μήτε κωλύειν, μήτε κωλύοντος ἀνέχεσθαι. εἰ δὲ ἐκ τούτων καὶ τῶν τοιούτων καθέπαξ ἐδίδαξεν ὁ λόγος μὴ ἀνέχεσθαι, πόσῳ μᾶλλον ἐπὶ τῶν λοιπῶν μιμεῖσθαι τοὺς ἁγίους ἀναγκαῖον; ποτὲ μὲν εἰπόντας, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. ποτὲ δὲ, εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ, κρίνατε. οὐ δυνάμεθα γὰρ ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν.

ὅμοιος. ἐλέγξωσι καὶ παραιτήσω κατὰ πρόσωπόν σου, καὶ τῶν τοιούτων κοινωνίαν ἡ-
γοῦμαι κατὰ τὸ ἔργον, ὅταν ἀλλήλοις ἐπὶ τῷ αὐτῷ σκοπῷ συλλαμβάνωνται πρὸς τὴν
ἐνέργειαν. κατὰ δὲ γνώμην, ὅταν συγκατάθηταί τις τῇ διαθέσει τοῦ ποιοῦντος, καὶ συ-
ναρεσθῇ. ἑτέρα δὲ κοινωνία τοὺς πολλοὺς λανθάνουσα ἐμφαίνεται τῇ ἀκριβολογίᾳ τῆς
θεοπνεύστου γραφῆς. ὅταν μήτε συνεργασάμενος, μήτε συγκαταθέμενος τῇ διαθέσει,
γνοὺς δὲ τὴν κακίαν τῆς γνώμης ἀφ' ἧς ποιεῖ, ἐφησυχάσῃ καὶ μὴ ἐλέγξῃ. κατά τε τὰ
ἀνωτέρω γεγραμμένα, καὶ κατὰ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον τοῖς κορινθίοις. ὅτι οὐκ
ἐπενθήσατε ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν, ὁ τὸ ἔργον τοῦτο ποιήσας, οἷς ἐπήγαγεν. μικρὰ
ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. φοβηθῶμεν οὖν καὶ ἀνασχώμεθα αὐτοῦ λέγοντος. ἐκκα-
θάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα. ὁ δὲ συνεργαζόμενος μέν τινι τὸ ἀγα-
θὸν ἀγαθῇ γνώμῃ, ἀγνοῶν δὲ αὐτοῦ τὴν κακίαν τῆς τε διαθέσεως, καὶ τοῦ σκοποῦ οὐκ ἐν τῷ
συνεργάζεσθαι, ἔγκλημα ἕξει κοινωνίας, ἀλλ' ἐν τῷ κεχωρίσθαι τῆς τοῦ ἀλλοτρίου δια-
θέσεως. φυλάσσων δὲ ἑαυτὸν ἐν τῷ κανόνι τῆς πρὸς θεὸν ἀγάπης, τὸν ἴδιον μισθὸν λαμ-
βάνει κατὰ τὸν ἴδιον κόπον. ὡς ἐπὶ τῆς κλίνης, καὶ ἐν τῷ μύλωνι ἐφανερώθη ἡμῖν πα-
ρ' αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. διαφορὰ δὲ εἰς τοὺς πταίοντας, καὶ τοὺς μὴ ἐν τῷ χρέει τῆς
ἐπιμελείας ὄντας, οὐκ ἐν τῇ κοινωνίᾳ τῶν ἁμαρτημάτων. ἡ μὲν γὰρ ἐπιμέλεια ἐξαιρέ-
τως μόνοις τοῖς πταίουσιν ὀφείλεται παρ' ἐμοῦ. ἡ δὲ πρὸς τὸ κακὸν καὶ τὰ ἄκαρπα
ἔργα κοινωνία κατὰ πάντων ὁμοῦ ἀπηγόρευται.

ἐρώτησις. ι.

εἰ ἀεί ἐστι τὸ σκανδαλίζειν ἐπικίνδυνον.

ἀπόκρισις.

Πρῶτον μὲν ἡγοῦμαι ἀναγκαῖον εἶναι γνῶναι τί ἐστι σκάνδαλον. ἔπειτα δὲ τὴν διαφορὰν
τῶν σκανδαλιζόντων, καὶ δι' ὧν σκανδαλίζουσι. καὶ οὕτω γνωρίσαι τότε ἀκίνδυνον, καὶ
τὸ ἐπικίνδυνον. σκάνδαλον οὖν ἐστιν, ὡς ἐγὼ λογίζομαι, ἐκ τῶν γεγραμμένων ὁδηγούμενος,
πᾶν τὸ ἤτοι εἰς ἀποστασίαν τινὰ τῆς κατ' εὐσέβειαν ἀληθείας ἄγον, ἢ πρὸς ἔκκλισιν τῆς πλά-
νης ἐμποιοῦν, ἢ οἰκοδομοῦν εἰς ἀσέβειαν, ἢ καθόλου, πᾶν τὸ κωλῦον τῇ ἐντολῇ τοῦ θεοῦ
ὑπακούειν μέχρι καὶ αὐτοῦ τοῦ θανάτου. ἐὰν μὲν οὖν αὐτὸ κατὰ τὸν ἴδιον λόγον ἀγαθὸν
ᾖ τὸ λεγόμενον, ἢ τὸ γινόμενον, ἡ δὲ νόσος τοῦ χρωμένου τῷ ἔργῳ ἢ τῷ λόγῳ, ἐν τῇ χρήσει
ἐμποιήσῃ αὐτῷ τὴν βλάβην, καθαρός ἐστιν ἀπὸ τοῦ κρίματος τῶν σκανδαλιζομένων, ὁ
τὸ ἀγαθὸν εἰς οἰκοδομὴν τῆς πίστεως εἰπὼν καὶ ποιήσας ὥσπερ ὁ κύριος. εἰπὼν μέν, οὐ τὸ
εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦ-
» το κοινοῖ τὸν ἄνθρωπον. πρὸς δὲ τοὺς σκανδαλισθέντας ἐπήγαγεν, πᾶσα φυτεία, ἣν οὐκ
» ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. εἰπὼν δὲ ὅτι ὁ τρώγων μου τὴν σάρ-
» κα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ μετ' ὀλίγα, οὐδεὶς δύναται ἐλθεῖν πρός
» με, ἐὰν μὴ ᾖ αὐτῷ δεδομένον ἐκ τοῦ πατρός μου. ὁπότε τούτοις τοῖς ῥήμασιν, εἰς ἀπώ-
» λειαν τινὲς ἐχρήσαντο, καθὼς γέγραπται. καὶ πολλοὶ τῶν μαθητῶν ἀκούσαντες τὸν
» λόγον τοῦτον, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. εἶπεν οὖν ὁ ἰη-
» σοῦς τοῖς δώδεκα, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ἀπεκρίθη οὖν σίμων πέτρος. κύριε, πρὸς
» τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν,
» ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. οἷς γὰρ οἱ ὑγιαίνοντες τὴν πίστιν πρὸς οἰκοδο-
μὴν ἐχρήσαντο τῆς πίστεως, καὶ περιποίησιν τῆς αἰωνίου σωτηρίας, τούτοις οἱ ἀθετοῦν-
τες τὴν γνῶσιν, ἢ τὴν πίστιν διὰ τὴν ἰδίαν κακίαν εἰς πρόφασιν ἀπωλείας ἐχρήσαντο.
κατὰ τὸ γεγραμμένον περὶ τοῦ κυρίου, ὅτι οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν, οὐ κα-
τὰ τὴν ἑαυτοῦ πρὸς αὐτὸν ἐναντιότητα, ἀλλὰ κατὰ τὴν τῶν χρωμένων ἀντικειμένην
» γνώμην. ὥσπερ γὰρ καὶ ὁ ἀπόστολος φησίν. οἷς μὲν ὀσμὴ ζωῆς εἰς ζωήν, οἷς δὲ ὀσμὴ
» θανάτου εἰς θάνατον. ἐὰν δὲ τῇ ἰδίᾳ φύσει κακὸν ᾖ τὸ γινόμενον ἢ τὸ λεγόμενον, ὁ ποιή-
σας αὐτό, ἢ ὁ εἰπών, καὶ τῆς ἰδίας ἁμαρτίας, καὶ τοῦ σκανδάλου ἔχει τὸ κρίμα. κἂν δι' ὃν
γίνεται τὸ σκάνδαλον μὴ σκανδαλισθῇ, ὡς ἐπὶ τοῦ πέτρου μανθάνομεν. πρὸς ὃν λέγει ὁ
κύριος κωλυθεὶς πληρῶσαι τὴν οἰκονομίαν τῆς μέχρι θανάτου ὑπακοῆς. ὕπαγε ὀπίσω μου
σατανᾶ. σκάνδαλόν μου εἶ. καὶ ἡ ἐπιχείρησις δὲ αὕτη ὀλίγα τὰ καθόλου ἰδιώματα

ud ē scandalum.

σαφῶς γνῶμεν τί ἐστι, πρῶτον καταμάθωμεν κατὰ τίνων πραγμάτων κεῖται τὸ ὄνομα
τοῦ ἀκάρπου. πότερον κατὰ τῶν κατεγνωσμένων μόνον, ἢ κατὰ τῶν ἐπαινετῶν μὲν
διʼ ὑγιοῦς διαθέσεως γινομένων. ἐν μὲν οὖν τῇ παλαιᾷ διαθήκῃ ὁ προφήτης ἐν τῇ τοῦ
» δένδρου παραβολῇ περὶ τῶν ἁγίων εἶπεν. ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. ὁ
» δὲ σολομῶν φησίν. ἔργα δικαίων ζωὴν ποιεῖ. καρποὶ δὲ ἀσεβῶν, ἁμαρτίαι. ὡσηὲ
» δὲ λέγει. σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε καρπὸν ζωῆς. καὶ ὁ μι-
» χαίας. καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν μετὰ τῶν κατοικούντων ἐν αὐτῇ, ἀπὸ καρπῶν
» ἐπιτηδευμάτων αὐτῶν. καὶ ἄλλοι προφῆται ἄλλα πλείονα. ἀλλὰ ταῦτα μὲν ὡς
λύχνος λαμπέτω. τὸ δὲ φῶς τὸ ἀληθινόν, ὁ τῆς δικαιοσύνης ἥλιος, αὐτὸς ὁ κύριος ἡμῶν ἰη-
» σοῦς χριστὸς τρανότερον παρίστησι λέγων. οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς
» ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιεῖν. καὶ ἀλλαχοῦ ὁμοίως. ἔχον-
τος οὖν τὸ τῶν καρπῶν ὄνομα ἐπὶ τοῖς ἀλλήλων ἐναντίοις ὁμοίως κείμενον. λοιπὸν κα-
ταμάθωμεν, ποῖοι μέν εἰσι δένδρα ἄκαρπα. τίνα δὲ ὁ ἀπόστολος λέγει ἔργα ἄκαρπα.
τὰ μὲν οὖν ἄκαρπα δένδρα δηλοῦνται ἡμῖν παρὰ ἰωάννου τοῦ βαπτιστοῦ εἰπόντος τοῖς κα-
ταξιωθεῖσι τοῦ βαπτίσματος εἰς ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ καθαρισθεῖσιν ἀπὸ παντὸς ῥύ-
» που. ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας. καὶ μετʼ ὀλίγα ἐπιφέροντος, πᾶν
» οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. τηλαυγέ-
» στερον δὲ ὁ κύριος διδάσκει, λέγων, τοῖς μὲν ἐκ δεξιῶν ἑστῶσι, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός
» μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. καὶ
» τοὺς ἀγαθοὺς αὐτῶν καρποὺς δεικνύων ἐν τοῖς ἐπιφερομένοις. τοὺς δὲ ἐξ ἀριστερῶν πέμ-
» πων εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. οἷς οὐχ
» ἁμαρτίας ἐργασίαν ἐγκαλεῖ, ἀλλʼ ἀργίαν καρπῶν ἀγαθῶν. ἐπείνασα γάρ φησι, καὶ οὐκ
» ἐδώκατέ μοι φαγεῖν. καὶ τὰ ἑξῆς. ἥτις ἀργία, τῆς μερίδος ἐποίησεν αὐτοὺς γενέσθαι τῶν ἀ-
μαρτωλῶν, οἵτινες ἄγγελοι τοῦ διαβόλου καλοῦνται παρὰ τοῦ κυρίου. τῆς διαφορᾶς οὖν φα-
νερωθείσης τῶν τὰ ἐναντία καρποφορούντων καὶ ἀκάρπων, λοιπὸν ἴδωμεν, τίνα ἐστὶ μά-
λιστα ἃ λέγει ὁ ἀπόστολος ἔργα ἄκαρπα. ἐγὼ δὲ λογιζόμενος, οὐχ εὑρίσκω μεταξὺ τοῦ
νομίμως καὶ εὐαρέστως τῷ θεῷ τὴν ἐντολὴν ἐργαζομένου, καὶ τοῦ τὸ κακὸν ἐργαζομένου,
καὶ τοῦ μεθʼ ἕτερον ποιοῦντος εἰ μὴ τὸ ποιοῦντας τὸ ἀγαθὸν μὴ εὐαρέστως τῷ θεῷ κατά τι
τῶν προειρημένων ἐν τῷ ἐρωτήματι, εἰ ἀπρόσδεκτόν ἐστιν ἔργον ἐντολῆς μὴ κατʼ ἐντολὴν
γινόμενον. περὶ ὧν ὁ κύριος λέγει, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. καὶ ὡς αἱ πέντε μω-
ραὶ παρθένοι, αἵτινες μαρτυροῦνται ὑπʼ αὐτοῦ τοῦ κυρίου, ὅτι τε παρθένοι, καὶ ὅτι τὰς λαμπά-
δας ἐκόσμησαν, καὶ ὅτι ἀνῆψαν. τουτέστιν, ὁμοίως εἰργάσαντο ταῖς φρονίμοις, καὶ ἐξῆλ-
θον εἰς ἀπάντησιν τοῦ κυρίου, καὶ κατὰ πάντα ὁμοίως ταῖς φρονίμοις τὴν σπουδὴν ἐπεδείξαν-
το, διὰ δὲ μόνην τὴν ἔλλειψιν τοῦ ἐν τοῖς ἀγγείοις ἐλαίου τοῦ σκοποῦ ἀποτυχοῦσαι, καὶ τῆς
εἰσόδου τοῦ νυμφῶνος ἐκκλεισθεῖσαι, καὶ ὡς ἐκ τῶν δύο τῶν ὄντων ἐν τῷ μύλωνι, καὶ ἐπὶ
τῆς αὐτῆς κλίνης οἱ ἀφιέμενοι. ἐφʼ ὧν τάχα τὴν αἰτίαν ἐσίγησεν ὁ κύριος, ἵνα ἐπὶ παντὸς
πράγματος ἐπὶ μικρᾷ γοῦν ἐλλείψει τοῦ πρέποντος, καὶ μάλιστα τῆς εἰλικρινοῦς ἀγά-
πης, ὡς ὁ ἀπόστολος ἐδίδαξε τὸ μὴ εὐάρεστον δείξῃ. τοίνυν τὸ ἄκαρπον τῶν δένδρων κατά
τι συμβαῖνον γίνεσθαι γνωρίζοντες, φυλαξώμεθα. παρὰ μηδὲν τὴν νόμιμον ἄθλησιν
τῆς πρὸς θεὸν εὐαρεστήσεως ἀθλῶν. ἀλλʼ ἐν παντὶ συνιστῶν ἑαυτόν, ὡς θεοῦ διάκονος
οὐ μόνον δέ, ἀλλὰ μήτε συγκοινωνεῖν τοῖς τοιούτοις, ὡς ὁ ἐν χριστῷ λαλῶν παῦλος ὁριστικῶς
ἀπεφήνατο λέγων, μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους τούτου. τὸ δέ,
μᾶλλον δὲ καὶ ἐλέγχετε, ἐπενεγκών, τίνα τὸν τρόπον τοῦ μὴ συγκοινωνεῖν ἐδίδαξε. τί δέ
ἐστι τὸ συγκοινωνεῖν ἢ καὶ κατὰ πόσους τρόπους τοῦτο γίνεται, καταμάθωμεν. μνημο-
νεύων οὖν ἐν μὲν ταῖς παροιμίαις τοῦ, ἐλθὲ μεθʼ ἡμῶν, κοινώνησον αἵματος. παρὰ δὲ τῷ
ἀποστόλῳ, τοὺς συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας, καὶ συγκοινωνήσαν-
τές μου τῇ θλίψει. καὶ, κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶ-
σιν ἀγαθοῖς. καὶ τοῦ, εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ. καὶ μετὰ μοιχῶν τὴν μερί-
δα σου ἐτίθεις. καὶ τοῦ, ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου, καὶ οὐ λήψῃ διʼ αὐτὸν ἁμαρ-
τίαν. καὶ τοῦ, ταῦτα ἐποίησας, καὶ ἐσίγησα. ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι

ἀδικοῦσιν, ὅτι οὐ μόνον μισθοῦ ἐκπίπτει, ἀλλὰ καὶ τιμωρίας ἄξιος ὁ ποιῶν ἐντολὴν μὴ κατὰ
θεοσέβειαν, ἀλλὰ κατὰ ἀνθρωπαρέσκειαν ἢ τινὸς ἄλλης ἡδονῆς οὕνεκεν, ἢ πλεονεξίας,
ἢ πραγματείας. ὧν κατηγορεῖ ὁ ἀπόστολος. αὐτὸς δὲ ὁ κύριος σφοδρότερον κατακρίνων
τοὺς τοιούτους, λέγει. πολλοὶ ἐλεύσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγοντες. κύριε κύριε οὐ τῷ σῷ
ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ δυνάμεις πολλὰς
ἐποιήσαμεν; καὶ ἐφάγομεν μετὰ σοῦ, καὶ ἐπίομεν; καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας;
καὶ τότε ἀποκριθήσομαι αὐτοῖς λέγων. ἀποχωρεῖτε ἀπ' ἐμοῦ. οὐκ οἶδα ὑμᾶς, πόθεν
ἐστέ. ἐργάται ἀνομίας. ὡς ἐκ τούτων καὶ τῶν τοιούτων δῆλον εἶναι, ὅτι κἂν χαρίσμα-
τά τις ἐνεργήσῃ, κἂν ἐντολὰς ποιήσῃ, μὴ κατὰ διάθεσιν δὲ καὶ σκοπὸν, ὃν ἐδίδαξεν ὁ κύριος εἰ-
πὼν, οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔρ-
γα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ παῦλος δὲ ὁ ἀπόστολος ὁ ἐν χριστῷ λαλῶν
φησίν εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτέ τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε, δικαίως ἀκούει,
ἅπερ ἀπηκρίνατο ὁ κύριος. ὅθεν ὁ ἀπόστολος ἔμαθεν εἰπεῖν. ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων
λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον.
καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥσ-
τε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω οὐθέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχον-
τά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦ-
μαι. καὶ ἀλλαχοῦ καθολικώτερον καὶ σφοδρότερον, φησίν. εἰ ἔτι ἀνθρώποις ἤρεσκον,
χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. εἰ δὲ καὶ τῆς παλαιᾶς διαθήκης μαρτυρίαν ἐπιζητεῖς εἰς πληρο-
φορίαν τοῦ τοιούτου κρίματος μωσῆς φησιν. ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρ-
δίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου. καὶ ἀγαπήσεις τὸν
πλησίον σου ὡς ἑαυτόν. οἷς ἐπιφέρει ὁ κύριος. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νό-
μος, καὶ οἱ προφῆται κρέμανται. μαρτυρεῖ δὲ ὁ ἀπόστολος λέγων. πλήρωμα οὖν νόμου
ἡ ἀγάπη. ὅτι δὲ οὐκ ἀτιμώρητοι οἱ μὴ κατορθοῦντες ταύτας, καὶ τὰ ταύταις ἀποπί-
πτοντα δικαιώματα, τιμωρίαις δέ εἰσιν ὑπόδικοι, αὐτὸς μωσῆς βοᾷ, λέγων. ἐπικα-
τάρατος πᾶς, ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τούτῳ. ὁ δὲ δαβὶδ
φησιν. εἰ ἐθεώρουν ἀδικίαν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου κύριος. καὶ ἀλλαχοῦ, ἐκεῖ
φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος. ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων.
πολλῆς οὖν ἐπιμελείας καὶ φροντίδος ἐπαγρύπνου χρεία, μήπως παρά τι τῶν εἰρημέ-
νων τὴν ἐντολὴν ἐργασάμενοι, μὴ μόνον τοῦ τοιούτου καὶ τηλικούτου μισθοῦ ἐκπέσωμεν,
ἀλλὰ καὶ ταῖς οὕτω φοβεραῖς ἀπειλαῖς ὑποπέσωμεν.

Ἐρώτησις. ε.

Εἰ χρὴ συγκοινωνεῖν τοῖς παρανομοῦσιν, ἢ τοῖς ἀκάρποις ἔργοις τοῦ σκό-
τους, κἂν μὴ ὦσι τῶν ἐμοὶ πιστευθέντων οἱ τοιοῦτοι.

Ἀπόκρισις.

Παράνομος μέν ἐστιν, πᾶς ὁ μὴ ὁλόκληρον τὸν νόμον φυλάξας. ἢ καὶ ὁ μίαν ἐντολὴν παρα-
βάς. ἐν γὰρ τῇ ἐλλείψει καὶ τοῦ μικροῦ, τὸ πᾶν κινδυνεύει. τὸ γὰρ παρ' ὀλίγον γεγονὸς, οὐ
γέγονεν. ὥσπερ γὰρ ὁ παρ' ὀλίγον ἀποθανὼν οὐκ ἀπέθανεν, ἀλλὰ ζῇ, καὶ ὁ παρ' ὀλίγον
ζήσας, οὐ ζῇ, ἀλλὰ ἀπέθανε, καὶ ὁ παρ' ὀλίγον εἰσελθὼν, οὐκ εἰσῆλθεν ὡς αἱ πέντε παρθέ-
νοι, οὕτως ὁ παρ' ὀλίγον φυλάξας τὸν νόμον, οὐκ ἐφύλαξεν, ἀλλ' ἔστι παράνομος. διὸ καὶ
ἀναγκαῖον ἐστὶ τῶν παρανομούντων, κἂν γνήσιοι εἶναι δέξωσι, πείθεσθαι τῷ ἀποστόλῳ
εἰπόντι, ποτὲ μὲν, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, ἢ λοί-
δορος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. παρατηρητέον δὲ ἐνταῦθα, ὅτι οὐχὶ τοὺς
τὰ πάντα ὄντας ἀφώρισε καὶ αὐτῆς κοινῆς διαίτης, ἀλλὰ καὶ τὸν οὔτι ὄντα ἐκ πάντων ἐν
τῷ μὴ εἰπεῖν τούτῳ, ἀλλὰ τῷ τοιούτῳ. ποτὲ δὲ, νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς
γῆς. πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰ-
δωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ. καὶ καθολικώτερον ἐπήγαγεν, ἐπὶ τοὺς υἱοὺς τῆς
ἀπειθείας. μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. καὶ πάλιν. στέλλεσθαι ὑμᾶς ἀπὸ παν-
τὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβοσαν
παρ' ἡμῶν. καὶ ἀλλαχοῦ ὁμοίως. τὸ δὲ μὴ συγκοινωνεῖν τοῖς ἔργοις τοῖς ἀκάρποις ἵνα

σαφῶς

» σοι· ἐπινεγκόντος δὲ τὸ παρ' ἑαυτοῦ· ἰδοὺ, νῦν καιρὸς εὐπρόσδεκτος· ἰδοὺ, νῦν ἡμέρα
» σωτηρίας· καὶ πάλιν· ἄρ' οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν· πρὸς πάν-
» τας μὲν, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως· εἰ δὲ καὶ ἄλλης μαρτυρίας χρεία,
» μνημονεύσομεν τοῦ Δαβὶδ εἰπόντος· ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν και-
» ρῷ εὐθέτῳ· καὶ τοῦ Σολομῶντος κατὰ καιροὺς ὡρισμένους, ὅτι πάντα καλὰ ἐν καιρῷ
αὐτῶν· παρὰ πρόσωπον δὲ, ἐν μὲν τῇ παλαιᾷ διαθήκῃ, ὡς ἐπὶ τοῦ Κορὲ, τολμησάντων
ἐπεισελθεῖν τῇ μὴ δοθείσῃ αὐτοῖς ἱερωσύνῃ, καὶ ἀποτισάντων ἀποτομίᾳ ὀργῆς εἰς ὄλε-
θρον καὶ ἀπώλειαν φρικωδεστέραν· παρ' αὐτοῦ τοῦ κυρίου παιδευόμεθα ἀσφαλίζεσθαι, εἰ-
» πόντος πρὸς τοὺς μαθητάς, οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴ-
» κου Ἰσραήλ· πρὸς δὲ τὴν γυναῖκα· οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βα-
» λεῖν τοῖς κυναρίοις· παρὰ πρᾶγμα δὲ, ἐκ μὲν τῆς παλαιᾶς διαθήκης, ὅταν ἐντολῆς δο-
θείσης προσφέρειν θυσίαν ἀπὸ καθαρῶν καὶ ὁλοκλήρων καὶ ἀμώμων, μὴ ἐκ τοιούτων
» προσενεχθῇ· περὶ οὗ ὁ θεὸς εἶπε· προσάγαγε αὐτὸ τῷ ἄρχοντί σου, εἰ προσδέξεται αὐ-
» τό· εἰ λήψεται πρόσωπόν σου· ἐκ δὲ τῆς καινῆς διαθήκης παρ' αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰη-
» σοῦ Χριστοῦ τῆς προφητείας Ἠσαΐου μνημονεύσαντος κατὰ τῶν Ἰουδαίων, ὅτι καλῶς προεφήτευ-
» σεν Ἠσαΐας περὶ ὑμῶν λέγων· ὁ λαὸς οὗτος, τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν
» πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα
» ἀνθρώπων· παρὰ δὲ τοῦ ἀποστόλου μαρτυροῦντος μὲν τῇ συνειδήσει τῶν Ἰουδαίων, κα-
» ταγινώσκοντος δὲ αὐτῶν ἐν τῇ διαφορᾷ τῆς δικαιοσύνης, γράφει οὕτως· μαρτυρῶ γὰρ αὐ-
» τοῖς, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιο-
» σύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν· διό-
» περ ὁ ἀπόστολος τῆς πρὸς θεὸν εὐαρεστήσεως γνησίως προφροντικὼς, μηδὲ τὴν διήγησιν τῶν
» ἐν τῷ νόμῳ ἀνεπιτάκτως κατορθουμένων αὐτῷ δικαιωμάτων ὑποφέρει· ἀλλὰ μὲν οὖν καὶ
» ἡγοῦμαι τὰ πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυρίου μου· δι' ὃν
» τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ
» μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ Ἰησοῦ, τὴν ἐκ θεοῦ δι-
» καιοσύνην ἐπὶ τῇ πίστει τοῦ γνῶναι αὐτὸν, καὶ τὰ ἑξῆς· διὰ δὲ τούτων καὶ τῶν τοιούτων
ἡμᾶς παιδεύει πολὺ ἀκριβεστέρως φυλάσσεσθαι ἐπισυναγαγεῖν ποτὲ τῷ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ κανόνι τῆς πρὸς θεὸν εὐαρεστήσεως ἀνθρωπίνην δικαιοσύνην· παρὰ μέτρον
δὲ ἀρκεῖν ἡγοῦμαι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνημονεῦσαι πρὸς ἀντιδιαστολὴν τοῦ μέτρου τῆς
» παλαιᾶς ἀγάπης· γέγραπται δὲ, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν· εἰπόντος ἐντο-
» λὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς· μεί-
» ζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ·
καὶ καθόλου πάντων ὁμοῦ τῶν δικαιωμάτων ἔστι μαθεῖν παρὰ τοῦ αὐτοῦ κυρίου διορι-
σαμένου· ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ φαρι-
σαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· παρὰ τάξιν δὲ καὶ ἀκολου-
θίαν, ὅταν τὰ πρῶτα ἐν δευτέρῳ τόπῳ ἢ τρίτῳ τις σπουδάζῃ· καὶ τὰ ἐν τρίτῳ τό-
πῳ προστεταγμένα ἀρχὴν ἡγήσηται τῶν προστεταγμένων· τοῦ γὰρ κυρίου προσ-
τάξαντος τῷ εἰπόντι, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου· τὸ, πώλησόν σου τὰ
ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἆρον τὸν σταυρόν σου, καὶ δεῦρο ἀκολούθει μοι· ὅτι τῷ μηδὲν
πεποιηκότι τῶν προστεταγμένων, τὸ δεύτερον ἀκολούθει μοι, ἐπὶ τρίτῳ· καὶ ὡς πάλιν λέ-
γοντος τοῦ κυρίου, εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκο-
λουθείτω μοι, τὸ ἀκολουθεῖν προτάσσοι τῶν προστεταγμένων· καὶ πάλιν τοῦ κυρίου μετὰ πολλὰ
ἐπενεγκόντος τὸ, οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύνα-
ται εἶναί μου μαθητὴς, πρὸ τοῦ τὰ προειρημένα φυλάξαι μαθητὴς εἶναι φαντάζοιτο·
διόπερ ἀναγκαῖον φυλάσσειν τὸ τοῦ ἀποστόλου παράγγελμα, εἰπόντος, πάντα εὐσχημόνως
καὶ κατὰ τάξιν γινέσθω· παρὰ διάθεσιν δὲ, ὡς ὅταν λέγῃ ὁ κύριος, περὶ μὲν τῶν πάθει ἀνθρωπα-
ρεσκείας ποιούντων ἐλεημοσύνην, ἢ ἄλλο τι δικαίωμα ποιούντων πρὸς τὸ θεαθῆ-
ναι τοῖς ἀνθρώποις, ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν· ἔτι δὲ σφοδρότε-
ρον παρίστησι τὴν κακίαν τῶν διὰ τὸ πάθος ἀνθρώπων ποιούντων τὴν ἐντολὴν τοῦ κυρίου·

τύνει ἀπὸ τῆς περιγραφῆς τῆς ἱερουσαλὴμ εἰς πάντα τόπον τῆς οἰκουμένης. καὶ κατὰ
τὴν προφητείαν τῆς θυσίας τὸν ἐσπουδασμένως δηλονότι ἀνατιθέμενον τῷ θεῷ, εἰς τὴν
» ἱερουργίαν τοῦ ἐνδόξου μυστηρίου. καὶ γὰρ ἀκούσαντες τοῦ προφήτου λέγοντος. ὑμεῖς δὲ
» πάντες ἱερεῖς θεοῦ κληθήσεσθε. οὔτε πάντες τῆς τοιᾶσδε ἱερωσύνης ἢ λειτουργίας
τὴν ἐξουσίαν ἁρπάζομεν, οὔτε ἄλλος τὴν ἄλλῳ δοθεῖσαν χάριν, ἐν ἐξουσίᾳ ἐστὶν ἑαυτῷ
λαμβάνειν. ἀλλ' ἕκαστος τῶν πιστῶν ἐν τοῖς ἰδίοις ὅροις μένει τῆς δωρεᾶς τοῦ θεοῦ. τοῦ ἀ-
» ποστόλου παιδεύοντος ἡμᾶς ἐν τῷ λέγειν πρὸς πάντας μέν, παρακαλῶ δὲ ὑμᾶς ἀδελ-
» φοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν,
» εὐάρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τού-
» τῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέ-
λημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον, καὶ τέλειον. πρὸς ἕκαστον δὲ σαφῶς διακρίνον-
τος μὲν τὴν ἑκάστῳ πρέπουσαν λειτουργίαν. κωλύοντος δὲ ἐπεμβαίνειν ἀλλοτρίῳ τάγ-
» ματι ἐν τῷ λέγειν. λέγω γὰρ διὰ τῆς χάριτος τοῦ θεοῦ τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν
» ὑμῖν, μὴ ὑπερφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς
» ἐμέρισε μέτρον πίστεως. καὶ διὰ τῆς ἐν ἀλλήλοις τῶν μελῶν τοῦ σώματος πρὸς τὸ εὔσχη-
μον καὶ ἀκίνδυνον κατηναγκασμένης εὐταξίας κανονίζοντος ἐν ἡμῖν τὴν ἡμῶν πρὸς ἀλ-
λήλους εὐάρεστον τῷ θεῷ ἐν ἀγάπῃ χριστοῦ ἰησοῦ εὐταξίαν, ἐν τῇ διαφορᾷ τῶν χαρισμάτων.
λέγει γάρ, καθάπερ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, πάντα δὲ τὰ μέλη οὐ τὴν αὐτὴν
» ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν χριστῷ. ὁ δὲ καθεὶς ἀλλήλων μέλη, ἔχοντες
» δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀνα-
» λογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, καὶ τὰ ἑξῆς. εἰ δὲ οἱ συνεργοῦντες
ἀλλήλοις πρὸς τὸν ἕνα σκοπὸν τῆς πρὸς θεὸν εὐαρεστήσεως, καὶ τοσαύτην ἔχοντες πρὸς
ἀλλήλους συνάφειαν κοινωνίας ἐν ἀγάπῃ χριστοῦ τὸν ἴδιον τόπον τοῦ χαρίσματος ὑπερβαίνειν
οὐκ ἐπιτρέπονται, πῶς οὐχὶ πολλῷ πλέον τοῖς ἀλλοτρίοις καὶ ἐναντίοις πράγμασιν ἀ-
φωρισμένους τόπους διακρίνειν ἀπὸ τῶν ἁγίων ὀφείλομεν; ἐκ πάντων γάρ, τῶν μνημονευ-
θέντων ἐκ τῆς θεοπνεύστου γραφῆς καὶ τῶν τοιούτων, καὶ τῶν προρρηθέντων ὑποδειγμά-
των παιδεύεσθαι ἡμᾶς χρή, ὅτι ἡ παρὰ τόπον ἐνέργεια εἰς τὸ ἐναντίον τοῦ προκειμένου
σκοποῦ περιτρέπει τὸ τέλος. παρὰ καιρὸν δὲ αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐστὶν ἀκοῦσαι,
» λέγοντος. διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι
» τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πέντε δὲ ἦσαν ἐξ αὐτῶν
» φρόνιμοι, καὶ αἱ πέντε μωραί, αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔ-
» λαβον μεθ' ἑαυτῶν ἔλαιον, αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν. χρο-
» νίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. μέσης δὲ νυκτὸς κραυγὴ γέγο-
» νεν. ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. τότε ἠγέρθησαν πᾶσαι
» αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. αἱ δὲ μωραὶ ταῖς φρονί-
» μοις εἶπον. δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ἀπεκρί-
» θησαν αἱ φρόνιμοι λέγουσαι. μήποτε, οὐ μὴ ἀρκέσῃ ἡμῖν, καὶ ὑμῖν. πορεύεσθε δὲ μᾶλ-
» λον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. ἀπερχομένων δὲ αὐτῶν ἀγορά-
» σαι, ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ
» θύρα. ὕστερον δέ, ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι κύριε κύριε, ἄνοιξον ἡμῖν. ὁ δὲ
» ἀποκριθεὶς εἶπεν αὐταῖς. ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. γρηγορεῖτε οὖν, ὅτι οὐκ
» οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν. διόπερ τὴν ὑπὲρ τοῦ αὐτοῦ κρίματος πολλάκις γι-
νομένην παραγγελίαν σφοδρότερον καθάπτεσθαι καὶ πιστεύεσθαι μᾶλλον εἰδώς. καὶ
» ἐν ἑτέρῳ τόπῳ κατὰ τὸν αὐτὸν νοῦν εἰρημένην παραθήσομαι. φησὶ δὲ αὐτὸς ὁ κύριος, πολ-
» λοὶ ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν. ἀφ' οὗ ἂν εἰσέλθῃ ὁ οἰκοδεσπότης, καὶ
» κλείσῃ τὴν θύραν, καὶ ἄρξησθε λέγειν κύριε κύριε ἄνοιξον ἡμῖν. καὶ τότε ἀποκριθεὶς ἐρεῖ.
» οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. διὰ τοῦτο λέγω ὑμῖν, γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖ-
» τε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. καὶ πολλαχοῦ ὁμοίως. εἰ δὲ δεῖ καὶ τὸν ἀπόστο-
λον προσκαλέσασθαι εἰς μαρτυρίαν, ἀκούσωμεν αὐτοῦ μνημονεύσαντος μὲν τοῦ προ-
» φήτου λέγοντος. καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά-

» νία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις χριστῷ πρὸς βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;
» τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων, τὸ παντάπασιν ἀδύνατον καὶ ἀπαράδεκτον
θεῷ, καὶ ἐπικίνδυνον τῷ τολμῶντι δεδήλωται. διόπερ παρακαλῶ, ὡς διδάσκει ὁ κύριος,
ποιήσωμεν τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλὸν, καὶ καθαρίσωμεν πρῶτον τὸ ἐν-
τὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, καὶ τότε τὸ ἐκτὸς αὐτοῦ ἔσται καθαρὸν ὅλον. καὶ διὰ
τοῦ ἀποστόλου παιδευθέντες, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ
πνεύματος, καὶ τότε ἐπιτελῶμεν ἁγιωσύνην ἐν ἀγάπῃ χριστοῦ, ἵνα εὐάρεστοι θεῷ καὶ εὐπρόσ-
δεκτοι τῷ κυρίῳ γενώμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

ἐρώτησις. κ΄.

εἰ εὐπρόσδεκτόν ἐστι τῷ θεῷ τὸ ἔργον τῆς ἐντολῆς μὴ ἀκολού
θως κατ' ἐντολὴν τοῦ θεοῦ γενόμενον.

ἀπόκρισις.

Τούτου τοῦ ἐρωτήματος σαφῆ, καὶ ὥσπερ κανόνα τινὰ κατὰ παντὸς τοῦ τοιούτου πράγμα
τος παιδευόμεθα, παρὰ μὲν τῆς παλαιᾶς διαθήκης ὡς ἐκ προσώπου τοῦ θεοῦ λεγού-
σης, ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες, ἡσύχασον. πρὸς σὲ
ἡ ἀποστροφὴ αὐτοῦ. ὡς μὴ μόνον ἀπρόσδεκτον εἶναι τὸ προσενεχθὲν μὴ νομίμως, ἀλλὰ
καὶ εἰς ἁμαρτίαν λογισθῆναι τῷ οὕτω προσενέγκαντι. κατ' ὁμοιότητα δὲ τοῦ ἀποστό-
λου ἐστὶν ὥσπερ δι' ἀποδείγματος ἀνθρωπίνου τὸν τῆς θεοσεβείας ἀπαράβατον κανόνα
καθολικῶς κατὰ πάντων μαθεῖν, εἰπόντος. ἐὰν ἀθλῇ τις οὐ στεφανοῦται, ἐὰν μὴ νομί-
» μως ἀθλήσῃ. μετὰ πλείονος δὲ φόβου, αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μνημονεῦσαι ἐστὶν εἰρη
» κότος ἐκδεδεγμένου ἐν τῷ εἰπεῖν, μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος εὑρήσει ποιοῦντα οὕ-
τως. τὸ γὰρ οὕτως εἰπὼν, ἔδειξεν, ὅτι ὁ μὴ οὕτως ποιῶν τοῦ μακαρισμοῦ ἐκπέπτωκεν. ὡς
ἐκ πολλῶν τῶν τε ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ διαθήκῃ ἱστορουμένων, καὶ λεγομένων, ἔστιν
ἀκριβῶς μαθεῖν, καὶ πληροφορηθῆναι. τὸ δὲ μὴ οὕτως, γίνεται ἢ παρὰ τόπον, ἢ παρὰ καιρὸν,
ἢ παρὰ πρόσωπον, ἢ παρὰ πρᾶγμα, ἢ παρὰ μέτρον, ἢ παρὰ τάξιν, ἢ παρὰ διάθεσιν. ἴδω-
μεν δὲ τὸν λόγον πρῶτον τοῦ παρὰ τόπον. τοῦ ἀποστόλου τοίνυν τοῖς ἐν τῇ συνηθείᾳ κε-
κρατημένοις χρησαμένου εἰς σαφεστέραν παράστασιν καὶ βοήθειαν τοῖς ἀκούουσι τῶν τῇ εὐ-
» σεβείᾳ πρεπόντων, ἐν τῷ εἰπεῖν. οὔτε αὐτὴ ἡ φύσις, διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν, ἐὰν κο-
» μᾷ, ἀτιμία αὐτῷ ἐστι, γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστι, καὶ τὰ ἑξῆς. ἀκόλουθον ἂν εἴη
καὶ ἡμᾶς τοῖς ἐν τῇ φύσει κεκρατημένοις πρὸς τὰ ἀναγκαῖα τῆς παρούσης ζωῆς χρήσα-
σθαι. τοῦ γὰρ ἐσθίειν καὶ πίνειν συνέχοντος τὴν ζωὴν, τίς τῶν σωφρονούντων ἀνέχε-
ται ἐπὶ τῆς ἀγορᾶς ἐσθίειν καὶ πίνειν; ἢ τίς ἀνέχεται κατὰ τὰ ἱερὰ καταβαλεῖν τὰ σπέρ
ματα ἐπὶ ζημίᾳ αὐτῶν τούτων, καὶ τῶν προσδοκηθέντων καρπῶν. καὶ πολλὰ αὖ τε
ἕτερα παρὰ τόπον ἐπικινδύνως γενόμενα, ἤτοι καταγνωσμένως. πάλιν δὲ τοῦ ἀποστόλου
μνημονεύοντες εἰπόντος. ταῦτα τυπικῶς συνέβαινον ἐκείνοις. ἐγράφη δὲ πρὸς νουθεσίαν
ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν. ἴδωμεν εἰ μὴ τὰ νενομοθετημένα ὑ-
πὸ τοῦ θεοῦ πρὸς θεοσέβειαν κοινωνίαν ἔχοντα πρὸς ἄλληλα, τὴν διαφορὰν ἐφύλασσον
ἀπαράβατον, τὰ μὲν γὰρ ἀφώριστο τῇ ἱερουσαλὴμ, καὶ ἔξω ποιήσαντας ἐκινδύνευον.
τὰ δὲ καὶ πλέον, ὅτι καὶ ἐν αὐτῷ τῷ ναῷ καὶ τῷ θυσιαστηρίῳ, καὶ ἐν αὐτῇ τῇ ἱερουσα-
λὴμ, ἢ ἄλλοις τόποις. ἀλλὰ τὰ πρὸς τὰς λατρείας ἦν κεκριμένα. καὶ οὔτε τὰ ἐν τῷ ναῷ
καὶ ἐν τῷ θυσιαστηρίῳ γενόμενα ἐν ἄλλοις τόποις τῆς ἱερουσαλὴμ γίνεσθαι ἐτολμᾶτο. οὔτε τὰ ἐν
ἄλλοις τόποις καὶ ἐν τῷ ναῷ συνεχωρεῖτο. ἡμῖν δὲ παρὰ τόπον μὲν κινδυνεύει ἡ ἐντο-
λή. μάλιστα, ἐὰν τὰ τῆς ἱερωσύνης μυστήρια ἐπιτελῶμεν ἐν βεβήλοις τόποις. τοῦ τοιού
του πράγματος ἀπόδειξιν μὲν ἔχοντος τῆς καταφρονήσεως τοῦ ἐπιτελοῦντος, σκανδα-
λίζοντος δὲ ἄλλον, ἐπ' ἄλλῳ τι πάθος πολυτρόπως, διὰ τὴν τῶν πολλῶν ἐν τῇ γνώσει
διαφορὰν ἀσθένειαν. ἐὰν δέ τις λέγῃ, τί οὖν ὁ ἀπόστολος εἶπε, βούλομαι οὖν τοὺς ἄνδρας
προσεύχεσθαι ἐν παντὶ τόπῳ, διὰ τὸ τὸν κύριον ἐν παντὶ τόπῳ τὴν ἐξουσίαν τῆς προσκυ-
νήσεως εἰρηκότα διδόναι, ἐν τῷ, οὔτε ἐν ἱερουσαλὴμ, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνήσετε τῷ
πατρί. ἐκεῖνο ἐστὶν εἰπεῖν, ὅτι τὸ ἐν παντὶ, οὐ περιλαμβάνει τοὺς ἀφωρισμένους τόποις
τοῖς ἀνθρωπίναις χρείαις καὶ ἀκαθάρτοις καὶ βδελυκτοῖς πράγμασιν. ἀλλὰ πα-

στεῖ κινδυνεύει ποιῆσαι ὁ λόγος ἡμᾶς τὸν φόβον τῶν κριμάτων, οὐ μόνον διὰ ῥημάτων, ἀλ-
λὰ καὶ δι' ὑποδειγμάτων· ὡς τῶν πραγμάτων μᾶλλον ἐμποιούντων τὴν πληρο-
» φορίαν τῆς ἀληθείας. καὶ πρῶτον μέν φησιν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν
» πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
καὶ μεθ' ὅλην τὴν περικοπὴν τῆς διδασκαλίας αὐτοῦ, ἐπήγαγεν ἀπόφασιν μεθ' ὑπο-
» δείγματος, εἰπών· πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσε-
» ται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βρο-
» χὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ
» ἔπεσε· καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. καὶ πάλιν· συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ
» ἀμπελῶνι αὐτοῦ καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρε. καὶ λέγει πρὸς τὸν ἀμ-
» πελουργόν· ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὑρίσκω. ἔκκοψον
» αὐτὴν, ἵνα τί καὶ τὴν γῆν καταργεῖ. καὶ ἀλλαχοῦ φανερώτερον ἐκτίθεται τὸ κρίμα τοῦ-
» το, λέγων πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ
» διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. καὶ ἐπιφέρει· οὐχὶ ἐργασίαν τινὸς τῶν ἀπηγορευμέ-
» νων, ἀλλ' ἔλλειψιν τῶν ἐγκεκριμένων ἔργων, εἰπών· ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φα-
» γεῖν. ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με. καὶ τὰ ἑξῆς. καὶ πολλὰ τοιαῦτα αὔτις ἀρκεῖ
πρὸς ἀπόδειξιν, ὅτι οὐ μόνον οἱ τὰ πονηρὰ ἐργαζόμενοι, ἄξιοι θανάτου εἰσὶν, οἷς καὶ τὸ πῦρ
τὸ ἄσβεστον ἡτοιμάσθη, μεθ' ὧν κατακρίνονται καὶ οἱ ἀργοῦντες ἀπὸ τῶν καλῶν, ἀλ
λὰ καὶ οἱ ἀμελῶς ποιοῦντες. γέγραπται γὰρ, ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου
» ἀμελῶς. καιρὸς δ' ἂν εἴη μνημονεῦσαι καὶ ἰωάννου πρὸς τοὺς λαβόντας τὴν ἄφεσιν τῶν
» ἁμαρτημάτων διὰ τοῦ βαπτίσματος, λέγοντος, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυ-
» γεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς. ποιήσατε οὖν ἀξίους καρποὺς τῆς μετανοίας καὶ μὴ
» δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς
» ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ ἀβραάμ. ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν
» δένδρων κεῖται. πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλ-
» λεται. ὧν ἕκαστον οὐκ ἐργασίαν κακοῦ τινος δηλοῖ, ἀλλ' ἀργίαν τοῦ τῆς θεοσεβείας δι-
καιώματος. εἰ γὰρ ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς, ὅτι μὴ μετὰ τῆς πρε-
πούσης ἐποίησε προθυμίας, πόσῳ μᾶλλον ἐπικατάρατοι οἱ μὴ ποιοῦντες ὁπωσοῦν τὸ
ἀγαθὸν ἀναδεχόμενοι. καὶ δικαίως ἀκούουσι, πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ
τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ὡς ἐκ πάντων δῆλον,
ὅτι ἀναγκαίως τάχους πλείονος καὶ σπουδῆς ἀόκνου χρεία μετ' ἐπιθυμίας ἀγαθῆς καὶ
ἀμεταθέτου ἐν ταῖς ἐντολαῖς τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἵνα ἄξιοι τοῦ μακαρισμοῦ γενώμε-
θα καὶ αὐτοί. καθὼς εἶπεν αὐτὸς ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶν-
τος· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

ἐρώτησις. ζ.

εἰ δυνατόν ἐστιν ἢ ἀρεστὸν, ἢ εὐπρόσδεκτον θεῷ, τὸν ἁμαρτίᾳ δουλεύοντα ποιεῖν
δικαίωμα κατὰ τὸν τῆς θεοσεβείας τῶν ἁγίων κανόνα.

ἀπόκρισις.

Ἐν μὲν τῇ παλαιᾷ διαθήκῃ τοῦ θεοῦ λέγοντος, ὁ ἁμαρτωλὸς ὁ θύων μοι μόσχον, ὡς ὁ
ἀποκτείνων κύνα, καὶ ὁ προσφέρων σεμίδαλιν, ὡς αἷμα ὕειον. καὶ τοσαύτην περὶ
τῶν προσφερομένων εἰς θυσίαν νομοθετήσαντος ἀκρίβειαν καὶ τὸ φοβερὸν κρίμα κατὰ
τοῦ πλημμελήσαντος θέντος. ἐν δὲ τῇ καινῇ διαθήκῃ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ δι' ἑαυ-
» τοῦ ἐν τοῖς εὐαγγελίοις εἰπόντος, ὅτι ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρ-
» τίας. καὶ, οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. καὶ, οὐ δύνασθε θεῷ δουλεύειν
» καὶ μαμωνᾷ. καὶ φανερώτατα δογματίσαντος. οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσ-
σεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. εἰ δὲ περὶ τῶν μέ-
σων τοιαύτη ἀπόφασις, τί αὔτις εἴποι περὶ τῶν ἀπηγορευμένων. διὰ δὲ τοῦ ἀποστόλου, μὴ
» γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς κοινω-

ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. καὶ πολλὰ τοιαῦτα. τοῖς δὲ μὴ προστιθείς. ὥσπερ ἐν τῷ εἰπεῖν, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ τὸ ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως. καὶ μετ' ὀλίγα. ἔσται δὲ ὁ λόγος ὑμῶν τὸ, ναὶ ναί. καὶ τὸ οὒ οὔ, τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστι. καὶ πολλὰ τοιαῦτα εἰπὼν ἀντὶ τοῦ ἐπαγαγεῖν τῆς τιμωρίας τὸ ἰδίωμα, γενικώτερον κατὰ πάντων ἀπεφήνατο. προειπὼν μὲν, ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐν δὲ τῷ τέλει ἐπαγαγών. ὅτι πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. καὶ πολλαχοῦ πολλῶν μνημονεύσας ἁμαρτημάτων, οὐ προσέθηκε καὶ τὴν ἀποκειμένην ἑκάστῳ τιμωρίαν. ἀρκεῖν ἡγούμενος τὰ καθόλου πολλάκις εἰρημένα κατὰ πάντων. ἐπειδὴ δὲ χρείαν ἔχουσιν οἱ ἀσθενέστεροι βοηθείας, μνημονεύσωμεν καὶ τοῦ ἀποστόλου. μιμούμενος γὰρ τὸν κύριον καὶ αὐτὸς, ποτὲ μὲν εἶπεν, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ποτὲ δὲ, μὴ ψεύδεσθε εἰς ἀλλήλους. καὶ ἀλλαχοῦ. πᾶσα ὀργὴ, καὶ θυμὸς, καὶ κραυγὴ, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ. καὶ πολλὰ τοιαῦτα πολλάκις εἰπὼν, ἀντὶ τοῦ προσθεῖναι τὴν ἀπειλὴν ἀλλαχοῦ γενικώτερον προστίθησι καὶ τὴν τιμωρίαν, εἰπὼν, μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. ἀλλαχοῦ δὲ πάλιν πλατύτερον γράφει. καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ, μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας, ψιθυριστὰς, καταλάλους, θεοστυγεῖς, ὑβριστὰς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας. οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, ἄξιοι θανάτου εἰσίν. οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων. ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. καὶ πολλαχοῦ ὁμοίως. δι' ὧν δείκνυται, ὅτι κἂν ἐν τοῖς κατὰ μέρος μὴ ᾖ προσκειμένη ἡ ἀπειλὴ τῆς τιμωρίας ἑκάστῳ, ἀλλ' ἀναγκαίως ἐπιγινώσκειν ὀφείλομεν, ὅτι ἀφύκτῳ ἀνάγκῃ τῇ γενικῇ ὑποβάλλεται ἀποφάσει, ὁ καὶ μίαν ἐντολὴν παραβαίνων. τοῦ μὲν κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἀποφηναμένου, ὅτι ὁ ἀθετῶν ἐμὲ, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν. ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. καὶ τὰ ἑξῆς φοβερώτερον. ἰωάννου δὲ τοῦ βαπτιστοῦ, οὗ μείζων οὐδεὶς, ὁριστικῶς μαρτυροῦντος, ὅτι ὁ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν. τοῦτο γὰρ σύνηθες τῇ θεοπνεύστῳ γραφῇ καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ. καὶ γὰρ διὰ μωσέως πολλὰ τῶν ἐν τῷ νόμῳ γράψαντος, ἀντὶ τοῦ προσθεῖναι τὴν ἀπειλὴν κατὰ τοῦ παραβαίνοντος, ἢ ἀμελοῦντος, γενικὴν κατὰ πάντων ἐπήγαγε τὴν κατάραν, ἥτις ἐστὶ τῆς δεινοτάτης τιμωρίας προκαταρκτική. εἰπών. ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμενεῖ πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου. καὶ ἀλλαχοῦ, ἐπικατάρατος φησὶν ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς. εἰ δὲ ὁ ἀμελῶς ποιῶν ἐπικατάρατος, ἆρα ὁ μὴ ποιῶν τίνος ἐστὶν ἄξιος;

ἐρώτησις. δ.

Ἡ ἀπείθεια ἐν τῷ ποιῆσαί τι τῶν ἀπηγορευμένων ἐστὶν
ἢ καὶ ἐν τῷ παραλιπεῖν τι τῶν ἐγκεκελευσμένων;

ἀπόκρισις.

Τοῦτο τὸ κρῖμα σφοδρότερον ποιούμενος ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς, εἰς ἀθέτησιν μὲν τῆς προλαβούσης πλάνης, στηριγμὸν δὲ τῶν ἡμετέρων καρδιῶν ἐν τῇ ὑγιαινούσῃ πί-

πνεύστων γραφῶν. ὅταν δὲ πρὸς πρόσταγμα πρόσταγμα ἐναντίως ἔχειν δοκῇ, ἵνα τὰς ὑποθέσεις καταμανθάνοντες, καὶ ὁλόκληρον τὴν περικοπὴν ἀναγινώσκοντες οὕτω τὸ ἄμαχον ἐπιγνώσκωμεν, καὶ τῷ ἑκάστῳ ἁρμόζον πρὸς τὸν σκοπὸν τῆς αὐτοῦ κλήσεως φυλάσσωμεν. εἰς ὃν ἀμφότερα τείνει τὰ προστάγματα· τὰ μὲν νόσον θεραπεύοντα, τὰ δὲ προκοπὴν ἐμποιοῦντα πρὸς τελείωσιν ἄγουσαν τῆς πρὸς θεὸν εὐαρεστήσεως. τοῦ κυρίου λέγοντος, ποτὲ μὲν, οὐδεὶς λύχνον ἅψας κρύπτει αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ποτὲ δὲ, σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερὰ τί ποιεῖ ἡ δεξιά σου. καὶ πολλὰ τοιαῦτα εὕροις ἂν παρά τε τοῖς εὐαγγελισταῖς καὶ τῷ ἀποστόλῳ. ἐὰν δὲ ἡμῖν ἐντολὴ δοθῇ, πῶς δὲ γένηται μὴ ἐπινεχθῇ, ἀνασχώμεθα τοῦ κυρίου λέγοντος. ἐρευνᾶτε τὰς γραφὰς, καὶ μιμησώμεθα τοὺς ἀποστόλους αὐτὸν τὸν κύριον ἐπερωτήσαντας τὴν ἑρμηνείαν τῶν παρ' αὐτοῦ εἰρημένων, καὶ τῶν παρ' αὐτοῦ ἐκ τῶν ἐν ἑτέρῳ τόπῳ εἰρημένων μανθάνωμεν τὸ ἀληθὲς καὶ σωτήριον. ὥσπερ ἐπὶ τοῦ, θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ. εἴτε τῶν τῷ νεανίσκῳ προστεταγμένων παιδευόμεθα. αὐτοῦ τοῦ κυρίου εἰπόντος. πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ. καὶ ἐκ τῶν εἰρημένων πρὸς τοὺς ἐπιθυμοῦντας βασιλείαν οὐρανῶν κληρονομῆσαι. μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, δοῦναι ὑμῖν τὴν βασιλείαν. πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς βαλλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. ἐὰν δὲ καὶ κίνδυνος παρέπηται τῇ τηρήσει τῆς ἐντολῆς, ἥτις ἐστὶ καύχημα ἡμῶν, μνημονεύσωμεν τοῦ ἀποστόλου εἰπόντος. καλόν μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. καὶ ἀλλαχοῦ πλατύτερον. τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ τὰ ἑξῆς. δι' ὧν σφοδρότερον παιδευόμεθα τηρεῖν τὰς ἐντολὰς, καὶ περισσοτέραν δῶμεν ἀπόδειξιν τῆς πρὸς τὸν κύριον ἀγάπης, εἰπόντα. ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει. καὶ πολλάκις ὁμοίως. ἐπὶ δὲ τῶν λοιπῶν μιμεῖσθαι τὸν ἀπόστολον καὶ λέγειν. ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως θεοῦ. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ ἔγνω νοῦν κυρίου τοῦ ἐξ οὐρανῶν κατελθόντος; καὶ τὰ τοῦ πατρὸς ἡμῖν ῥήματα ἀπαγγέλλοντος; ᾧ πιστεύειν ἀναγκαῖον καὶ σέβειν. ὡς τέκνα τοῖς γονεῦσι, καὶ τὰ παιδία τοῖς διδασκάλοις, κατὰ τὴν αὐτὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φωνὴν, εἰπόντος. ἐὰν μή τις δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.

Ἐρώτησις. ε'.

Εἰ παντὸς ῥήματος ἡ ἀπείθεια ἀξία ὀργῆς καὶ θανάτου, κἂν ἰδικῶς τῷ καθ' ἕκαστον μὴ ᾖ συνημμένη ἡ ἀπειλή.

Ἀπόκρισις.

Περὶ μὲν τοῦ παντὸς ῥήματος ἡ ἀπείθεια ἀξία ὀργῆς καὶ θανάτου. εἴρηται μὲν πλατύτερον ἐν τῇ ὑπὲρ τῆς συμφωνίας ἐπιστολῇ. ἵνα δὲ καὶ νῦν μιᾶς ἢ δευτέρας ἐκ πολλῶν μνημονεύσωμεν μαρτυρίας, ἀκούσωμεν Ἰωάννου μὲν τοῦ βαπτιστοῦ λέγοντος, ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον. ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, τὸ δὲ ἀόριστον παντὸς ἐστὶ περιληπτικὸν, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ' αὐτόν. αὐτοῦ δὲ τοῦ κυρίου ὁριστικῶς ἀποφηναμένου, ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. εἰ δὲ τὰ τοῦ νόμου οὕτως, πόσῳ μᾶλλον τὰ τοῦ εὐαγγελίου, καθὼς αὐτὸς ὁ κύριος πολλάκις ἐπιστώσατο. ὅπου δὲ τοῦ καὶ ἰδικῶς τῷ καθ' ἕκαστον μὴ ᾖ συνημμένη ἡ ἀπειλὴ, εὑρεῖν μὲν λογίζομαι τοῖς πιστοῖς αὐτοῦ τοῦ κυρίου μνημονεῦσαι εἰπόντος ἐν τῇ περικοπῇ τῆς μετὰ τοὺς μακαρισμοὺς διδασκαλίας. ἐν ᾗ πολλῶν μὲν ἐμνημόνευσε τῶν ἀπηγορευμένων. καὶ τοῖς μὲν προσέθηκε καὶ τὴν ἀπειλὴν, εἰπὼν, πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ κρίσει. ὃς δ' ἂν εἴπῃ ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ. ὃς δ' ἂν εἴπῃ μωρὲ, ἔνοχος

τατολμῶν τοῦ σώματος τοῦ κυρίου, δεινότερον ἐμπεσεῖται τὸ κρίμα; καθαρίσωμεν τοίνυν
ἀπὸ παντὸς μολυσμοῦ. ἡ δὲ διαφορὰ τοῦ μολυσμοῦ πρὸς τὴν ἀκαθαρσίαν φανερὰ τοῖς
εὖ φρονοῦσι. καὶ οὕτω προσερχώμεθα τοῖς ἁγίοις, ἵνα φύγωμεν τὸ κρίμα τῶν φονευσάν-
των τὸν κύριον. διότι ὃς ἂν ἐσθίῃ τὸν ἄρτον ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ
σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου. σχῶμεν δὲ ζωὴν αἰώνιον, καθὼς ἐπηγγείλατο ὁ ἀψευ-
δὴς θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστός. ἐὰν ἐσθίοντες καὶ πίνοντες μνημονεύωμεν αὐτοῦ ὑπὲρ
ἡμῶν ἀποθανόντος, καὶ φυλάξωμεν τὸ κρίμα τοῦ ἀποστόλου εἰπόντος. ἡ γὰρ ἀγάπη τοῦ
» Χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέ-
» θανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ
» ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι, ὅπερ συνεθέμεθα ἐν τῷ βαπτίσματι.

Ἐρώτησις. λ'.

Εἰ παντὶ ῥήματι θεοῦ δεῖ πιστεύειν, καὶ πείθεσθαι ἐν πληροφορίᾳ ἀληθείας τοῦ
εἰρημένου κἂν [illegible] τι τὸ ῥῆμα, ἢ ἔργον ἤτοι παρ' αὐτοῦ τοῦ κυρίου, ἤτοι
παρ' αὐτῶν τῶν ἁγίων δοκοῦν ἐναντίως ἔχειν.

Ἀπόκρισις.

Τὸ ἐρώτημα, εἰ καὶ παντάπασιν ἀνάξιον παντὸς τοῦ καταδεξαμένου ὁμολογεῖν τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστὸν μονογενῆ υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ὁρατὰ καὶ τὰ
ἀόρατα, ἀλλ' οὖν τὰ ῥήματα, ἃ ἤκουσε παρὰ τοῦ πατρὸς ὅμως ἀναγκαῖον ἀποκρίνα-
» σθαι, πειθομένους τῷ ἀποστόλῳ γράψαντι. ἕτοιμοι ἔσεσθε πρὸς ἀπολογίαν παντὶ
» τῷ ἐπερωτῶντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν πίστεως. καὶ ἵνα μὴ παρ' αὐτό τι λέγοντες,
» ἀμφιβολίαν ἐμποιήσωμεν τοῖς ἀκούουσι, μνημονεύσωμεν αὐτοῦ τοῦ κυρίου λέγοντος. ἀμὴν γὰρ
» ἀμὴν λέγω ὑμῖν, ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γέ-
» νηται. καὶ πάλιν. εὐκοπώτερόν ἐστι τὸν οὐρανὸν, καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου
» μίαν κεραίαν πεσεῖν. εἰ δὲ πλεῖον Σολομῶνος ὧδε, καὶ πλεῖον Ἰωνᾶ ὧδε, ἀκόλουθόν ἐστιν
εἰπεῖν ὅτι καὶ πλεῖον Μωϋσέως ὧδε. τοῦ ἀποστόλου μετὰ τὸ τὴν ἀπρόσιτον τοῖς Ἰσραηλί-
ταις Μωσέως δόξαν διηγήσασθαι ἐν συγκρίσει τῆς δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπενεγκόν-
τος, ὅτι οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει εἵνεκεν τῆς ὑπερβαλλούσης δό-
ξης. εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ. οὕτως εἰ καὶ ἐκ
τῶν εἰρημένων ἐπαιδεύθημεν τὰ ἐν τῷ εὐαγγελίῳ εἰρημένα ἐν πίστει ἀδιακρίτῳ βεβαιό-
» τερα γνωρίσαι καὶ ὁμολογεῖν, ὅμως πάλιν αὐτοῦ τοῦ κυρίου μνημονεύσωμεν λέγοντος. ὁ οὐρα-
» νὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου, οὐ μὴ παρέλθωσιν. ἤρκει μὲν οὖν τὰ τοῦ κυρίου
ῥήματα πλέον πάντων ἐν πνεύματι ἁγίῳ καὶ ἡγεμονικῷ στηρίξαι τὰς καρδίας ἡμῶν ἀδι-
στάκτως καὶ ἀραρότως ἔχειν περὶ παντὸς ῥήματος ἐκπορευομένου διὰ στόματος θεοῦ. ἵνα
δὲ καὶ τῇ τινῶν ἀσθενείᾳ βοηθήσωμεν, ἀκόλουθον ἂν εἴη καὶ μαρτυρίαν ἑνὸς ἢ δευτέρου
» ἐκ πολλῶν παραθέσθαι. ὁ μὲν οὖν Δαβὶδ φησι, πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέ-
» ναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. καὶ πάλιν, πιστὸς κύριος
» ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ. καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. καὶ πολλὰ τοιαῦτα. ὁ δὲ
» Ἰηοὺ ἐν ταῖς Βασιλείαις εἶπεν. ἴδετε ὅτι οὐ πεσεῖται λόγος κυρίου ἐπὶ τὴν γῆν. πε-
ρὶ δὲ τῶν δοκούντων ἐναντίωσίν τινα ἔχειν, κρεῖττόν ἐστιν ἑαυτοῦ καταψηφίσα-
σθαι, ὡς μήπω ἐλθόντος εἰς κατανόησιν τοῦ πλούτου τῆς σοφίας, καὶ ὅτι δύσκο-
λον τῶν ἀνεξερευνήτων κριμάτων τοῦ θεοῦ ἐφικέσθαι. ἢ ὑπόδικον γενέσθαι τῷ κρί-
ματι τῆς θρασύτητος καὶ τῆς αὐθαδείας, καὶ ἀκοῦσαι, ἀσεβὴς ὁ λέγων, βασιλεῖ πα-
ρανομεῖς. καὶ τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ. εἰ δὲ καὶ τὰ πολλὰ τοῖς πολ-
λοῖς φανερὰν ἔχειν δοκεῖ τὴν λύσιν, ὅμως ἐπὶ τῶν δοκούντων ἐναντίωσιν ἔχειν ὀ-
φείλομεν παρατηρεῖν. ὅτι ὅταν μὲν τῷ προστάγματι δοκῇ ἐναντίον τι εἶναι ῥῆ-
μα ἢ ἔργον, ἀναγκαῖον αὐτὸν ἕκαστον τῷ προστάγματι πειθαρχεῖν, καὶ μὴ τῷ βά-
θει τοῦ πλούτου καὶ τῆς σοφίας ἐπιστάττειν, ἢ προφασίζεσθαι προφάσεις ἐν ἁ-
μαρτίαις. τοῦτο γὰρ εὐάρεστον θεῷ καὶ ἀκίνδυνον εἶναι μεμαθήκαμεν ἐκ τῶν θεο-

ἐρώτησις· β´.

Εἰ ἀκίνδυνον ἐστὶ μὴ καθαρίζοντα τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, ἢ ἀκαθαρσίας, ἢ μολυσμοῦ ἱερατεύειν.

ἀπόκρισις.

Μωσῆς μὲν τύπον διδοὺς τοῖς τότε πρὸς νουθεσίαν ἡμετέραν, ἐν τῷ νόμῳ τῷ παρὰ θεοῦ δοθέντι, γράφει. καὶ εἶπε κύριος πρὸς Μωσῆν λέγων, εἶπον πρὸς Ἀαρὼν λέγων. ἄνθρωπος ἐκ τῆς γενεᾶς σου εἰς τὰς γενεὰς ὑμῶν, ὃς ἔχει ἐν ἑαυτῷ μῶμον, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τῷ θεῷ αὐτοῦ. ἔτι πᾶς ἄνθρωπος, ἐν ᾧ ἂν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται. καὶ ἐν τοῖς ἑξῆς ἑρμηνεύει τὸν μῶμον. οὐκ ἐν ἐπιμιξίᾳ ἀλλοτρίων μελῶν, οὐδὲ ἐν συντρίμματι οὐδέστινος καὶ τὴν μέρους τῶν ἰδίων μελῶν οὐ τοσοῦτον παραποδίζοντος τὴν ἐνέργειαν τῆς ἱερωσύνης, ἀλλὰ παραβλάπτοντες τὴν εὐπρέπειαν, ἢ τὴν ὁλοκληρίαν. ὁ δὲ κύριος λέγων μεῖζον τοῦ ἱεροῦ ὧδε. παιδεύει ἡμᾶς, ὅτι τοσοῦτον ἀσεβέστερός ἐστιν ὁ τολμῶν ἱερατεύειν τὸ σῶμα τοῦ κυρίου τοῦ δόντος ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας, ὅσον τὸ σῶμα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ὑπερέχει κριῶν καὶ ταύρων. οὐκ ἐκ συγκρίσεως λόγῳ, ἀσύγκριτος γὰρ ἡ ὑπεροχὴ, ἀλλὰ καὶ μῶμος, ἢ λώβησις νῦν, οὐκ ἐν τῇ μελῶν σώματος ἐστὶ θεωρουμένη, ἀλλὰ δὴ δικαιωμάτων τῆς κατὰ τὸ εὐαγγέλιον θεοσεβείας ἐστὶ γινωσκομένη. ὅταν ἢ παρ᾽ ὀλίγον, ἢ ἐλλιπῶς γίνηται ἡ ἐντολή. ἢ μὴ οὕτως, ὥσπερ εὐαρεστεῖται θεός. ὥσπερ οὐλῆς τινος ἢ λέπρας ἐπιφερομένης τῇ ἐντολῇ, τῆς ἀνθρωπίνης γνώμης. ἀναγκαίως οὖν πάντοτε μὲν, μάλιστα δὲ ἐν τῷ καιρῷ τοῦ τοσούτου καὶ τοιούτου μυστηρίου φυλάσσειν τὸ παράγγελμα τοῦ ἀποστόλου εἰπόντος. ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ, μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι. οὕτως ἄξιός τις γίνεται ἱερουργεῖν τὸ μυστήριον τοῦ κυρίου κατὰ τὸ εὐαγγέλιον τοῦ θεοῦ.

ἐρώτησις· γ´.

Εἰ ἀκίνδυνόν ἐστι μὴ καθαρίζοντά τινα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐσθίειν τὸ σῶμα τοῦ κυρίου, καὶ πίνειν τὸ αἷμα.

ἀπόκρισις.

Τοῦ θεοῦ ἐν τῷ νόμῳ τὴν αὐστηροτάτην τιμωρίαν ὁρίσαντος κατὰ τοῦ ἐν ἀκαθαρσίᾳ τολμήσαντος ἅψασθαι τῶν ἁγίων, γέγραπται γὰρ τυπικῶς μὲν ἐκείνοις, εἰς νουθεσίαν δὲ ἡμετέραν. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων. εἰπὲ Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ. καὶ προσεχέτωσαν ἀπὸ τῶν ἁγίων, τῶν υἱῶν Ἰσραὴλ, καὶ οὐ βεβηλώσουσι τὸ ὄνομά μου τὸ ἅγιον ὅσα αὐτοὶ ἁγιάζουσί μοι ἐγὼ κύριος. εἰπὲ αὐτοῖς εἰς τὰς γενεὰς αὐτῶν. πᾶς ἄνθρωπος, ὃς ἐὰν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάσωσιν οἱ υἱοὶ Ἰσραὴλ τῷ κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ᾽ αὐτῷ. ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπὸ προσώπου μου, ἐγὼ κύριος. ἡ τοιαύτη ἀπειλὴ κεῖται κατὰ τῶν προσιόντων ἁπλῶς εἰς τὰ παρὰ τῶν ἀνθρώπων ἁγιαζόμενα, τί ἄν τις εἴποι κατὰ τοῦ εἰς τοσοῦτον καὶ τοιοῦτον μυστήριον τολμήσαντος. ὅσα γὰρ πλεῖον τοῦ ἱεροῦ ὧδε κατὰ τὴν τοῦ κυρίου φωνὴν, τοσούτῳ δεινότερον καὶ φοβερώτερον τὸ ἐν μολυσμῷ ψυχῆς τολμῆσαι ἅψασθαι τοῦ σώματος τοῦ Χριστοῦ, παρὰ τὸ ἅψασθαι κριῶν ἢ ταύρων. τοῦ ἀποστόλου εἰπόντος, ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως ἔνοχος ἔσται τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ κυρίου, σφοδρότερον δὲ ὁμοῦ, καὶ φοβερώτερον παριστῶντος τὸ κρίμα διὰ τῆς ἐπαναλήψεως, φησί. δοκιμαζέτω δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω. ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. εἰ δὲ ὁ ἐν ἀκαθαρσίᾳ μόνῃ γενόμενος. τῆς δὲ ἀκαθαρσίας τὸ ἰδίωμα τυπικῶς ἐκ τοῦ νόμου μανθάνομεν, οὕτω φοβερὸν ἔχει τὸ κρίμα, πόσῳ μᾶλλον ὁ ἐν ἁμαρτίᾳ ὢν καὶ κατατολμῶν.

ἐρώτησις. δ'.

Εἰ πᾶς ὁ βαπτισθεὶς τὸ ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βάπτισμα, ὀφειλέτης ἐστὶ, νεκρὸς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῆν δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ.

Ἀπόκρισις.

Εἰ πάντες οἱ τῆς βασιλείας τοῦ θεοῦ ἐπιθυμοῦντες τῆς τοῦ βαπτίσματος χάριτος ὁμοίως καὶ ἀναγκαίως ἀντιποιούμεθα καὶ ἐπιδιδόμεθα κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν εἰπόντος, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, πάντες ἄρα ὁμοίως ἴσμεν ὀφειλέται, τῷ αὐτῷ λόγῳ στοιχεῖν τοῦ βαπτίσματος. τοῦ ἀποστόλου κοινῶς πᾶσι τοῖς βαπτισθεῖσι λέγοντος· ἢ ἀγνοεῖτε ἀδελφοὶ, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. καὶ τὰ ἑξῆς. καὶ ἐν ἑτέρῳ τόπῳ ἐντρεπτικώτερον καὶ σαφέστερον ἡμῖν παραδίδωσι τοιοῦτον δόγμα, εἰπών· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι ἰουδαῖος, οὐδὲ ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. καθὼς πάλιν πρὸς πάντας φησίν. ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως. ἄρα πᾶς ὁ βαπτισθεὶς τὸ τοῦ εὐαγγελίου βάπτισμα, ὀφειλέτης ἐστὶ κατὰ τὸ εὐαγγέλιον ζῆν. καὶ δι' ὧν εἶπεν ἀλλαχοῦ. μαρτύρομαι πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. σαφῶς οὖν συνίσταται, ὅτι πᾶς ὁ βαπτισθεὶς τὸ ἐν βάπτισμα καθὼς γέγραπται, ἐπίσης ὀφειλέτης ἐστὶ κατὰ τὸν λόγον τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος πληρῶσαι τὸ γεγραμμένον ὑπ' αὐτοῦ τοῦ ἀποστόλου. ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον καὶ ὑπὲρ πάντων ἀπέθανεν ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι. εἰ γὰρ ὁ περιτμηθεὶς μέρος τι τοῦ σώματος τὴν κατὰ μωσέως περιτομὴν, ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι, πόσῳ μᾶλλον ὁ περιτμηθεὶς τὴν κατὰ Χριστὸν περιτομὴν ἐν τῇ ἀπεκδύσει ὅλου τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς καθὼς γέγραπται, ὀφειλέτης ἐστὶ πληρῶσαι τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον. ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ὁ κόσμος ἐμοί. ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός. ὥστε ὁ ἀληθῶς κατὰ τὸν λόγον τοῦ ἀποστόλου βαπτισθεὶς εἰς τὸν θάνατον τοῦ Χριστοῦ, ἐνέκρωσε μὲν ἑαυτὸν καὶ τῷ κόσμῳ. πολὺ δὲ πρότερον τῇ ἁμαρτίᾳ, κατὰ τὸ ὑπ' αὐτοῦ τοῦ ἀποστόλου εἰρημένον ἐν τῷ περὶ τοῦ βαπτίσματος λόγῳ. ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. ἀπαράβατον δὲ συνθήκην κατέθετο τοῦ ἀκολουθεῖν ἐν πᾶσι τῷ κυρίῳ, ὅπερ ἐστὶ ζῆν τῷ θεῷ ὁλοκλήρως. δι' ὅλου πληροῦν τὰ ὑπὸ τοῦ ἀποστόλου εἰρημένα. ποτὲ μὲν παρακαλῶ ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν καὶ εὐάρεστον τῷ θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν. καὶ τὰ ἑξῆς. ποτὲ δὲ, μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας. καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ. ἐν τούτοις δὲ καὶ τοῖς τοιούτοις δόγμασι πάλιν λέγων, οὐκ ἔνι ἰουδαῖος, οὐδὲ ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν, οὐδὲ θῆλυ. πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἄξιοι γενώμεθα οἱ πάντες, ὡς ἂν ἀκοῦσαι, δεῦρο ἀγαθὲ δοῦλε, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. ἵνα καταξιούμεθα, ἐὰν ἕκαστος ἡμῶν ἐν ᾧ ἐκλήθη καὶ ἐπληρώθη διὰ τὴν μέλλουσαν περισσοτέραν καὶ ἄοκνον σπουδὴν πολυπλασιάσῃ τὴν μεταδοθεῖσαν αὐτῷ χάριν καθὼς γέγραπται.

Κεφάλαια τοῦ δευτέρου λόγου, τετμημένου εἰς κεφάλαια ιγ΄ ὁμοῦ ιϛ΄ μετὰ τοῦ πρώτου λόγου.

α΄ ε ἰ πᾶς ὁ βαπτισθεὶς τὸ ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βάπτισμα, ὀφειλέτης ἐστὶ νεκρὸς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῆν δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ.

β΄ ε ἰ ἀκίνδυνον ἐστὶ μὴ καθαρεύοντά τινα τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς, ἢ ἀκαθαρσίας, ἢ μολυσμοῦ ἱερατεύειν.

γ΄ ε ἰ ἀκίνδυνόν ἐστι μὴ καθαρεύοντά τινα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἐσθίειν τὸ σῶμα τοῦ κυρίου, καὶ πίνειν τὸ αἷμα.

δ΄ ε ἰ παντὶ ῥήματι θεοῦ δεῖ πιστεύειν καὶ πείθεσθαι ἐν πληροφορίᾳ ἀληθείας τοῦ εἰρημένου, κἂν δ᾿ ἕτερον τούτῳ ῥῆμα ἢ ἔργον ἤτοι παρ᾿ αὐτοῦ τοῦ κυρίου ἢ παρὰ τῶν ἁγίων δοκοῦσιν ἐναντίως ἔχειν.

ε΄ ε ἰ παντὸς ῥήματος ἡ ἀπείθεια ἀξία ὀργῆς καὶ θανάτου, κἂν ἰδικῶς τῷ καθ᾿ ἕκαστον μὴ ἦ συνημμένη ἀπειλή.

ϛ΄ ε ἰ ἡ ἀπείθεια ἐν τῷ ποιῆσαί τι τῶν ἀπηγορευμένων ἐστὶν, ἢ καὶ ἐν τῷ παραλεῖψαί τι τῶν ἐγκειμένων.

ζ΄ ε ἰ δυνατόν ἐστιν ἢ εὐάρεστον ἢ εὐπρόσδεκτον θεῷ τὸν ἁμαρτίᾳ δουλεύοντα ποιεῖν δικαιώματα κατὰ τὸν τῆς θεοσεβείας τῶν ἁγίων κανόνα.

η΄ ε ἰ εὐπρόσδεκτόν ἐστι τῷ θεῷ τὸ ἔργον τῆς ἐντολῆς μὴ ἀκολούθως κατ᾿ ἐντολὴν θεοῦ γινόμενον.

θ΄ ε ἰ χρὴ συγκοινωνεῖν τοῖς παρανομοῦσι, ἢ τοῖς ἀκάρποις ἔργοις τοῦ σκότους, κἂν μὴ ὦσι τῶν ἐμοὶ πεπιστευμένων οἱ τοιοῦτοι.

ι΄ ε ἰ ἀεί ἐστι τὸ σκανδαλίζειν ἐπικίνδυνον.

ια΄ ε ἰ χρὴ ἢ ἀκίνδυνόν ἐστι παραιτεῖσθαί τι τῶν προστεταγμένων ὑπὸ τοῦ θεοῦ, ἢ κωλύειν τὸν ἐπιταχθέντα ποιῆσαι, ἢ κωλύοντος ἀνέχεσθαι. μάλιστα ἐὰν γνήσιος ἦ ὁ κωλύων. ἢ λογισμὸς εὐλογοφανὴς ἀντιπίπτῃ τῷ προστάγματι.

ιβ΄ ε ἰ πᾶς ὀφειλέτης ἐστὶ πάντων τῆς ἐν πᾶσιν ἐπιμελείας, ἢ μόνων τῶν πεπιστευμένων καὶ τούτων κατὰ τὸ μέτρον αὐτῷ ὑπὸ τοῦ πνεύματος χάρισμα.

ιγ΄ ε ἰ χρὴ πάντα πειρασμὸν ὑπομένειν, κἂν θανάτου ἔχῃ ἀπειλὴν τοῦ ὑπὲρ φυλαχθῆναι τὴν πρὸς θεὸν ὑπακοήν. καὶ μάλιστα ἐν τῇ ἐπιμελείᾳ τῶν πεπιστευμένων.

» ἀγάπη τοῦ θεοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ
» πάντες ἀπέθανον. ὅπερ ὡμολογήσαμεν ἐν τῷ βαπτίσματι. καὶ ὑπὲρ πάντων ἀπέ-
θανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερ-
θέντι οὐδὲν ἔχει ὄφελος κατὰ τὴν ἀπόφασιν τοῦ κυρίου εἰπόντος, ὅτι ἡ σὰρξ οὐκ ὠφελεῖ οὐ-
δέν. προστίθησι δὲ καὶ ἑαυτοῦ ὁ τοιοῦτος, καὶ τὸ κρίμα τοῦ ἀποστόλου λέγοντος, ὁ ἐσθίων
καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. οὐ μό-
νον γὰρ κρίμα φοβερὸν ἔχει ὁ ἐν μολυσμῷ σαρκὸς καὶ πνεύματος ἀναξίως προσερχόμενος
τοῖς ἁγίοις. προσερχόμενος δέ, ἔνοχος γίνεται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου. ἀλ-
λὰ καὶ ἀργῶς καὶ ἀνωφελῶς ἐσθίων καὶ πίνων ἐν τῷ μὴ διὰ τῆς μνήμης τοῦ ὑπὲρ ἡμῶν
» ἀποθανόντος καὶ ἐγερθέντος Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. τὸ εἰρημένον φυλάσσειν, ὅτι ἡ ἀγάπη
» τοῦ Χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες
» ἀπέθανον, καὶ τὰ ἑξῆς. ὥσπερ γὰρ ἀσυνέτως καὶ ἀνωφελῶς τοσοῦτον καὶ τοιοῦτον
ἀγαθὸν καταργῶν, καὶ ὥσπερ ἀχαρίστως προσερχόμενος τῷ τοιούτῳ μυστηρίῳ τὸ κρίμα
ἔχει τῆς ἀργίας, τοῦ κυρίου καὶ τὸ ῥῆμα ἀργὸν περιϊεμένους ἀκρίτους εἶναι μὴ συγχωρήσαν-
τος, σφοδρότερον δὲ παριστῶντος τὸ κρίμα τῆς ἀργίας, διὰ τοῦ τὸ τάλαντον ἐν ἀργίᾳ φυ-
λάξαντος ἀκέραιον. τοῦ δὲ ἀποστόλου παραδεδωκότος ἡμῖν, ὅτι καὶ ὁ τὸ ἀγαθὸν προ-
φέρων ῥῆμα, μὴ εἰς οἰκοδομὴν δὲ τῆς πίστεως οἰκονομῶν, λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον, συνορᾶν
ὀφείλομεν τὸ κρίμα τοῦ ἀναξίως ἐσθίοντος καὶ πίνοντος. εἰ δὲ καὶ ὁ τὸν ἀδελφὸν διὰ βρώ-
ματος λυπῶν τῆς ἀγάπης ἐκπέπτωκεν, ἧς ἄνευ καὶ τὰ μεγάλα τῶν τε χαρισμάτων, καὶ τῶν
δικαιωμάτων ἐνεργούμενα οὐδὲν ὠφελεῖ, τί ἄν τις εἴποι περὶ τοῦ ἀργῶς καὶ ἀνωφελῶς τολ-
μῶντος φαγεῖν τὸ σῶμα, καὶ πιεῖν τὸ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ διὰ τούτου πε-
ρισσοτέρως λυποῦντος τὸ πνεῦμα τὸ ἅγιον, καὶ τολμῶντος ἄνευ τῆς συνε-
χούσης ἀγάπης. ὥστε κρῖναι μὴ ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν
ἀποθανόντι καὶ ἐγερθέντι Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν φαγεῖν καὶ πιεῖν.
δεῖ οὖν τὸν προσιόντα τῷ σώματι καὶ τῷ αἵματι τοῦ Χριστοῦ,
εἰς ἀνάμνησιν αὐτοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ
ἐγερθέντος, μὴ μόνον καθαρεύειν ἀπὸ παντὸς
μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἵνα μὴ εἰς κρί-
μα φάγῃ καὶ πίῃ. ἀλλὰ καὶ ἐναρ-
γῶς δεικνύειν τὴν μνήμην τοῦ
ὑπὲρ ἡμῶν ἀποθα-
νόντος καὶ ἐγερ-
θέντος ἐν
τῷ νενεκρῶσθαι
μὲν τῇ ἁμαρτίᾳ καὶ
τῷ κόσμῳ καὶ ἑαυτῷ, ζῆν
δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰη-
σοῦ τῷ κυρίῳ
ἡμῶν.

ἐν τῷ περὶ βαπτίσματος, ἐλεγκτικὸν μέν ἐστι πάσης κακίας· δεκτικὸν δὲ τῆς κατὰ Χριστὸν δικαιο-
σύνης, μῖσος μὲν ἐμποιοῦν τῆς κακίας, ἐπιθυμίαν δὲ τῆς ἀρετῆς. διὰ δὲ τῆς πίστεως
τοῦ αἵματος τοῦ Χριστοῦ ἐκαθαρίσθημεν ἀπὸ πάσης ἁμαρτίας. ἐν δὲ τῷ ὕδατι βαπτι-
σθέντες εἰς τὸν θάνατον τοῦ κυρίου, ὥσπερ ἔγγραφον ὁμολογίαν κατεθέμεθα· νενεκρῶσθαι
μὲν τῇ ἁμαρτίᾳ καὶ τῷ κόσμῳ, ἐζωοποιῆσθαι δὲ τῇ δικαιοσύνῃ. καὶ οὕτως ἐν τῷ ὀ-
νόματι τοῦ ἁγίου πνεύματος βαπτισθέντες, ἄνωθεν ἐγεννήθημεν. γεννηθέντες δέ, καὶ
ἐν τῷ ὀνόματι τοῦ υἱοῦ βαπτισθέντες, τὸν Χριστὸν ἐνεδυσάμεθα. ἐνδυσάμενοι δὲ τὸν καινὸν ἄν-
θρωπον τὸν κατὰ θεὸν κτισθέντα, ἐν τῷ ὀνόματι τοῦ πατρὸς ἐβαπτίσθημεν, καὶ τέκνα θεοῦ
ἀνηγορεύθημεν. χρεία οὖν λοιπὸν τρέφεσθαι ἡμᾶς τροφὴν ζωῆς αἰωνίου, ἥν τινα παρέ-
δωκεν ἡμῖν πάλιν ὁ αὐτὸς μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· ποτὲ μὲν εἰπών, οὐκ ἐπ' ἄρ-
τῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος τοῦ θεοῦ·
καὶ πῶς τοῦτο γίνεται, ἐδίδαξεν ἐν τῷ εἰπεῖν· ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ
πέμψαντός με πατρός. καὶ πάλιν προσθεὶς τὸ ἀμὴν δεύτερον, πρὸς βεβαίωσιν τῶν ἐπι-
» φερομένων καὶ πληροφορίαν τῶν ἀκουόντων, φησίν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν μὴ
» φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυ-
» τοῖς. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον. κἀγὼ ἀναστή-
» σω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἡ γὰρ σάρξ μου, ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς
» ἐστι πόσις. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ.
» καὶ μετ' ὀλίγα γέγραπται, πολλοὶ οὖν ἀκούσαντες τὸν λόγον τῶν μαθητῶν αὐτοῦ, εἶπον·
» σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; εἰδὼς δὲ ὁ κύριος ἐν ἑαυτῷ, ὅτι γογ-
» γύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν οὖν
» θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον, τὸ πνεῦμά ἐστι τὸ ζωο-
» ποιοῦν· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. τὰ ῥήματά μου πνεῦμά ἐστι, καὶ ζωή ἐστιν. ἀλλ' εἰ-
» σὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν. ᾔδει γὰρ ὁ Ἰησοῦς ἐξ ἀρχῆς, τίνες εἰσὶν οἱ πιστεύοντες,
» καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. καὶ ἔλεγεν, διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται ἐλ-
» θεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου. ἐκ τούτου πολλοὶ ἀπῆλθον
» ἐκ τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. εἶπεν οὖν
» ὁ Ἰησοῦς τοῖς δώδεκα· μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ἀπεκρίθη αὐτῷ Σίμων Πέτρος, κύριε,
» πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν, καὶ ἐγνώ-
» καμεν, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ πρὸς τῷ τέλει τῶν εὐαγγελίων γέ-
» γραπται· λαβὼν οὖν ὁ Ἰησοῦς ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε καὶ ἐδίδου τοῖς μαθη-
» ταῖς, καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο
» ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐ-
» τοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο γάρ μου ἐστὶ τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης, τὸ πε-
» ρὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.
» μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἀπόστολος λέγων, ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου ὃ καὶ παρέ-
» δωκα ὑμῖν· ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας
» ἔκλασε, καὶ εἶπε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον, τοῦτο ποιεῖτε εἰς τὴν
» ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον
» ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ
» ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλ-
» λετε, ἄχρις οὗ ἔλθῃ. τί οὖν ὠφελεῖ τὰ ῥήματα ταῦτα; ἵνα ἐσθίοντες καὶ πίνοντες ἀεὶ
μνημονεύωμεν τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος, καὶ οὕτω παιδευθῶμεν
ἀναγκαίως φυλάξαι ἐνώπιον θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ τὸ δόγμα τὸ ὑπὸ τοῦ ἀποστόλου παρα-
» δεδομένον ἐν τῷ εἰπεῖν· ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ
» πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶν-
» τες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. ὁ γὰρ ἐ-
σθίων καὶ πίνων δηλονότι εἰς ἀνεξάλειπτον μνήμην τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος Ἰησοῦ Χριστοῦ
τοῦ κυρίου ἡμῶν καὶ ἐγερθέντος. τὸν δὲ λόγον τῆς μνήμης, τῆς μέχρι θανάτου ὑπακοῆς τοῦ
κυρίου, μὴ πληρῶν κατὰ τὴν τοῦ ἀποστόλου διδασκαλίαν, καθὼς προείρηται εἰπόντος· ἡ γὰρ

παραστῆσαι δυνάμεθα. αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δι' ἀποφθεγμάτων πιστωσαμένου τὴν περὶ
γενομένην ἀπόφασιν. καὶ πάλιν δογματικῶς ἐπιφέροντος. οὕτω πᾶς ἐξ ὑμῶν, ὃς
οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. καὶ
πάλιν προστακτικῶς. εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν
αὐτοῦ, καὶ ἀκολουθείτω μοι. καὶ πάλιν ὁριστικῶς. ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καθ'
ἡμέραν, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. τούτοις καὶ τοῖς τοιούτοις διαπύροις
λόγοις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ εἰπόντος, πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν. καὶ τί θέ-
λω εἰ ἤδη ἀνήφθη, ἐκδήλου γενομένης τῆς τῶν ἁμαρτημάτων κακίας, καὶ φανερου-
μένης τῆς ἀρετῆς τῶν εἰς δόξαν τοῦ θεοῦ, καὶ τοῦ Χριστοῦ αὐτοῦ κατορθουμένων, ἐρχόμεθα πάν-
τως εἰς ἐπιθυμίαν καὶ ὁμολογίαν τῶν παρὰ τοῦ ἀποστόλου εἰρημένων. ταλαίπωρος
ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου. εὐχαριστῶ τῷ θεῷ
διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν τοῦ εἰπόντος. τοῦτό μου ἐστὶ τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης, τὸ
περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. μαρτυροῦντος τοῦ ἀποστόλου ἐν τῷ
εἰπεῖν, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτω-
μάτων. καὶ τότε ἐρχόμεθα εἰς τὸ ἐν τῷ ὕδατι βάπτισμα, ὅπερ ἐστὶν ὁμοίωμα τοῦ σταυροῦ,
τοῦ θανάτου, τῆς ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως. συνθήκας καταπιθέμενοι καὶ φυ-
λάσσοντες τὰς ὑπ' αὐτοῦ τοῦ ἀποστόλου ἐν τῇ περικοπῇ τοῦ τοιούτου βαπτίσματος ἐπι-
σφραγισαμένου διὰ τοῦ εἰπεῖν, εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει. θά-
νατος αὐτοῦ οὐκέτι κυριεύει. ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ. ὃ δὲ ζῇ, ζῇ
τῷ θεῷ. οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ. ζῶντας δὲ
τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ. μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ ὑ-
πακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ, μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας
τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑ-
μῶν ὅπλα δικαιοσύνης τῷ θεῷ, καὶ τὰ ἑξῆς. τότε καταξιοῦταί τις ἐν ὀνόματι τοῦ ἁ-
γίου πνεύματος βαπτισθῆναι, καὶ ἄνωθεν γεννηθεὶς ἀλλάξαι καὶ τὸν τόπον καὶ τὸν τρόπον
καὶ τοὺς συζῶντας, ἵνα τῷ πατρὶ στοιχοῦντες, καταξιωθῶμεν ἐν ὀνόματι τοῦ υἱοῦ βα-
πτισθῆναι, καὶ ἐνδύσασθαι τὸν Χριστόν. χρὴ γὰρ τὸν γεννηθέντα καὶ ἐνδύματος καταξιωθῆναι.
καθὼς εἶπεν ὁ ἀπόστολος. ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. καὶ πάλιν. ἀπεκ-
δυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν
ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν, ὅπου οὐκ ἔνι ἕλλην, καὶ
ἰουδαῖος. τὸν δὲ υἱὸν τοῦ θεοῦ ἐνδυσάμενοι τὸν δόντα ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. ἐν ὀ-
νόματι τοῦ πατρὸς βαπτιζόμεθα καὶ τέκνα θεοῦ ἀναγορευόμεθα τοῦ προστάξαντος καὶ
ἐπαγγειλαμένου καθὼς εἶπεν ὁ προφήτης. διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορί-
σθητε λέγει κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς
πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς, καὶ θυγατέρας λέγει κύριος παντοκράτωρ. ταύ-
τας οὖν ἔχοντες, φησὶν ὁ ἀπόστολος τὰς ἐπαγγελίας ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς
ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ
θεοῦ. καὶ πάλιν παραγγέλλοντος ἐν τῷ εἰπεῖν. πάντα ποιεῖτε χωρὶς γογγυσμοῦ καὶ δια-
λογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς
σκολιᾶς καὶ διεστραμμένης. ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες
εἰς καύχημα ἐμοὶ, εἰς ἡμέραν Χριστοῦ. εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστὸς
ἐστὶν, ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος. τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. ἀπεθάνετε, γὰρ
καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, τό-
τε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ τῇ παρ' αὐτοῦ τοῦ κυρίου ἐπηγγελμένῃ,
εἰπόντος, τότε ἐκλάμψουσιν οἱ δίκαιοι, ὡς ὁ ἥλιος.

ὅτι δεῖ τὸν ἀναγεννηθέντα διὰ τοῦ βαπτίσματος, τρέφεσθαι
λοιπὸν τῇ μεταλήψει τῶν θείων μυστηρίων.

Θεοῦ τοῦ ἀγαθοῦ χάριτι, τῇ μνήμῃ τῶν τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος ῥημάτων, καὶ
τῶν ἁγίων αὐτοῦ εὐαγγελιστῶν τε καὶ προφητῶν, καὶ τοῦ ἀποστόλου αὐτοῦ τρανῶς ἡμῖν σα-
φηνισάντων τὸν περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βαπτίσματος λόγον ἐπαιδεύθημεν, ὅτι τὸ μὲν

baptizatis

in no[mi]ie sp[irit]u[s]

et filij

et patris

docetis servar[e] o[mn]ia cred.

ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη καθὼς γέγραπται. δι' ἧς ἀδ-
δεῶς ἡμῖν κατορθοῦται τὸ ἐπινεχθὲν συνημμένως τῷ παραγγέλματι τοῦ βαπτίσματος πα-
ρὰ τοῦ αὐτοῦ κυρίου Ἰησοῦ Χριστοῦ εἰπόντος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑ-
μῖν. ὧν τὴν τήρησιν ἀπόδειξιν εἶναι τῆς πρὸς αὐτὸν ἀγάπης αὐτὸς ὁ κύριος ἀφωρίσατο εἰπών.
» ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε. καὶ πάλιν. ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τη-
» ρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. καὶ πάλιν. ἐάν τις με ἀγαπᾷ, τὸν λόγον μου τηρή-
» σει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν. καὶ σφοδρότερον καὶ δυσωπητικώτερον φησί. μεί-
» νατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. ἐὰν τὰς ἐντολάς μου τηρήσετε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου. κα-
θὼς κἀγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. εἰ δὲ τῆς
μὲν ἀγάπης ἀναγκαία ἀπόδειξις ἡ τήρησις τῶν ἐντολῶν, φόβος δὲ σφοδρότερος, ὅτι χω-
ρὶς ἀγάπης καὶ ἡ τῶν ἐνδόξων χαρισμάτων ἀνωτάτω δυνάμεων, καὶ αὐτῆς τῆς πίστεως
ἡ ἀκροτάτη ἐνέργεια, καὶ ἡ τελεοποιὸς ἐντολὴ ἀνωφελὴς, αὐτοῦ τοῦ ἐν Χριστῷ λαλοῦντος παύ-
» λου τοῦ ἀποστόλου εἰπόντος. ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων,
» ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφη-
» τείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν. καὶ ἐὰν ἔχω πᾶσαν τὴν πί-
» στιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐθέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρ-
» χοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφε-
» λοῦμαι. ἀπὸ περ λογίζομαι αὐτὸν εἰρηκέναι ὀρθῶς μεμνημένον τοῦ κυρίου εἰπόντος, ὅτι πολ-
» λοὶ ἐλεύσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγοντες, κύριε κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ
» τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσα-
» μεν; καὶ ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν; καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας; καὶ
» ἀποκρίνεται αὐτοῖς. οὐδέποτε ἔγνων ὑμᾶς. ἀποχωρεῖτε ἀπ' ἐμοῦ ἐργάται τῆς ἀνο-
» μίας. ὡς δῆλον καὶ ἀναντίρρητον εἶναι, ὅτι χωρὶς ἀγάπης κἂν γένηται τὰ προστάγμα-
τα καὶ τὰ δικαιώματα, καὶ φυλαχθῶσιν αἱ ἐντολαὶ τοῦ κυρίου, καὶ τὰ μεγάλα χαρίσματα
ἐνεργηθῇ, ἀνομίας ἔργα λογισθήσεται. οὐ τῷ ἰδίῳ λόγῳ τῶν χαρισμάτων καὶ τῶν δι-
καιωμάτων, ἀλλὰ τῷ σκοπῷ τῶν τούτοις χρωμένων πρὸς τὰ ἴδια θελήματα. τοῦ ἀπο-
στόλου λέγοντος, ποτὲ μὲν, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν, ποτὲ δὲ, τινὲς μὲν
διὰ φθόνον καὶ ἔριν, οἱ δὲ ἐξ ἐριθείας Χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν ἐπι-
» φέρειν τοῖς δεσμοῖς μου. καὶ ἀλλαχοῦ. οὐ γάρ ἐσμεν φησὶν ὡς οἱ πολλοὶ καπηλεύοντες
» τὸν λόγον τοῦ θεοῦ. καὶ πάλιν ἀπαρνητικῶς φησί. οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας
» ἐγενήθημεν πρὸς ὑμᾶς καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς, οὔτε ζη-
» τοῦντες ἐξ ἀνθρώπων δόξαν οὔτε ἀφ' ὑμῶν οὔτε ἀπ' ἄλλων. δυνάμενοι ἐν βάρει εἶναι
» ὡς Χριστοῦ ἀπόστολοι. διὰ δὲ τούτων καὶ τῶν τοιούτων δείκνυται σαφῶς τὸ δίκαιον τῆς τοῦ
κυρίου ἀποκρίσεως εἰπόντος. ἀποχωρεῖτε ἀπ' ἐμοῦ ἐργάται ἀνομίας ἐν τῷ διὰ τῶν τοῦ θεοῦ
χαρισμάτων τὰ ἴδια θελήματα πραγματεύεσθαι. ὡς εἴ τις τοῖς ἰατρικοῖς σκεύεσί τε
καὶ σκευάσμασιν ἰδίοις πρὸς θεραπείαν παθῶν γενομένοις, καὶ πρὸς ἐπιμέλειαν ὑγείας
τε καὶ σωτηρίας χρήσαιτο πρὸς φθόνον*, καὶ μὴ τὸ τοῦ ἀποστόλου παράγγελμα φυλάσσειν,
» εἰπόντος. εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. παν-
τὶ οὖν λόγῳ ἀναγκαία ἡ ἐπιμέλεια τοῦ ἔσω ἀνθρώπου, ὡς ἀμετεώριστον εἶναι τὸν νοῦν.
καὶ ὥσπερ δεῖ προσηλῶσθαι τῷ σκοπῷ τῆς τοῦ θεοῦ δόξης, ἵνα φυλάσσοντες τὸ πρόσταγμα
» τοῦ κυρίου εἰπόντος. ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν. καὶ πάλιν. φα-
» ρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τότε τὸ ἐκτὸς αὐτοῦ ἔσται κα-
θαρὸν ὅλον. ἐκ περισσεύματος καρδίας ἀγαθῆς καρποφορῶμεν. ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξή-
κοντα, ὁ δὲ τριάκοντα εἴτε δι' ἔργων, εἴτε διὰ λόγων εἰς δόξαν τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ, φυ-
λάσσοντες πανταχοῦ τὸ ἄλυπον τῷ ἁγίῳ πνεύματι. καὶ οὕτως φύγω μὲν τὸ κρίμα τοῦ
» αὐτοῦ κυρίου εἰπόντος. οὐαὶ ὑμῖν ὅτι ὅμοιοι ἐστὲ τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαί-
» νονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. οὕτω καὶ ὑ-
» μεῖς, ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ
» ἀνομίας. διόπερ περὶ μὲν βαπτίσματος μαθητευθῆναι χρὴ τὰ κωλυτικὰ τῆς μαθη-
τείας περιαιροῦντας πρῶτον, καὶ οὕτω πρὸς τὴν μαθητείαν ἐπιτηδείους ἑαυτοὺς

* φόνον

τὸν ἔσω ἄνθρωπον. ὡς δύνασθαι ἡμᾶς λέγειν, ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρ-
χει. τὸ μὲν σῶμα ὡς σκιὰν περισύροντας ἐπὶ τῆς γῆς. τὴν δὲ ψυχὴν συμπολιτευομέ-
νην τοῖς ἐπουρανίοις φυλάσσοντας. ἔπειτα δὲ καὶ τοὺς συνόντας ἐπὶ γῆς ἀνταλλαξά-
μενοι, τοῦ μὲν δαβὶδ εἰπόντος. τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξε-
δίωκον. ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. οἱ ὀφθαλμοί
μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. πορευόμενος ἐν ὁδῷ ἀμώ-
μῳ, οὗτός μοι ἐλειτούργει. οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου, ποιῶν ὑπερηφανίαν.
λαλῶν ἄδικα, οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. καὶ ἐν ἄλλοις ὁμοίως. τοῦ δὲ
ἀποστόλου ἐμβριθέστερον παραγγέλλοντος, ὅτι ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος,
ἢ πλεονέκτης. ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. καὶ πολλά-
κις δὲ ὁ αὐτὸς τὰ ὅμοια κατὰ τῶν ὁμοίων δογματίσας, παραδίδωσι σαφῶς καὶ ἀσφαλῶς
προδιηγούμενος τὴν μεγάλην καὶ ἔνδοξον τῆς φιλανθρωπίας τοῦ χριστοῦ χάριν. τί σὺν καὶ πο-
ταποὺς συνεῖναι ἡμᾶς δεῖ, ἐν τῷ εἰπεῖν. αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμ-
φότερα ἕν. καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. τὸν νό-
μον τῶν ἐντολῶν αὐτοῦ ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν
ἄνθρωπον, ποιῶν εἰρήνην. καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ
διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ. καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην
ὑμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς. ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι
ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλ' ἐστὲ συμ-
πολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ θεοῦ ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀπο-
στόλων καὶ προφητῶν. ὄντος ἀκρογωνιαίου αὐτοῦ χριστοῦ ἰησοῦ. ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρ-
μολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ. ἵνα οὕτως ἐν τῷ ὁμοιώματι τοῦ θανάτου συμ-
φυτευθέντες τῷ χριστῷ, καὶ ἐν τῷ ὀνόματι τοῦ ἁγίου πνεύματος βαπτισθέντες καὶ γεννηθέν-
τες ἄνωθεν τὸν ἔσω αὐτῶν ἐν τῇ ἀνακαινώσει τοῦ νοός. ἐποικοδομηθέντες ἐπὶ τῷ θεμε-
λίῳ τῶν ἀποστόλων καὶ προφητῶν, οὕτως ἄξιοι γενώμεθα βαπτισθῆναι ἐν τῷ ὀνόματι
τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. καὶ καταξιωθῶμεν τῆς μεγάλης δωρεᾶς, ἣν ὁ ἀπόστολος
παραδέδωκεν, εἰπών. ὅτι ὅσοι εἰς χριστὸν ἐβαπτίσθητε, χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι ἕλλην καὶ ἰου-
δαῖος, περιτομὴ, καὶ ἀκροβυστία, βάρβαρος, σκύθης, δοῦλος, καὶ ἐλεύθερος. ἀλλὰ πάντα καὶ
ἐν πᾶσι χριστός. ἀναγκαῖον γὰρ καὶ ἀκόλουθον, τὸν γεννηθέντα καὶ ἐνδύσασθαι. μόνον ἐὰν ὡς
πορφυρὶς σανὶς ἐξ ὁποίας δήποτε ὕλης οὖσα, ἀποθεμένη τὸ ἀνώμαλον, καὶ ἀπαξυσθεῖσα
τὸ τραχὺ, οὕτως ἐνδύεται τὴν γραφὴν τῆς εἰκόνος τοῦ βασιλέως. καὶ τότε οὐκ ἐν τῇ τοῦ
ξύλου, ἢ χρυσοῦ, ἢ ἀργύρου διαφορᾷ γνωρίζεταί τις διαφορὰ τῆς εἰκόνος. ἐν δὲ τῇ ἀκρι-
βείᾳ τῆς ὁμοιότητος πρὸς τὸ ἀρχέτυπον μετ' ἐπιμελείας πολλῆς κατ' ἐπιστήμην ἀξιολό-
γως κατορθωθεῖσα κρύπτει μὲν τὴν διαφορὰν τῆς ὕλης, κἂν πολλῷ τῷ μέσῳ διεστήκῃ.
πρὸς δὲ τὴν δόξαν ἑαυτῆς τοὺς ὁρῶντας ἐπάγει, καὶ γίνεται ἐντιμοτέρα πάσης ἀρχῆς καὶ
ἐξουσίας. οὕτω καὶ ὁ βαπτιζόμενος, εἴτε ἰουδαῖος, εἴτε ἕλλην, εἴτε ἄρσην, εἴτε θῆλυ, εἴτε
δοῦλος, εἴτε ἐλεύθερος, εἴτε σκύθης, εἴτε βάρβαρος, εἴτε ἄλλος ἐν οἱᾳδήποτε διαφορᾷ γέ-
νους ὀνομαζόμενος ἐν τῷ αἵματι τοῦ χριστοῦ ἀπεκδυσάμενος τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς
πράξεσιν αὐτοῦ. διὰ δὲ τῆς διδασκαλίας αὐτοῦ ἐν ἁγίῳ πνεύματι ἐνδυσάμενος τὸν νέον τὸν κα-
τὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας, τὸν ἀνακαινούμενον εἰς ἐπί-
γνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, ἄξιος γίνεται καταντῆσαι εἰς τὴν εὐδοκίαν τοῦ
θεοῦ ἣν ὁ ἀπόστολος παραδέδωκεν εἰπών. οἴδαμεν γὰρ ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συ-
νεργεῖ εἰς ἀγαθὸν τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. ὅτι οὓς προέγνω καὶ προώρισε
συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς.
τότε γὰρ ὡς υἱὸν θεοῦ ἐνδυσάμενος, καταξιοῦται τοῦ τελείου βαθμοῦ, καὶ βαπτίζεται εἰς τὸ
ὄνομα τοῦ πατρὸς αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. κατὰ τὴν τοῦ ἰωάννου μαρτυρίαν διδόν-
τος ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. θεοῦ τοῦ λέγοντος, ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀ-
φορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πα-
τέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς, καὶ θυγατέρας, λέγει κύριος παντοκράτωρ. χάριτι αὐ-
τοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος, ἐν ᾧ, οὔτε περιτομή τι

πάντα δὲ λογισμὸν ἰδίαν, ἐν σοφίᾳ ἀνθρωπίνῃ, ἀγωνιστικώτερον τὴν καθαίρεσιν ποιεῖσθαι
» ὁ ἀπόστολος ἐδίδαξεν, εἰπών· τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν, οὐ σαρκικὰ, ἀλλὰ δυνα-
» τὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων· λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψω-
» μα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. ἢ ὅλως πάσης δικαιοσύνης τῆς ἑκάστῳ
» φαινομένης, κἂν διὰ θεὸν ᾖ ἐσπουδασμένως γινομένη. πάσης ἧς φησι πάλιν ὁ αὐτός· μαρ-
» τυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. ἀγνοοῦντες γὰρ τὴν
» τοῦ θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετά-
γησαν. ὡς ἐκ τούτων καὶ τῶν τοιούτων φανερὸν εἶναι τὸ κρίμα τῶν θελόντων σοφίζε-
» σθαι τὰ κρίματα τοῦ θεοῦ. γέγραπται γὰρ, οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυ-
» τῶν ἐπιστήμονες. τοῦ κυρίου φανερώτερον ἀποφηναμένου, ὅτι ὃς ἐὰν μὴ δέξηται τὴν βασι-
» λείαν τοῦ θεοῦ ὡς τὸ παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. διόπερ πάντων ὁμοῦ καθα-
ρεῦσαι ἀναγκαῖον, τῶν τε τοῦ διαβόλου ἐπιθυμιῶν, καὶ τῶν τοῦ κόσμου μεριμνῶν. καὶ
τῶν ἀνθρωπίνων παραδόσεων, καὶ τῶν ἰδίων θελημάτων, κἂν ἀπρεπέστεροι εἶναι
δόξωσι, καὶ ὑπὸ τοῦ νόμου συνηγορῶνται, ἐὰν καὶ πρὸς ὀλίγον ἀναβολὴν ἐμποιήσωσι,
τῇ ὀφειλομένῃ ὀξυτάτῃ σπουδῇ τῶν θελημάτων τοῦ θεοῦ. ἵνα οἱ ἐν τῷ τοιούτῳ βαπτίσ-
ματι ὁμολογήσαντες συνεσταυρῶσθαι τῷ Χριστῷ, συντεθνηκέναι, συντεθάφθαι, συμπεφυ-
τεῦσθαι, συνεγηγέρθαι, παῤῥησίαν ἔχωσι μετὰ ἀληθείας εἰπεῖν, ἐμοὶ τῷ κόσμῳ ἐσταύρω-
μαι, πολὺ δὲ πρότερον τῷ διαβόλῳ, καὶ ὁ κόσμος ἐμοί. ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ
Χριστός. περισσείαν τῆς κατὰ τὸν νόμον δικαιοσύνης διδάσκων, ἵνα βασιλείας οὐρανῶν καταξι-
ωθῶμεν. καιρὸς ἂν εἴη λοιπὸν εἰς κατανόησιν ἡμᾶς ἐλθεῖν, καὶ διὰ τῆς εἰς Χριστὸν πίστεως
σύνεσιν ἡμᾶς λαβεῖν, καὶ γνῶναι τί ἐστι τὸ ἐν τῷ ὀνόματι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ
ἁγίου πνεύματος βαπτισθῆναι. πρῶτον μὲν οὖν ἑκάστου ὀνόματος ἰδιαζόντως τὴν τοῦ
ὀνομαζομένου δόξαν γνωρίζειν ἀναγκαῖον. ἔπειτα εἰδέναι, ὅτι τὸ ἐν τῷ ὀνόματι τοῦ ἁγίου
πνεύματος βαπτισθῆναι, αὐτὸς ὁ κύριος σαφηνίζει, λέγων· τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς,
σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. ἵνα τῆς κατὰ σάρκα γεννήσεως τὴν
ἀκολουθίαν ἀντὶ ὑποδείγματος λαβόντες, ἐκ τοῦ γνωριμωτέρου πράγματος τὸ δόγμα
τῆς εὐσεβείας σαφῶς καὶ ἀληθῶς παιδευθῶμεν. εἰδότες, καὶ πεπεισμένοι ἀκριβῶς,
ὅτι ὥσπερ τὸ κατὰ σάρκα ἔκ τινος γεννηθὲν τοιοῦτόν ἐστιν, οἷόν ἐστι τὸ, ἐξ οὗ ἐγεννήθη, οὕτω
καὶ ἡμᾶς ἐπάναγκες ἐκ τοῦ πνεύματος γεννωμένους, πνεῦμα γενέσθαι. πνεῦμα δὲ οὐ κατὰ
τὴν μεγάλην καὶ ἀκατάληπτον ἀνθρωπίνῃ διανοίᾳ δόξαν τοῦ ἁγίου πνεύματος, ἀλλὰ τὴν
ἐν τῇ διαιρέσει τῶν τοῦ θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ χαρισμάτων, ἑκάστῳ πρὸς τὸ συμφέρον, καὶ
ἐνεργείᾳ τούτων ἁπάντων αἰνιγματωδῶς θεωρουμένην. καὶ ἐν ἄλλοις δὲ ῥητοῖς ὁμοίως.
ἀλλὰ κατὰ τὴν τῶν ἐντολῶν τοῦ θεοῦ, τῶν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατηγγελμένων
ὑπόμνησίν τε, καὶ διδασκαλίαν αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος, αὐτὸς ὑμᾶς διδάξει,
καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν. ἔπειτα δὲ ὁ ἀπόστολος πλατύτερον παρα-
δίδωσι, διὰ ποίων φρονημάτων γίνεταί τις πνεῦμα, ἐν τῷ γράφειν, ποτὲ μὲν, ὁ δὲ καρπὸς
τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, καὶ τὰ ἑξῆς. προειπὼν, εἰ δὲ πνεύματι
ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. καὶ ἀλλαχοῦ, εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν.
ποτὲ δὲ, ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴ-
τε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ καὶ τὰ ἑξῆς.
διὰ τούτων καὶ τῶν τοιούτων ὁ κύριος τοὺς γεννηθέντας ἐκ πνεύματος, πνεῦμα γενέσθαι, λέγει.
» συμμαρτυρεῖ δὲ ὁ ἀπόστολος, λέγων· τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν πα-
» τέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται. ἵνα
» δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι, διὰ τοῦ πνεύματος αὐ-
» τοῦ εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν. ἐὰν δὲ ζῶντες πνεύματι, πνεύματι καὶ στοι-
χῶμεν, καὶ οὕτω χαριτικοὶ γενόμενοι τοῦ πνεύματος τοῦ ἁγίου δυνηθῶμεν ὁμολογεῖσθαι
τὸν Χριστόν, διότι οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ. οὕτω μὲν οὖν ὁ κύριος διά
τε ἑαυτοῦ, καὶ διὰ τοῦ ἀποστόλου τοὺς γεννηθέντας ἐκ πνεύματος, πνεῦμα γίνεσθαι ἐδί-
δαξεν. καὶ ἐν τούτῳ δὲ πάλιν μιμούμεθα τὴν κατὰ σάρκα γέννησιν. πρῶτον μὲν τὸν
τόπον μεταλλάξαντες, καὶ τὸν τρόπον μετασχηματισθέντες διὰ τοῦ κραταιωθῆναι τὸν

τὸν ἔσω

νισῶν τοὺς ἑαυτοὺς ὡς θεοῦ διάκονοι, ἀφ᾽ ὧν δὴ καὶ ἀληθῶς ἐστι δεῖξαι μάθοι τὴν ἐν τῷ βαπτίσ-
ματι ἐπαγγελίαν, ἐν τῷ φυλάσσειν τὰ ὑπὸ τοῦ ἀποστόλου παρακλητικῶς πρὸς τοὺς συμ
φυτευθέντας τῷ χῷ, καὶ συνεγερθέντας εἰρημένα οὕτως· μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία
ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτῆς. μηδὲ πα-
ριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ
ὡς ἐκ νεκρῶν ζῶντας. καὶ τὰ μέλη ὑμῶν, ὅπλα δικαιοσύνης τῷ θεῷ. καὶ πάλιν, εἰ
οὖν συνηγέρθητε τῷ χῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ χς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος. τὰ ἄνω
φρονεῖτε, καὶ μὴ τὰ ἐπὶ τῆς γῆς. ὡς οἶμαι ἀναπόδοτον οὔπω διὰ κεράσαντος ἡμῖν τοῦ
ἀποστόλου, δι᾽ ὀλίγων γοῦν τῶν μνημονευθέντων τὴν προλαβοῦσαν μεγάλην τῆς ἀμα
ρτίτου φιλανθρωπίας τοῦ θεοῦ χάριν ἐν ἀγάπῃ χῦ ἰησοῦ τοῦ κῦ ἡμῶν, οὗ ἡ μέχρι θανά-
του ὑπακοὴ ἡμῖν ἐγένετο, καθὼς γέγραπται, λύτρωσις ἁμαρτημάτων, ἐλευθερία τῆς ἐν τῷ
αἰῶνος παραπτώματι βασιλεύοντος θανάτου, καταλλαγὴ τῷ θεῷ. δύναμις τῆς πρὸς τὸν
κατερτίσεως. δικαιοσύνης δωρεά, κοινωνία τῶν ἁγίων ἐν τῇ αἰωνίῳ ζωῇ. βασιλείας οὐ
ρανῶν κληρονομία, καὶ μυρίων ἄλλων ἀγαθῶν βραβεῖον. σοφῶς δὲ καὶ ἰσχυρῶς παρα-
δεδωκότος ἡμῖν διὰ τῶν συνημμένων ἐπιχειρούντων τοῦ ἐν τῷ ὕδατι εἰς τὸν θάνατον τοῦ κῦ
ἡμῶν ἰησοῦ χῦ, τοῦ βαπτίσματος λόγον. δι᾽ ὧν ἐπαίδευσεν ἡμᾶς ἀσφαλίζεσθαι ἑαυτοὺς μὴ
εἰς κενὸν τὴν τοσαύτην καὶ τοιαύτην χάριν δέξασθαι. εἰπὼν ἃ καὶ προείπον. μὴ οὖν
βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυ-
μίαις αὐτῆς. μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παρα
στήσατε ἑαυτοὺς τῷ θεῷ ὡς ἐκ νεκρῶν ζῶντας. καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ
θεῷ. καὶ τὰ ἑξῆς. δι᾽ ὧν παντάπασιν ἀποστήσας μὲν ἡμᾶς πάσης ἁμαρτίας, καὶ τῆς
κατὰ νόμον δικαιοσύνης. προσαγαγὼν δὲ τῇ κατὰ τὸν δικαιοσύνην σφοδρότερον. διὰ δὲ
φρικωδεστέρας ἀπειλῆς, καὶ ἀγαθῆς, καὶ ποθεινοτάτης ἐπαγγελίας ἐν τῷ εἰπεῖν. τὰ γὰρ
ὀψώνια τῆς ἁμαρτίας θάνατος. τὸ δὲ χάρισμα τοῦ θεοῦ, ζωὴ αἰώνιος ἐν χῷ ἰησοῦ τῷ κῷ
ἡμῶν. μιμεῖται πάλιν τὸν κῦ, καὶ τῆς κατὰ νόμον δικαιοσύνης κρείττονας ἡμᾶς γενέσθαι
παιδεύει. ἐπαγαγών· ἢ ἀγνοεῖτε ἀδελφοί; γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυ-
ριεύει τοῦ ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ. ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νό
μῳ, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρός. ἄρα οὖν ζῶντος τοῦ
ἀνδρὸς μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ. ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευ-
θέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ. ὥστε
ἀδελφοί μου καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ χῦ, εἰς τὸ γενέσθαι ὑ-
μᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ θεῷ. ὅτε γὰρ ἦμεν ἐν τῇ
σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν, τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, εἰς
τὸ καρποφορῆσαι τῷ θανάτῳ. νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν
ᾧ κατειχόμεθα. ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμ
ματος, καὶ τὰ ἑξῆς. δι᾽ ὧν που διδάσκομεθα θαυμάζειν τὴν ἀνεκδιήγητον φιλανθρωπίαν τοῦ
θεοῦ ἐν χῷ ἰησοῦ. καὶ φρικωδέστερον καθαρεύειν ἀπὸ παντὸς μολυσμοῦ σαρκός, καὶ πνεύ
ματος. τὴν δὲ διαφορὰν τοῦ πνεύματος πρὸς τὸ γράμμα, ἐν ἑτέρῳ τόπῳ σύγκρισιν ποιού
μενος τοῦ νόμου καὶ τοῦ εὐαγγελίου κατὰ ἀπόφασιν δείκνυσι, λέγων. τὸ γὰρ γράμμα ἀπο-
κτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. γράμμα λέγων τὸν νόμον, ὡς διὰ τῶν προσγεγραμμένων δηλοῦ
ται. πνεῦμα δέ, τὴν τοῦ κῦ διδασκαλίαν. αὐτοῦ τοῦ κῦ εἰπόντος, τὰ ῥήματά μου, πνεῦμά
ἐστι, καὶ ζωή ἐστιν. εἰ δὲ ἡ κατὰ νόμον δικαιοσύνη σπουδαζομένη τισὶ τῶν ἐν τῷ βαπτίσμα
τι καθομολογησάντων ἑαυτοὺς τῷ θεῷ μηκέτι ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀπο
θανόντι καὶ ἐγερθέντι μοιχείας κρίμα ἐπάγει, ὡς διὰ τῶν προειρημένων σαφῶς δέδεικται,
τί ἄν τις εἴποι περὶ παραδόσεων ἀνθρωπίνων. περὶ δὲ τῆς κατὰ νόμον δικαιοσύνης, ὁ
αὐτὸς ἀπόστολος σφοδρότερον ἀποφαίνεται, εἰπών. ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι τὰ πάν
τα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως χῦ ἰησοῦ τοῦ κῦ μου. δι᾽ ὃν τὰ πάντα ἐζη-
μιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα χὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν
δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως χῦ ἰησοῦ, τὴν ἐκ θεοῦ δικαιοσύ-
νην. περὶ μὲν οὖν παραδόσεων ἀνθρωπίνων τὸ κρίμα φανερόν, ἐκ τῶν τοῦ κῦ ῥημάτων·

σεις τῷ συμφυτευθέντι τῷ χριστῷ ἐν τῷ ὁμοιώματι τοῦ θανάτου. διὰ δὲ τὸ μισεῖν καὶ βδελύσσεσθαι πᾶσαν κακίαν ἄχρι καὶ τῆς προσπαθοῦς ἐνθυμήσεως τὸ καθαρὸν τῆς καρδίας ἐν δεικνυμένῳ καθὼς φησὶν ὁ δαβίδ, οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. ἐπειδὴ πάντως οὐδὲ ἐγγίζοντος αὐτοῦ ἐπιγράφη. συμφυτευθέντες δὲ ἐν τῷ ὁμοιώματι τοῦ θανάτου, πάντως συνεγερθησόμεθα τῷ χριστῷ. τὰς γὰρ φυτείας τὸ ἀκολούθως σημαινόμενον τοιοῦτο. νῦν μὲν κατὰ τὸ μέτρον τῆς ἐνανθρωπήσεως συμμορφούμενοι τὸν ἔσω ἄνθρωπον ἐν τῇ καινότητι τῆς ζωῆς. τῇ μέχρι θανάτου ὑπακοῇ ἐν πληροφορίᾳ τῆς ἀληθείας τῶν ῥημάτων αὐτοῦ. ἵνα ἄξιοι γενώμεθα μετὰ ἀ-
» ληθείας τῶν ῥημάτων αὐτοῦ. ἵνα ἄξιοι γενώμεθα μετὰ ἀληθείας εἰπεῖν. ζῶ δὲ οὐκέ-
» τι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ χριστός. εἰς δὲ τὸ μέλλον, καθὼς διεβεβαιώσατο ὁ αὐτὸς ἀπόστολος εἰ-
» πών. ὅτι, εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν. εἰ ὑπομένομεν, καὶ συμβασιλεύσο-
» μεν. ἐπίστης δὲ τούτοις πληροφορεῖ ἡμᾶς ἐν τῷ εἰπεῖν, εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. καὶ πάλιν τὸ αὐτὸ δόγμα τοῦ τοιούτου βαπτίσματος δεσποτικώτερον καὶ ἀναγκαστικώτερον παιδεύων ἡμᾶς,
» ἐπιφέρει λέγων. ὅτι χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει. θάνατος αὐτοῦ οὐκέτι κυ-
» ριεύει. ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ. ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. οὕτω καὶ ὑμεῖς
» λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν χριστῷ ἰησοῦ. τὴν τοίνυν αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὑπὲρ τῆς ἀφέσεως τῶν ἡμετέρων ἁμαρτημάτων οἰκονομίαν διὰ τῆς μέχρι θανάτου ἐνανθρωπήσεως προθεὶς ὁ ἀπόστολος, δεσποτικώτερον καὶ ἀναγκα-
» στικώτερον ἡμᾶς παιδεύει, κεκριμένως. νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ. ζῶντας δὲ τῷ θεῷ
» ἐν χριστῷ ἰησοῦ. ἵνα ὥσπερ ὁ χριστὸς ἀποθανὼν δι' ἡμᾶς, καὶ ἐγερθεὶς ἐκ νεκρῶν ὑπὲρ ἡμῶν οὐκέτι ἀποθνήσκει, οὕτω καὶ ἡμεῖς βαπτισθέντες εἰς τὸν θάνατον ἐν τῷ ὁμοιώματι, ἀποθάνωμεν τῇ ἁμαρτίᾳ. καὶ διὰ τῆς ἐκ τοῦ βαπτίσματος ἀνόδου, ὥσπερ ἐκ νεκρῶν ἐγερθέντες ζήσωμεν τῷ θεῷ, ἐν χριστῷ ἰησοῦ, καὶ μηκέτι ἀποθάνωμεν, τουτέστι μηκέτι ἁμαρτήσωμεν. διότι ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται. καὶ ὥσπερ ἐκείνου ὁ θάνατος οὐ κυριεύει, οὕτω καὶ ἡμῶν μηκέτι κυριευέτω ἡ ἁμαρτία, τουτέστι μηκέτι αὐτὴν ποιῶμεν. καὶ ὅτι ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλος ἐστι τῆς ἁμαρτίας. ἀπαλλοτριωθέντες δὲ τῆς τοιαύ-
» της δουλείας κατὰ πάντα τρόπον, ὡς ἐδίδαξεν ὁ ἀπόστολος εἰπών, οἱ δὲ τοῦ χριστοῦ ἰησοῦ τὴν
» σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις ζήσωμεν τῷ θεῷ ἐν χριστῷ ἰη-
» σοῦ, τῷ ἐλευθερώσαντι ἡμᾶς καθὼς γέγραπται. χριστὸς ἡμᾶς ἠλευθέρωσεν ἐκ τῆς κατά-
» ρας τοῦ νόμου. γενόμενος ὑπὲρ ἡμῶν κατάρα. πολὺ δὲ πρότερον τῆς ἁμαρτίας
» δῆλον, ὅτι χάριτι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καθὼς γέγραπται. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω διὰ τῆς ὑπακοῆς τοῦ ἑνός, δίκαιοι κατασταθήσονται οἱ πολλοί. στήκετε οὖν φησι, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. καὶ ὥσπερ αὐτὸς τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. οὕτω καὶ ἡμεῖς ἐν τῷ τοῦ ὕδατος βαπτισμῷ, ὅπερ ἐστὶν ὁμοίωμα τοῦ σταυροῦ καὶ τοῦ θανάτου, ἀποθανόντες τῇ ἁμαρτίᾳ ἐφάπαξ, φυλάξωμεν ἑαυτούς, καὶ μηκέτι ἐπανέλθωμεν ἐπὶ τὴν ἁμαρτίαν. διαμένωμεν δὲ ζῶντες τῷ θεῷ ἐν χριστῷ ἰη-
» σοῦ εἰπόντι. ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω, ἐν τῷ φυλάσσειν, πρῶτον μὲν τοῦ αὐτοῦ
» τοῦ κυρίου πρόσταγμα εἰπόντος. οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων,
» ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ἔπειτα δὲ καὶ τὸ τοῦ ἀποστόλου παράγγελμα, γράψαντος, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. κατορθοῦντες δὲ τούτων ἕκαστον, ἐὰν ἄξια τῆς ἐπουρανίου κλήσεως φρονοῦντες, ἀξίως τοῦ εὐαγγελίου τοῦ χριστοῦ πολιτευώμεθα, καὶ δυνη-
» θῶμεν ἀληθεύοντες εἰπεῖν. ἡ γὰρ ἀγάπη τοῦ χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο ὅτι, εἰ
» εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ
» ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. καὶ οὕτω
» κατορθοῦται τὸ, μείνατε ἐν τῇ ἀγάπῃ μου. ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. μηδεμίαν δὲ ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία. ἐν παντὶ δὲ συ-

περὶ φυτείαν σωμάτων μεμουμεθα. νεκροῦντες μὲν ἑαυτοὺς τοῖς ἀπηγορευμένοις. καὶ τὴν πίστιν δι' ἀγάπης ἐνεργουμένην ἐπιδεικνύμενοι, γινόμεθα ἄξιοι τὰ αὐτὰ τῷ ἀποστόλῳ εἰπεῖν μετ' ἐλπίδα τῶν αὐτῶν. ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα. αὐτοῦ μὲν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ αἰτοῦντος μὲν παρὰ τοῦ πατρός, καὶ λέγοντος· δὸς πάτερ, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ οὗτοι μετ' ἐμοῦ ὦσι. παραγγέλλοντος δὲ ἡμῖν, καὶ ἐπαγγελλομένου ἐν τῷ εἰπεῖν, ὁ ἐμοὶ διακονῶν, ἐμοὶ ἀκολουθείτω. καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ἐμοῦ ἔσται. μαρτυροῦντος δὲ Παύλου τοῦ ἀποστόλου, καὶ ἐν Χριστῷ προφητεύοντος διὰ τοῦ γράψαι ταῦτα. τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου. ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι ἐν τῇ παρουσίᾳ τοῦ κυρίου, οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ. καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσονται πρῶτοι, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα. καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα. καὶ οὕτως πληροῦται εἰς τοὺς φυλάξαντας νῦν τό, εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, τότε πληροῦται ἡ ἐπαγγελία. ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. καθὼς καὶ ἀλλαχοῦ φησιν. εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν. εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. εἰδὼς δὲ ὁ ἀπόστολος ὅτι ἡ ταυτολογία ὠφελιμωτέρα ἐστὶ τοῖς ἀκούουσι πρὸς αὐτὴν τὴν ἀσφάλειαν, καὶ βεβαιοτέραν ἐμποιεῖ διὰ τῆς ἐπαναλήψεως τῶν αὐτῶν τὴν πληροφορίαν τῆς ἀληθείας. παρ' αὐτοῦ γὰρ ἀκούομεν λέγοντος, τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. καθὼς καὶ παρὰ τοῦ Ἰωσὴφ μεμαθήκαμεν δὶς ἐπικρίναντος τὸ ἐνύπνιον τῷ βασιλεῖ Φαραώ. οὕτω κατὰ τὴν ἱστορίαν τοῦ ἐνυπνίου μιμούμενος, τὸ αὐτὸ δόγμα τοῦ βαπτίσματος ὁμοίοις τοῖς πρώτοις θεωρήμασι παραδίδωσιν εἰπών. τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. ἄρα οὖν καὶ διὰ τούτων τῶν ῥημάτων διδασκόμεθα ὅτι ὁ βαπτισθεὶς ἐν Χριστῷ εἰς τὸν θάνατον αὐτοῦ βαπτίζεται. καὶ οὐ μόνον συνθάπτεται τῷ Χριστῷ, καὶ συμφυτεύεται, ἀλλὰ πρότερον συσταυροῦται, ἵνα καὶ ἐν τούτῳ παιδευθῶμεν, ὅτι ὥσπερ ὁ σταυρούμενος ἀπαλλοτριοῦται τῶν ζώντων, οὕτω καὶ ὁ ἐν τῷ ὁμοιώματι τοῦ θανάτου συσταυρωθεὶς τῷ Χριστῷ, ἀπαλλοτριοῦται παντάπασι τῶν κατὰ τὸν παλαιὸν ἄνθρωπον ζώντων. τοῦ μὲν κυρίου ἐντελλομένου προσέχειν ἀπὸ τῶν ψευδοπροφητῶν, τοῦ δὲ ἀποστόλου λέγοντος, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβοσαν παρ' ἡμῶν. ὁ γὰρ παλαιὸς ἄνθρωπος ὀνομασθείς, πάντα ὁμοῦ τὰ κατὰ μέρος ἁμαρτήματά τε καὶ μολύσματα, ὥσπερ μέλη ἑαυτοῦ δηλοῖ. καὶ ὥσπερ ὁ ἐσταυρωμένος κρίμα θανάτου ὑποδεξάμενος τῶν πάλαι συζώντων αὐτῷ ἀφέστηκεν, ὑψηλότερος τῶν ἐπὶ τῆς γῆς ἑρπόντων γενόμενος, οὕτω καὶ ὁ τῷ Χριστῷ συσταυρωθεὶς διὰ τοῦ βαπτίσματος, πάντων ὁμοῦ τῶν κατὰ τὸν αἰῶνα τοῦτον ζώντων ἀπήλλακται ὑψώσας ἑαυτοῦ τὸ φρόνημα πρὸς τὴν ἐπουράνιον πολιτείαν. ὥστε δύνασθαι εἰπεῖν μετὰ ἀληθείας καὶ παρρησίας τῆς ἐν Χριστῷ. ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. καὶ πάλιν ἐπιφέρει. ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, τουτέστιν ἀπήλλακται, ἠλευθέρωται, κεκαθάρισται πάσης ἁμαρτίας τῆς οὐκ ἐν ἔργοις καὶ λόγοις μόνον, ἀλλὰ καὶ προσπαθοῦς ἐν ἐνθυμήσεως. καὶ ἐν ἑτέρῳ τόπῳ ἀπεφήνατο γράψας. οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις. σταυροῦμεν δὲ δηλονότι ὅτι οἱ ἐν τῷ ὕδατι βαπτιζόμενοι. ὅπερ ἐστὶν ὁμοίωμα τοῦ σταυροῦ καὶ τοῦ θανάτου τῆς τε ταφῆς, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως καθὼς γέγραπται. καὶ πάλιν. νεκρώσατε φησὶ τὰ μέλη ὑμῶν, τὰ ἐπὶ τῆς γῆς. πάντως τὰς ἐν τῷ βαπτίσματι συνθήκας, καὶ ὕστερον φυλάξαντες, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ. οὐ μόνον δέ, ἀλλὰ καθολικώτερον ἐπήγαγεν ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας ὡς μηκέτι μηδὲ τῆς προσκαίρου ἡδονῆς τῆς καταρρεούσης τὴν διάνοιαν, παρενοχλού-

χριστοῦ τὸ γίνεσθαι οἰκτίρμονας, καθὼς καὶ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. πῶς δὲ οὐκ ἐν καινότητι ζωῆς περιπατοῦμεν, καὶ ὑπὲρ τοὺς γραμματεῖς καὶ φαρισαίους τὴν δικαιοσύνην πλειοῦμεν, ὅταν ἀνεχώμεθα τοῦ κυρίου λέγοντος, ἐρρέθη τοῖς ἀρχαίοις, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἀφήσεις αὐτῷ καὶ τὸ ἱμάτιον. καὶ ὅστις σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο. οὐ μόνον γὰρ οὐκ ἐκδικοῦμεν τὰ προγεγονότα ἁμαρτήματα εἰς ἡμᾶς, ὡς παρακελεύονται οἱ γραμματεῖς καὶ φαρισαῖοι, ἐπιτρέποντος τοῦ διὰ μωσέως νόμου, ἀλλὰ καὶ μείζονα ἀνεξικακίαν ἐπιδεικνύμεθα προθυμίᾳ ὑπομονῆς τῶν ἴσων ἢ καὶ δεινοτέρων προσβαλλόμενοι. καὶ οὕτως ἀμφότερα ἡμῖν συγκατορθοῦται. θάνατος μὲν, ἐν τῷ μὴ κινεῖσθαι εἰς ἀγανάκτησιν κατὰ τοῦ τὴν πρώτην ἡμῖν ἐπενεγκόντος πληγήν. καινότητα δὲ ζωῆς ἐν κυρίῳ, ἐν τῷ παρατιθέναι καὶ τὴν ἄλλην. πῶς δὲ οὐ νεκρός τίς ἐστι καὶ τῷ νόμῳ, ὁ μὴ ἀντιποιούμενος τοῦ αἰρομένου. ζῇ δὲ ἐν χριστῷ ὁ προσαφιεὶς καὶ τὸ ἱμάτιον. καὶ πάσης δὲ τῆς κατὰ τὸν νόμον δικαιοσύνης τὴν περισσείαν φυλάσσειν ὁμοίως διδασκόμεθα. ὅτι δὲ οὐ μόνον τῷ κόσμῳ ἐσταυρῶσθαι, ἀλλὰ καὶ τῷ νόμῳ ἀποθανεῖν ἡμᾶς χρὴ, παρὰ τοῦ αὐτοῦ ἀποστόλου ἐστὶ δογματικῶς μαθεῖν. ποτὲ μὲν γὰρ λέγει, ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ὁ κόσμος ἐμοί. ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ χριστός. ποτὲ δὲ, ἐγὼ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα θεῷ ζήσω. χριστῷ συνεσταύρωμαι. ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ χριστός. ποτὲ δὲ μετὰ πολλὴν καύχησιν τῶν ἐν τῷ νόμῳ ἀνωτάτω δικαιωμάτων φησίν. ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι τὰ πάντα σκύβαλα εἶναι, ἵνα χριστὸν κερδήσω. καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως ἰησοῦ χριστοῦ τὴν ἐκ θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει τοῦ γνῶναι αὐτόν. καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ εἴπως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν. καὶ μετ' ὀλίγα διδάσκων ἡμᾶς τὸ αὐτὸ φρονεῖν αὐτῷ, ἀποφαντικώτερον φησίν. ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν. καὶ ἀλλαχοῦ σφοδρότερον, ὥσπερ δόγμα ἀναγκαῖον ἐκτιθέμενος, λέγει. ὥστε καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ χριστοῦ, εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι ἵνα καρποφορήσωμεν τῷ θεῷ. ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ. νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου ἀποθανόντος ἐν ᾧ κατειχόμεθα. ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος, καὶ οὐ παλαιότητι γράμματος. τὸ γὰρ γράμμα, τουτέστιν ὁ νόμος, ἀποκτείνει. τὸ δὲ πνεῦμα, τουτέστι τὰ ῥήματα τοῦ κυρίου, ζωοποιεῖ. καθὼς αὐτός φησιν. ὅτι ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. τὰ ῥήματά μου πνεῦμά ἐστι, καὶ ζωή ἐστι. μαρτυρεῖ δὲ ὁ ἔγκριτος τῶν ἀποστόλων εἰπών. πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις. καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν, ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ὅπερ ἐν πληροφορίᾳ ἀληθείας δι' ἐπιμελείας σπουδαιοτέρας φυλάσσοντες, φυγεῖν δυνάμεθα τὸ φοβερὸν ἐκεῖνο κρίμα τὸ ὑπὸ μωσέως μὲν μετὰ ἀπειλῆς προφητικῶς γεγραμμένον. προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν, ὡς ἐμέ. αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν ἐντείληται ὑμῖν. ἔσται δὲ πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. ὑπὸ δὲ ἰωάννου τοῦ βαπτιστοῦ, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐδεὶς, φοβερώτερον ἀποφαντικῶς εἰρημένον. ὅτι ὁ πιστεύων εἰς τὸν υἱὸν, ἔχει ζωὴν αἰώνιον. ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν. ἵνα δὲ ὁ μὲν ἐν τῷ βαπτίσματι τοιοῦτος θάνατος, καὶ ἡ ἐν τῷ αὐτῷ τοιαύτη ταφὴ μὴ ἐν προσδοκίᾳ φθορᾶς καὶ ἀπωλείας παράσχῃ λύπην. ἡ δὲ καινότης τῆς ζωῆς σπέρματος καταβολὴν ὑπερβάλλῃ. τῆς ἐνδόξου ἀναστάσεως τὴν ἐλπίδα βεβαιουμένη ἐπιφέρει λέγων. εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. ἐὰν γὰρ ἐν τῷ τοιούτῳ ὁμοιώματι τοῦ θανάτου ἀποθανόντες καὶ συνταφέντες τῷ χριστῷ ἐν καινότητι ζωῆς περιπατήσωμεν, οὐ νεκρότητος φθορὰν ἐκδεχόμεθα ταφὴν δὲ, καὶ ὥσ-

περ

βαπτισθὲν ἐν βάμματι μεταποιεῖται κατὰ τὸ χρῶμα. μᾶλλον δέ, ἵνα τῷ βαπτιστῇ Ἰωάννῃ προφητεύσαντι περὶ τοῦ κυρίου, ὅτι αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ, ὁδηγῷ χρησάμενοι, φωτισθῶμεν τὸ φῶς τῆς γνώσεως, πρὸς κατανόησιν τοῦ μεγάλου φωτὸς τούτου εἴπωμεν. ὅτι ὥσπερ ὁ σίδηρος βαπτιζόμενος ἐν τῷ πυρὶ ἀναζωπυρουμένῳ ὑπὸ πνεύματος, εὐγνωστότερος μὲν γίνεται, εἴ τινα ἔχει ἐν αὐτῷ κακίαν. ἑτοιμότερος δὲ πρὸς τὸ καθαρισθῆναι. ἀλλοιοῦται δὲ οὐ μόνον τὸ χρῶμα, ἀλλὰ καὶ τὸ σκληρὸν καὶ δύσεικτον μεταβαλὼν πρὸς τὸ ἁπαλώτερον. ἐπιτηδειότερος μὲν γίνεται καὶ τῇ τῶν χειρῶν τοῦ τεχνίτου ἐνεργείᾳ. ῥυθμίζεται δὲ ἀξιολόγως πρὸς τὸ βούλημα τοῦ δεσπότου. ἀπὸ δὲ τῆς μελανίας λαμπρότερος ἑαυτοῦ γενόμενος, οὐ μόνον αὐτὸς πυρακτοῦται καὶ ἀπαστράπτει, ἀλλὰ καὶ τὰ ἐγγίζοντα φωτίζει, καὶ θερμαίνει. οὕτως ἀκόλουθον καὶ ἀναγκαῖον τὸν βαπτισθέντα ἐν τῷ πυρὶ, τουτέστιν ἐν τῷ λόγῳ τῆς διδασκαλίας, ἐλέγχοντι μὲν τῶν ἁμαρτημάτων τὴν κακίαν. φανεροῦντι δὲ τῶν δικαιωμάτων τὴν χάριν, μισῆσαι μὲν καὶ βδελύξασθαι τὴν ἀδικίαν καθὼς γέγραπται. εἰς ἐπιθυμίαν δὲ ἐλθεῖν τοῦ καθαρισθῆναι διὰ τῆς πίστεως ἐν δυνάμει τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. αὐτοῦ εἰπόντος. τοῦτό μου ἐστὶ τὸ αἷμα τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ τοῦ ἀποστόλου μαρτυροῦντος. ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων, καὶ οὐ μόνον ἀπὸ πάσης ἀνομίας καὶ ἁμαρτίας καθαρισθῆναι, ἀλλὰ καὶ ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. καὶ τότε βαπτισθέντα εἰς τὸν θάνατον τοῦ κυρίου συνδιατεθῆναι τῷ θανάτῳ, ὅπερ ἐστὶ νεκρωθῆναι τῇ ἁμαρτίᾳ, ἑαυτῷ τε, καὶ τῷ κόσμῳ. ἵνα κατὰ τὴν ἐνανθρώπησιν βίῳ, κατά τε καρδίαν, καὶ λόγον καὶ πρᾶξιν ἐντυπωθεὶς καὶ ἐμμορφωθεὶς ὥσπερ ὁ κηρὸς τῇ γλυφῇ, τῇ διδασκαλίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληρώσῃ τὸ γεγραμμένον. χάρις τῷ θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. καὶ οὕτω τὸ συνημμένον ἐπιμελῶς φυλάξαι καταξιωθῇ. τὸ, συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. διὰ τί; ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. ἀνάγκη γὰρ τὸν ἀποθανόντα ταφῆναι, καὶ τὸν ταφέντα ἐν τῷ ὁμοιώματι τοῦ θανάτου, ἀναστῆναι διὰ τῆς ἐν Χριστῷ τοῦ θεοῦ χάριτος, καὶ μηκέτι διὰ τὰς ἁμαρτίας τὸ πρόσωπον τοῦ ἔσω ἀνθρώπου ὡς πρόσκαυμα χύτρας ἔχειν. ἀλλ' ἐν τῷ πυρὶ φανερωθέντων τῶν ἁμαρτημάτων, καὶ διὰ τοῦ αἵματος τοῦ Χριστοῦ τὴν ἄφεσιν λαβόντα, λοιπὸν διὰ τῆς ἐν καινότητι ζωῆς ἀπαστράπτειν τὰ ἐν Χριστῷ δικαιώματα ὑπὲρ πάντα λίθον τίμιον πολλοῦ. ἀποθέμενοι οὖν τὴν σκληρότητα τῆς ἀπειθείας, ἐπιδειξώμεθα μὲν τὴν εὐπείθειαν, καὶ ὑπακοὴν ἐν τοῖς προστάγμασι. τῷ δὲ πνεύματι ζέοντες, ἀναλάμψωμεν. καὶ τῆς μὲν τοῦ σκότους ἐξουσίας καθελκούσης εἰς θάνατον ῥυσθῶμεν. τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος. ἵνα καὶ ἐν ἡμῖν γένηται τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου. κατεπόθη ὁ θάνατος εἰς νῖκος. ποῦ σου θάνατε τὸ κέντρον, ποῦ σου ᾅδη τὸ νῖκος; τῷ δὲ κυρίῳ τῷ ἡλίῳ τῆς δικαιοσύνης πειθόμενοι, φωτισθῶμεν ὑπ' αὐτοῦ καταξιωθέντες συνέσεως καὶ δυνάμεως. ὥστε ἐν αὐτῷ δικαιωθῆναι, καὶ μὴ μόνον αὐτοὶ λαμπρυνθῶμεν ὑπὲρ τὴν χιόνα. ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος θεὸς, ὅτι ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ἀλλὰ καὶ τοὺς ἐγγίζοντας ἡμῖν φωτίζωμεν. ποτὲ μὲν ἀκούοντες τοῦ κυρίου, ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. ποτὲ δὲ ἀκούοντες καὶ ποιοῦντες τὸ, οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. τότε πάντως καὶ ὁ ἀπόστολος μαρτυρήσει ἡμῖν λέγων, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ. πῶς δὲ οὐ περισσοτέρως ἐπιφανὲς τὸ καινότερον τῆς ζωῆς, οὐκ ἐν συγκρίσει τῶν ἑλλήνων καὶ κοσμικῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐν συγκρίσει καὶ ὑπερβολῇ τῶν κατὰ νόμον δικαιουμένων. ὅταν μὴ μόνον προσθήκαις καὶ τοῦ πλείονος μὴ ὀρεγώμεθα, ὡς καὶ οἱ τοῦ κόσμου ἄνθρωποι, ἀλλὰ μήτε τῶν προσόντων τε καὶ ἰδίων ἀντιποιούμεθα. φιλοτιμώμεθα δὲ ἐπ' εὐεργεσίᾳ τῶν δεομένων ὑπὲρ τὸν νόμον. οὐ μόνον γὰρ εἰς τοὺς πλησίον φέρομεν τὸ ἀγαθὸν, ἀλλὰ καὶ ἐπὶ τοὺς ἐχθροὺς καὶ πονηροὺς ἐκτείνομεν, τὸ χρηστὸν ποιοῦντες κατ' ἐντολὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ

ἡμεῖς παραδόντας ἑαυτοὺς τῷ τύπῳ τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας, μεταφοιτῶμεν
τὸν ἔσω ἄνθρωπον. πληρουμένους τὸ ὑπὸ τοῦ αὐτοῦ εἰρημένον προστακτικῶς. φησὶ γὰρ,
» ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν
» νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτὸν, καὶ πολλὰ τοιαῦ-
τα. τοῦ μὲν οὖν ἐξ ὕδατος γεννηθῆναι τὸν λόγον, παῦλος ὁ ἐν χριστῷ λαλῶν δογματικῶς πα-
» ραδίδωσι λέγων, ἢ ἀγνοεῖτε ἀδελφοὶ, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς χριστὸν ἰησοῦν, εἰς τὸν θάνα-
» τον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον,
» ἵνα ὥσπερ ἠγέρθη χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς
» περιπατήσωμεν. εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ
» τῆς ἀναστάσεως ἐσόμεθα. τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνε-
» σταυρώθη. ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρ-
» τίᾳ. ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. εἰ δὲ ἀπεθάνομεν σὺν χριστῷ, πι-
» στεύομεν, ὅτι καὶ συζήσομεν αὐτῷ. εἰδότες ὅτι χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνή-
» σκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ.
» ὃ δὲ ζῇ, ζῇ τῷ θεῷ. οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ,
» ζῶντας δὲ τῷ θεῷ ἐν χριστῷ ἰησοῦ. ἐξ ὧν ἁπάντων, καὶ ὁ λόγος τῆς ἄνωθεν γεννήσεως κα-
θ᾽ ὁμοιότητα θεωρεῖται. ἀδύνατον δὲ ἦν ἄνωθεν γεννηθῆναι, μὴ προλαβούσης χάριτος
τοῦ θεοῦ. ὡς εἴρηται τῶν προτεταγμένων, καὶ τῶν ἐπιφερομένων περὶ τοῦ βαπτίσματος
» κεφαλαίων ὁ αὐτὸς ἀπόστολος δηλοῖ. ἀρξάμενος γὰρ ἀπὸ τοῦ, συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγά-
» πην ὁ θεὸς εἰς ἡμᾶς, ὅτι ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πολλῷ
» οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι᾽ αὐτοῦ ἀπὸ τῆς ὀρ-
» γῆς. εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ
» οὖν μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. καὶ πολλὰ τοιαῦτα σα-
φῶς καὶ μεγαλοπρεπῶς παριστῶντα τὴν μεγάλην καὶ ἀνεκδιήγητον φιλανθρωπίαν τοῦ
θεοῦ ἐν τῇ δωρεᾷ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων, καὶ τῆς ἐξουσίας καὶ δυνάμεως τῶν
εἰς δόξαν τοῦ θεοῦ καὶ τοῦ χριστοῦ αὐτοῦ κατορθουμένων ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου διὰ ἰησοῦ χριστοῦ
» τοῦ κυρίου ἡμῶν, δι᾽ οὗ, ὥσπερ δι᾽ ἑνός φησι παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατά-
» κριμα, οὕτω καὶ δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς, καὶ τὰ
» ἐφεξῆς δογματικῶς ἐκθέμενος, τότε λέγει. ἢ ἀγνοεῖτε ἀδελφοὶ, ὅτι ὅσοι ἐβαπτίσθημεν
» εἰς χριστὸν ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. διὰ τί; ἵνα τῆς χάριτος προλαβού-
» σης, τὰ παρ᾽ ἡμῶν ὀφειλόμενα κατὰ πίστιν δι᾽ ἀγάπης ἐνεργούμενα συνεισενεγκώμεθα.
καὶ οὕτω τελεσθῇ εἰς ἡμᾶς ἡ εὐδοκία τοῦ θεοῦ τῆς ἐν χριστῷ ἀγάπης, ἀγῶνος χρεία μεγά-
λου, καὶ τούτου νομίμου. ἵνα τὴν τοιαύτην καὶ τοσαύτην χάριν τῆς ἐν χριστῷ ἀγάπης τοῦ
θεοῦ μὴ εἰς κενὸν δεξώμεθα. τοῦ αὐτοῦ ἀποστόλου λέγοντος. τὸν γὰρ μὴ γνόντα ἁμαρ-
» τίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν. ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.
» συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς.
ὅπερ ὃ παρέθοντο πολὺ περισσότερον ἀπαιτήσουσιν αὐτὸν, ἐσημειωμένως ἀπεφήνατο ὁ
κύριος. ὅπερ γίνεται καὶ ἀνεγκλήτως, ἐάν τά τε ἐπιτυχόντα τοῖς προειρημένοις, καὶ τὰ εἰς
τὴν αὐτὴν ὑπόθεσιν τοῦ βαπτίσματος συνημμένως εἰρημένα, ταῦτα ἀκριβῶς φυλάξωμεν,
καὶ τὰ τούτοις συναφθέντα ἐν δυνάμει τῆς αὐτῆς χάριτος τοῦ θεοῦ διὰ ἰησοῦ χριστοῦ τοῦ κυρίου
ἡμῶν ἐν πνεύματι ἁγίῳ πιστῶς δεξώμεθα. ἵνα πιστεύσαντες συνεργὸν χάριτι θεοῦ, καὶ
» ὥσπερ συνεῖναι καταξιωθῶμεν ἐν ἀγάπῃ χριστοῦ ποιήσαμεν, εἰπόντος. εἰ ταῦτα οἴδατε, μα-
» κάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. σύνεσις γὰρ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτὴν μαρτυρεῖ τε
» ὁ προφήτης. αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος, φοβερὸν καὶ ἀπαράβατον κρί-
» μα ἐκθέμενος ἐν τῷ εἰπεῖν, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται
» πολλάς. ἀλλ᾽ οὐδὲ τὸν ἐν ἀγνοίᾳ πλημμελήσαντα ἀτιμώρητον ἀφεὶς τοι. καὶ ἵνα ὡς προεί-
ρηται, διὰ τῶν γνωριμωτέρων ῥητῶν τε καὶ πραγμάτων ὁδηγηθῶμεν εἰς κατανόησιν τοῦ
σωτηρίου καὶ ἐν τῷ βαπτίσματι δόγματος ἐν πληροφορίᾳ τῆς ἀληθείας ἐσπουδασμένως
προσέχωμεν τοῖς σημαινομένοις. καὶ πρὸς τὸν σκοπὸν τῆς εὐσεβείας πᾶν νόημα λαμ-
βάνωμεν. ἐβαπτίσθημεν φησὶν, ἵν᾽ ἐκ τούτου ἐκεῖνο παιδευθῶμεν, ὅτι ὥσπερ τὸ ὅριον

λ' οὖν διὰ τοῦτο σιωπῆσαι χρή. αὐτοῖς δὲ τοῖς ῥητοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀλίγοις χρώμενοι, καὶ ὥσπερ δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι ὀλίγου μόνον εἰπεῖν ἀναγκαῖον, οὐχ ἵνα τῇ ἡμετέρᾳ ἑρμηνείᾳ ἐν ἀσθενείᾳ σώματος καὶ λόγου ἐξησθενημένῳ σμικρυνθῇ ἡ δόξα, ἀλλ' ἵνα καὶ ἐν τούτῳ θαυμαστωθῇ τὸ μέγεθος τῆς μακροθυμίας, καὶ τῆς φιλανθρωπίας τοῦ ἀγαθοῦ θεοῦ. ὅτι ἀνέχεται ψελλιζόντων τὰ μεγαλεῖα τῆς ἐν Χριστῷ Ἰησοῦ ἀγάπης καὶ χάριτος αὐτοῦ. εἰπὼν τοίνυν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. καὶ πάλιν. ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν, πληρουμένης εἰς αὐτὸν τῆς διὰ τοῦ Δαβὶδ ἐκ προσώπου τοῦ θεοῦ καὶ πατρὸς προφητείας εἰπόντος. υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. καὶ τὴν κατάσχεσίν σου, τὰ πέρατα τῆς γῆς. ὅπερ καὶ γέγονε, καὶ ἔστιν ἐν ὀφθαλμοῖς πάντων. λοιπὸν τοῖς ἑαυτοῦ μαθηταῖς, ὥσπερ ἀναπεριστελλόμενος τῇ πρώτῃ ἐντολῇ κωλυούσῃ εἰς ὁδὸν ἐθνῶν ἀπελθεῖν, ἐντέλλεται, εἰπών. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀναγκαῖον δὲ εἶναι λογίζομαι, ἑκάστου ῥητοῦ τὴν δύναμιν διὰ τῆς πίστεως συνεῖναί τε, καὶ κατανοῆσαι, καὶ εἰπεῖν καθ' ὅσον ἂν κατ' ἀρχὰς κοινὰς δοθείη ἡμῖν λόγος ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν. γέγραπται γάρ, ὅτι ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε. καὶ πάλιν. ἐπίστευσα διὸ ἐλάλησα. ἐπειδὴ δὲ τῶν τε ὀνομάτων, καὶ τῶν ῥημάτων, καὶ τῶν πραγμάτων ἐν τῇ συνηθείᾳ οὐχ ἁπλῶς, καὶ ὡς ἔτυχε, κατὰ τὸ συμβὰν τὴν χρῆσιν παραλαμβάνεσθαι δοκῶ ἐν τῇ θεοπνεύστῳ γραφῇ παρά τε θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ τῶν ἁγίων προφητῶν τε καὶ εὐαγγελιστῶν, καὶ ἀποστόλων, ἀλλὰ δεδοκιμασμένως ἐν ἁγίῳ πνεύματι πρὸς τὸν σκοπὸν τῆς εὐσεβοῦς φρονήσεως καὶ τοῦτο οὐκ ἐξ ὁλοκλήρου, ἐν μέρει δέ, καὶ καθ' ὅσον ἂν ἕκαστον συμβάλληται τῷ προκειμένῳ ὑμῖν λόγῳ, φρονεῖν τε εὐσεβῶς καὶ ὀλίγον τὸν νοῦν εἰς κατανόησιν τῶν τε κριμάτων καὶ δογμάτων τῆς εὐσεβείας. ἀναγκαῖον καὶ ἡμᾶς ἐξητασμένως καὶ ἐπιτετηρημένως προσέχειν ἑκάστῳ ῥητῷ, καὶ κατὰ σκοπὸν τῆς αὐτοῦ κλήσεως ἐκλέγεσθαι τὴν διάνοιαν. καὶ τοῦτο ποιοῦμεν, ἐὰν κατ' ἀρχὰς κοινὰς ἐνδυναμώσῃ ἡμᾶς Ἰησοῦς Χριστὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἵνα γένηται καὶ ἐν ἡμῖν, καθὼς εἶπεν ὁ ἀπόστολος, πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. τὸ μὲν οὖν ἄνωθεν εἰπεῖν, δηλοῦν δοκῶ τὴν ἐπανόρθωσιν τῆς προλαβούσης ἐν ῥυπαρίᾳ τῶν ἁμαρτημάτων γενέσεως. τοῦ μὲν Ἰὼβ εἰπόντος, ὅτι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ. τοῦ δὲ Δαβὶδ ὀδυρομένου καὶ λέγοντος, ὅτι ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. τοῦ δὲ ἀποστόλου διαμαρτυρομένου, ὅτι πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ. δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αἵματι αὐτοῦ. διὸ καὶ ἡ ἄφεσις τῶν ἁμαρτημάτων δίδοται τοῖς πιστεύουσιν. αὐτοῦ τοῦ κυρίου εἰπόντος. τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καθὼς μαρτυρεῖ πάλιν ὁ ἀπόστολος, λέγων, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς. ἵνα ὥσπερ ἀνδριὰς συντριβεὶς συνθλασθείς τε, καὶ ἀφανίσας τὴν ἔνδοξον μορφὴν τοῦ βασιλέως, ἄνωθεν μορφοῦται ἀπὸ τοῦ σοφοῦ τεχνίτου καὶ ἀγαθοῦ δημιουργοῦ ἀντιποιουμένου τῆς δόξης τοῦ ἰδίου πλάσματος, καὶ εἰς τὴν ἀρχαίαν δόξαν ἀποκαθίσταται. οὕτω καὶ ἡμεῖς παθόντες διὰ τὴν παρακοὴν τῆς ἐντολῆς κατὰ τὸ γεγραμμένον, ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. ἀνακληθῶμεν εἰς τὴν πρώτην δόξαν τῆς εἰκόνος τοῦ θεοῦ. κατ' εἰκόνα γάρ φησι, καὶ ὁμοίωσιν τοῦ θεοῦ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον. πῶς δὲ τοῦτο γίνεται, Παῦλος ὁ ἀπόστολος ἐδίδαξεν, εἰπών. χάρις τῷ θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. ἵνα ὥσπερ ὁ κηρὸς παραδιδόμενος τῷ τύπῳ τῆς γλυφῆς μορφοῦται πρὸς ἀκρίβειαν τὴν ἐγκειμένην τῇ γλυφῇ μορφήν, οὕτω καὶ

ἀπὸ πάντων, δι' ἃ οὐδεὶς βασιλείαν οὐρανῶν κληρονομεῖ, οὕτω [illegible] καταξιοῦ-
σθαι τῆς ἐπαγγελίας. δεῖ γὰρ τὸν ἀγῶνα τῆς πρὸς θεὸν εὐαρεστήσεως, οὐ μόνον κακίας
πάσης ἀπηλλάχθαι, ἀλλὰ καὶ ἀλώβητον εἶναι καὶ ἄμωμον ἐν παντὶ ῥήματι θεοῦ. παύ-
λου τοῦ ἀποστόλου μετὰ τὴν θεωρίαν τῆς μεγάλης, καὶ ἀνεκδιηγήτου εἰς ἡμᾶς ἀγάπης τοῦ
» θεοῦ, καὶ τοῦ χριστοῦ αὐτοῦ ὑπὲρ τῆς ἡμετέρας δικαιοσύνης τε, καὶ σωτηρίας ἐπαγαγόντος, μη-
» δεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν, ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν. ἀλλ' ἐν παν-
» τὶ συνιστῶντες ἑαυτοὺς, ὡς θεοῦ διάκονοι. ὥσπερ γὰρ ὁ πτωχὸς τῷ πνεύματι ἐὰν μὴ γεν-
νηθῇ ἐξ ὕδατος καὶ πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν διὰ τὴν
ἀπόφασιν, οὕτω πάλιν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ φα-
ρισαίων, ἢ ἄλλο τι τῶν τοιούτων ἐλλειφθῇ διὰ τὴν ὁμοίαν ἀπόφασιν, οὐ καταξιοῦται
» τῆς βασιλείας. γέγραπται γὰρ, ἵνα παραστήσῃ αὐτὸς ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν μὴ ἔ-
» χουσαν σπῖλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. καὶ πολλὰ
τοιαῦτα, ἅπερ σπουδαιότερον τις ἀναγνοὺς, σφοδρότερον βεβαιοῦται. ὅτι χρὴ πάντα
πληρῶσαι, ἵνα βασιλείας οὐρανῶν καταξιωθῇ. ὅτι δὲ ὁ τῇ δικαιοσύνῃ περισσεύων, ἢ
γεννηθεὶς ἄνωθεν, πάντων ὁμοῦ τῶν κατορθωμάτων ἐφ' ὧν τε οἱ μακαρισμοὶ κεῖνται, καὶ
τῶν λοιπῶν τὴν τελείωσιν ἐπλήρωσε, καὶ ἐργάτης εἶναι τούτων καὶ τῶν τοιούτων ὁ-
μολόγηται ὁ λόγος, ὁ περὶ τῆς ἄνωθεν γεννήσεως, μικρὸν ὕστερον ἀποδείξει θεοῦ χάρι-
τι. ἐπειδὴ δὲ ὡς προείρηται, τὸ ἐπίταγμα τῆς ὑμετέρας εὐλαβείας τὸν λόγον τοῦ κατὰ
τὸ εὐαγγέλιον θαυμασιωτάτου βαπτίσματος ἐπεζήτησε παρ' ἡμῶν πρὸς τοῖς εἰρημένοις
περὶ τῆς βασιλείας τῶν οὐρανῶν, ἀκόλουθον εἶναι λογίζομαι καταμαθεῖν ἡμᾶς ἐν βρα-
χεῖ καὶ τὴν διαφορὰν τοῦ κατὰ μωσέα βαπτίσματος πρὸς τὸ ἰωάννου, καὶ τότε χάρι-
τι θεοῦ ἀξίους γενέσθαι κατανοῆσαι τὸ ἐν τῷ βαπτίσματι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὑπερέχον
θαῦμα. ἐν ἀσυγκρίτῳ ὑπερβολῇ τῆς δόξης. μεῖζον γὰρ τοῦ ἱεροῦ ὧδε, ἀπεφήνατο εἶναι
ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, καὶ μεῖζον τοῦ σολομῶντος ὧδε. καὶ μεῖζον τοῦ ἰωάν-
νου ὧδε. καὶ ὁ ἀπόστολος περιδιηγησάμενος τὴν τοῦ μωϋσέως ἐν τῇ διακονίᾳ τοῦ νόμου
τοῖς ἰουδαίοις ἀπρόσιτον δόξαν διαμαρτύρεται ἐπαγαγών. καὶ γὰρ οὐ δεδόξασται τὸ δεδο-
ξασμένον ἐν τούτῳ τῷ μέρει, εἵνεκεν τῆς ὑπερβαλλούσης δόξης. καὶ ἰωάννης ὁ βαπτιστὴς,
οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐδεὶς, μαρτυρεῖ λέγων. ποτὲ μὲν ἐκεῖνον δεῖ αὐξάνειν
ἐμὲ δὲ ἐλαττοῦσθαι. ποτὲ δὲ ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν. ἐκεῖνος δὲ ὑ-
μᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ, καὶ πολλὰ τοιαῦτα. ὅσον δὲ διαφέρει τὸ πνεῦμα
τὸ ἅγιον τοῦ ὕδατος, τοσοῦτον ὑπερέχει δηλονότι καὶ ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ τοῦ βα-
πτίζοντος ἐν ὕδατι, καὶ αὐτὸ τὸ βάπτισμα. ὥστε αὐτὸν τὸν ἰωάννην, τὸν τοσοῦτον καὶ τοιοῦ-
τον καὶ οὕτως μαρτυρηθέντα ἀπὸ τοῦ κυρίου ἀνεπαισχύντως προειπεῖν, ὅτι οὐκ εἰμὶ ἱκανὸς
λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος. ὡς ἐκ πάντων φανερὰν εἶναι τὴν ὑπερβολὴν τοῦ κα-
τὰ τὸ εὐαγγέλιον τοῦ χριστοῦ βαπτίσματος. ἣν εἰ καὶ πρὸς ἀξίαν κατανοῆσαι ἀδύνατον, κα-
τὰ δύναμιν γοῦν, καὶ ταύτην, ὡς ἂν ὁ θεὸς ἱκανώσῃ ἐξ αὐτῶν τῶν γεγραμμένων εἰ-
πεῖν εὐσεβὲς καὶ ὠφέλιμον. τὸ μὲν οὖν διὰ μωσέως παραδοθὲν βάπτισμα πρῶτον μὲν
ἐπεγίνωσκε διαφορὰν ἁμαρτημάτων. οὐ γὰρ πάντα τὰ ἁμαρτήματα εἶχε τὴν χάριν τῆς
ἀφέσεως. ἔπειτα δὲ θυσίας ἐπεζήτει διαφόρους. ἠκριβολογεῖτο περὶ ἁγνισμοῦ. ἀφώ-
ριζον ἕως καιροῦ τὸν ἐν ἀκαθαρσίᾳ καὶ μολυσμῷ, παρατήρησιν ἐποιεῖτο ἡμερῶν καὶ ὡρῶν.
καὶ τότε τὸ βάπτισμα ἐφ' ὧν παρελαμβάνετο, ὥσπερ ἐστὶ σφράγισμα τοῦ καθαρισμοῦ.
τὸ δὲ ἰωάννου βάπτισμα πολυπλάσιον εἶχε τὸ πλεῖον. οὐδεμίαν γὰρ ἐποιεῖτο διάκρισιν ἁ-
μαρτημάτων. οὐ διαφορὰν ἐπεζήτει θυσιῶν. οὐκ ἀκρίβειαν ἐποιεῖτο ἁγνισμοῦ. οὐ πα-
ρατήρησιν εἶχον ἡμερῶν ἢ ὡρῶν, καὶ κατ' οὐδὲν εἰς μηδὲν ἀναβολῆς γινομένης ἐπὶ τῇ χάρι-
τι τοῦ θεοῦ καὶ τοῦ χριστοῦ αὐτοῦ. ἅμα τε προσελθών τις ἐξομολογούμενος τὰς ἁμαρτίας, ὅσας
δήποτ' οὖν καὶ οἵας δήποτ' οὖν, καὶ ἐβαπτίζετο ἐν τῷ ἰορδάνῃ ποταμῷ. καὶ εὐθὺς ἐ-
λάμβανε τὴν ἄφεσιν τῶν ἁμαρτημάτων. τὸ δὲ τοῦ κυρίου βάπτισμα, λόγον μὲν ἔχει κρείτ-
τονα παντὸς ἀνθρωπίνου, δόξαν δὲ ἀνωτέραν πάσης ἐστὶν ἐπιθυμίας καὶ εὐχῆς ἀνθρωπίνης. ὑπερ-
βολὴν δὲ χάριτος καὶ δυνάμεως πλείονα, ἢ ὅσον ἥλιος ἀστέρων ὑπερέχει. μᾶλλον δὲ τὰ
μνημονευθέντα τῶν ἁγίων ῥητὰ σφοδρότερον παρίστησι τὴν ἀσύγκριτον ὑπεροχήν. ἀλ-

λ' οὐ διὰ τοῦτο

άπτισμα τοῦ μωσέως.

πτισμα τοῦ ἰωάννου

άπτισμα τοῦ χῦ.

οὔτε ὁ ἄνθρωπος ἀνεκεῖτο εἰς ἱερουσαλὴμ, οὔτε τὸ ζῶον εὐπρόσδεκτον ἦν εἰς θυσίαν·
» τοῦ μὲν ἀποστόλου εἰπόντος, ταῦτα μὲν τυπικῶς συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς
» νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. τοῦ δὲ κυρίου φανερῶς τὴν ὑπερο-
χὴν δείξαντος, ἐν τῷ εἰπεῖν· τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. καὶ σαφέστερον δείξαντος τὴν ἐπι-
μέλειαν τῆς ψυχῆς ἀκριβεστέραν ποιεῖσθαι ἡμᾶς ἐν τῷ εἰπεῖν· ᾧ παρέθεντο πολὺ, πε-
» ρισσότερον ἀπαιτήσουσιν αὐτόν. μνημονεύσωμεν οὖν ὅθεν τῆς βασιλείας τῶν οὐρανῶν·
ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς, ὅτε ἀνέβη εἰς τὸ ὄρος, καὶ τὴν ἀρχὴν τῆς διδασκαλίας διὰ τῶν μα-
καρισμῶν ἐποιεῖτο, πρῶτον μακαρισμὸν ἐκήρυξε τὸν ἐπαγγελίαν ἔχοντα βασιλείας οὐ-
» ρανῶν. εἶπε γάρ· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐ-
» ρανῶν. ἐν δὲ τῷ ὀγδόῳ μακαρισμῷ φησι· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύ-
» νης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ πάλιν τὴν ἐν τῷ καιρῷ τῆς ἀνταπο-
» δόσεως εὐλογίαν διὰ τῆς παραβολῆς τοῦ ποιμένος προφητεύων λέγει· δεῦτε οἱ εὐλογη-
» μένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς
» κόσμου. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν, καὶ τὰ ἑξῆς. ἐν δὲ τῷ κατὰ λουκᾶν
» εὐαγγελίῳ ἐν ἑτέρῳ καιρῷ καὶ τόπῳ καθὼς τὰ γεγραμμένα δηλοῖ, πάλιν μακαρισμοὺς
» ἐκτιθέμενος, φησί· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν
» οὐρανῶν. καὶ πάλιν· μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
» δοῦναι ὑμῖν τὴν βασιλείαν. πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην.
» ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς.
ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα, δι' ὧν βασιλείας οὐρανῶν καταξιοῦταί τις. ὧν δὲ ἄνευ
ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐν μὲν τῷ κατὰ ματθαῖον εὐαγ-
» γελίῳ, ἀποφαίνεται ὁ κύριος, καί φησιν· ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον
» τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ
» πάλιν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν
» τῶν οὐρανῶν. καὶ πάλιν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ
» μὴ εἰσέλθῃ εἰς αὐτήν. ἐν δὲ τῷ κατὰ ἰωάννην πρὸς νικόδημον, λέγει· ἐὰν μή τις
» γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. καὶ πάλιν, ἐὰν μή τις γεν-
» νηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ θεοῦ. καθ' ὧν δὲ ἡ
» ἀπόφασις μία, δηλονότι ἴσος καὶ ὁ κίνδυνος τοῖς πᾶσιν, οὐδὲς ἐλλειφθέντος. εἰ γὰρ
» λέγει ὁ κύριος ἰῶτα ἓν, ἢ μία κεραία, οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένη-
» ται, πόσῳ μᾶλλον ἀπὸ τοῦ εὐαγγελίου, αὐτοῦ τοῦ κυρίου λέγοντος, ὁ οὐρανὸς καὶ ἡ
» γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ὅθεν τεθαρσηκὼς ἰάκωβος ὁ ἀ-
» πόστολος ἀπεφήνατο εἰπών· ὃς ἂν ποιήσῃ ὅλον τὸν νόμον, πταίσῃ δὲ ἐν ἑνί, ἔσται πάντων
» ἔνοχος. ἔμαθε δὲ εἰπεῖν τοῦτο ἐξ ὧν ὁ κύριος μετὰ τοὺς μακαρισμοὺς καὶ τὰς ὑπὲρ ἀνθρώ-
» πων μαρτυρίας καὶ ἐπαγγελίας τῷ πέτρῳ δοὺς ἠπείλησεν, ὅτι ἐὰν μὴ νίψω σε, οὐκ
ἔχεις μέρος μετ' ἐμοῦ. παῦλος δὲ ὁ ἀπόστολος ἀνταναπληρῶν τὰ ὑστερήματα τῶν θλίψεων
τοῦ χριστοῦ ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, ἐν χριστῷ λαλῶν διαμαρτύρεται, δι' ἃ μάλι-
στα βασιλείας οὐρανῶν οὐ καταξιοῦταί τις, καὶ θανάτου κρίματι ὑποπίπτει. ποτὲ μὲν εἰ-
πὼν ὁριστικῶς, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν. διατὶ δὲ οὐκ εἶπεν, ταῦ-
τα, ἀλλ' οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν οὐρανῶν οὐ κληρονομήσουσιν. καὶ πάλιν
καθολικώτερον, ὅτι ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. καὶ ἀλλαχοῦ ὁμοίως. αὐ-
» τὸς δὲ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς ἐν τῷ κατὰ λουκᾶν εὐαγγελίῳ ἀπεφήνατο εἰπών· οὐδεὶς τὴν χεῖρα
» θεὶς ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. ἐπι-
τηρητέον δὲ ἐνταῦθα ἀναγκαίως, ὅτι οὐ κατὰ ἁμαρτημάτων πολλῶν, ἀλλὰ καθ' ἑνὸς
ἐστὶ τὸ οὕτω φοβερὸν καὶ ἀπαράβατον κρίμα. καὶ ταῦτα ἐκ τῶν συγκεχωρημένων, κἂν
μόνην, καὶ πρὸς ὀλίγον γοῦν ἀναβολὴν ἐμποιεῖν τῇ κατὰ πολλοὺς λόγους ἀναγ-
καίως ὀφειλομένῃ ἀπροφασίστῳ, ταχυτάτῃ τε, καὶ ἀμεταποιήτῳ ὑπακοῇ τῷ δε-
σπότῃ. ἐκ τούτων οὖν πάντων καὶ τῶν τοιούτων παιδευόμεθα, ὅτι χρὴ πάντα ὁ-
λοκλήρως καὶ νομίμως πληρώσαντα, οἷς ἡ ἐπαγγελία τῆς βασιλείας τῶν οὐρανῶν
ἐπαγγέλλεται, καὶ ὧν ἄνευ ἡ τῆς βασιλείας ἀπηγόρευται χάρις. καὶ φυλαξαμένους

στιλλάς πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ καθίσας πρότερον βουλεύεται, εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ᾿ αὐτόν. εἰ δὲ μήγε, ἔτι πόρρω αὐτοῦ ὄντος, πρεσβείαν ἀποστείλας, ἐρωτᾷ τὰ πρὸς εἰρήνην. οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. καλὸν τὸ ἅλας, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται. οὔτε εἰς τὴν γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν, ἔξω βάλλουσιν αὐτό. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. ἐν τούτοις παιδευόμενοι, ἐλευθερωθεῖσι πρῶτον τῆς τοῦ διαβόλου καταδυναστείας ἐν τῷ ἀπέχεσθαι παντὸς ἐπιθυμητοῦ πράγματος τῷ διαβόλῳ, χάριτι τοῦ θεοῦ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄγε μὴ εἰς κενὸν ἐδεξάμεθα τὴν τοιαύτην χάριν, ἔπειτα ἀποταξάμενοι οὐ μόνον τῷ κόσμῳ, καὶ ταῖς ἐπιθυμίαις αὐτοῦ, ἀλλὰ καὶ τοῖς πρὸς ἀλλήλους δικαίοις καθήκουσιν. ἔτι δὲ καὶ τῇ ἑαυτῶν ζωῇ, ὅταν τι τούτων ἀφέλκῃ ἡμᾶς ἀπὸ τῆς ὀφειλομένης τῷ θεῷ ἀμεταστρέπτου καὶ ταχείας ὑπακοῆς, οὕτω καταξιούμεθα μαθηταὶ τοῦ κυρίου γενέσθαι. παιδευόμενοι λοιπὸν ὑπό τε Μωϋσέως, καὶ τῶν προφητῶν, εὐαγγελιστῶν τε καὶ ἀποστόλων. τήν τε ἐν ἀρχῇ τοῦ υἱοῦ διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ποίησιν πάντων ὁρατῶν τε καὶ ἀοράτων. τά τε ἱστορούμενα ἐν ταῖς θεοπνεύστοις γραφαῖς τῆς τοῦ θεοῦ χρηστότητος καὶ ἀποτομίας ἐν πολλῇ μακροθυμίᾳ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, καὶ παιδείαν ἡμετέραν. τάς τε προφητείας τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν τότε συνεμπιπτόντων ἐναντίων ἀλλήλοις πραγμάτων. καὶ περὶ τῆς ἐκ νεκρῶν ἐνδόξου ἀναστάσεως καὶ ἀναλήψεως, καὶ τῆς ἐνδοξοτάτης ἐπιφανείας ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. τά τε δόγματα τῆς κατὰ τὸ εὐαγγέλιον ὁλοκλήρου, καὶ εὐπροσδέκτου τῷ θεῷ εὐσεβείας ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. ἐπ᾿ ἐλπίδι ζωῆς αἰωνίου καὶ ἐπουρανίου βασιλείας. καὶ τὰ κρίματα τῆς δικαίας ἀνταποδόσεως τῶν τε ποιούντων τὰ ἀπηγορευμένα, ἢ ἀθετούντων τὰ ἐγκεκριμένα εἰς κόλασιν αἰώνιον, καὶ τῶν ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτευομένων ἐν ὑγιαινούσῃ πίστει δι᾿ ἀγάπης Χριστοῦ ἐνεργουμένῃ. ἐπ᾿ ἐλπίδι ζωῆς αἰωνίου, καὶ ἐπουρανίου βασιλείας τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

Πῶς βαπτίζεταί τις τὸ ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βάπτισμα.

Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐντολὴν δεδωκότος ἡμῖν ἀγαπᾶν ἀλλήλους καθὼς αὐτὸς ἠγάπησεν ἡμᾶς. καὶ διὰ Παύλου τοῦ ἀποστόλου διδάσκοντος ἡμᾶς, ἀνέχεσθαι ἀλλήλων ἐν ἀγάπῃ, τὸ ἐπίταγμα τῆς ὑμετέρας ἐν Χριστῷ εὐλαβείας, τὸ περὶ τοῦ κατὰ τὸ εὐαγγέλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνδοξοτάτου βαπτίσματος προθύμως ἐδεξάμην, οὐχ ὡς πρὸς ἀξίαν εἰπεῖν τι δυνάμενος, ἀλλ᾿ ὡς ἡ τὰ δύο λεπτὰ βαλοῦσα χήρα συνεισφερόμενος. καὶ ἐν τούτῳ δὲ, τῆς παρὰ τῶν ἀγαπώντων τὸν κύριον εὐχῆς μοι χρεία. ἵνα θεοῦ τοῦ ἀγαθοῦ χάριτι καὶ τοῦ Χριστοῦ αὐτοῦ, τὸ ἅγιον καὶ ἀγαθὸν πνεῦμα ὑπομιμνῆσκον καὶ διδάσκον ἡμᾶς ἃ ἂν παρὰ τοῦ κυρίου ἀκούσῃ, κατευθυνθῆναι τόν τε νοῦν ἡμῶν εἰς ὁδὸν εἰρήνης, καὶ τὸν ὑγιῆ λόγον εἰς τὴν τῆς πίστεως οἰκοδομὴν, ὥστε πληρωθῆναι ἐν ἡμῖν τε καὶ ὑμῖν τὸ, δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. πλὴν εἰδέναι χρὴ, ὅτι πρῶτον μαθητευθῆναι δεῖ. καὶ οὕτως τοῦ θαυμασιωτάτου βαπτίσματος καταξιωθῆναι. οὕτως γὰρ αὐτὸς ὁ κύριος, καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ἐνετείλατο τοῖς αὐτοῦ μαθηταῖς. παραδεδώκαμεν οὖν ὑμῖν ἀναγκαίως κατ᾿ ἰδίαν καὶ τὰ περὶ τῶν θελόντων γενέσθαι Χριστοῦ μαθητῶν παρ᾿ αὐτοῦ τοῦ κυρίου εἰρημένα. ὀλίγων γοῦν ἐκ πολλῶν μνημονεύσαντες. ἐπειδὴ δὲ τὸ μὴ ἄνωθεν γεννηθῆναι, ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ ἐπαγγέλλεται, τὸ δὲ ἐξ ὕδατος καὶ πνεύματος γεννηθῆναι, εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, λογίζομαι ἀναγκαῖον εἶναι, ὀλίγα ἐκ πολλῶν τῶν περὶ τῆς βασιλείας τῶν οὐρανῶν εἰρημένων παραθέσθαι. ἵνα κατὰ μηδένα τρόπον ἀπολειφθῶμεν ταύτης. οὐ γὰρ μικρὸν ἐν βίῳ, τὸ παρὰ μικρὸν λύεται τι τῶν παρ᾿ ἡμῖν σοφῶν. καὶ τοῖς πλείστοις δῆλον ἐξ αὐτῶν τῶν πραγμάτων. πλὴν δὲ καὶ βεβαιότερον ἐκ τῆς περὶ τῶν ἱερέων, καὶ τῶν προσφερομένων ζώων εἰς θυσίαν, ἀκριβολογίας ἔστι πληροφορηθῆναι. ἐν οἷς εἰ μικρός τις μῶμος εὑρέθη, ἢ λώβησις, οὐχὶ παντὸς μέλους, ἀλλὰ τούτου τοῦ μέρους, ὥσπερ γέγραπται, λοβὸς ὠτίου,

ἄξιος ἀκολουθῆσαι τῷ κυρίῳ. πάλιν λέγω, οὐ πρότερον εἰπόντι τῷ νεανίσκῳ, δεῦρο ἀκο
λούθει μοι, πρὶν εἰπεῖν, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς. ἀλλ' οὐδὲ τοῦτο προ
σέταξε, πρὶν ὁμολογῆσαι αὐτὸν, καθαρεύειν πάσης παραβάσεως, τῷ εἰπεῖν τι πεποιηκέναι
πάντα τὰ ὑπὸ τοῦ κυρίου εἰρημένα. ὡς καὶ ἐν τούτῳ τὴν τάξιν φυλάττεσθαι ἀναγκαῖον. οὐ μό
νον δὲ ὑπαρχόντων, καὶ τῶν ἀναγκαίων περὶ τὸ ζῆν καταφρονεῖν διδασκόμεθα, ἀλλὰ καὶ τῶν περὶ
ἀλλήλους νενομισμένων κατά τε νόμον καὶ φύσιν δικαίων καθηκόντων ὑπερφρονεῖν διδα
σκόμεθα. τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος, ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.
ὁμοίως καὶ ὑπὲρ τῶν λοιπῶν τῶν ἐγγυτάτων ἐκείνων. δῆλον δὲ ὅτι πολὺ πρότερον τῶν πορρω-
» τέρω καὶ ξένων τῆς πίστεως. οἷς ἐπάγει. ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω
» μου, οὐκ ἔστι μου ἄξιος. ὅπερ κατορθώσας ὁ ἀπόστολος, εἰς ἡμετέραν διδασκαλίαν γράφει.
» ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ὁ κόσμος ἐμοί. ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ ὁ Χριστός. πάλιν δὲ τοῦ
» κυρίου δεῖ μνημονεῦσαι, εἰπόντος κατὰ πρόσωπον ἑκάστῳ. τῷ μὲν εἰπόντι, ἐπίτρεψόν μοι πρῶ
» τον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου. ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. σὺ δὲ ἀπελ-
» θὼν, διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ. τῷ δὲ εἰπόντι, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν καὶ συν
» τάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. ἀποπληκτικώτερον μετ' ἀπειλῆς σφοδροτέρας. εἶπε γάρ. οὐ-
» δεὶς τὴν χεῖρα θεὶς ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ.
οὕτω καὶ τὸ περὶ ὀλίγον ἀναβολὴν ἐμποιοῦν τῇ ὀφειλομένῃ τῷ κυρίῳ ἀμετεωρίστῳ ὑπακοῇ
καθῆκον ἀνθρώπινον, κἂν δοκῇ εὔλογον εἶναι, ἀλλότριόν ἐστι τοῦ θέλοντος μαθητεῦσαι τῷ
» κυρίῳ. καὶ ἀπειλῆς δεινοτέρας ἄξιον. καθολικώτερον δὲ νομοθετεῖ λέγων. εἴ τις ἔρχεται πρός με,
» ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ἐὰν δὲ ἔλθωμεν εἰς
» μνήμην τῆς ὑπὸ τοῦ κυρίου πρὸς τὸν εἰπόντα. μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.
φοβερώτερον κρίμα ὀργῆς καὶ ἀποτομίας μανθάνομεν. καὶ πάσης ἐλπίδος ἀγαθῆς ἀπαλ
» λοτριοῦν τοὺς τοιούτους. λέγει δὲ οὕτως. ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκά-
» λεσε πολλοὺς, καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου, εἰπεῖν τοῖς κεκλη-
» μένοις, ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες.
» ὁ πρῶτος εἶπεν, ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτὸν, ἐρωτῶ σε, ἔχε με
» παρῃτημένον. καὶ ἕτερος εἶπε, ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά.
» ἐρωτῶ σε, ἔχε με παρῃτημένον. καὶ ἕτερος εἶπε, γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλ
» θεῖν. καὶ παραγενόμενος ὁ δοῦλος, ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. τότε ὀργισθεὶς ὁ οἰκοδε-
» σπότης, εἶπε τῷ δούλῳ αὐτοῦ. ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς
» πτωχοὺς καὶ ἀναπήρους, καὶ τυφλοὺς, καὶ χωλοὺς εἰσάγαγε ὧδε. καὶ εἶπεν ὁ δοῦλος. κύριε γέγονεν
» ὡς ἐπέταξας. καὶ ἔτι τόπος ἐστίν. καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον αὐτοῦ, ἔξελθε εἰς τὰς ὁδοὺς καὶ
» φραγμοὺς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου. λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀν-
» δρῶν ἐκείνων γεύσεταί μου τοῦ δείπνου. πάλιν δὲ αὐτὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶν-
τος, ὁ ἀποσταλεὶς παρὰ τοῦ πατρὸς οὐχ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον, ἑαυ
τῷ ἐμμένων, καὶ τὸ θέλημα τοῦ ἀγαθοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ πληρῶν. τῇ ἀποφάσει τῆς
ἀποτομίας διδασκαλίαν ἐπάγει, τὴν ἀξίους ἡμᾶς ποιοῦσαν μαθητὰς αὐτοῦ γενέσθαι.
» καί φησιν. εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ τὴν
» γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι δὲ καὶ τὴν
» ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής. μῖσος, οὐ μελέτην ἐμποιοῦν ἐπι-
» βουλῆς, ἀλλ' ἀρετὴν θεοσεβείας ἐν παρακοῇ τῶν ἀφελκόντων. καὶ ὅς τις φησὶν οὐ
» βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐ δύναταί μου εἶναι μαθητής.
ὅπερ συντελεῖσθαι δοκοῦμεν διὰ τοῦ ἐν τῷ ὕδατι βαπτίσματος, ὁμολογοῦντες συν-
σταυρῶσθαι, συντεθνηκέναι, συντεθάφθαι, καὶ τὰ ἑξῆς, καθὼς γέγραπται. στο-
χαζόμενος δὲ τῆς ἡμετέρας ἀσθενείας καὶ δι' ὑποδειγμάτων ηὐδόκησε βεβαιῶσαι
ἡμῶν τὰς καρδίας, ἐν πληροφορίᾳ τῆς ἀληθείας. καὶ ἑτοιμοτέρους κατεργάσασθαι
» πρὸς ὑπακοὴν, δι' ὧν φησι. τίς γὰρ ἐξ ὑμῶν θέλων πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον
» καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν, ἵνα μήποτε θέντος αὐτοῦ
» θεμέλιον, καὶ μὴ ἰσχύοντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται αὐτῷ ἐμπαί
» ζειν, λέγοντες. ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν, καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι. ἢ τίς βασ

παντὸς ἀφέλκοντος τῆς ὀφειλομένης κατὰ πολλοὺς λόγους τῷ κυρίῳ ἀπειθείας, καὶ ἀ-
λογοφανεῖς εἶναι δοκοῦσιν. ἀδύνατον γὰρ ἁμαρτίαν ποιοῦντα, ἢ ἐμπλεκόμενον ταῖς
τοῦ βίου πραγματείαις, ἢ ἐν φροντίδι καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων δουλεῦσαι,
οὐχ ὅτι γε μαθητευθῆναι τῷ κυρίῳ τῷ οὕτω πρότερον εἰπόντι τῷ νεανίσκῳ, δεῦρο ἀκολούθει μοι
πρὶν ἐντείλασθαι πωλῆσαι τὰ ὑπάρχοντα, καὶ δοῦναι πτωχοῖς. ἀλλ' οὐδὲ τοῦτο προ-
σέταξε, πρὶν ὁμολογῆσαι αὐτὸν, ὅτι ταῦτα πάντα ἐφύλαξα. ὁ γὰρ μὴ λαβὼν τὴν ἄ-
φεσιν τῶν ἁμαρτημάτων, καὶ καθαρισθεὶς ἀπὸ τούτων ἐν τῷ αἵματι τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ, δουλεύων δὲ τῷ διαβόλῳ, καὶ κρατούμενος ὑπὸ τῆς ἐνοικούσης αὐτῷ ἁμαρτίας, ἀ-
δυνάτως ἔχει δουλεῦσαι τῷ κυρίῳ τῷ ἀπαράβατον ἀπόφασιν δεδωκότι, ἐν τῷ εἰπεῖν. ὁ
» ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας, ὁ δὲ δοῦλος τῆς ἁμαρτίας, οὐ μένει ἐν τῇ
» οἰκίᾳ. μαρτυρεῖ δὲ καὶ ὁ ἐν χριστῷ λαλῶν παῦλος, γράψας. ὁ δὲ δοῦλος τῆς ἁμαρτίας, ἐλεύ-
» θερός ἐστιν ἀπὸ τῆς δικαιοσύνης. καὶ πάλιν ὁ κύριος φησίν. οὐδεὶς δύναται δυσὶ κυρίοις
» δουλεύειν. καὶ τὰ ἑξῆς. καὶ ἔδειξε δι' ὧν ἐδίδαξεν, ἐναργῶς καὶ πολυτρόπως, ὅτι οὔτε
» οἱ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἑαυτοῖς μεριμνᾶν ἀνεχόμενοι, δουλεύειν θεῷ δύνανται,
» οὐχ ὅτι γε μαθητεύειν. ὅθεν ἔμαθεν ὁ ἀπόστολος πλατύτερον θαρρήσας, εἰπεῖν, τίς μετο-
» χὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις χριστῷ πρὸς
» βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων; καὶ
» πάλιν ἐναργῶς, ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός.
» ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. ὅτι δὲ ἐντρεπτι-
» κώτερον ἡμῖν παραδιδοὺς, τί εἴπε. μνημονεύσωμεν. οἴδαμεν γὰρ, ὅτι ὁ νόμος πνευματικός
» ἐστιν, ἐγὼ δὲ σαρκικός εἰμι πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ κατεργάζομαι, οὐ γι-
» νώσκω, οὐ γὰρ ὃ θέλω ἀγαθὸν τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ κακὸν τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ
» θέλω ἐγὼ, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός. νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι
» αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. καὶ τοῦτο αὐτὸ τὸ θεώρημα διὰ πλειόνων ἐπεξερ-
» γασάμενος ὅτι ἀδύνατον τὸν κρατούμενον ὑπὸ ἁμαρτίας δουλεύειν τῷ κυρίῳ, φανερῶς ὑ-
» ποδεικνύει ἡμῖν τὸν λυτρούμενον ἡμᾶς ἐκ τῆς τοιαύτης τυραννίδος ἐν τῷ εἰπεῖν. ταλαί-
» πωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; εὐχαριστῶ
» τῷ θεῷ διὰ ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. καὶ μετ' ὀλίγα ἐπάγει. οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς
» ἐν χριστῷ ἰησοῦ μὴ κατὰ σάρκα περιπατοῦσιν. καὶ διὰ τῶν ἐν ἑτέρῳ τόπῳ εἰρημένων, τὴν
μεγάλην τῆς φιλανθρωπίας χάριν τοῦ θεοῦ διὰ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν ἰησοῦ
» χριστοῦ, σαφῶς παρίστησιν, εἰπών. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρ-
τωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς, δίκαιοι κατασταθή-
σονται οἱ πολλοί. ἐν ἑτέρῳ δὲ τόπῳ θαυμασιωτέραν θεωρῶν τὴν ἐν χριστῷ φιλανθρωπίαν
τοῦ θεοῦ, φησί. τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν. ἵνα ἡ-
μεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ. ἀνάγκη οὖν πᾶσα ἐστὶ τῶν μνημονευθέντων,
καὶ τῶν ὁμοίων, εἴγε μὴ εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ ἐδεξάμεθα, ῥυσθῆναι πρῶτον τῆς
καταδυναστείας τοῦ διαβόλου ἐνάγοντος τὸν ὑφ' ἁμαρτίας κρατούμενον ἐφ' ἃ μὴ βούλε-
ται κακά. καὶ τότε ἀπαρνησάμενον πάντα τὰ παρόντα καὶ ἑαυτὸν, τῆς τε προσπαθείας τοῦ
ζῆν ἀναχωρήσαντος, μαθητευθῆναι τῷ κυρίῳ καθὼς αὐτὸς εἶπεν. εἴ τις ἔρχεται πρός με, ἀπαρ-
νησάσθω ἑαυτὸν καὶ αἰρέτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὅπερ ἐστὶ, μαθητής μου γε-
νέσθω. τὸ δὲ αὐτὸ πλατύτερον καὶ ἀποδεικτικώτερον καὶ ἀποφαντικώτερον παραδίδωσιν
ἐν τῷ κατὰ λουκᾶν εὐαγγελίῳ, ὃ μνημονεύσομεν μετ' ὀλίγα. λυτρούμεθα δὲ πάντως τῆς
τοιαύτης τῶν ἁμαρτιῶν κατακρίσεως οἱ πιστεύοντες τῇ χάριτι τοῦ θεοῦ τῇ διὰ τοῦ μονο-
γενοῦς αὐτοῦ υἱοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ εἰπόντος, τοῦτό μου ἐστὶ τὸ αἷμα, τὸ τῆς καινῆς δια-
θήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. μαρτυροῦντος τοῦ ἀποστό-
λου δι' ὧν γράφει, ποτὲ μὲν, ἀγαπᾶτε ἀλλήλους καθὼς καὶ ὁ χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ πα-
ρέδωκεν ἑαυτὸν προσφορὰν καὶ θυσίαν τῷ θεῷ. ποτὲ δὲ, χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κα-
τάρας τοῦ νόμου. καὶ πολλὰ τοιαῦτα. ὅταν οὖν δοθῇ ἄφεσις τῶν ἁμαρτημάτων, τό-
τε λαμβάνει ὁ ἄνθρωπος τὴν ἀπὸ τῆς ἁμαρτίας ἐλευθερίαν παρὰ τοῦ ἐξαγοράσαντος ἡ-
μᾶς ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν εἰς τὸ δύνασθαι προσελθεῖν τῷ λόγῳ. καὶ τότε οὔπω τίς ἐστιν

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου λόγος, περὶ βαπτίσματος.

Ὅτι δεῖ πρῶτον μαθητευθῆναι τῷ κυρίῳ, καὶ τότε καταξιωθῆναι τοῦ ἁγίου βαπτίσματος.

Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀπολαβὼν τὴν ἐπαγγελίαν τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ, εἰπόντος διὰ Δαβὶδ τοῦ προφήτου, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ᾽ ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. προσλαβόμενος τοὺς ἑαυτοῦ μαθητάς, φανεροῖ αὐτοῖς πρῶτον τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν παρὰ τοῦ πατρός, εἰπών, ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. καὶ τότε ἀποστέλλει αὐτοὺς λέγων, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. ἐπεὶ οὖν προστάξαντος τοῦ κυρίου, πρῶτον, μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ τότε ἐπαγαγόντος, βαπτίζοντες αὐτούς, καὶ τὰ ἑξῆς. ὑμεῖς μὲν τὸ πρῶτον σιωπήσαντες, τοῦ δευτέρου τὸν λόγον ἡμᾶς ἀπῃτήσατε. ἡμεῖς δὲ λογισάμενοι παρ᾽ ἐντολὴν τοῦ ἀποστόλου ποιεῖν, ἐὰν μὴ εὐθὺς ἀποκρινώμεθα, εἰπόντος. ἕτοιμοι ἔσεσθε πρὸς ἀπολογίαν παντὶ τῷ ἐπερωτῶντι ὑμᾶς λόγον, παραδεδώκαμεν τὸν λόγον τοῦ κατὰ τὸ εὐαγγέλιον τοῦ κυρίου βαπτίσματος. ἔχον δόξαν ὑπὲρ τὸ τοῦ μακαρίου Ἰωάννου. μνημονεύσαντες ὀλίγα ἐκ πολλῶν τῶν περὶ αὐτοῦ, ἐν ταῖς θεοπνεύστοις γραφαῖς εἰρημένων. ὅμως ἀναγκαῖον εἶναι ἐλογισάμεθα, τὴν παραδεδομένην ὑπὸ τοῦ κυρίου τάξιν ἀναδραμεῖν. ἵνα οὕτως καὶ ὑμεῖς πρῶτον τοῦ, μαθητεύσατε τὴν δύναμιν γνόντες, εἶτα ἀκολούθως τὸν περὶ τοῦ ἐνδοξοτάτου βαπτίσματος λόγον παραλαβόντες, τὴν τελειότητα ἔλθοιτε, διδασκόμενοι τηρεῖν πάντα ὅσα ἐνετείλατο ὁ κύριος τοῖς ἰδίοις μαθηταῖς, καθὼς γέγραπται. ἐνθάδε μὲν οὖν μαθητεύσατε εἰπόντος, ἠκούσαμεν. λοιπὸν δὲ χρεία τῶν ἀλλαχοῦ περὶ τοῦ τοιούτου εἰρημένων προστάγματος μνημονεῦσαι. ἵνα πρῶτον μὲν τὸ φρόνημα εὐάρεστον τῷ θεῷ κατορθώσαντες, ἔπειτα δὲ τὴν πρέπουσαν καὶ ἀναγκαίαν τάξιν φυλάξαντες, οὕτω τῇ δυνάμει κατὰ σκοπὸν τῆς πρὸς θεὸν εὐαρεστήσεως μὴ ἐκπέσωμεν. συνήθες γὰρ τῷ κυρίῳ τὰ ὁρισμῶς που παρακελεύοντα, διὰ τῶν ἐν ἄλλοις τόποις εἰρημένων σαφῶς παραδιδόναι. ὡς τό, θησαυρίζετε ὑμῖν θησαυροὺς ἐν οὐρανῷ. ἁπλῶς γὰρ οὕτως εἰπὼν ἐνθάδε τὸ πῶς ἐν ἑτέρῳ τόπῳ σαφηνίζει, λέγων. πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς βαλλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. καὶ πολλὰ ἄλλα ὁμοίως. μαθητὴς μὲν οὖν ἐστιν, ὡς μανθάνομεν παρ᾽ αὐτοῦ τοῦ κυρίου, πᾶς ὁ τῷ κυρίῳ προσερχόμενος, ὥστε ἀκολουθεῖν αὐτῷ, τουτέστιν, ἀκούειν τῶν λόγων αὐτοῦ. πιστεύειν τε καὶ πείθεσθαι αὐτῷ, ὡς δεσπότῃ, καὶ βασιλεῖ καὶ ἰατρῷ, καὶ διδασκάλῳ ἀληθείας, ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου. καὶ τοῦτο ἐὰν μένῃ ἐν αὐτοῖς, καθὼς γέγραπται. ἔλεγεν οὖν πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ. καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς ἐλευθερίαν δηλονότι ψυχῆς, ἀπὸ τῆς τοῦ διαβόλου πικρᾶς τυραννίδος ἐν τῷ ἐλευθερωθῆναι ἀπὸ τῆς τῶν ἁμαρτημάτων καταδυναστείας. ὁ γὰρ ποιῶν φησι τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας, καὶ τῆς κατακρίσεως τοῦ θανάτου. καθὼς παρεδίδωκεν ἡμῖν Παῦλος ὁ ἀπόστολος εἰπών. τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν, ἁμαρτίαν ὑπὲρ ἡμῶν ἐποίησεν. ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ. καὶ πάλιν. ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου, ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω διὰ τῆς ὑπακοῆς τοῦ ἑνός, δίκαιοι κατασταθήσονται οἱ πολλοί. τὸν δὲ πιστεύοντα τῷ κυρίῳ, καὶ προσάγοντα ἑαυτὸν ἐπιτήδειον εἰς μαθητείαν, μανθάνειν δεῖ, πρῶτον μὲν ἀφίστασθαι παντὸς ἁμαρτήματος. ἔπειτα δὲ καὶ

μὸς τοῦ οὐρανοῦ ἐσαλεύθησαν ἐπὶ τῇ σῇ ἀπωλείᾳ. ἐδάκρυσαν καὶ οἱ ἀναίσθητοι λίθοι
ἐπὶ τῇ σῇ μανίᾳ. ἔκλαυσαν δὲ καὶ ἐχθροὶ διὰ τὴν ὑπερβολὴν τῆς ἀνομίας σου. ὢ πολ-
λῆς πωρώσεως, ὢ ἀπηνοῦς ὠμότητος. οὐ θεὸν ἐφοβήθης, οὐκ ἀνθρώπους ᾐδέσθης, οὐ φίλους
ἐνετράπης, ἀλλ᾽ ὁμοῦ πάντα ἀνωσάγησας. ὁμοῦ πάντα ἐσκυλήθης. διὸ πάλιν ἀλγῶ ἐπὶ
σοὶ ἄθλιε. ὁ τῆς βασιλείας πᾶσι τὸν τόνον ἀπαγγέλλων, τῆς βασιλείας ἐξέπεσας. ὁ τῆς
διδασκαλίας τὸν φόβον πᾶσιν ἐμποιῶν, οὐκ ἔχεις φόβον θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν σου.
ὁ ἁγιωσύνην κηρύσσων, ἀναγνῆς εὑρίσκῃ. ὁ ἐπὶ ἀκτημοσύνῃ σεμνυνόμενος, συλοχρηματῶν
ἐφευρίσκῃ. ὁ τὴν τοῦ θεοῦ κόλασιν ἐπιδεικνύμενος διὰ τῆς ὑφηγήσεως, αὐτὸς κόλασιν
σεαυτῷ προεξένησας. πῶς σε θρηνήσω. πῶς ἀλγήσω ἐπὶ σοί. πῶς ἐξέπεσεν ὁ ἑωσφό-
ρος ὁ πρωὶ ἀνατέλλων, καὶ συνετρίβη ἐπὶ τῆς γῆς. παντὸς ἀκούοντος ἠχήσει τὰ ἀμ-
φότερα ὦτα, πῶς ὁ ναζιραῖος ὁ ἐκλάμπων ὑπὲρ χρυσίον, ἐσκότασεν ὑπὲρ ἄσβολον.
υἱὸς σιὼν ὁ τίμιος, πῶς ἐγένετο σκεῦος ἄχρηστον. οὗ ἡ μνήμη τῶν θείων γραφῶν ὑπὸ πάν-
των ἐλαλεῖτο, σήμερον ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ᾽ ἤχου. ὁ ὀξύνους, ὀξέως ἀπώ-
λετο. ὁ πολύνους, πολύπλοκον ἁμαρτίαν εἰργάσατο. οἱ γὰρ ὠφελημένοι ὑπὸ τῆς σῆς
διδασκαλίας, ἐβλάβησαν ὑπὸ τῆς σῆς ἀπωλείας. οἱ τὰς ἀκοὰς παραθέντες ἐπὶ
τῇ σῇ ὁμιλίᾳ ἔφραξαν τὰ ὦτα ἐπὶ τῇ σῇ ἀπωλείᾳ. ἐγὼ δὲ θρηνῶν καὶ σκυθρωπάζων,
καὶ παρειμένος πάντοθεν, καὶ σποδὸν ὡσεὶ ἄρτον ἐσθίων, καὶ σάκκον ἐπὶ τῇ πληγῇ μου
ἐπέρριψα. τοιαῦτά σοι ἐγκώμια διεξέρχομαι. μᾶλλον δὲ ἐπιταφίους λόγους συν-
τάσσω. ἀπαράκλητος καὶ ἀθεράπευτος διατελῶ, ὅτι παράκλησις κέκρυπται ἀπὸ ὀ-
φθαλμῶν μου, καὶ οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον, οὔτε καταδέσμους. ἔστι γὰρ ἡ πλη-
γή μου ὀδυνηρά. πόθεν ἰαθήσομαι. εἴ τις οὖν ἔτι ἐλπὶς ὑπολείπεταί σοι σωτηρίας. εἴ τις
βραχεῖα μνήμη πρὸς τὸν θεόν. εἴ τις πόθος τῶν μελλόντων ἀγαθῶν. εἴ τις φόβος τῶν τε-
θησαυρισμένων κολάσεων τοῖς ἀμετανοήτοις. ἀνάνηψον ταχέως. ἔπαρον τοὺς ὀφθαλ-
μούς σου εἰς τὸν οὐρανόν. ἐλθὲ εἰς συναίσθησιν. παῦσαι ἀπὸ τῆς πονηρίας σου. ἀπό-
σεισαι τὴν περιχυθεῖσάν σοι μέθην. ἐπανάστα τῷ καταβάλλοντί σε. ἰσχύσον ἐκ γῆς ἐ-
πανάστῆναι. μνήσθητι τοῦ ἀγαθοῦ ποιμένος, ὅτι καταδιώκων ἐξελεῖταί σε. κἂν ἢ δύο
σκέλη, ἢ λοβὸν ὠτίου, ἀποπήδησον ἀπὸ τοῦ τραυματίσαντός σε. μνήσθητι τοὺς οἰκτιρ-
μοὺς τοῦ θεοῦ, ὅτι θεραπεύει ἐλαίῳ καὶ οἴνῳ. μὴ ἀπελπίσῃς τὴν σωτηρίαν. ἀνάλαβε τὴν
μνήμην τῶν γεγραμμένων, ὅτι ὁ πίπτων ἀνίσταται, καὶ ὁ ἀποστρέφων ἐπιστρέφει. ὁ πε-
πληγὼς θεραπεύεται, ὁ θηριάλωτος προσδέχεται. ὁ ἐξομολογούμενος οὐκ ἀποβάλλε-
ται. οὐ θέλει γὰρ ὁ κύριος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. μὴ
ὡς εἰς βάθος κακῶν ἐμπεσὼν καταφρονήσῃς, καιρὸς ἀνοχῆς ἐστί, καιρὸς μακροθυμίας,
καιρὸς ἰάσεως, καιρὸς διορθώσεως. ὠλίσθησας; ἐξεγείρου. ἥμαρτες; ἡσύχασον. μὴ
στῇς ἐν ὁδῷ ἁμαρτωλῶν, ἀλλὰ ἀποπήδησον. ὅταν γὰρ ἐπιστραφεὶς στενάξῃς, τότε σωθή-
σῃ. ἔστι γὰρ ἐκ πόνων ὑγεία, καὶ ἐξ ἱδρώτων σωτηρία. ὅρα οὖν μήποτε συνθήκας ἐξυλό-
μενος τινῶν φυλάττειν παραβῇς τὰς πρὸς τὸν θεὸν συνθήκας ἃς ὡμολόγησας ἐπὶ πολλῶν
μαρτύρων. μὴ οὖν διά τινας λογισμοὺς ἀνθρωπίνους ὀκνήσῃς ἐλθεῖν πρός με. ἐγὼ
γὰρ ἀναλαβὼν τὸν νεκρόν μου θρηνήσω. ἐγὼ θεραπεύσω. ἐγὼ πικρῶς κλαύσο-
μαι ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου. πάντες σε δέχον-
ται. πάντες σοι συμπονοῦσι. μὴ ἀπειθῇς. μνήσθητι ἡμερῶν
ἀρχαίων. ἔστι σωτηρία. ἔστι διόρθωσις. θάρσει μὴ ἀπελπί-
σῃς. οὐκ ἔστι νόμος καταδικάζων τὸν χωρὶς οἰκτιρ-
μῶν θάνατον, ἀλλὰ χάρις ὑπερτιθεμένη τὴν
κόλασιν, ἐκδεχομένη τὴν διόρθωσιν. οὔ-
πω ἐκλείσθησαν αἱ θύραι. ἀκούει
ὁ νυμφίος οὐ κρατεῖ ἁμαρ-
τία. ἀναπάλαισον πά-
λιν μὴ κατοκνή-
σῃς, καὶ
σεαυτὸν οἰκτείρησον, καὶ πάντας ἡμᾶς.

αἱ τῷ Ἰακὼβ ὀφθεῖσαι. ἐνταῦθα ἡ ἔρημος ἐν ᾗ ὁ λαὸς ἁγνισθεὶς ἐνομοθετήθη, καὶ οὕτως εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσῆλθεν. ἐνταῦθα τὸ ὄρος τὸ Καρμήλιον ἐν ᾧ Ἠλίας αὐλιζόμενος τῷ θεῷ εὐηρέστησεν. ἐνταῦθα πεδίον ἐν ᾧ ἀναχωρήσας Ἔσδρας, πάσας τὰς θεοπνεύστους βίβλους προστάγματι θεοῦ ἐξηρεύξατο. ἐνταῦθα ἡ ἔρημος ἐν ᾗ ὁ μακάριος Ἰωάννης ἀκριδοφαγῶν, μετάνοιαν τοῖς ἀνθρώποις ἐκήρυξεν. ἐνταῦθα τὸ ὄρος τῶν ἐλαιῶν εἰς ὃ ὁ Χριστὸς ἀνερχόμενος προσηύχετο ἡμᾶς διδάσκων προσεύχεσθαι. ἐνταῦθα ὁ Χριστὸς ὁ τῆς ἐρημίας φίλος. φησὶ γάρ. ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. ἐνταῦθα ἡ στενὴ καὶ τεθλιμμένη ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. ἐνταῦθα διδάσκαλοι καὶ προφῆται, οἱ ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. ἐνταῦθα ἀπόστολοι καὶ εὐαγγελισταὶ, καὶ ὁ τῶν μοναχῶν ἐρημοπολίτης βίος. ταῦτα τοίνυν ἑκουσίως καταδέδεγμαι, ἵνα λάβω ἅπερ τοῖς μάρτυσι τοῦ Χριστοῦ, καὶ τοῖς ἄλλοις πᾶσιν ἁγίοις ἐπήγγελται, ἵνα ἀψευδῶς λέγω. διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. ἔγνων γὰρ τὸν μὲν θεοφιλῆ Ἀβραὰμ τῇ τοῦ θεοῦ φωνῇ πειθόμενον, καὶ εἰς τὴν ἔρημον μετοικοῦντα. Ἰσαὰκ δὲ καταδυναστευόμενον, καὶ Ἰακὼβ τὸν πατριάρχην ξενιτεύοντα. Ἰωσὴφ τὸν σώφρονα διαπιπρασκόμενον. τοὺς τῆς ἐγκρατείας εὑρετὰς τρεῖς παῖδας πυρομαχοῦντας. Δανιὴλ δεύτερον εἰς λάκκον λεόντων βαλλόμενον. τὸν παρρησιαστὴν Ἠσαΐαν, τῶν ἀποκρύφων θεατὴν πριζόμενον. τὸν Ἰσραὴλ αἰχμαλωτιζόμενον. Ἰωάννην τὸν τῆς μοιχείας ἔλεγχον ἀποτεμνόμενον. ἀναιρουμένους τοὺς Χριστοῦ μάρτυρας. καὶ ἵνα τί μακρολογῶ. ὅπου γε καὶ αὐτὸς ὁ σωτὴρ ἐσταυρώθη ὑπὲρ ἡμῶν, ἵνα τῷ ἑαυτοῦ θανάτῳ ἡμᾶς ζωοποιήσῃ, καὶ πάντας ἡμᾶς πρὸς τὴν ὑπομονὴν ἀλείψῃ καὶ ἑλκύσῃ. πρὸς τοῦτον ἐπείγομαι, καὶ πρὸς τὸν πατέρα, καὶ τὸ ἅγιον πνεῦμα, γνησίως εὑρεθῆναι ἀγωνίζομαι, ἀνάξιον ἐμαυτὸν κρίνας τῶν τοῦ κόσμου καλῶν. ἀλλ᾽ οὐδὲ ἐγὼ διὰ τὸν κόσμον, ἀλλ᾽ ὁ κόσμος δι᾽ ἐμέ. ταῦτα οὖν ἐν ἑαυτῷ ἐπιλογιζόμενος, καὶ τελῶν αὐτὰ σπουδαίως κατὰ τὸ εἰρημένον σοι. ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας ἕως θανάτου. καὶ γὰρ ὁ Χριστὸς ὑπήκοος γέγονε μέχρι θανάτου. ἀλλὰ καὶ ὁ ἀπόστολος φησί. βλέπετε μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ, εἰς τὸ ἀποστῆναι θεοῦ ζῶντος. ἀλλὰ ἀλλήλους παρακαλεῖτε. καὶ εἰς τὸν ἕνα οἰκοδομεῖτε, ἄχρις οὗ τὸ σήμερον λέγεται. τὸ γὰρ σήμερον, σημαίνει ὅλον τὸν χρόνον τῆς ζωῆς ἡμῶν. οὕτως οὖν πολιτευόμενος ἀδελφὲ, καὶ σεαυτὸν σώσεις, καὶ ἡμᾶς εὐφρανεῖς, καὶ τὸν θεὸν δοξάσεις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

τοῦ αὐτοῦ νουθεσία πρὸς τοὺς νέους.

Μάθε σὺ ὁ μονάζων καὶ πιστὸς ἄνθρωπος, καὶ τῆς εὐσεβείας ἐργάτης, καὶ διδάχθητι εὐαγγελικὴν πολιτείαν. σώματος δουλαγωγίαν, φρόνημα ταπεινόν. ἐννοίας καθαρότητα. ὀργῆς ἀφανισμόν. ἀγγαρευόμενος προστίθει διὰ τὸν κύριον. ἀποστερούμενος μὴ δικάζου. μισούμενος ἀγάπα. διωκόμενος ἀνέχου. βλασφημούμενος παρακάλει. νεκρώθητι τῇ ἁμαρτίᾳ, σταυρώθητι τῷ θεῷ. ὅλην τὴν μέριμναν μετάθες ἐπὶ τὸν κύριον, ἵνα εὑρεθῇς ὅπου ἀγγέλων μυριάδες, πρωτοτόκων πανηγύρεις, ἀποστόλων θρόνοι, προφητῶν προεδρίαι, σκῆπτρα πατριαρχῶν, μαρτύρων στέφανοι, δικαίων ἔπαινοι. ἐκείνοις σεαυτὸν τοῖς δικαίοις ἐπιθύμησον συναριθμηθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

τοῦ αὐτοῦ πρὸς μοναχὸν ἐκπεσόντα.

Χαίρειν οὐ λέγομεν, ὅτι οὐκ ἔστι χαίρειν ἐν τοῖς ἀσεβέσιν. ἔτι γὰρ ἀπιστίαν μοι παρέχει, καὶ οὐκ ἐπιδέχεταί μου εἰς τὴν καρδίαν τὸ τηλικοῦτον ἀτόπημα καὶ τὸ ἐπιχείρημα τὸ μέγα ὃ ἐπεπράξω, εἴγε κατὰ τὸ φαινόμενον ἤδη πᾶσιν οὕτως ἔχει. θαυμάζω γὰρ πῶς ἡ τοσαύτη σοφία κατεπόθη, πῶς ἡ τοσαύτη ἀκρίβεια διελύθη. πόθεν ἡ τοσαύτη τύφλωσις περιεχύθη. πῶς μηδὲν τὸ σύνολον ἐννοήσας, τοιαύτην καὶ τοσαύτην ἀπώλειαν ψυχῶν εἰργάσω. εἰ γὰρ ἀληθὲς τοῦτο, παραδέδωκας καὶ τὴν σαυτοῦ ψυχὴν τῷ βυθῷ, καὶ πάντων τῶν ἀκουόντων τὴν εὐσέβειαν ταύτην, τὸν τόνον παρέλυσας, τὴν πίστιν ἠθέτησας. τοῦ ἀγῶνος τοῦ καλοῦ ἠστόχησας. διὸ ἀλγῶ ἐπὶ σοί. ποῖος γὰρ ἱερεὺς ἀκούων ἐπὶ σοὶ οὐ θρηνήσει. ποῖος ἐκκλησιαστικὸς οὐ κόπτεται. ποῖος λαϊκὸς οὐ σκυθρωπάζει. ποῖος ἀσκητὴς οὐ πενθεῖ. τάχα καὶ ὁ ἥλιος ἐσκότασεν ἐπὶ τῷ σῷ πτώματι, καὶ αἱ δυνά-

σοι χρήματα, γνοὺς δὲ τινας ἐλλειπομένους αὐτῷ ἐκείνῳ ᾧ ὑπάρχει τὰ χρήματα, ἀπο-
κομίσαι τοῖς στερουμένοις ἀδελφοῖς συμβουλεύσον. μήποτε μολύνει σου τὴν συνείδη-
σιν ἡ τῶν χρημάτων ὑποδοχή. τὰς ἡδονὰς φεῦγε. τὴν ἐγκράτειαν δίωκε. καὶ τὸ μὲν
σῶμα τοῖς πόνοις ἄσκει. τὴν δὲ ψυχὴν τοῖς πειρασμοῖς ἔθιζε. τὴν σώματος καὶ ψυχῆς
ἀνάλυσιν, ἀπαλλαγὴν παντὸς κακοῦ τιθέμενος. ἐκδέχου τῶν αἰωνίων ἀγαθῶν τὴν
ἀπόλαυσιν, ὧν πάντοτε οἱ ἅγιοι μέτοχοι γεγόνασι. σεαυτὸν ἀδιαλείπτως συγκρότησον.
ἀντιπαρατίθεσο τῇ διαβολικῇ ἐννοίᾳ τὸν εὐσεβῆ λογισμὸν ὥσπερ ἐπὶ τρυτάνης τῇ ῥο-
πῇ τῆς πλάστιγγος τοῦτο παραχωρῶν. καὶ μάλιστα ὅταν ἐπαναστᾶσα ἡ πονηρὰ ἔννοια
λέγῃ. τί σοι τὸ ὄφελος τῆς ἐν τῷ τόπῳ τούτῳ διαγωγῆς. τί σοι τὸ κέρδος τῆς ἀναχωρή-
σεως τῆς ἀπὸ τῆς τῶν ἀνθρώπων συνηθείας. ἢ οὐκ ἔγνως τοὺς παρὰ τοῦ θεοῦ τεταγμέ-
νους ἐπισκόπους τῶν τοῦ θεοῦ ἐκκλησιῶν τοὺς αὐτόθι συνήθως συνοδιάζοντας, καὶ τὰς
πνευματικὰς ἀδιαλείπτως ἐπιτελοῦντας πανηγύρεις, ἐν αἷς μάλιστά που τοῖς παρα-
γινομένοις γίνεται ὄφελος; ἐκεῖ γὰρ ἀποκαλύψεις παροιμιακῶν αἰνιγμάτων, λύσεις ἀ-
ποστολικῶν διδαγμάτων, εὐαγγελικῶν νοημάτων ἐκθέσεις, θεολογίας ἀκροάσεις. ἀδελ-
φῶν πνευματικῶν συντυχίαι. μεγάλην τοῖς ἐντυγχάνουσιν ἐκ τῆς θέας τοῦ προσώπου τὴν
ὠφέλειαν παρεχόντων. σὺ δὲ τοσούτων ἀγαθῶν ἀλλότριον σεαυτὸν καταστήσας. κάθη-
σαι ἐνθάδε ἐξηγριωμένος ἴσως τοῖς θηρσίν. ὁρᾷς γὰρ ἐνταῦθα ἐρημίαν πολλήν, ἀπαιδευσίαν
οὐκ ὀλίγην, ἀπορίαν διδασκαλίας, ἀδελφῶν ἀλλοτρίωσιν. καὶ τὸ πνεῦμα τὸ δὲ τὴν ἐν
πόλει τοῦ θεοῦ ἀργίαν ἔχον πολλήν. ὅταν οὖν τοιαύταις καὶ τοσαύταις σε εὐλογοφανέ-
σι προφάσεσιν ἐπαναστᾶσα ἡ πονηρὰ ἔννοια καταρρῆξαι θέλῃ. ἀντιπαράθες αὐτῇ διὰ
τοῦ εὐσεβοῦς λογισμοῦ τὴν πεῖραν τοῦ πράγματος λέγων. ἐπειδὴ σὺ λέγεις μοι καλὰ τὰ
ἐν τῷ κόσμῳ εἶναι, διὰ τοῦτο ἐγὼ ἐνταῦθα μετῴκησα, ἀνάξιον ἐμαυτὸν κρίνας τῶν τοῦ
κόσμου καλῶν; παραμέμικται γὰρ τοῖς τοῦ κόσμου καλοῖς τὰ κακά. καὶ μᾶλλον ὑπεραί-
ρει τὰ κακά. παραγινόμενος γάρ ποτε ἐν ταῖς πνευματικαῖς πανηγύρεσιν, ἐνὶ μὲν ἀδελ-
φῷ μόλις ποτὲ περιέτυχον. τῷ μὲν δοκεῖν φοβουμένῳ τὸν κύριον. κρατουμένῳ δὲ ὑπὸ τοῦ
διαβόλου, καὶ ἤκουσα παρ᾽ αὐτοῦ λόγους κομψούς, καὶ μύθους πεπλασμένους εἰς ἀπά-
την τῶν ἐντυγχανόντων, πολλοῖς δὲ μετ᾽ αὐτὸν συνέτυχον κλέπταις, ἅρπαξι, τυράννοις,
εἶδον μεθυόντων σχῆμα ἄσχημον, τὰ αἵματα τῶν καταπονουμένων. εἶδον δὲ καὶ κάλλος
γυναικῶν βασανίζον μου τὴν σωφροσύνην. καὶ τὸ μὲν τῆς πορνείας ἔργον διέφυγον.
τὴν δὲ ἐμαυτοῦ παρθενίαν ἐμόλυνα κατὰ διάνοιαν καρδίας. καὶ πολλῶν μὲν ἀκήκοα λό-
γων ψυχωφελῶν. πλὴν παρ᾽ οὐδενὶ τῶν διδασκάλων ἀρετὴν ἀξίαν τῶν λόγων εὕρηκα. μετὰ
τοῦτο πάλιν μυρίων ἤκουσα τραγῳδημάτων. μέλεσι τεθρυμμένοις ἐνδεδυμένων. πάλιν
ἀκήκοα κιθάρας ἠδυηχούσης. τὸν κρότον τῶν ὀρχουμένων, τῆς φωνῆς τῶν γελοιαστῶν.
μωρολογίας πολλῆς καὶ εὐτραπελίας, ὄχλου ἀμυθήτου βοήν. εἶδον τὰ δάκρυα τῶν συλη-
θέντων. τὰς ὀδύνας τῶν ἐπαγομένων ὑπὸ τῆς τυραννίδος. τὴν οἰμωγὴν τῶν βα-
σανιζομένων, καὶ εἶδον, καὶ ἰδοὺ οὐκ ἦν πανήγυρις πνευματική, ἀλλὰ θάλασσα ἀνα-
μιξομένη καὶ ταραττομένη. πάντας ὁμοῦ τοῖς αὐτοῖς κύμασι καλύψαι σπουδάζουσα.
λέγει μοι ἡ κακὴ ἔννοια, καὶ ὁ τῆς προσκαίρου ἡδυπαθείας καὶ κενοδοξίας δαίμων, τί μοι
τὸ ὄφελος τῆς τούτων θεωρίας τε καὶ ἀκροάσεως. μηδενὶ τῶν ἀδικουμένων βοηθῆσαι
ἰσχύοντι. μήτε δὲ τοῖς ἀδυνάτοις ἐπαμῦναι. μήτε τοὺς σφαλλομένους διορθώσασθαι
συγχωρουμένῳ. τάχα δὲ μᾶλλον τι καὶ ἐμαυτὸν προσαπολλύντι, ὥσπερ γὰρ ὀλίγον
ὕδωρ καθαρὸν ὑπὸ πολλῆς ζάλης ἀνέμων καὶ κονιορτοῦ ἀφανίζεται, οὕτως ἃ νομίζο-
μεν καλὰ ἐν τῷ βίῳ ποιεῖν, ὑπὸ τοῦ πλήθους τῶν κακῶν καλύπτεται. αἱ μὲν γὰρ τρα-
γῳδίαι ὥσπερ σκόλοπες τοῖς κατὰ τὸν βίον δι᾽ εὐθυμίας καὶ χαρᾶς ἐν ταῖς καρδίαις αὐ-
τῶν ἐμπήσσονται, ἵνα τῆς ψαλμῳδίας ἐπισκοτίσῃ τὸ καθαρόν. αἱ δὲ οἰμωγαὶ καὶ ὁ ὀ-
δυρμὸς τῶν ἀδικουμένων ἀνθρώπων, παρὰ τῶν ὁμοφύλων ἐπάγονται, ἵνα δειχθῇ τῶν
πενήτων ἡ ὑπομονή. τίς οὖν ὠφέλεια ἐμοί, ἢ δῆλον ὅτι τῆς ψυχῆς ἡ βλάβη. διὰ τοῦτο οὖν
ἐγὼ μετανάστευσα ἐπὶ τὰ ὄρη ὡς στρουθίον. ὡς στρουθίον γὰρ ἐρρύσθην ἐκ τῆς παγίδος τῶν θη-
ρευόντων. καὶ γὰρ ἐν ταύτῃ τῇ ἐρήμῳ διάγω ᾗ κακὴ ἔννοια ἐν ᾗ ὁ Χριστὸς διέτριβον. ἐνταῦ-
θα ἡ δρῦς ἡ μαβρή. ἐνταῦθα ἡ ὠσποφόρος κλίμαξ, καὶ αἱ τῶν ἀγγέλων παρεμβολαί,

αἱ τῷ

ἀλλομένων

σας, ἑαυτῷ ἀγχόνην ἐπραγματεύσατο. τοῦτο οὖν γνωστόν σοι ἔστω ἀδελφὲ, ὅτι οὐχ ὁ καλῶς ἀρχόμενος οὗτος τέλειος, ἀλλ᾽ ὁ καλῶς ἀποπληρούμενος οὗτος δόκιμος παρὰ θεῷ. μὴ οὖν δῷς ὕπνον τοῖς ὀφθαλμοῖς ἀδελφὲ, μηδὲ νυσταγμὸν τοῖς βλεφάροις. ἵνα σωθῇς ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. βλέπε ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπάνω τείχους ὑψηλοῦ περιπατεῖς, ὅθεν οὐκ ἀκίνδυνον τῷ καταπεσόντι τὸ πτῶμα. μὴ οὖν ἀθρόως εἰς ἀκρότητα ἀσκήσεως ἐκτείνῃς σεαυτόν. μάλιστα μηδὲ θαρρήσῃς σεαυτῷ, ἵνα μὴ ἐξαπιναίως ἀφύψοις τῆς ἀσκήσεως πέσῃς. κρεῖσσον γὰρ ἡ κατ᾽ ὀλίγον προκοπή. κατὰ μικρὸν οὖν κλέπτε τὰς ἡδονὰς τοῦ βίου. ἐξαφανίζων σεαυτοῦ πᾶσαν συνήθειαν, μήποτε ἀθρόως πάσας ὁμοῦ ἐρεθίσας τὰς ἡδονὰς ὄχλον πειρασμῶν σεαυτῷ ἐπαγάγῃς. ἡνίκα δ᾽ ἂν τοῦ ἑνὸς πάθους τῆς ἡδονῆς κατὰ κράτος περιγένῃ πρὸς τὴν ἑτέραν ἡδονὴν παράταξαι, καὶ οὕτω πασῶν τῶν ἡδονῶν εὐκαίρως περιγενήσῃ. ἡδονῆς γὰρ ὄνομα μὲν ἓν, πράγματα δὲ διάφορα. τοίνυν ἀδελφὲ. ἔσο πρῶτον μὲν ὑπομονητικὸς πρὸς πάντα πειρασμόν. πειρασμοῖς δὲ ποταποῖς δοκιμάζεται ὁ πιστός. ζημίαις κοσμικαῖς. ἐγκλήμασι, καταψεύσμασιν. ἀπειθείαις, καταλαλιαῖς, διωγμοῖς. εἰς ταῦτα καὶ τὰ τοιαῦτα δοκιμάζεται ὁ πιστός. ἔπειτα δὲ καὶ ἡσύχιος ἔσο. μὴ προπετὴς ἐν λόγῳ, μὴ ἐριστικός. μὴ φιλόνεικος. μὴ κενόδοξος. μὴ ἐξηγητικός. ἀλλὰ φιλόπιστος. μὴ ἐν λόγῳ πολύς. ἕτοιμος δὲ ἴσθι ἀεὶ, μὴ πρὸς διδασκαλίαν, ἀλλὰ πρὸς μάθησιν. μὴ περιεργάζου βίους κοσμικοὺς, ὅθεν οὐδέν σοι προσγίνεται ὄφελος. φησὶ γάρ. ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. ὁ γὰρ ἡδέως λαλῶν τὰ τῶν ἁμαρτωλῶν, ἑτοίμως καθ᾽ ἑαυτοῦ ἐξυπνίζει τὰς ἡδονάς. μᾶλλον δὲ πολυπραγμόνει τὸν τῶν δικαίων βίον. οὕτω γὰρ ἂν εὑρήσεις ἐν ἑαυτῷ ὄφελος. μὴ ἔσο φιλοπλάνητος περιάγων τὰς κώμας ἢ τὰς οἰκίας. φεῦγε δὲ ταύτας ὡς ψυχῶν παγίδας. εἰ δέ τις διὰ πολλὴν εὐλάβειαν προτρέπεταί σε εἰς τὸν ἑαυτοῦ οἶκον πολλῶν προφάσεων ἕνεκα, μανθανέτω ὁ τοιοῦτος ἀκολουθεῖν τῇ πίστει ἑκατοντάρχου, ὃς τοῦ ἰησοῦ θεραπείας χάριν πρὸς αὐτὸν ἐπειγομένου παρῃτήσατο λέγων. κύριε οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγον καὶ ἰαθήσεται ὁ παῖς μου. τοῦ δὲ ἰησοῦ εἰπόντος αὐτῷ, ὕπαγε ὡς ἐπίστευσας γενηθήτω σοι, ἰάθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. τοῦτο οὖν γνωστόν σοι ἔστω ἀδελφὲ, ὅτι οὐχ ἡ τοῦ χριστοῦ παρουσία, ἀλλ᾽ ἡ πίστις τοῦ αἰτοῦντος ἠλευθέρωσε τὸν κάμνοντα, οὕτω καὶ νῦν. σοῦ εὐχομένου ἐν ᾧ ἢ τόπῳ, καὶ τοῦ κάμνοντος πιστεύοντος, ὅτι ταῖς εὐχαῖς βοηθήσεται, ἀποβήσεται αὐτῷ πάντα καταθυμίως. πλέον δὲ τοῦ χριστοῦ τοὺς οἰκείους σου μὴ ἀγαπήσεις. ὁ γὰρ ἀγαπῶν φησὶ πατέρα ἢ μητέρα, ἢ ἀδελφοὺς ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. τί δὲ βούλεται ἡ τοῦ χριστοῦ ἐντολή; ὅστις φησὶν οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ μοι, οὐ δύναταί μου εἶναι μαθητής. εἰ συναπέθανες τῷ χριστῷ, ἀπὸ τῶν συγγενῶν σου τῶν κατὰ σάρκα, τί πάλιν ἐν αὐτοῖς ἀναστρέφεσθαι θέλεις; εἰ δὲ ἃ κατέλυσας διὰ χριστὸν, πάλιν ταῦτα οἰκοδομεῖς διὰ τοὺς συγγενεῖς σου, παραβάτην σεαυτὸν καθιστᾷς. μὴ οὖν διὰ χρέος τῶν συγγενῶν σου ἀναχωρήσῃς τοῦ τόπου σου. ἀναχωρῶν γὰρ ἐκ τοῦ τόπου σου, ἴσως ἀναχωρήσῃς ἐκ τοῦ τρόπου σου. μὴ ἔσο ὀχλοχαρής. μὴ φιλόχωρος. μὴ φιλοπολίτης. ἀλλὰ φιλέρημος. ἐφ᾽ ἑαυτὸν μένων ἀεί. ἀμετεώριστος. τὴν εὐχὴν καὶ τὴν ψαλμῳδίαν ἔργον ἡγούμενος, μηδὲ τῶν ἀναγνωσμάτων καταλιγωρήσῃς. μάλιστα τῆς νέας διαθήκης, διὰ τὸ ἐκ τῆς παλαιᾶς διαθήκης πολλάκις βλάβην ἐγγίνεσθαι. καὶ οὐχ ὅτι ἡ γραφὴ βλαβερὰ, ἀλλ᾽ ὅτι ἡ τῶν βλαπτομένων διάνοια ἀσθενής. πᾶς γὰρ ἄρτος τρόφιμος, ἀλλὰ τοῖς ἀσθενοῦσιν ἐστὶ βλαβερός. οὕτως οὖν πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος, καὶ οὐδὲν κοινὸν δι᾽ αὐτῆς, εἰ μὴ τῷ λογιζομένῳ κοινὸν εἶναι, ἐκείνῳ κοινόν. πάντα δὲ δοκίμαζε. τὸ καλὸν κάτεχε. ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχου. πάντα γὰρ ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. ἔσο οὖν τοῖς συντυγχάνουσί σοι ἐν πᾶσιν ἀπρόσκοπος. προσχαρὴς ὁ φιλάδελφος, ἡδὺς, ταπεινόφρων, μὴ ἐκπίπτων τοῦ σκοποῦ τῆς φιλοξενίας, διὰ βρωμάτων πολυτελῶν. ἀρκούμενος δὲ τοῖς παροῦσι τῆς καθημερινῆς χρείας τοῦ μονήρους βίου. μηδὲν πλέον ἀπό τινος λάβῃς. καὶ μάλιστα φύγε τὸν χρυσὸν ὡς ψυχῆς ἐπίβουλον, καὶ ἁμαρτίας πατέρα. ὑπουργὸν δὲ τοῦ διαβόλου, μὴ προφάσει τῆς εἰς τοὺς πένητας διακονίας, σεαυτὸν ὑπόδικον φιλοχρηματίας καταστήσῃς. εἰ δέ τις πτωχῶν ἕνεκα κομίσῃ

τα πενιότητι τῆς ἡμετέρας διανοίας ἐπιχορήγησιν εἰς παράκλησιν ἡμῶν τῶν τὸν κοινωνικὸν βίον ἀσπασαμένων. οὕτω γὰρ ὡς ὁ λόγος, καὶ ἡ ἡμετέρα κατὰ τὸ δὲ δίαιτα, οὐδὲ λαμπροτέραν, οὐδὲ χαριεστέραν οὔτε ὑψηλοτέραν ἀριθμεῖν ἂν ἐν ἀνθρώποις πολίτευμα. ἐπειδὴ δὲ καὶ τοῖς τῷ μοναδικῷ βίῳ προσέχουσι τὴν ἐνοῦσαν παράκλησιν εἰσηνέγκαμεν, εἷς δὲ καὶ ὁ αὐτὸς ἑκατέροις σκοπὸς, τὸ εὐαρεστῆσαι τῷ Χριστῷ, καὶ συγγενῆ τὰ ὧδε τούτων πολιτεύματα, κἀκείνων τὸν λόγον ἐπίσωμεν. ἴσως γάρ τι κἀκεῖθεν τούτῳ τῷ λόγῳ συνεισενεχθήσεται χρήσιμον, λαμπροτέραν ἔτι πλέον καὶ διακοσμεῖν τὴν πολιτείαν δυνάμενον.

τέλος.

τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Χίλωνα, τὸν αὐτοῦ μαθητήν.

Ἐκτηθείσῃ πράγματος ἀγαθοῦ γενήσομαί σοι, ὦ γνήσιε ἀδελφέ, εἰ ἡδέως συμβουλὰς δέξῃ παρ᾽ ἡμῶν τὰ πρακτέα. μάλιστα ὧδε ὧν ἡμᾶς αὐτὸς παρεκάλεσας συμβουλεῦσαί σοι. τὸ μὲν γὰρ κατάρξασθαι τοῦ μονήρους βίου, πολλοῖς ἴσως τετόλμηται. τὸ δὲ ἀξίως ἐπιτελέσαι ὀλίγοις τάχα που πεπόνηται. καὶ πάντως οὐκ ἐν προθέσει μόνον τὸ τέλος ὑπάρχει, ἀλλ᾽ ἐν τῷ τέλει τὸ κέρδος τῶν πεπονημένων. οὐκοῦν οὐδὲν ὄφελος τοῖς μὴ πρὸς τὸ τοῦ σκοποῦ τέλος ἐπειγομένοις. ἄχρι δὲ τῆς ἀρχῆς μόνης ἱστῶσι τὸν τῶν μοναχῶν βίον, οὐ μὴν δὲ ἀλλὰ καὶ καταγέλαστον καταλιμπάνουσι τὴν ἑαυτῶν πρόθεσιν. ἀνανδρίας
» καὶ ἀβουλίας παρὰ τῶν ἔξωθεν ἐγκαλούμενοι. φησὶ γὰρ καὶ ὁ κύριος ὧδε τῶν τοιούτων.
» τίς βουλόμενος οἶκον οἰκοδομῆσαι οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ
» πρὸς ἀπαρτισμόν, μήποτε θέντες αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύοντος ἐκτελέσαι, ἄρξωνται ἐμπαίζειν αὐτῷ οἱ παραπορευόμενοι λέγοντες. ὅτι ὁ ἄνθρωπος οὗτος θεμέλιον
» ἔθηκε καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι. ἡ οὖν ἀρχὴ ἐχέτω τὴν προκοπὴν προθύμως ἐπὶ τῷ κατορθώματι, καὶ ὁ γενναιότατος ἀθλητὴς Παῦλος βουλόμενος μὴ ἐπαναπαύεσθαι τοῖς προβεβιωμένοις ἀγαθοῖς, ἀλλ᾽ ὁσημέραι εἰς τὸ πρόσω προκόπτειν, λέγει. τῶν ὄπισθεν ἐπι-
» λανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον
» τῆς ἄνω κλήσεως. τοιοῦτος γὰρ ὑπάρχει ὁ τῶν ἀνθρώπων βίος, μὴ ἀρκούμενος τοῖς φθάσασιν, ἀλλὰ τρεφόμενος. οὐ τοῖς φθάσασι μᾶλλον, ἀλλὰ τοῖς μέλλουσι. τί γὰρ ὠφελεῖ ἄνθρωπον ὁ χθιζὸς τῆς γαστρὸς κόρος. σήμερον τῆς ἐμφύτου πείνης τὴν οἰκείαν τῆς βρώσεως παραμυθίαν μὴ ἀπαιτούσης. οὕτως οὖν οὐδὲ ψυχῆς κέρδος τοῦ χθεσινοῦ κατορθώματος, τῆς σημερινῆς ἀπολιμπανομένου δικαιοπραγίας. οἷον γὰρ εὕρω σε φησί, τοιοῦτόν σε κρινῶ. οὐκοῦν μάταιος μὲν τοῦ δικαίου ὁ κόπος. ἀνέγκλητος δὲ καὶ τοῦ ἁμαρτωλοῦ ὁ τρόπος, ἐπιγενομένης ἐναλλαγῆς. τῷ μὲν ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον. τῷ δὲ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον μεταβληθέντι. ταῦτα καὶ τοῦ Ἰεζεκιὴλ ὡς
» ἐκ προσώπου τοῦ κυρίου δογματίζοντος ἔστιν ἀκοῦσαι. ἐὰν γὰρ φησὶν ἐκκλίνας ὁ δίκαιος
» πλημμελήσῃ, οὐ μὴ μνησθῶ τῶν δικαιοσυνῶν ὧν ἐποίησεν ἔμπροσθεν, ἀλλ᾽ ἐν τῇ ἁμαρ-
» τίᾳ αὐτοῦ ἀποθανεῖται. τὸ δὲ αὐτό φησι καὶ ὧδε τοῦ ἁμαρτωλοῦ. ἐὰν ἐπιστρέψας
» ποιήσῃ δικαιοσύνην, ὅτι ζωῇ ζήσεται ἐν αὐτῇ. ποῦ γὰρ οἱ τοσοῦτοι Μωϋσῆ τοῦ θεράποντος πόνοι, τῆς ἐν στιγμῇ ἀντιλογίας παραγραψαμένης αὐτοῦ τὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἴσοδον. ποῦ δὲ καὶ ἡ τοῦ Γιεζῆ συναναστροφὴ πρὸς τὸν Ἐλισσαῖον, φιλοχρηματίας χάριν, λέπραν ἐπισπασαμένου. τί δὲ καὶ τοῦ πλήθους τῆς σοφίας τῷ Σολομῶντι ὄφελος, καὶ ἡ προλαβοῦσα τοιαύτη εὔνοια εἰς θεὸν, ὕστερον γυναικὸς μανίας, εἰς εἰδωλολατρείαν αὐτοῦ ἐκπεπτωκότος. ἀλλ᾽ οὐδὲ τὸν μακάριον Δαβὶδ ὁ μετεωρισμὸς ἀφῆκεν ἀνέγκλητον, διὰ τὴν εἰς τοῦ Οὐρίου πλημμέλειαν. ἀρκεῖ δὲ καὶ ἡ τοῦ Ἰούδα ἀπὸ τοῦ κρείττονος εἰς τὸ χεῖρον μετάπτωσις, πρὸς ἀσφάλειαν τοῦ κατὰ θεὸν πολιτευομένου, ὃς ἐν τοσούτοις χρόνοις μαθητευθεὶς τῷ Χριστῷ, ὕστερον μικρῷ λήμματι τὸν διδάσκαλον ἀπεμπολή-

ἀνεπιτίμητον προσήκει μένειν ἀδελφοῦ χωρισμὸν, ἵν᾿ εἰ καὶ ἐν κρίσει τοῦ προεστῶτος ἐπ᾿ οἰκονομίᾳ τινὶ γίνεται.

Ὅτι οὐ χρὴ τὸν ἐν συστήματι πολιτευόμενον ἀσκητὴν ἴδιά τι κεκτῆσθαι τῶν ὑλικῶν. λε'.

Προσήκει μέντοι τὸν ἀσκητὴν τὴν προεκτεθεῖσαν κοινωνίαν ἑλόμενον, πάσης ἰδιαζούσης τῶν ὑλικῶν κτήσεως ἐλεύθερον εἶναι. εἰ γὰρ μὴ τοῦτο ποιεῖ, πρῶτον μὲν τὴν ἀκριβῆ κοινωνίαν διέφθειρε τῷ τῆς κτήσεως ἰδιάζοντι. ἔπειτα δὲ καὶ ἀπιστίας καθ᾿ ἑαυτοῦ μεγάλας ἐξήνεγκε δείγματα ὡς ἀπιστῶν τῷ θεῷ. ὅτι τοὺς ἐπὶ τῷ ὀνόματι αὐτοῦ συνηγμένους οὐ διαθρέψει. καὶ οὐκ ἀκούσας παρὰ τοῦ προφήτου δαβὶδ λέγοντος, νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. ἢ τὴν νοητοὺς τῆς φρονήσεως, ἢ τὴν αἰσθητὴν οἷς τὸ σῶμα τρέφεται. εἰ γὰρ ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν ἐπὶ τῷ ὀνόματι τοῦ χριστοῦ, ἐν μέσῳ αὐτῶν ἐστι, πολλῷ μᾶλλον ὅπου πολὺ πλεῖον, καὶ πολυανθρωπότερον ἄθροισμα. ἢ τοίνυν οὐδὲν ἐλλείψει τῶν ἀναγκαίων χριστοῦ παρόντος ἡμῖν, ὥσπερ μηδὲ τοῖς ἰσραηλίταις ἐν τῇ ἐρήμῳ τῶν χρησίμων οὐδὲ ἓν γέγονε, ἢ εἰ καὶ λείψει πρὸς δοκιμασίαν ἡμῶν, βέλτιον ἐνδεῶς ἔχειν, καὶ εἶναι μετὰ χριστοῦ, ἢ δίχα τῆς ἐκείνου κοινωνίας πᾶσι τοῖς κατὰ τὸν βίον πλουτεῖν. οὐ μέχρι τούτου δὲ τὴν βλάβην ἡ τοιαύτη κτῆσις ἵστησιν, ἀλλὰ πορρωτέρω προάγει. ὁ γὰρ ἴδιόν τι ἔχειν ἐσπουδακὼς, οὐδὲν ἕτερον ἢ χωρισμὸν καὶ ἀποστασίαν μελετᾷ. ὁ γὰρ μὴ πρὸς τοῦτο βλέπων, τί ἂν καὶ κτήσαιτο. εἰδὼς ὅτι τῇ τοῦ χριστοῦ χάριτι οἱ αὐτοῦ δοῦλοι ἐν ἀφθονίᾳ πάντων τῶν ἀναγκαίων διατελοῦσιν ἀεί. πρόδηλος οὖν ἐστιν ὁ τοιοῦτος ἀποκοπὴν καὶ νέκρωσιν τῆς οἰκείας ψυχῆς μελετῶν, καὶ τοῖς βραχίστοις ὀβολοῖς τὴν οἰκείαν σωτηρίαν ἀποδιδόμενος. καὶ δεῖ τέ μοι τολμῆσαι μικρόν. δεύτερός τις ἰούδας γενόμενος, ἀπὸ κλοπῆς ἀρχόμενος. κλοπὴ γὰρ ἡ ἰδιάζουσα κτῆσις. καὶ καταστρέφων εἰς προδοσίαν. προδίδωσι γὰρ καὶ αὐτὸς τὸν τῆς ἀληθείας λόγον, ὥσπερ ἐκεῖνος τὸν κύριον. ὅταν γὰρ ὁ μὲν κανὼν τοῦ βίου ἔχῃ μὴ δεῖ χωρίζεσθαι τοῦ συστήματος, ᾧ συνηρίθμημαι, μηδὲ ἰδιάζουσάν τινα κτῆσιν περιποιεῖσθαι, μηδὲ ὅλως λαθραίοντι διαπράττεσθαι, ἢ ἐπὶ βλάβῃ τοῦ ἀδελφοῦ πονηρὸν ὑπόδειγμα τοῖς συνεσομένοις γενόμενον, εἶτα παριδών τις τὸν φόβον τοῦ θεοῦ, καὶ τοὺς θεσμοὺς τοῦ ἁγίου πνεύματος, πρῶτον μὲν νοσφιμόν. νοσφισμὸς γάρ ἐστιν ἡ ὁπωσοῦν καὶ ὅθενοῦν ἰδιάζουσα κτῆσις, ἔπειτα δὲ καὶ ἀποστασίαν νοήσας καὶ χωρισμὸν, πῶς οὐχὶ τὸν λόγον τῆς ἀληθείας προδέδωκε; καὶ δεύτερος ἰούδας γεγένηται, κατὰ τὸ ἐγχωροῦν προδιδοὺς τὴν ἀλήθειαν; χρὴ τοίνυν παντὶ τρόπῳ φεύγειν, ἴδιά τι κεκτῆσθαι παρὰ τὰ κοινῇ πᾶσιν ὁμοῦ προσαγόμενα, καὶ οὐ ταύτῃ μόνον ἀκηλίδωτον τηρεῖν τὴν διάνοιαν, ἀλλὰ καὶ τὸν ἔνδον ἄνθρωπον πάντων μολυσμῶν ἐκκαθαίρειν. τοῦτο μὲν λογισμῶν ἀκαθάρτων καὶ πονηρῶν, τῶν ἐπιθολούντων τὸ ἔνδον τοῦ πνεύματος καταγώγιον. τοῦτο δὲ δόλου καὶ ὑποκρίσεως, καὶ βασκανίας, καὶ ἔριδος τῶν τὴν ἀγάπην προείργον ἀνασπώντων, καὶ τὸν θεὸν τῆς τῶν τούτων ψυχῆς ἐλαυνόντων. εἰ γὰρ ὁ θεὸς ἀγάπη ἐστὶν, ὁ τὴν ἀγάπην οὐκ ἔχων, τῆς θείας ἐστέρηται χάριτος. ἐν ταπεινοφροσύνῃ δὲ πάσῃ καὶ ἁγιασμῷ, καὶ ἑτοιμότητι τῇ πρὸς τὰς ἀγαθὰς πράξεις τὴν ἑαυτοῦ ψυχὴν ἕκαστον συντηροῦντα, πρὸς τὰ παρόντα συγκλείειν τὸν λογισμὸν, σκοπούμενον, ὅπως ἂν μὴ κατὰ τὸν παρόντα καιρὸν τινὸς τῶν τοῦ θεοῦ θελημάτων διαμαρτήσῃ, καὶ τὴν σύστασιν τῆς πολιτείας σπαράξῃ. ἡ γὰρ τοιαύτη κατάστασις τῆς ψυχῆς, παντὸς μὲν περισπασμοῦ ἀπαλλάξει ἡμᾶς. ἐν εὐλαβείᾳ δὲ καὶ ἑδραίῳ φρονήματι πᾶσι τοῖς καλοῖς παρασκευάσει συνέπεσθαι. τοῦτο πρὸ πάντων ἐν τῇ ψυχῇ καθιδρύοντας, ὅτι ὁ θεὸς ἀγαθὸς, καὶ πάντων ἀγαθῶν αἴτιος. κακοῦ δὲ οὐδοπωσποῦν οὐδενός, κἂν ἡμεῖς πρὸς τὴν χρείαν τῆς διορθώσεως δριμυτέρας τῆς θεραπείας γευσώμεθα. ἰατρὸς γὰρ ὢν ὁ θεὸς τῶν ἀνθρωπίνων ψυχῶν πρὸς τὴν φύσιν τῶν νοσημάτων τὴν τῶν φαρμάκων κέρασιν δύναμιν ἱκανὴν, ἐκκαθαίρειν βαθυτάτην κακίαν, ὅταν τούτου δεήσει. τοῦτο γοῦν εἰδότας σαφῶς εὐχαριστῶμεν ἀεί. κἂν σφοδροτέρας τῆς θεραπείας ἐπαισθανώμεθα, τὰς ὀλιγωρείας καθαιρόμενοι. τὸ δὲ διὰ πειρασμὸν καὶ δοκιμασίαν ὑπομένειν, ὀλίγων σφόδρα καὶ ἀβραμιαίων ἀνθρώπων. ταῦτα μὲν οὖν ὅσα ἡ τοῦ θεοῦ χάρις τοῦ

ἅπασιν ὁμοίως ὑγιὲς καὶ γνήσιον, ἑκάστου τὰς δυνάμεις ἐπισκοπεῖσθαι τοῦ σώματος, καὶ οὕτως ἐπινέμειν καὶ διακληροῦσθαι τὰ ἐπιτάγματα. κρίμα μέντοι μέγιστον ἕξουσιν οἱ τὴν ὑπάρχουσαν τοῦ σώματος δύναμιν, καὶ παρὰ θεοῦ δεδομένην ἀρνούμενοι, καὶ καταναισχυντοῦντες τῶν προεστώτων, καὶ τοῖς ἐπιτασσομένοις οὐκ εἴκοντες. εἰ γὰρ τῷ προεστῶτι κίνδυνον μέγαν καὶ ἀνυπόστατον φέρει τὸ ἀποκρύψαι τοῦ λόγου τὸ τάλαντον, καὶ μὴ ἑκάστῳ προμηνῦσαι τὴν ἐρχομένην ἐπὶ τῇ ἁμαρτίᾳ ῥομφαίαν, πολλῷ μᾶλλον οἴσει κίνδυνον τῷ λαμβάνοντι παρὰ τοῦ θεοῦ δύναμιν σώματος εἰς λυσιτέλειαν τοῦ κοινοῦ, καὶ ταύτην καταργοῦντι καὶ ἀποκρύπτοντι.

ὅτι οὐ δεῖ τοὺς ἀδελφοὺς λυπεῖσθαι τῶν ἀσθενεστέρων φειδοῦς ἀξιουμένων. λγʹ.

Μὴ μέντοι τοὺς ἀδελφοὺς λυπεῖσθαι καὶ ἀγανακτεῖν, ἐπειδὰν τοῖς ἀσθενεστέροις ὁ προεστὼς τὰς ἁρμοζούσας ἐγχειρίζοι διακονίας, καὶ φειδοῦς ἀξιώσῃ τούτους, οὕτω τῆς χρείας εἰσηγουμένης. ἀλλὰ τοὺς δυνατωτέρους ὡς μελῶν ἀσθενεστέρων φείδεσθαι τῶν δεομένων φειδοῦς. καὶ ταύτην πνευματικὴν ἀγάπην πληροῦν. οὐδὲ γὰρ ὁ πούς ἐν τῷ σώματι τῆς χειρὸς κατεξανίσταται. ἢ καὶ ταύτην εἰς τὴν οἰκείαν διακονίαν βιάσοιτο. οὐδὲ ἡ χεὶρ σύμπασα τῷ μικροτάτῳ δακτύλῳ τῆς οἰκείας ἐνεργείας ἐπιθήσει τὸ ἄχθος. ἀλλ' ἕκαστον τῶν μελῶν ἣν ἔλαχε παρὰ τῆς φύσεως δύναμιν ταύτην ἐνεργεῖν διαβαστάζων τὰ ἀσθενέστερα. ταύτης τῆς τάξεως ἐν πνευματικῷ συστήματι φυλαττομένης, δεδείξεται, ὅτι ὄντως ἐσμὲν σῶμα χριστοῦ, καὶ μέλη ἐκ μέρους, τὴν ἁρμονίαν τῆς συναφείας, καὶ τὴν πρὸς ἀλλήλους ἀστασίαστον ἕνωσιν διὰ παντὸς φυλάττοντος.

ὅτι οὐ χρὴ τοὺς προϊσταμένους τοῖς ἀποστατοῦσι τοῦ οἰκείου ἀθροίσματος ἀσκηταῖς παρρησίας μεταδιδόναι, ἢ τούτους εἰς κοινωνίαν βίου δέχεσθαι. λδʹ.

Χρὴ μέντοι καὶ τοὺς τῶν πνευματικῶν συστημάτων ἀφηγουμένους τὴν πρὸς ἀλλήλους ἀσκοῦντας εὔνοιαν, καὶ τὴν ἀλλήλων οἰκειουμένους φροντίδα, μὴ καταλύειν τὰ ἀλλήλων σπουδάσματα, μηδὲ ἁπλῶς καὶ ἀβασανίστως τοὺς ἀποστατοῦντας τῶν ἀδελφῶν ἀλλήλων ἀνθυποδέχεσθαι. τοῦτο γάρ ἐστι σύγχυσις παντελὴς καὶ διάλυσις, καὶ τοῦ πνευματικοῦ ἔργου καθαίρεσις. οἱ μὲν γὰρ συνετώτεροι τῶν ἀδελφῶν τῷ τοῦ θεοῦ φόβῳ κρατούμενοι, βεβαίως τῷ καλῷ παραμένουσιν. οἱ δὲ νωθέστεροι καὶ ῥαθυμότεροι, καὶ ὑπὸ τῆς πρὸς ἀνθρώπους αἰδοῦς, καὶ τῆς ἐπικειμένης ἐξ ἀνθρώπων ἀνάγκης πρὸς τὸ καλὸν παιδαγωγοῦνται καὶ διαθύνονται. ἂν τοίνυν ὁ ῥαθυμότερος ἴδῃ ἐξὸν αὐτῷ μηδὲ ἀδεῶς ἀποφεύγειν τοὺς ἐν τῷ ἅπαξ αἱρεθέντι συστήματι πόνους, καὶ μεθίστασθαι πρὸς ἑτέραν καταγωγὴν, καὶ βιοῦν ἀφυλάκτως καὶ ἀκρατῶς, ὡς κόλλης ἀποῤῥαγήσεται, καὶ τῆς αὐτοῦ ἀπωλείας ἔνοχος ὁ προχείρως ὑποδεχόμενος ἔσται, καὶ τὸ κακὸν τοῦτο προβαῖνον πολλάκις καὶ τοὺς καλῶς ἐλαύνοντας τῆς ὀρθῆς ὁδοῦ καὶ δικαίας ἐξίστησι. καὶ ἡ τῶν πάντων ἀπώλεια ἐπὶ τὸν διδόντα τὰς ἀφορμὰς τοῖς ὀλισθήμασι σωρευθήσεται. ἵνα οὖν μὴ τοῦτο γένηται, τοὺς ἀποστατοῦντας τῶν ἀδελφῶν ἢ νουθετῶμεν καὶ ἐπανάγωμεν ὅθεν ἐξέβησαν, ἢ μὴ πειθομένους ἡμῖν φυλαττώμεθα, καὶ ἀποστρεφώμεθα, καὶ τὴν συντυχίαν αὐτῶν παραιτώμεθα, καὶ τοῖς ἀδελφοῖς πᾶσι τοῦτο παρεγγυῶμεν. ὥστε αὐτοὺς γοῦν ἐκείνους σωφρονισθέντας τῇ τοιαύτῃ ἀποστροφῇ ἐπανελθεῖν ἐπὶ τὴν οἰκείαν μάνδραν, καὶ ὑπὸ τῷ ἀποκληρωθέντι ποιμένι ποιμαίνεσθαι. ἢ εἰ ἐκεῖνοι ἐμμένοιεν τῇ ἀθετήσει τῆς πνευματικῆς κοινωνίας. τοὺς γοῦν λοιποὺς θεασαμένους ὅπως βδελυκτοὶ γεγόνασι, σωφρονισθῆναι τῷ ὑποδείγματι, καὶ φεύγειν τὴν μίμησιν τὴν αἰσχύνην ἀποδιδράσκοντας. ὅτι δὲ οὐκ ἐμοὶ ταῦτα λόγοι, ἀλλ' ἐναργεῖς νόμοι τοῦ πνεύματος, αὐτὰ τὰ παύλου ῥήματα παραθήσομαι, δι' ὧν τοὺς ἀκρατῶς βιοῦντας ἐκόλασε. μετὰ τὸν ἄλλον καὶ
» τὸ μεθύοντα καὶ τοὺς λοιδόρους ἐπιτιμίοις ὑποβάλλων, ἐάν γάρ τις ἀδελφὸς ἢ πόρνος,
» φησὶν, ἢ λοίδορος, ἢ μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. καὶ πάλιν ἑτέρωθι περὶ τῶν
» μηδὲν ἐργαζομένων, ἀλλὰ περιεργαζομένων, ἔλεγε. τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμί-
» γνυσθε αὐτῷ. ὅτι δὲ ὁ τὰς ἐπὶ τῆς πίστεως συμβάσεις παρασπονδῶν, τὰ χείρονα τῶν λοιδόρων, καὶ τῶν μεθυόντων, καὶ τῶν ἐν ἀργίᾳ διατελούντων τολμᾷ, παντί που δῆλόν ἐστιν. ὥστε ἀκολούθως ὁ λόγος τοὺς καταλύοντας τὴν πνευματικὴν εὐταξίαν τῆς ὁμιλίας τῶν φυλαττόντων αὐτὴν εἴργεσθαι καὶ ἀποκωλύεσθαι παρεγγυᾷ. τότε δὲ μέν. ἐστ.

Ὅτι οὐ χρὴ ἰδίας ἀσχολίας ἔχειν τὸν ἀσκητήν. κη'.

Ἐξουσίαν δὲ αὐτοῦ, οὐδὲ πρὸς τὸ ἀχρειότατον ἔχοι ἂν ὁ ἀσκητὴς, ὥστε οἰκείαις ἀσχολίαις ἐνδιατρίβειν. οὐδὲ γὰρ ὄργανον δίχα τοῦ τεχνίτου κινεῖται ἄν, οὐδὲ μέλος τοῦ παντὸς σώματος ἐν βραχεῖ γοῦν χωρίζεσθαι δύναιτ' ἄν, ἢ κινεῖσθαι παρὰ τὸ δοκοῦν τῷ οὕτω τεχνίτῃ, καὶ ἐπιστάτῃ τοῦ παντὸς σώματος· οὐδὲ ἀσκητὴς παρὰ τὸ δοκοῦν τῷ προεστῶτι πράττειν τι ἢ ἐνεργεῖν χώραν ἔχει. εἰ δὲ λέγοι δι' ἀσθένειαν σώματος ἀτονεῖν πρὸς τὰ ἐπιτάγματα, τῷ καθηγουμένῳ ἐπιτρέψει τὴν δοκιμασίαν τῆς ἑαυτοῦ ἀσθενείας. ἄλλως δὲ καὶ τὸ τῆς γραφῆς λογισάμενος, ἑαυτὸν παρορμήσει πρὸς τὴν τῶν ἐπιτασσομένων ἐκπλήρωσιν· ἀκούων τῆς γραφῆς λεγούσης, οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ πάλιν ἑτέρωθι· διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε.

Ὅτι χρὴ τὸν προεστῶτα πνευματικῇ εὐνοίᾳ τὰ κατὰ τοὺς ὑπηκόους οἰκονομεῖν. κθ'.

Καὶ αὐτὸς δὲ ὁ καθηγούμενος, ὡς πατὴρ παίδων γνησίων ἐπιμελούμενος, ἐπισκέψεται τὴν χρείαν ἑκάστου ἀδελφοῦ, καὶ τὴν προσήκουσαν κατὰ τὸ ἐνὸν εἰσοίσει θεραπείαν καὶ ἐπιμέλειαν· καὶ τὸ κατὰ ἀλήθειαν ἀσθενοῦν μέλος, εἴτε ψυχικῶς, εἴτε σωματικῶς, μετὰ ἀγάπης καὶ τῆς πατρὶ πρεπούσης εὐνοίας διαβαστάσει.

Ὅτι οὐ χρὴ ἑταιρείας δύο ἢ τριῶν ἀδελφῶν ἐν συστήματι ἀσκητικῷ γίνεσθαι. λ'.

Ἀγάπην δὲ τὴν πρὸς ἀλλήλους ἔχειν μὲν προσήκει τοὺς ἀδελφούς· μὴ μέντοι τινὰς ἑταιρείας δύο κατὰ ταυτὸ ἢ τρεῖς γενομένους συνίστασθαι. οὐ γὰρ ἀγάπη τοῦτο, ἀλλὰ στάσις ἐστὶ καὶ διαίρεσις καὶ κακίας τῶν συνιόντων κατηγορία. εἰ γὰρ τὸ κοινὸν τῆς εὐταξίας ἠγάπων οἱ τοιοῦτοι, κοινὴν ἂν εἶχον πρὸς πάντας καὶ ἰσότιμον τὴν ἀγάπην. εἰ δὲ ἀποτεμόντες καὶ διορίσαντες ἑαυτοὺς σύστημα ἐν συστήματι γένωνται, πονηρὰ ἡ τῆς τοιαύτης φιλίας συναγωγή· καὶ παρηλλαγμένον τι παρὰ τὸ κοινὸν πρᾶγμα τοὺς τοιούτους συνάγει· ὅπερ ἐστὶ καινοτομία παρὰ τὴν κρατοῦσαν εὐστάθειαν. προσήκει τοίνυν μήτε τὰς τοιαύτας ἑταιρείας συγχωρεῖσθαι ἐν τοῖς συστήμασι, μήτε τὴν τῆς ἀγάπης τήρησιν εἰς κοινωνίαν ἔρχεσθαι τινὰ ἀδελφοῦ πονηρεύεσθαι βουλομένου, καὶ τοὺς τῆς κοινῆς εὐταξίας παραχαράττειν θεσμούς. ἀλλὰ μέχρι μὲν ἂν ἅπαντες ἐν τῷ καλῷ μένωσιν, εἶναι ἑκάστου τὴν πρὸς ἅπαντας κοινωνίαν καὶ ἕνωσιν. εἰ δέ τις ἐναντιοῦσθαι τῇ κρατούσῃ καταστάσει βουλόμενος τὸν ἀδελφὸν συνεφέλκεται, τοῦτον τὰ μὲν πρῶτα παρὰ τοῦ ὑγιαίνοντος ὡς νοσοῦντα τοὺς λογισμοὺς ἐν ἀπορρήτῳ νουθετεῖσθαι. εἰ δὲ μὴ βούλοιτο κατ' ἰδίαν θεραπεύεσθαι, καὶ ἑτέρους ἀδελφοὺς τοὺς συνετωτέρους εἰς θεραπείαν αὐτοῦ συμπαραλαμβάνεσθαι κατὰ τὸ ἱερὸν εὐαγγέλιον. ἐὰν δὲ μή σου ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ ἔτι ἕνα ἢ δύο. εἰ δὲ μήτε αὐτοῖς πείθοιτο, τῷ προεστῶτι τὸ νόσημα τῆς ψυχῆς αὐτοῦ γνώριμον γενέσθαι. εἰ δὲ μήτε τοῦ προεστῶτος ἀνέχοιτο, ὡς τὸν ἐθνικὸν καὶ τὸν τελώνην λελογίσθαι αὐτὸν, καὶ ὡς πρόβατον λοιμῷ κεκρατημένον τῆς ποίμνης εἴργεσθαι, ὡς ἂν μὴ καὶ τοὺς λοιποὺς τοῦ νοσήματος ἀναπλήσειεν. εἰ δὲ μηδεὶς εἴη ὁ τῷ πονηρῷ βλαπτόμενος ὑποδείγματι, τότε μόνον ἡ ἐπ' αὐτῷ καὶ μετὰ τὰ εἰρημένα μακροθυμία χώραν ἕξει ἐλπίδι τῆς διορθώσεως. μακροθυμία δὲ, ἡ ἐπὶ τῷ μὴ ἀποκόπτειν, οὐκ ἐπὶ τῷ μὴ νουθετεῖν καὶ παιδεύειν τοῖς ἐννόμοις ἐπιτιμίοις.

Ὅτι οὐ χρὴ ἐνδυμάτων, ἢ ὑποδημάτων ἐκλογὴν ἐπιζητεῖν τὸν ἀσκητήν. λα'.

Ἐνδυμάτων μέντοι ἢ ὑποδημάτων μὴ τὰ ἐκλεκτὰ ἐπιζητεῖν, ἀλλ' αἱρεῖσθαι τὰ εὐτελέστερα· ἵνα καὶ κατὰ τοῦτο τὴν ταπεινοφροσύνην ἐπιδειξώμεθα, καὶ μὴ καλλωπιστῶν καὶ φιλαύτων καὶ ἀφιλαδέλφων δόξαν ἀπενεγκώμεθα. ὁ γὰρ τῶν πρωτείων ἐφιέμενος, ἀγάπης καὶ ταπεινοφροσύνης κεχώρισται.

Ὅτι δεῖ τὸν προεστῶτα ἀνάλογα τῆς τοῦ σώματος δυνάμεως ὁρίζειν τὰ ἐπιτάγματα· καὶ περὶ τῶν ἀποκρυβόντων τὴν ἑαυτῶν δύναμιν. λβ'.

Τὸν μέντοι προεστῶτα προσέχειν χρὴ, ὅπως ἂν μὴ τῆς τοῦ σώματος δυνάμεως μείζονα τὰ ἐπιτάγματα ποιησάμενος πρὸς ἀντιλογίαν τὸν ἀτονοῦντα διερεθίσῃ· ἀλλ' ὡς πατὴρ

γὰρ γενομένης, εἶπεν ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ, κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν. οὐ μεσούσης ἡμέρας, οὐδὲ ἐν ἀρχῇ τῆς μισθώσεως. περίμενον οὖν τὸ πέρας τοῦ βίου, καὶ τότε κομίζῃ τοὺς μισθοὺς ἐπαινῶν. ἄρτι δὲ στέγε τὴν ἐσχάτην χώραν, ἵνα τότε λάβῃς τὴν πρώτην.

Περὶ τῆς κατὰ τὰ βρώματα ἀτυφίας καὶ ἁπλότητος. κδ.

Ἐδεσμάτων μέντοι διαφορὰν οὐδαμῶς ἐπιζητεῖν ὀφείλει ὁ ἀσκητής, καὶ προσποιήσει δῆθεν ἐγκρατείας ἐξαλλαγὴν ἐδεσμάτων. τοῦτο γὰρ ἀνατροπὴ τῆς κοινῆς εὐταξίας ἐστὶ καὶ σκανδάλων ὑπόθεσις, καὶ τοῦ οὐαὶ κληρονόμος γίνεται, ὁ ἐν συστήματι ἀσκητικῷ τοιαύτας αἰτίας ταραχῆς ἐνδιδούς. ἀλλὰ κἂν τὸ προσόψημα τοῦτο τὸ ταριχευτόν, τὸ παρὰ τῶν ἁγίων πατέρων ἐγκριθὲν ἀντ᾽ ἄλλου τινὸς ἀρτύματος, ἐλάχιστον τοῖς βρώμασιν ἐπιβάλλεσθαι συμπεπλεγμένον τῷ λοιπῷ ἐδέσματι τοῦ ὕδατος, ἢ τῶν λαχάνων ἐπιδέχῃ, μὴ προφάσει δῆθεν κενοδόξου ἐθελοευλαβείας, ὡς κρέα παραιτούμενος. ἐπιζήτει τῶν ἐδεσμάτων τιμιώτερα καὶ χρηστότερα, ἀλλὰ τῷ ἀποζέματι τοῦ ἐλαχίστου τεμάχους τὸν ψωμὸν ἀπαρατηρήτως ἀποβρέχων, προσφερέσθω μετὰ πάσης εὐχαριστίας. τὸ γὰρ ἐλάχιστον ἐκεῖνο τμῆμα εἰς τοσοῦτον πλῆθος ὕδατος ἢ ἀποβρεγμάτων ὁδοῖς εἰ τύχοι βρώματος ἐμβληθέν, οὐ τρυφῆς ἐστὶ κατηγόρημα, ἀλλὰ ἀκριβεστάτη τῶν ἀσκητῶν καὶ ταλαιπώρως ὄντως ἐγκράτεια. χρὴ τοίνυν τὰ τοιαῦτα μὴ παρατηρεῖν τὸν τῆς ὁσιότητος ἀσκητήν. οὐ γὰρ τῶν τοιούτων ἀπεχόμεθα ἐκδαπανῶντες, ἀλλὰ τῆς τρυφῆς τὴν πλησμονὴν φάγοντες.

Ὅτι τὸν πρὸς τὸν τέλειον βλέποντα οὐδὲν ἡ πρόοδος παραβλάψαι δυνήσεται. κε.

Εἰ δὲ λέγοι βλάπτεσθαι ταῖς προόδοις, ἢ ταῖς ὁδοιπορίαις τῶν διὰ τὰς ἀναγκαίας χρείας τοῦ κοινοῦ γενομένας ὁ ἀσκητής, καὶ διὰ τοῦτο παραιτεῖται τὴν πρόοδον, οὔπω τῆς ὑπακοῆς τὴν ἀκρίβειαν κατενόησεν, οὐδὲ συνεῖδεν ὡς τουτὶ τὸ κατόρθωμα ταῖς τοιαύταις βλάβαις οὐ τελειοῦται. βλεπέτω τοίνυν τὰ ἀποφθέγματα τῶν ἁγίων, πῶς τὴν ὑπακοὴν ἐτελείωσαν πρὸς οὐδὲν τῶν οὕτω δυσκινήτων ἐπιταγμάτων οὐδὲ κατὰ μικρὸν ἀντιτείνοντες, ἢ ἀντιτείναντες. καὶ που διαλέγεσθαι τὸ τῆς ὑπακοῆς τέλειον. εἰ δέ τις καὶ ἀληθῶς παραβλάπτοιτο, παρακαλείτω τὴν ἀδελφότητα ὑπὲρ αὐτοῦ τὸν θεὸν ἱκετεῦσαι. καὶ αὐτὸς δὲ αἰτείτω παρὰ τοῦ θεοῦ μετ᾽ ἐλπίδος ἀνενδοιάστου γενέσθαι σκέπος ἐν πᾶσι τοῖς τε πνευματικοῖς κατορθώμασι, τοῖς τε σωματικοῖς πρὸς τὰ καλὰ τῶν ἔργων διακονήμασι. ἐνεργόν τε καὶ ἄχρηστον, καὶ πάντως ὁ τὰς προθυμίας τῶν τὸ καλὸν ζητούντων ἀποδεχόμενος, δώσει τὴν δύναμιν. αὐτὸς γὰρ τὴν αἴτησιν προετρέψατο, καὶ ἀρεσκείας. αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν. κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει. καὶ τῷ κρούοντι ἀνοιγήσεται. καὶ πάλιν ἑτέρωθι. εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. αἰτείτω δὲ ἐν πίστει μηδὲν διακρινόμενος, καὶ γὰρ πᾶσιν ἀπαξαπλῶς, οἷς ἂν ὁ νοῦς ὀκλάσῃ πρὸς τὴν τελείαν ὑπακοήν, ἢ ὅσα ἐμποδίζῃ τὴν προθυμίαν ἀμβλυνόντων καὶ ἀνακόπτων. τούτῳ τῷ βοηθήματι χρώμενοι, τὸν θεὸν ἱκετεύσωμεν, καὶ αἰτώμεθα δοθῆναι ἡμῖν τῶν κατορθωμάτων τὴν ἰσχὺν καὶ καθηλωθῆναί τε τὰς σάρκας ἡμῶν τῷ φόβῳ τοῦ θεοῦ, καὶ ἀμετακίνητον γενέσθαι ἡμῖν τὴν διάνοιαν μηδαμῶς ἁλισκομένην ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς. ἐν γὰρ μετεωρισμῷ διανοίας, αἱ κοσμικαὶ ἐπιθυμίαι τῇ ψυχῇ ἐμφυόμεναι ποικίλας ἀνωμαλίας τοῖς λογισμοῖς ἐνεργάζονται, καὶ ὀκνηροὺς ἡμᾶς πρὸς τὰ καλὰ τῶν ἔργων ἀποτελοῦσι. μὴ παραιτώμεθα τοίνυν τὰς κοινὰς καὶ ἀναγκαίας τοῦ σώματος χρείας συνεισφέρειν τὴν οἰκείαν συνεργίαν ἕκαστος. ἀλλ᾽ ἱκετεύωμεν τὸν θεὸν λαβεῖν τῆς συνεργίας τὴν δύναμιν. ἐπεὶ εἰ πάντες παραιτοῖντο κατὰ μίμησιν τῶν φθασάντων, τίς ἀναπληρώσει τὰ τῶν χρειῶν, ἄλλως δὲ καὶ ἐξ ἀποφθέγματος τοῦτο παιδεύεσθαι ἄξιον. ὁ γὰρ ἐγκαταλεγόμενος ἄρτι τάγματι τινὶ στρατιώτης, οὐχὶ τοὺς ἐν τῷ τάγματι πρὸς τὴν οἰκείαν ἕξιν μετασπᾶσαι πειρᾶται, ἀλλ᾽ αὐτὸς πρὸς τὴν τοῦ τάγματος ἀγωγὴν καὶ συνήθειαν μεθαρμόζεται. προσήκει τοίνυν καὶ τὸν ἐγκαταλεγόμενον τινὶ ἀσκητικῷ συστήματι μὴ ἐκείνους πρὸς τὸν ἑαυτοῦ τρόπον μεθαρμόζειν ἐθέλειν. ἀλλὰ τὸν οἰκεῖον τρόπον τοῖς ἐν τῷ συστήματι ἔθεσί τε καὶ τύποις ἐξομοιοῦν.

σθαι τοὺς αὐτῷ διατάξεσιν, ἀλλὰ πεπεῖσθαι ὡς ἁπάντων χαλεπώτατον ἑαυτὸν γινώσκειν καὶ θεραπεύειν, διὰ τὸ προσπεφυκέναι τοῖς ἀνθρώποις τὸ φίλαυτον, καὶ κλέπτειν τὴν τῆς ἀληθοῦς κρίσιν ἕκαστον τῇ πρὸς ἑαυτὸν προσπαθείᾳ. τὸ δὲ παρ᾽ ἄλλου γινώσκεσθαί τε καὶ θεραπεύεσθαι, ῥᾴδιον τῷ τῆς φιλαυτίας πάθους ἐκτὸς τοὺς ἄλλους κρίνοντας οὐκ ἐνοχλοῦντος τῇ ἀληθεῖ διαγνώσει. ταύτης γὰρ τῆς συμφωνίας ἐν ἀσκητικῷ συστήματι κατορθωθείσης, ῥᾳδίως ἥ τε εἰρήνη ἐν αὐτοῖς πολιτεύσεται, καὶ ἡ σωτηρία μετ᾽ ἀγάπης καὶ ὁμονοίας τῶν ἁπάντων κατορθωθήσεται.

ὅτι καὶ τὰ ἀτελῆ τῶν ἔργων μετὰ πολλῆς προθυμίας αἱρεῖσθαι προσήκει τὸν ἀσκητήν. κδʹ.

Προσήκει μέντοι τὸν ἀσκητὴν καὶ τὰ ἀτελέστερα τῶν ἔργων μετὰ πολλῆς αἱρεῖσθαι τῆς σπουδῆς καὶ προθυμίας, εἰδότα, ὅτι πᾶν ὃ διὰ τὸν θεὸν γίνεται, οὐκ ἔστι μικρόν, ἀλλὰ μέγα, καὶ πνευματικόν, καὶ τῶν οὐρανῶν ἄξιον, καὶ τοὺς ἐκεῖθεν ἡμῖν ἕλκον μισθούς. καὶ τοίνυν ὑποζυγίοις ἀχθοφοροῦσι τοὺς κοινοὺς χρείας ἀκολουθεῖν δέῃ, ἀντιβαίνειν οὐ χρή. ἐννοοῦντα τοὺς ἀποστόλους, ὅπως προθύμως ὑπήκουσαν τῷ κυρίῳ παραγαγεῖν τὸν πῶλον κελεύσαντι, καὶ λογιζόμενον ὡς καὶ δι᾽ οὓς ἡμεῖς τὴν ἐπιμέλειαν τῶν ὑποζυγίων αἱρούμεθα, ἀδελφοὶ τοῦ σωτῆρος εἰσί. καὶ ἡ πρὸς τούτους εὔνοια καὶ σπουδὴ τὴν ἀναφορὰν ἐπὶ τὸν
» χριστὸν ἔχει τὸν φήσαντα. ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων,
» ἐμοὶ ἐποιήσατε. εἰ δὲ τὰ τῶν ἐλαχίστων οἰκειοῦται, πολλῷ μᾶλλον τὰ τῶν ἐκλεκτῶν οἰκειώσεται. μόνον μὴ τὴν διακονίαν ἀφορμὴν ἀδιαφορίας λογίσηται, ἀλλ᾽ ἐν πάσῃ νήψει ἑαυτὸν ἀσφαλιζέσθω. ἵνα καὶ ἑαυτῷ καὶ τοῖς συντυγχάνουσιν ὠφέλεια γίνηται. ἂν δέ τι τῶν ἀτελεστέρων ἔργων δέῃ ἐργάζεσθαι, χρὴ εἰδέναι, ὅτι καὶ ὁ σωτὴρ τοῖς μαθηταῖς διηκόνησε, καὶ τὰ ἀτελῆ τῶν ἔργων ποιῆσαι οὐκ ἀπηξίωσε, καὶ μέγα ἀνθρώπῳ θεοῦ γενέσθαι μιμητὴν διὰ τῶν ταπεινῶν τούτων εἰς τὸ ὕψος τῆς μιμήσεως ἐκείνης ἀναγομένῳ. τίς δ᾽ ἂν καὶ λέγοι λοιπὸν ταπεινόν, ὧν θεὸς τῆς ἐνεργείας ἐφήψατο.

ὅτι οὐ χρὴ τιμὰς καὶ πρεσβεῖας ἐπιζητεῖν τὸν ἀσκητήν. κεʹ.

Τιμὰς δὲ κατὰ μηδὲν ἐπιζητεῖν προσήκει τὸν ἀσκητήν. εἰ μὲν γὰρ ἐνταῦθα τῶν πόνων καὶ τῶν κατορθωμάτων ἐπιζητεῖ τὰς ἀμοιβάς, ἄθλιος τῆς ἀντιμισθίας ἐστί. τοῖς προσκαίροις τὰ αἰώνια ζημιούμενος. εἰ δὲ προείλετο ἐνταῦθα μὲν ἀγωνίσασθαι ἐν οὐρανῷ δὲ τοὺς στεφάνους κομίσασθαι, ὀφείλει μὴ μόνον ἐπιζητεῖν τιμάς, ἀλλὰ καὶ διδομένας παραιτεῖσθαι καὶ ἀποκρούεσθαι, ἵνα μὴ ἡ ἐνταῦθα τιμὴ τῆς ἐκεῖ δόξης ἐλάττωσις γένηται. ὁ γὰρ παρὼν βίος ὅλος ἔργων καὶ ἀγώνων ἐστίν, ὁ δὲ μέλλων στεφάνων καὶ ἀμοιβῶν. καθὼς ὁ μέγας παῦλος μέλλων τελειοῦσθαι τὴν ἐνταῦθα ζωήν, καὶ πρὸς τὰ ἐκεῖθεν μεθίστα-
» σθαι, φησί. τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα.
» λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ κύριος οὐκ ἐνταῦθα, ἀλ-
» λ᾽ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής, καὶ πάλιν ὁ σωτήρ φησιν. ἐν τῷ κόσμῳ τούτῳ θλῖ-
» ψιν ἕξετε. καὶ πάλιν ὁ αὐτὸς ἀπόστολος, διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν
» βασιλείαν τῶν οὐρανῶν. εἰ τοίνυν βούλει βασιλεῦσαι εἰς τὸ μέλλον, ἐνταῦθα μὴ ἄνεσιν μὴ τιμὴν ἐπιζήτει, ἀλλὰ κἂν θλίβῃ πρὸς τὸ παρὸν ὑπὲρ τοῦ λόγου, δῆλον ὅτι τῆς ἀληθείας, γίνωσκε ὅτι βασιλεύσεις ὕστερον. τῆς γὰρ ἐνταῦθα ὑπὲρ τοῦ καλοῦ θλίψεως οὗτος ὁ μισθὸς ἀπόκειται. ἐὰν δὲ μὴ θλίβῃ, μὴ προσδοκήσῃς τοὺς ἐκεῖθεν στεφάνους, ὡς ἐνταῦθα τοὺς ἀφορισμοὺς ἐπὶ τοῖς στεφάνοις οὐ προκαταβαλλόμενος ἀγῶνας καὶ πόνους. τιμὰς οὖν
» μηδαμῶς ἐπιζητείτω ὁ ἀσκητής, μήτε τῶν λοιπῶν προέχειν. πᾶς γὰρ ὁ ὑψῶν ἑαυτὸν
» ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται. ἐὰν ἑαυτὸν ὑψώσῃ ὁ ἀσκητής, βαρὺν καὶ δυνατὸν ἔχει τὸν ταπεινοῦντα. καὶ μέχρις ᾅδου κατάγειν δυνάμενον. ἐὰν δὲ ἑαυτὸν ταπεινώσῃ, λαμπρὸν καὶ ὑπέρμεγεθες ὑψωθήσεται. θεοῦ πρὸς τὴν οἰκείαν δύναμιν ὑψοῦντος τὸν ταπεινούμενον. περίμενε τοίνυν τὸν καλῶς ὑψοῦντα ὦ ἀσκητά, καὶ μηδαμοῦ μικροψύχει πρὸς τὰ παρόντα. ἀθλητὴς γὰρ εἰ καὶ ἐργάτης τοῦ χριστοῦ, ὅλην τὴν ἡμέραν ἀθλῆσαι συνθέμενος, καὶ ὅλης τῆς ἡμέρας ὑπομεῖναι τὸν καύσωνα. τί μηδέπω πληρώσας τῆς ἡμέρας τὸ μέτρον, μεταδιώκεις τὴν ἄνεσιν. ἔκδεξαι τὴν ἑσπέραν τὸ πέρας τῆς ἐνταῦθα ζωῆς, ἵνα ἐλθὼν ὁ οἰκοδεσπότης τοὺς μισθούς σοι ἀπαριθμήσηται. ὀψίας

κρὸν τὸν λόγον ἀπεργασόμεθα, ἕκαστον τῶν γε σπουδεύεσθαι βουλομένων τῇ ἀκροά-
σει τῶν ἁγίων γραφῶν παραπέμψαντες, αὐτοὶ ἐπὶ τοὺς μαθητὰς τοῦ σωτῆρος τὸν λόγον
τρεψόμεθα, δεικνύντες πῶς ὑπήκουον, καὶ πῶς ὑπετάσσοντο. ἔλεγεν αὐτοῖς ὁ Ἰησοῦς
ἔτι τὴν ἀρχὴν τῆς μαθητεύσεως ἔχουσι καὶ προσδοκῶσιν, ὅσον οὐδέπω βασιλεύσειν τὸν
δεσπότην. καὶ ὑπολαμβάνουσιν ὅτι καὶ αὐτοὶ κακοπαθοῦσι μὲν οὐδὲν, οὐδὲ κινδυνεύου-
σιν, οὐδὲ κοπιάσουσι. συμβασιλεύσουσι δὲ Χριστῷ, καὶ τῆς βασιλικῆς δόξης καὶ θεραπείας τι-
μῆς συμμεθέξουσι. καὶ τοῦτο δηλοῖ μὲν ὁ Πέτρος ἐπιτιμῶν τῷ Ἰησοῦ, ἡνίκα περὶ τοῦ οἰ-
κείου πάθους ἐποιεῖτο τοὺς λόγους. προσλαβόμενος γὰρ αὐτὸν, φησὶν ὁ Πέτρος, ἤρξατο
ἐπιτιμᾶν αὐτῷ λέγων. ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. καὶ δεικνὺς ταύτῃ, ὅτι οὐδ' ὅ-
πως ποτοῦν προσεδόκα δυσχερές. δηλοῦσι δὲ καὶ οἱ υἱοὶ Ζεβεδαίου τὴν μητέρα παρακαλοῦ-
σαν ὑπὲρ αὐτῶν τῷ κυρίῳ προσαγαγόντες, ὥστε τὸν ἐκ δεξιῶν καὶ τὸν ἐξ εὐωνύμων τιμηθῆ-
ναι καθέδρα. εἰ γὰρ μὴ αὐτίκα μάλα βασιλεύειν αὐτὸν ὑπελάμβανον, οὐκ ἂν τοῦτο ἐτόλ-
μησαν αἰτῆσαι, τὴν ἐκ δεξιῶν τοῦ πατρὸς ἐν οὐρανοῖς καθέδραν, τοῦ σωτῆρος διανοού-
μενοι. τί οὖν ταῦτα προσδοκῶσιν αὐτοῖς, καὶ ἐλπίζουσιν; ἔλεγεν. ἰδοὺ ἐγὼ ἀποστέλ-
λω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. καὶ οὕτω πρᾶγμα ἐναντιώτατον τῆς οἰκείας
ἐλπίδος ἀκούσαντες, οὐκ εἶπον ὅτι ἐφ' ἑτέραις ἐλπίσι προήλθομεν, καὶ ἐναντία τῶν ἐλπι-
σθέντων προστάσσεις ἡμῖν; ἄλλο τι προσεδοκήσαμεν, καὶ πρὸς κινδύνους ἐκπέμπεις; τι-
μὰς ἠλπίσαμεν, καὶ ἀτιμίας παρεισβάλλεις; βασιλεύειν προσεδοκήσαμεν, καὶ τὸ ἐλαύ-
νεσθαι, καὶ πάντων δούλους εἶναι διακελεύῃ; οὐδὲν τούτων οὐκ εἶπον, καίπερ ἕτερα τῶν εἰ-
ρημένων ἀκούσαντες πλείονα καὶ βαρύτερα, οἷον τὸ, παραδώσουσιν ὑμᾶς εἰς θλίψεις, καὶ
ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. καὶ ἐπὶ
ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ. ταῦτα τοίνυν πάντα παρὰ τὴν προσ-
δοκίαν ἀκούσαντες, κλίναντες τὸν αὐχένα τῆς διανοίας, τὸν ζυγὸν ὑπῆλθον. καὶ προ-
χείρως ἐπὶ τοὺς κινδύνους, ἐπὶ τὰς ἀγορὰς, ἐπὶ τὰς ὕβρεις, ἐπὶ τοὺς λιθασμοὺς, ἐπὶ τὰς
ἀτιμίας, ἐπὶ τοὺς σταυροὺς, ἐπὶ τοὺς ποικίλους θανάτους ἐχώρησαν, καὶ μετὰ τοσαύτης προ-
θυμίας ταῦτα ὑπέμειναν, ὥστε χαίρειν αὐτοὺς καὶ ἑορτάζειν λαμπρῶς, ἡνίκα ἂν τοῖς τοῦ
Χριστοῦ παθήμασι κοινωνῆσαι κατηξιώθησαν. ἔχαιρον γάρ φησιν, ὅτι κατηξιώθησαν ὑπὲρ
τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. ταύτην τὴν ὑπακοὴν ἀπαιτεῖται ὁ κατὰ θεὸν ἀ-
σκητὴς τῷ ἡγουμένῳ εἰσφέρεσθαι. Χριστοῦ γὰρ μαθητὰς εἵλετο τοῦτον τὸν βίον ζηλοῦν ὡς ἤδη
εἴπομεν τοῖς ἀνθρώποις τύπον. ὁ γὰρ καθηγούμενος, οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ τοῦ σωτῆ-
ρος ἐπέχων πρόσωπον. καὶ μεσίτης θεοῦ, καὶ ἀνθρώπων γενόμενος, καὶ ἱερουργῶν τῷ
θεῷ τὴν τῶν πειθομένων αὐτῷ σωτηρίαν. καὶ τοῦτο παρ' αὐτοῦ τοῦ Χριστοῦ παιδευόμεθα. Πέ-
τρον ποιμένα μεθ' ἑαυτὸν τῆς ἐκκλησίας ἑαυτοῦ καθιστῶντος. Πέτρε γάρ φησι, φιλεῖς
με πλέον τούτων; ποίμαινε τὰ πρόβατά μου. καὶ πᾶσι δὲ τοῖς ἐφεξῆς ποιμέσι καὶ δι-
δασκάλοις, τὴν ἴσην παρέχοντος ἐξουσίαν. καὶ τούτου σημεῖον, τὸ δεσμεῖν ἅπαντας ὁμοίως,
καὶ λύειν ὥσπερ ἐκεῖνος. ὥσπερ οὖν τὰ πρόβατα τῷ ποιμένι πείθεται, ταύτῃ τρεπό-
μενα, ἧπερ ἂν ὁ ποιμὴν ἄγῃ, οὕτω προσήκει τοὺς κατὰ θεὸν ἀσκητὰς τοῖς καθηγουμένοις
πείθεσθαι μὴ πολυπραγμονοῦντας τὰ ἐπιτάγματα, ὅταν ἁμαρτίας ᾖ καθαρά. ἀλ-
λὰ τὰ ἐπιταχθέντα μετὰ προθυμίας πάσης καὶ σπουδῆς ἐκπληροῦντας. ὥσπερ γὰρ ὁ τέ-
κτων, ἢ ὁ οἰκοδόμος ἑκάστῳ τῶν τῆς τέχνης ὀργάνων κέχρηται πρὸς τὴν οἰκείαν βούλησιν,
καὶ οὐκ ἂν εἴποι τὸ ὄργανον, ὡς οὐ πληρώσει τὴν χρείαν, πρὸς ἣν ὁ τεχνίτης αὐτὸ μετα-
χειρίζεται, ἀλλὰ ἕπεται τῇ χειρὶ τοῦ ἄγοντος, οὕτω προσήκει τὸν ἀσκητὴν ὡς ὄργανον τεχνί-
τῃ πρὸς συμπλήρωσιν τοῦ πνευματικοῦ οἰκοδομήματος συντελοῦν, ἐν πᾶσι πείθεσθαι,
οἷς ἂν ὁ ἡγούμενος κρίνῃ καλῶς ἔχειν αὐτὸν ὑπουργεῖν, ὅπως ἂν μὴ τῇ τοῦ πνευματικοῦ
ἔργου τελειώσει λυμήνηται, τὴν οἰκείαν οὐ συνεισφέρων χρείαν. καὶ ὥσπερ τὸ ὄργανον
οὐχ ἑαυτῷ ἐκλέγεται ὅπερ ἐνεργεῖν δέοι εἰς τὴν τῆς τέχνης συνεισφοράν, οὕτω καὶ τὸν
ἀσκητὴν προσήκει μὴ ἑαυτῷ τὰ ἔργα αἱρεῖσθαι, ἀλλὰ παραχωρεῖν τῇ συνέσει καὶ οἰκο-
νομίᾳ τοῦ τεχνίτου, τὴν ἐφ' ἑαυτῷ διατύπωσιν. οἶδε γὰρ ὅτε συνετῶς ἀφηγούμενος ἑκά-
στου καὶ ἤθη καὶ πάθη, καὶ ψυχικὰς ὁρμὰς ἀκριβῶς ἐξετάζειν. καὶ πρὸς ταῦτα καὶ τὴν
παρ' ἑαυτοῦ ἐφ' ἑκάστῳ οἰκονομίαν ἁρμόζειν. διά τοι τοῦτο προσήκει μηδαμῶς ἐναντιοῦ-
σθαι τοῖς

ταγὴν παρὰ τῶν εὐπειθούντων ὁ θεῖος νόμος ἀπένειμε. καὶ ταῦτα τηνικαῦτα ἐν ἀσε-
βείᾳ διαζῶσι, πόσην εὐπείθειαν ὀφείλει ὁ ἀσκητὴς τῷ παρὰ θεοῦ καταστάντι ἄρχοντι,
καὶ παρὰ τῶν νόμων, ἐκείνου λαβόντι τὴν ἐξουσίαν εἰσφέρειν. πῶς δὲ οὐκ ἂν ἀντιτάξα-
το τῇ τοῦ θεοῦ διαταγῇ, ὁ τῷ καθηγουμένῳ ἀντιτασσόμενος; ἄλλως τε καὶ διαῤῥήδην τοῦ
ἀποστόλου κελεύοντος τοῖς πνευματικοῖς ἡγουμένοις ὑπείκειν ἐν πᾶσι. πείθεσθε γάρ
φησι, τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑ-
μῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. ἀλυσι-
τελὲς γὰρ ὑμῖν τοῦτο. εἰ οὖν τὸ μὴ πρὸς ἀκρίβειαν πείθεσθαι ἀλυσιτελὲς, προσήκει μάλιστα
διώκειν ἡμᾶς τὸ λυσιτελέστερον. τὸ γὰρ ἀλυσιτελὲς οἶμαι, μεγάλης ζημίας καὶ μεταμε-
λείας καὶ διορθώσεως ἔμφασιν ἐπιφέρεται. ζηλοῦν δὲ προσήκει μάλιστα τὴν τῶν ἁ-
γίων εὐπείθειαν, ἣν περὶ τὸν θεὸν ἐπεδείξαντο, εἴγε μάλλιμον ἀρκοῦντι ὑποδείγματι
περὶ τὴν ὑπόθεσιν χρώμενοι καλῶς τὴν ὑπακοὴν ἀπεργάζεσθαι. καὶ μηδεὶς οἰέσθω
με κρατύνειν ἐθέλοντα, τὴν περὶ τοὺς ἡγουμένους εὐπείθειαν ὑπέρογκα παράγειν τὰ ὑπο-
δείγματα, καὶ τῇ πρὸς τὸν θεὸν ὑπακοῇ τολμᾶν αὐθαδῶς παρεικάζειν τὴν πρὸς τοὺς ἀνθρώ-
πους εὐπείθειαν. οὐ γὰρ οἴκοθεν ὁρμηθεὶς, ἀλλ' ἀπ' αὐτῶν τῶν θείων γραφῶν ταύτην τὴν
ἠκασίαν πεποίημαι. σκόπησον γὰρ τί ὁ κύριος ἐν εὐαγγελίοις φησὶ, τὴν περὶ τοὺς ἑαυτοῦ
δούλους θεσπίζων ὑπακοήν. ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται. καὶ πάλιν ἑτέρωθι, ὁ
ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. ὅτι δὲ ὁ τοῖς ἀποστόλοις
εἴρηκε περὶ πάντων τῶν μετ' αὐτοὺς καθηγησαμένων ἐνομοθέτησεν, ἐκ πολλῶν καὶ ἀ-
ναμφιλέκτων μαρτυριῶν τῆς θείας γραφῆς τεκμηρίων ἐναργέστατον ἐστὶ παραστῆσαι.
ὥστε ἀκολούθως καὶ ἡμεῖς τοῖς θείοις θεσπίσμασι τοὺς λόγους ἐποιησάμεθα. φήσαντες
δεῖν τὴν τῶν ἁγίων περὶ τὸν θεὸν εὐπείθειαν ὑπόδειγμα τοῖς περὶ τοὺς προεστῶτας ὑ-
πακοῆς ἑαυτοὺς προτιθέναι. πῶς οὖν οἱ ἅγιοι τῷ δεσπότῃ τὴν εὐπείθειαν ἐπεδείξαντο,
σκόπησόν μοι τὸν ἀβραὰμ κελευόμενον καταλιμπάνειν οἶκον, πατρίδα, περιουσίαν, κτή-
ματα, συγγενεῖς, φίλους, καὶ τούτοις διώκειν τὰ ἐναντία, τὴν ξενίαν, τὸ ἀνεπίγνωστον, τὴν
πλάνην, τὴν πενίαν, τοὺς φόβους, τοὺς κινδύνους, καὶ ὅσα τοῖς ξενιτεύουσιν ἕπεται δυ-
σχερῆ καὶ ἀμελλητὶ ὑπακούοντα, καὶ καταλιμπάνοντα μὲν τὴν οἴκοι εὐπραγίαν καὶ ἀνά-
παυσιν, ἀνθαιρούμενον δὲ ταύτης, τὴν ἐπὶ τῆς ἀλλοδαπῆς ταλαιπωρίαν καὶ ἄλην.
ὁρᾷς ἀσκητὴν ἀκριβέστατον, καὶ τῆς κοσμικῆς ἁπάσης εὐημερίας διὰ τὸν θεὸν ὑπερό-
πτην; ἀλλ' ἐπίωμεν τὰ ἑξῆς. καταλαμβάνει μὲν τὴν παλαιστίνην, τὸν παρὰ θεοῦ ὑ-
ποδειχθέντα τόπον εἰς παροικίαν. λιμοῦ δὲ καταλαβόντος τὴν χώραν, εἰς αἴγυπτον με-
τανίσταται, κἀκεῖ τῆς γυναικὸς ἀφαιρεθείσης, οὐδὲν μικροψυχεῖ. οὐδὲ ταῖς οἰκονομίαις
τοῦ θεοῦ καταμέμφεται, ὡς τῆς εὐπειθείας τοιαύτας ἀντιδεχόμενος ἀμοιβάς. ἀλλὰ
πράως καὶ τοῦτο ἤνεγκε τὸ πάντων βαρύτατον ἀδικημάτων ἀδίκημα. οὐχ ἅπαξ, ἀλλὰ
γὰρ καὶ αὖθις ὑπὸ τοῦ γεράρων βασιλέως γενόμενον. κρίνας γὰρ ἅπαξ ὑπακούειν θεῷ,
οὐκ ἐσκόπει τί ἐπ' αὐτῷ οἰκονομεῖ ὁ θεὸς, ἀλλ' ὅπως αὐτὸς ἀκριβεστάτην καὶ ἀνεπίλη-
πτον τὴν ὑπακοὴν εἰσενέγκηται. διατὶ τοῦτο καὶ τὸ τελευταῖον λαμβάνει μὲν τὸν παῖ-
δα τὸν ἰσαὰκ μακρᾶς εὐχῆς καὶ πίστεως ἆθλον καὶ δώρημα. ἐπειδὴ δὲ ἑώρα αὐτὸν εἰς ὥ-
ραν ἡλικίας προβαίνοντα, καὶ ἐλπίδας ἀγαθὰς τοῖς γεγεννηκόσι παρέχοντα διαδοχῆς,
καὶ τῆς μετέπειτα τοῦ γένους συστάσεως τὸ τηνικαῦτα μετὰ τοσαύτας ἐλπίδας, κελεύε-
ται παρὰ τοῦ θεοῦ ἀναγαγεῖν αὐτὸν εἰς ὄρος ὑψηλὸν, καὶ καταθύειν τῷ δεδωκότι. δεξάμε-
νος δὲ τὴν ἀπότομον ταύτην φωνὴν, καὶ τὴν φοβερὰν λειτουργίαν, καὶ τὸ τῆς φύσεως
ἰσχυρότερον οὐκ ἐπίταγμα μόνον, ἀλλὰ καὶ ἄκουσμα, ὅπως πράως ἤνεγκεν, ὅπως οὐκ
ἐξέστη ταῖς φρεσὶν, ὅπως οὐκ ἐξέπεσε τὴν ψυχὴν, ἀλλ' ὥσπερ ἄρνα τινὰ καταθύειν μέλ-
λων, οὕτως ἠρεμαίῳ καὶ ἀταράχῳ φρονήματι τὸ ζυγὸν τῆς ὑπακοῆς ἐπιθέμενος, ἤει σὺν
τῷ παιδὶ τὸ προσταχθὲν ἐκπληρώσων, οὐδὲν οὐδὲ ἐν τούτῳ πολυπραγμονῶν τὴν τοῦ θεοῦ
κρίσιν, οὐδὲ μεμφόμενος. ἀλλὰ τὸ οἰκεῖον σκοπῶν, ὅπως ἂν κατὰ μηδὲν τὴν ὑπακοὴν πα-
ραλύσειεν. οὕτω τοι καὶ λαμπρὸν ἤρατο στέφανον, τῇ οἰκουμένῃ στήλη πίστεως καὶ ὑπακοῆς
ἱδρυθείς. τὴν μὲν οὖν καὶ τῶν λοιπῶν ἁγίων τῶν κατὰ τὴν παλαιὰν ἱστορίαν διαλαμψάντων τὴν
εὐπείθειαν διελθεῖν εἰς παράδειγμα τῆς τῶν ἀσκητῶν ἀναμφιλέκτου ὑπακοῆς. ἀλλ' ἵνα μὴ μα-

εἰκασίαν*

ὥστε τὴν πονηρὰν ἀγωγὴν τοῦ διδασκάλου πρόφασιν τῷ μαθητῇ χωρισμοῦ γενέσθαι καὶ ἀποστάσεως, οὕτως εἰ δοκεῖ σκεψώμεθα, τί μὲν πατήρ, τί δὲ διδάσκαλος παιδοτρίβης. ἑκάτερος ὁ μὲν γὰρ τῷ παιδί, ὁ δὲ τῷ μαθητῇ εὔχεσθαί τε τὰ κρείττονα καὶ βούλεσθαι διεσπούδακε. φύσις μὲν γὰρ πατράσιν εὔχεσθαι τοὺς παῖδας, ὡς βελτίστους καὶ φρονιμωτάτους γενέσθαι, κοσμιωτάτους τε καὶ μετριωτάτους. ἵνα οἱ μὲν παῖδες εὐδοκιμοῖεν, οἱ δὲ πατέρες εὐκλεέστεροι γένοιντο τῇ ἐπ' αὐτοὺς ἀναφορᾷ τῶν καλῶν τῶν παίδων. σπουδὴ δὲ καὶ παιδοτρίβαις, ἀλκιμωτάτους τε καὶ τεχνικωτάτους τοὺς ὑπ' αὐτῶν ἀσκουμένους γενέσθαι. ἵνα ῥώμῃ καὶ ἐμπειρίᾳ ἐπιδέξιον τὸ ἀγώνισμα ποιησάμενοι, λαμπροὶ νικηταὶ τῶν ἀντιπάλων ἀποδειχθῶσι. καὶ ἡ τούτων ἔννομος ἄθλησις, τῶν καθηγουμένων σαφὴς ἔπαινος γένηται. φύσις δὲ παντὶ τῷ διδάσκειν προῃρημένῳ, τὸ θέλειν εἰς ἀκριβεστάτην κατάληψιν ἀφικέσθαι τῶν διδαγμάτων τοὺς μαθητάς. τῆς τοίνυν τῶν πατέρων φύσεως τοῦτον ἐπεχούσης τὸν λόγον, πῶς οὐκ ἂν καὶ ὁ τῆς ὁσιότητος παιδευτὴς τὸν παρ' αὐτοῦ παιδευόμενον εὔξαιτο, ἀκακώτατόν τε καὶ σωφρονέστατον τὴν πνευματικὴν σοφίαν ἀποδειχθῆναι. καὶ τοῦτο σαφῶς ἐπιστάμενος, ὅτι τοιούτου γενομένου τοῦ μαθητοῦ καὶ παρὰ ἀνθρώποις εὐκλεὴς ἔσται, καὶ παρὰ Χριστοῦ λαμπροὺς ἀποδέξεται τοὺς στεφάνους, ὡς τοὺς οἰκέτας αὐτοῦ, μᾶλλον δὲ εἰπεῖν, ἀδελφούς, ἐπειδὴ καὶ τοῦτο Χριστὸς εἵλετο, ἀξίους τῆς πρὸς αὐτὸν οἰκειώσεως διὰ τῆς αὐτοῦ ἐπιμελείας ἀπεργασάμενος. καὶ ἕτερον δὲ σκοπῶμεν. ὡς εἰ φαῦλος ὁ μαθητὴς γένοιτο παρὰ τὴν αὐτοῦ ἀγωγήν, αἰσχύνην ἀπαραγόρητον ἕξει ἐπὶ τῆς οἰκουμενικῆς κατὰ τὸν τῆς κρίσεως καιρὸν πανηγύρεως ὁ ὑφηγούμενος, ἐπὶ τοῦ πανδήμου τῶν οὐρανίων ἀθροίσματος καὶ οὐκ αἰσχύνεται μόνον, ἀλλὰ καὶ κολασθήσεται. πόθεν οὖν ἐγγενήσεται τὸ μὴ οὐχὶ θελῆσαι τὸν καθηγούμενον, κόσμιόν τε καὶ ἐπιεικῆ γενέσθαι τὸν οἰκεῖον ὁμιλητήν; καὶ ἄλλως δὲ ἀλυσιτελὴς τῷ διδασκάλῳ ἡ τοῦ μαθητοῦ πονηρία. ἐπειδὴ γὰρ τὴν πρὸς ἀλλήλους ἑκάτερος συμβίωσιν εἵλοντο, ἧς ἂν μετάσχῃ πονηρίας ὁ μαθητής, τῶν ταύτης καρπῶν πρῶτον μεταδίδωσι τῷ διδασκάλῳ. ὥσπερ τὰ ἰοβόλα τῶν ἑρπετῶν τοῖς θάλπουσι πρῶτον ἐνίησι τὸν ἰόν. ὡς εἶναι πάντοθεν δῆλον, εἴτε τῆς φύσεως τῶν πραγμάτων, εἴτε τοῦ λυσιτελοῦντος τῷ ἄγοντι, ὅτι εὔξεται, καὶ πάντα τρόπον σπουδάσει ἐπιεικῆ τε καὶ κόσμιον τὸν ὑπ' αὐτῷ παιδευόμενον καταστῆσαι. εἰ μὲν γὰρ ἦν κακίας καὶ πονηρίας ἀλείπτης, πρὸς τοῦτο πάντως ἄγειν ἂν τὸ πέρας τοὺς παρ' αὐτοῦ ἀσκουμένους ἐσπούδακεν. εἰ δὲ ἀρετῆς καὶ δικαιοσύνης ἐστὶ παιδευτής, οὐκ ἂν ἐναντίον οἶμαι τοῖς οἰκείοις σπουδάσμασι τὸ πέρας ἐπὶ τὸν μαθητευόμενον ἐκβῆναι ἕλοιτο. ἄπασα τοίνυν πρόφασις ἄλογος τῷ βουλομένῳ χωρίζεσθαι πνευματικοῦ συστήματος περιῄρηται. αἰτία δὲ αὐτῷ ἀπελέγχει τῆς τοιαύτης γνώμης ἡ τῶν παθῶν ἀκρασία, καὶ ἡ πρὸς τοὺς πόνους ὀλιγωρία, καὶ τὸ τῆς κρίσεως σαθρὸν καὶ ἀβέβαιον. οὐ γὰρ ἤκουσεν οὗτος παρὰ τοῦ προφήτου Δαβίδ, ὅτι μακάριοι οἱ φυλάσσοντες κρίσιν, οἱ φυλάσσοντες, οὐχὶ οἱ καταλύοντες. οὗτοι εἰσὶν οἱ τοῖς μωροῖς ὁμοιωθέντες, οἱ ἐπὶ τῆς ψάμμου, τῆς κατὰ τὴν γνώμην ἀβεβαιότητος τὸν θεμέλιον τῆς πνευματικῆς θέντες οἰκοδομῆς, ὃν ὀλίγαι ψεκάδες πειρασμῶν, καὶ βραχὺς χείμαῤῥος τῶν τοῦ πονηροῦ ὑφελκύσας, τὴν ὑπόβαθραν διέλυσέ τε καὶ διεσκόρπισεν.

Περὶ ὑπακοῆς πληρέστερον. κγʹ.

Ὅπως μὲν οὖν προσήκει τὸν ἅπαξ οἰκειωθέντα πνευματικῷ συστήματι φυλάττειν τὴν συνάφειαν ἀδιάλυτον κατὰ τὸ ἐνὸν ὑπεθέμεθα. νῦν δ' αὖ πάλιν τὸν περὶ τῆς ὑπακοῆς λόγον γυμνάσωμεν. καὶ πρότερον μὲν διὰ βραχέων ἐπελθόντες, νῦν δὲ τελεώτερον ἐκτιθέμενοι. καὶ δείξωμεν, ὁπόσην ὁ ἀκριβὴς ἀπαιτεῖ λόγος παρὰ τῶν ἀσκητῶν τῷ προεστῶτι τὴν εὐπείθειαν. ἐξ αὐτῆς γὰρ τῆς ἁγίας γραφῆς πειράσομαι ταύτης τὸ μέτρον διασαφῆσαι. Παῦλος ὁ ἀπόστολος Ῥωμαίοις ἐπιστέλλων, προστάσσει πάσαις ἐξουσίαις ὑπερεχούσαις ὑποτάσσεσθαι. ἐξουσίαις ταῖς τοῦ κόσμου, οὐ ταῖς πνευματικαῖς. καὶ τοῦτο ἐκ τῶν ἐπαγομένων ἐδήλωσεν, εἰπὼν περὶ φόρων καὶ τέλους, καὶ τὸν ἀντιτασσόμενον κατά γε τὸ σμικρότατον τῇ ἐξουσίᾳ, τῷ θεῷ ἀντιτάσσεσθαι ἀποφαίνεται. εἰ τοίνυν τοῖς τοῦ κόσμου τούτου ἄρχουσι τοῖς κατὰ νόμον αὐτῶν τὴν ἀρχὴν εἰληφόσι, τοσαύτην ὑπο-

ἀδελφῶν, οὐ γὰρ ἅπαντας αἰτιάσεται, οὐ γὰρ ἐπὶ κοινῷ τὴν κοινωνίαν ποιήσεται. ὥς
τε πάντα συμφώνως εἶναι καλῶς. εἰ οὖν λέγοι ὅτι φαῦλοι τινὲς τῶν ἀδελφῶν, καὶ
ἀφυλάκτως τὸ ἀγαθὸν παραλύοντας, καὶ τῆς κοσμιότητος ἀμελοῦντας, καὶ τὴν πρέ-
πουσαν ἀσκηταῖς ἀκρίβειαν παρορῶντας, καὶ διὰ τοῦτο προσήκει τῶν τοιούτων χωρίζε-
σθαι, οὐκ ἀρκοῦσαν ἀπολογίαν τοῦ χωρισμοῦ ταύτην ἐπινοήσειεν. οὐδὲ γὰρ πέτρος ἢ
ἀνδρέας, ἢ ἰωάννης διὰ τὴν τοῦ ἰούδα πονηρίαν ἀπερράγησαν τοῦ λοιποῦ τῶν ἀποστό-
λων χοροῦ. οὐδὲ ἕτερός τις τῶν ἀποστόλων ταύτην ἀφορμὴν ἀποστάσεως ἐποιήσατο.
οὐδέ τι πρὸς τὸ πείθεσθαι τῷ χριστῷ ἀπὸ τῆς ἐκείνου μοχθηρίας ἐνεποδίσθη, ἀλλὰ τοῖς τοῦ
κυρίου πειθαρχοῦντες διδάγμασι, τὴν εὐσέβειαν καὶ τὴν ἀρετὴν ἐζήλουν. οὐ μὴν πρὸς
τὴν ἐκείνου πονηρίαν ἐπιστρεφόμενοι. οὕτως ὁ λέγων ὅτι διὰ τοὺς φαύλους χωρίζεσθαι τῆς
πνευματικῆς ἀναγκάζομαι συναφείας οὐκ εὔλογον πρόφασιν ὀδύρεται τῆς οἰκείας ἀβε-
βαιότητος. ἀλλ' ἔστι μὲν αὐτὸς μὴ πεπεισμένος, τὸν τῆς ἀληθείας λόγον ἐκθρέψαι διὰ γνώ-
μης ἀβεβαιότητα μὴ δυνάμενος, ἀλλὰ διὰ μικροῦ πειρασμοῦ περιβολὴν ἢ ἀκρασίας
παθῶν τὴν σώφρονα πολιτείαν οὐχ ὑπομένων, εὐθύς τε ἀποξηραίνεται τῷ καύσωνι
τῶν παθῶν τὸ τῆς διδασκαλίας ἀρτιφυὲς βλάστημα. προφάσεις ἑκουσίας καὶ οὐκ ἀρκού-
σας πρὸς ἀπολογίαν ἐπὶ τοῦ βήματος τοῦ χριστοῦ κατὰ πληροφορίαν οἰκείαν ἐπινοῶν, καὶ ἑαυ-
τὸν ἀκόλως παρακρουόμενος. οὐδὲν γὰρ τοῦ ἑαυτὸν ἀπατᾶν ἀκολώτερον. ἐπειδὴ κρι-
τὴς ἕκαστος ἑαυτῷ κεχαρισμένος γίνεται, τὰ ἴδια κρίνων εἶναι συμφέροντα. ἔστω τοί-
νυν ὁ τοιοῦτος κατακεκριμένος παρὰ ἀληθείᾳ δικαζούσῃ, ὡς σκανδάλων ὑπόθεσις, πλεί-
σι καθιστάμενος, ἤτοι πονηρῷ ὑποδείγματι πρὸς ζῆλον τῶν ἴσων ἀτοπημάτων διερεθί-
» ζων ἀεὶ, καὶ τοῦ οὐαὶ, κληρονόμος γενόμενος. καὶ συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρε-
» μασθῇ περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. ἐπειδὴ
γὰρ ψυχὴ ἀπόστασιν ἐθισθεῖσα, πολλῆς ἐμπίπλαται ἀκρασίας, πλεονεξίας τε καὶ γαστρι-
μαργίας. ψεύδους τε καὶ πάσης κακοηθείας. καὶ τὸ τελευταῖον, εἰς τὸν πυθμένα κατα-
φέρει τῆς πονηρίας τοῖς ἐσχάταις ἐμπεπηρωμένη κακοῖς. ὁ τοίνυν τῆς τοιούτων ὁδηγὸς κα-
θιστάμενος, σκοπείτω πόσων ψυχῶν ἀπωλείας ὑπόχρεος γίνεται. ὅς γε μηδὲ πρὸς τὰς ὠ-
δῖνας τῆς ἑαυτοῦ ψυχῆς ἀρκέσαι δυνάμενος. τί γὰρ οὐχὶ μᾶλλον ὁ τοιοῦτος μιμεῖται τὸν
μέγαν πέτρον, καὶ ὑπόδειγμα βεβαίας πίστεως, καὶ τῆς περὶ τῶν καλῶν ἐνστάσεως τοῖς
λοιποῖς γίνεται, ἵνα λάμποντος τοῦ φωτὸς τῶν ἐκείνου κατορθωμάτων, καὶ οἱ ἐν σκότει
τῆς πονηρίας διάγοντες ἐπὶ τὸ κρεῖττον ὁδηγηθῶσιν. ἔπειτα δὲ νῶε μὲν ὁ δίκαιος, οὐκ
εἶπε πρὸς τὸν θεὸν, ὅτι δεῖ με ἐκβιῶναι τοῦ κόσμου ἐπειδὴ πάντες εἰσὶ πονηροὶ, ἀλλ' ἐ-
καρτέρησε μᾶλλον ἀθλητικῶς, καὶ γενναίως, καὶ μεταξὺ ἀβύσσου πονηρίας τῆς εὐσέβειαν
ἀχείμαστον διετήρησεν, καὶ πρὸς τὸν δεσπότην οὐδαμῶς ἐστασίασεν, ἀλλὰ ὑπομονῇ καὶ καρ-
τερίᾳ μεταξὺ τῶν κυμάτων τῆς ἀσεβείας, τὴν φροντίδα τῆς εὐσεβείας περιεσώσατο.
καὶ λὼτ ἐν σοδόμοις μεταξὺ τοσαύτης ἀσεβείας καὶ παρανομίας καὶ ἀθεσμίας στρεφό-
μενος τὴν ἀρετὴν ἀπαράφθορον διεφύλαξεν, οὐδαμοῦ κακοῖς ἑαλωκὼς ἐπιβουλαῖς.
ἀλλὰ μεταξὺ ξενοκτόνων καὶ ὕβρει πολλῇ καὶ ἀκολασίᾳ κατὰ τῶν τῆς φύσεως φερομέ-
νων θεσμῶν τὴν ἁγιωσύνην ἀμίαντον αὐτός τε διέσωσε, καὶ τοῖς λοιποῖς, ὡς ἐνῆν διη-
γήσατο. περιέξεισι περὶ τῶν λόγων τὸ καλὸν ἐκ παιδιᾶς ὤν. σὺ δὲ προφασίζῃ τὰς τῶν
ἀδελφῶν ὀλιγωρίας ἢ οὔσας, ἢ παρὰ σοῦ πλαττομένας, τῆς ἀποστασίαν ἐννοῶν, καὶ τῆς
ἑαυτοῦ πονηρίας, καὶ τῆς τῶν πόνων τῆς ὑπὲρ ἀρετῆς, ὀκνηρίας παραπέτασμα, τὴν τῶν ἀδελ-
φῶν ἐργάζῃ διαβολήν. ὥστε σωφρονισθεὶς ὁ τοιοῦτος τοῖς ὑποδείγμασι, στεργέτω τὴν ἁρμο-
νίαν τῆς πίστεως, ἣν ἑαυτοῦ περὶ τὰς πρώτας συναγωνίσεις τῆς οὐρανίου κλήσεως συνηρμόσατο.
οὔτε γὰρ ἡ συμβᾶσα ἐπὶ τῆς χειρὸς οὐδὲ τῶν δακτύλων πάθη τῶν ἀνιαρῶν, ἤδη καὶ ὁ ἕτερος ἐκ-
τμηθῆναι φιλονεικήσει, ἀλλὰ φάξεται μὲν πρῶτον τὸ ἀλγεινὸν τῆς τομῆς. ἔπειτα δὲ καὶ στερρῶς
παραμενεῖ. ὥστε καὶ τῆς τοῦ κινδυνεύοντος ἀντεισφέρειν χρείαν τῷ σώματι, καὶ μὴ πάντη τὴν
χεῖρα τῶν φυσικῶν κλάδων ἀφαιρεθεῖσαν ἀποσυληθῆναι τοῦ οἰκείου κόσμου καὶ προσφυοῦς.
μετένεγκε τοίνυν ἐπὶ τῆς ἀσκήσεως τὸ ὑπόδειγμα, καὶ σκόπησον ὅσον ἄλγος καὶ ἀκοσμίαν τῆς αἰ-
σθητικῆς ψυχῆς τῇ ἀποκοπὴ κατεργάζεται. καὶ ὅπως ἑαυτοῦ νεκρὸν καὶ ζωῆς ἀμέτοχον ἀπο-
φαίνει. ὅτι δὲ ὁ ἀφηγούμενος οὐκ ἂν ἕλοιτο τὸν αὐτῷ μαθητευόμενον τῇ πονηρίᾳ ἐναγῆ-

ἐψυχωμένον

καταλύει· καὶ ἀνδριάντα μόνον ἀσκητοῦ τὸ σχῆμα περιφέρειν παρασκευάζει. μηδαμοῦ ἐψυχωμένον τοῖς ἀρεταῖς. πολλάκις δὲ διὰ τὰς περὶ τοὺς συγγενεῖς ἐπιταθείσας ἐννοίας ἐτόλμησεν ὁ ἀσκητὴς καὶ ἱεροσυλίαν ἐργάσασθαι, ὥστε τὴν τῶν συγγενῶν ἔνδειαν θεραπεῦσαι. τὰ γὰρ εἰς τοὺς ἁγίους τοὺς ἀναθέντας ἑαυτοὺς τῷ θεῷ ταμιευόμενα, ἱερὰ καὶ ἀληθῶς ἀναθήματα νοεῖται καὶ ἐκλαμβάνεται. ὁ τοίνυν τούτων τι νοσφιζόμενος, ὡς ἐστὶ τῶν ἱεροσυλίαν κατατολμώντων. γνόντες οὖν τῆς περὶ τοὺς οἰκείους διαθέσεως τὴν ἀφόρητον βλάβην, φύγωμεν τὴν περὶ ἐκείνων φροντίδα, ὡς διαβολικὸν ὅπλον [illegible]. καὶ γὰρ αὐτὸς ὁ κύριος τὴν τοιαύτην σχέσιν καὶ συνήθειαν ἀπηγόρευσεν, ὅτι μὲν τῶν μαθητῶν οὐκ ἐπέτρεψε, οὐδὲ αὐτὸ μόνον τοῖς οἰκείοις συντάξασθαι. ἑτέρῳ δὲ οὐδὲ τῷ σώματι τοῦ πατρὸς τεθνεῶτος γῆν ἐπαμήσασθαι. τῷ μὲν γὰρ συντάξασθαι βουλομένῳ τοῖς οἰκείοις φησίν, οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τὸν δὲ θάψαι τὸν πατέρα παρακαλοῦντι, ἀκολούθει μοι φησί, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. καίτοι ἐδόκουν εὐλογωτάτας καὶ δικαιοτάτας ποιεῖσθαι τὰς δεήσεις ἑκάτεροι. ἀλλ᾽ οὐκ ἐπένευσεν ὁ σωτήρ, οὐδὲ πρὸς τὸ σμικρὸν γοῦν ἀφῆκεν αὐτοὺς χωρίζεσθαι τῶν προοιμίων τῆς τῶν οὐρανῶν βασιλείας, ἵνα μή τι τοῦ ὑψηλοῦ καὶ οὐρανίου φρονήματος ταπεινότερον ἢ πρόσκαιρον, ἢ λογίσαιντο τῇ περὶ τὰς γηΐνας καὶ σαρκικὰς διαθέσεις ῥοπῇ. ὡς οὐκ ἐξὸν τοὺς τὰ οὐράνια φρονοῦντας, τῶν ἐπὶ γῆς ἔχειν λόγον τινά, ὡς ἤδη μεταστάντας καὶ ὑπερκοσμίους τῇ διανοίᾳ γεγενημένους. εἰ δὲ λέγοις τις, ὅτι πῶς οὖν ὁ νόμος κελεύει τῶν οἰκείων φροντίζειν λέγων, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. ὁμοίως δὲ καὶ ὁ ἀπόστολος. εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων, σύντομον τὴν ἀπόκρισιν παρεξόμεθα. ὅτι ὁ θεῖος ἀπόστολος πρὸς τοὺς βιωτικούς, πρὸς τοὺς τὸν ὑλικὸν πλοῦτον ἔχοντας, καὶ δυναμένους παραμυθεῖσθαι τὴν τῶν συγγενῶν ἔνδειαν, τοῦτο εἴρηκεν. ὁμοίως δὲ καὶ ὁ νόμος ταῦτα φησί. καὶ ἵνα συντομώτερον εἴπω, περὶ τοὺς ζῶντας, οὐ περὶ τοὺς τεθνεῶτας. ἀνεύθυνοι γὰρ πάντως τοιούτου ὀφλήματος οὗτοί γε. σὺ δὲ τέθνηκας μέν, καὶ ἐσταύρωσαι τῷ κόσμῳ παντί. ἀποταξάμενος γὰρ τῷ ὑλικῷ πλούτῳ, τὴν ἀκτημοσύνην ἠγάπησας. σεαυτὸν δὲ ἀναθεὶς τῷ θεῷ, κειμήλιον γέγονας τοῦ θεοῦ. ὡς τεθνεὼς ἐλεύθερος εἶ πάσης τῆς περὶ τοὺς συγγενεῖς εἰσφορᾶς. ὡς ἀκτήμων οὐδὲν ἔχεις, ὃ χορηγήσεις. καὶ αὐτὸ δὲ τὸ σῶμα καρποφορήσας, καὶ οὐδὲ ἐκείνου λοιπὸν ἔχων τὴν ἐξουσίαν ὡς ἀναθήματος, οὐ θέμις εἰς ἀνθρώπων χρῆσιν εἶναι. μόνοις δὲ τοῖς ὁμοτρόποις ὡς καὶ αὐτοῖς θεῷ τὸ πᾶν ἀνακειμένοις συμπολιτεύεσθαι. πόθεν οὖν σοι ἁρμόσει τὰ μνημονευθέντα ῥήματα τῆς ἁγίας γραφῆς; ἢ πῶς οὐκ ἁμαρτήσεις τῆς ἑαυτοῦ ὁμολογίας περὶ τὴν ἄσκησιν ἀθετῶν —

Ὅτι οὐ δεῖ τῆς πνευματικῆς ἀδελφότητος ἀποκόπτεσθαι. κβʹ.

Χρὴ μέντοι καὶ τοῦτο πεπεῖσθαι σαφῶς, ὅτι ὁ ἅπαξ εἰς σύνδεσμον καὶ συνάφειαν ἐλθὼν πνευματικῆς ἀδελφότητος, οὐχ οἷός τ᾽ ἂν εἴη ἀποκόπτεσθαι καὶ χωρίζεσθαι τούτων, οἷς συνηρμόσθη. εἰ γὰρ ἄνθρωποι πολλάκις εἰς κοινωνίαν βίου τούτου τοῦ ὑλικοῦ συνερχόμενοι οὐκ ἂν δύναιντο παρὰ τὰ συμβαθέντα χωρίζεσθαι. ὁ τοῦτο ποιῶν ἔνοχος ἔσται τοῖς ὡρισμένοις ἐπιτιμίοις. πολλῷ μᾶλλον ὁ εἰς σύμβασιν ἐλθὼν πνευματικῆς συμβιώσεως, τὴν ἄλυτον καὶ αἰώνιον τὴν συνάφειαν κεκτημένης, οὐχ οἷός τ᾽ ἂν εἴη μερίζειν καὶ ἀποκόπτειν ἑαυτὸν τούτων, οἷς συνεκράθη. ἢ τοῦτο ποιῶν, βαρυτάτοις ἑαυτὸν τοῖς αἰωνίοις ἐπιτιμίοις ὑποβάλλει. εἰ γὰρ γυνή, ἡ εἰς κοινωνίαν ἀνδρὸς ἀφιγμένη, καὶ σαρκικὴν ἔχουσα τὴν συνάφειαν αὐτοῦ, τούτῳ ἐπιβουλεύουσα φωραθείη, θανάτῳ καταδικάζεται, πόσῳ μᾶλλον ὁ πνευματικῇ κοινωνίᾳ συναρμοσθεὶς ὑπ᾽ αὐτῷ μάρτυρι καὶ μεσίτῃ τῷ πνεύματι ὑπόδικος ἔσται τῷ χωρισμῷ γίνεται. ὥσπερ οὖν τὰ μέλη τοῦ σώματος φυσικῶς συνηρτημένα δεσμῷ οὐκ ἂν τοῦ σώματος ἀπορρήγνυσθαι δύναιτο, ἢ εἰ ἀπορραγείη, νεκρὸν τὸ ἀπορρηγνύμενον γένοιτ᾽ ἄν, οὕτω καὶ ἀσκητὴς ἀδελφότητι συμπλεκόμενος, καὶ φυσικῶς ἰσχυροτέρῳ δεσμῷ τῇ τοῦ πνεύματος ἁρμολογίᾳ κρατούμενος, οὐκ ἂν ἐξουσίαν ἔχοι τέμνεσθαι τούτων, οἷς συνηρμόσθη. ἢ ποιῶν τοῦτο, νεκρός ἐστι τῇ ψυχῇ, καὶ ἐστερημένος τῆς τοῦ πνεύματος χάριτος, οἷα δὴ τὴν ἐπ᾽ αὐτοῦ σύμβασιν ἀθετήσας. εἰ δὲ λέγοι τις, ὅτι φαῦλοι τινὲς τῶν

τε ἐντολῶν τοῦ θεοῦ ἀντεχόμενον. καὶ τὴν ὑπακοὴν τοῖς καθηγουμένοις ἐπιδεικνύμενον. τοῦτο γὰρ τῆς πολιτείας ἐστὶ τὸ κεφάλαιον. ὥσπερ γὰρ οὖν ὁ θεὸς πατὴρ ἁπάντων καὶ ὢν, καὶ καλεῖσθαι καταξιῶν, ἀκριβεστάτην παρὰ τῶν αὐτοῦ θεραπόντων ἀπαιτεῖ τὴν εὐπείθειαν, οὕτω καὶ ὁ πνευματικὸς πατὴρ ἐν ἀνθρώποις πρὸς τοὺς τοῦ θεοῦ νόμους τὰς ἑαυτοῦ διατάξεις ἁρμόζων, ἀναμφίλεκτον τὴν ὑπακοὴν ἀπαιτεῖ. εἰ γὰρ ὁ τέχνῃ τινὶ τῶν βαναύσων, τούτων δὴ τῶν πρὸς τὴν παροῦσαν ζωὴν ἡμῖν χρησίμων, ἑαυτὸν ἐκδιδοὺς, παντὶ τρόπῳ πείθεται τῷ τεχνίτῃ, καὶ κατ' οὐδὲν ἐναντιοῦται τοῖς ἐκείνου προστάγμασιν, οὔτε μὴν πρὸς τὸ βραχύτατον τούτου χωρίζεται, ἀλλὰ πάντα καιρὸν ἐν ὀφθαλμοῖς ἐστι τοῦ διδασκάλου, βρῶσίν τε καὶ πόσιν, καὶ τὴν ἄλλην δίαιταν ἀπονεμένει ταύτην, ἣν ἂν ἐκεῖνος ὁρίσειεν, πολλῷ μᾶλλον οἱ πρὸς τὴν μάθησιν τῆς εὐσεβείας καὶ τῆς ὁσιότητος ἀφικνούμενοι ἅπαξ πεπεικότες ἑαυτοὺς ὅτι διανύσονται παρὰ τοῦ καθηγουμένου τὴν τοιαύτην ἐπιστήμην λαβεῖν πᾶσαν εὐπείθειαν, καὶ τὴν ὑποταγὴν πάντα ἀκριβεστάτην ὑπακοὴν τούτοις εἰσοίσονται. καὶ οὐχὶ τὸν λόγον τῶν ἐπιτεταγμένων ἀπαιτήσωσιν, ἀλλὰ τὸ ἔργον τῶν ἐπιταγμάτων ἐπιτελέσωσιν, εἰ μὴ τοσοῦτον, ὅσον ἀγνοοῦντάς τι τῶν συντεινόντων πρὸς σωτηρίαν, κοσμίως καὶ μετὰ τῆς πρεπούσης αἰδοῦς ἐρωτᾶν καὶ παιδεύεσθαι.

Ὅτι οὐ χρὴ τοὺς πρὸς τοὺς βιωτικοὺς συγγενεῖς μετὰ σπουδῆς ὁμιλίας, ἢ τὰ ἐκείνων φροντίζειν. κα'.

γνωμ. α

Συγγενῶν μέντοι καὶ φίλων καὶ γονέων, κεχωρίσθαι τοσοῦτον τῇ διαθέσει προσήκει, ὅσον τοὺς τεθνεῶτας ὁρῶμεν τῶν ζώντων ἀφεστηκότας. καὶ γὰρ ὁ κατὰ ἀλήθειαν πρὸς τὸν κατ' ἀρετὴν ἀγῶνα ἀποδυσάμενος, καὶ τῷ κόσμῳ παντὶ μετὰ τῶν ἐν τῷ κόσμῳ πάντων ἀποταξάμενος καὶ σταυρώσας ἑαυτὸν, ἵνα τὸ πλῆρες εἴπω, τῷ κόσμῳ, τέθνηκε τῷ κόσμῳ, καὶ πᾶσι τοῖς ἐν τῷ κόσμῳ, κἂν γονεῖς ὦσι, κἂν ἀδελφοὶ, κἂν τρίτον ἢ τέταρτον, ἢ πολλοστὸν βαθμὸν τῆς συγγενείας ἐπέχοντες. εἰ μὲν οὖν μετασταῖεν οἱ γεγεννηκότες τοῦ βίου, καὶ πρὸς τὴν πολιτείαν τοῦ παιδὸς μεταταξαιντο, ἀληθῶς εἰσι συγγενεῖς. οὐ τὴν γονέων, ἀλλὰ τὴν ἀδελφῶν τάξιν ἐπέχοντες. πατὴρ γάρ ἐστιν ἀληθέστατος, πρῶτος μὲν ὁ τῶν ἁπάντων πατήρ. ὁ δεύτερος δὲ μετ' ἐκεῖνον, ὁ τῆς πνευματικῆς καθηγούμενος πολιτείας. εἰ δὲ μένοιεν οἱ συγγενεῖς τὸν πρότερον ἀσπαζόμενοι βίον, μέρος εἰσὶ τοῦ κόσμου, οὗ ἡμεῖς κεχωρίσμεθα. καὶ κατ' οὐδὲν ἡμῖν προσήκοντες τὸν κατὰ σάρκα ἄνθρωπον ἀποθεμένοις, καὶ ἀποδυσαμένοις τὴν πρὸς ἐκείνους οἰκείωσιν. ὁ δὲ τὴν τῶν βιωτικῶν φιλίαν μετὰ ἀκριβείας κατασπαζόμενος, καὶ τούτοις διαπαντὸς προσομιλεῖν ἐφιέμενος, τὰς ἐκείνων διαθέσεις διὰ τῆς συνεχοῦς ὁμιλίας εἰς τὴν ψυχὴν εἰσῳκίσατο. πάλιν τε τοῦ κοσμικοῦ φρονήματος ἀναπλησθεὶς τὴν διάνοιαν, τῆς ἀγαθῆς ἐνστάσεως ἀποπέπτωκε, καὶ τοῦ πνευματικοῦ φρονήματος ἐχωρίσθη, καὶ τὸν πρότερον ἴματον ἀνεμάξατο τῇ ψυχῇ, καὶ παρὰ τοῦ ἐχθροῦ τέτρωται, διὰ τῆς σαρκικῆς συγγενείας τὴν πνευματικὴν πολιτείαν ἐπιθολώσαντος. Τοῖς μὲν οὖν συγγενέσιν εὐχόμεθα τὰ βέλτιστα, δικαιοσύνην φημὶ, καὶ εὐσέβειαν. καὶ ταῦτα, ἅπερ ἡμεῖς τίμια πεποιήμεθα. ταῦτα γὰρ ἡμῖν πρέπον εὔχεσθαι, κἀκείνοις παρ' ἡμῶν καρποῦσθαι συμφέρειν. αὐτοὶ δὲ τὴν ὑπὲρ ἐκείνους φροντίδος τε καὶ μερίμνης τοὺς λογισμοὺς ἀπολύσωμεν. ὁ γὰρ διάβολος θεασάμενος ἀπολυσαμένους ἡμᾶς πᾶσαν φροντίδα βιωτικὴν, καὶ εὐσταλεῖς ἐπὶ τὸν οὐρανὸν τρέχοντας, τὴν ὑπὲρ τῶν συγγενῶν ἡμῖν ἐνεργασάμενος εὔνοιαν, τά τε ἐκείνων φροντίζειν παρασκευάσας, καὶ εἰς βιωτικὰς φροντίδας τὸν λογισμὸν μεριμνᾶν παρασκευάζει. τίς μὲν ἡ τῶν οἰκείων περιουσία, καὶ εἰ αὐτάρκης, ἢ ἐνδεής, τίνα δὲ τὰ ἐκ τῶν συναλλαγμάτων αὐτοῖς προσγενόμενα κέρδη, καὶ ὁπόσον τὸν πλοῦτον αὐξάνονται. τίνες δὲ ἐκ τῶν τοῦ βίου περιστάσεων ζημίαι προσπίπτουσι. καὶ πόσον τὴν ὑπάρχουσαν ἐλαττοῦσι περιουσίαν. καὶ συνήδεσθαι μὲν ποιεῖ ταῖς εὐπορίαις αὐτῶν, συναθυμεῖν τε ταῖς ἀτυχίαις. συνεχθραίνειν δὲ τοῖς ἐχθροῖς, καὶ τοῦτο κελευομένους μηδένα ἔχειν ἐχθρὸν, καὶ συγχαίρειν τοῖς φίλοις οὐκ ἀξίοις οὖσι πολλάκις τῆς πνευματικῆς οἰκειώσεως, χαίρειν δὲ καὶ ἐπὶ τοῖς ἀδίκοις αὐτῶν καὶ παραλόγοις κέρδεσι, καὶ πάσας τὰς πονηρὰς τῶν βιωτικῶν ἀποθέσεων διαθέσεις, ἃς ἀποδυσάμενοι, τὰς πνευματικὰς ἐννοίας εἰσῳκισάμεθα, πάλιν ἐπεισάγει τοῖς λογισμοῖς καὶ τὸ ὑλικὸν καὶ κοσμικὸν φρόνημα τῇ ψυχῇ πάλιν ἐνεργασάμενος, τὴν οὐδὸν ἀσκητὴν

αὕτη κατάληψις, τῶν ἀγγέλων δεῖ θησαυρίσματα. πρὸς ἃ βλέπειν ἅπασιν ἔξεστιν,
ὁλόκληρον αὐτῶν τὴν γνῶσιν, καὶ τὴν κτῆσιν ἑκάστου λαμβάνοντος. τοιοῦτοι οἱ κατὰ
ἀλήθειαν ἀσκηταὶ, οὐ τῶν γηΐνων μεταποιούμενοι, ἀλλὰ τῶν οὐρανίων ἀμφισβητοῦν-
τες, καὶ ἀμερίστοις διανομαῖς τὰ αὐτὰ οἱ πάντες, παρ' ἑαυτοῖς ἕκαστος ὁλόκληρα θησαυρί-
ζοντες. ἀρετῆς γὰρ ἡ κτῆσις, καὶ κατόρθωμά που ὁ πλοῦτος, καὶ πλεονεξία ἐπαινε-
τὴ, καὶ ἀδάκρυτος ἁρπαγὴ, καὶ ἀπληστία στεφανουμένη, καὶ ὁ μὴ βιαζόμενος ἔνοχος. πάν-
τες ἁρπάζοντες, καὶ οὐδεὶς ἀδικούμενος, καὶ διὰ τοῦτο εἰρήνη τῷ πλούτῳ βραβεύουσα.
οὗτοι τῆς ἐπηγγελμένης βασιλείας τὰ ἀγαθὰ προαρπάζουσι, τὴν ἐνάρετον ἑαυτῶν πο-
λιτείαν καὶ κοινωνίαν ἀκριβὲς μίμημα τῆς ἐκεῖσε διαγωγῆς καὶ καταστάσεως παριστῶν-
τες. οὗτοι τὴν ἀκτημοσύνην τελέως κατώρθωσαν, οὐδὲν ἴδιον ἔχοντες, ἀλλήλων δὲ τὰ πάν-
τα. ἡλίκον ἡμῖν ἀγαθὸν ἡ τοῦ σωτῆρος ἐνανθρώπησις προξενοῦσα γέγονε. σαφῶς οὗτοι
τῷ βίῳ τῶν ἀνθρώπων ὑπέδειξαν τὴν διερρωγυῖαν τῶν ἀνθρώπων φύσιν. καὶ εἰς μυρία κα-
τατμηθεῖσαν κατάγει τὸ ἐπ' αὐτοῖς πάλιν συνάγοντες, πρὸς ἑαυτήν τε καὶ πρὸς τὸν
θεόν. τοῦτο γὰρ τὸ κεφάλαιον τῆς τοῦ σωτῆρος κατὰ σάρκα οἰκονομίας, ἵνα τὴν ἀνθρω-
πίνην φύσιν πρὸς ἑαυτήν τε καὶ πρὸς ἑαυτὸν συναγάγῃ. καὶ τὴν πονηρὰν κατατο-
μὴν ἐξελὼν, τὴν ἀρχαίαν ἀνακαλέσηται ἕνωσιν. καθάπερ τις ἄριστος ἰατρὸς σῶμα κα-
τὰ πολλὰ μέρη διῃρημένον φαρμάκοις σωτηρίοις ἀνασυνδέων. καὶ ταῦτα διῆλθον, οὐχ
ἵνα φιλοτιμήσωμαί τι, καὶ τοῖς λόγοις ἐπάρω τὰ τῶν κοινοβιακῶν κατορθώματα, οὐ γὰρ
τοσαύτη δύναμις τῶν ἐμῶν λόγων, ὥστε τὰ μεγάλα σεμνύνειν, τοὐναντίον δὲ μᾶλλον
καὶ ἀμαυρώσω τῇ περὶ τὴν διήγησιν ἀσθενείᾳ, ἀλλ' ἵνα, ὡς οἷόν τε, δηλώσω καὶ ἐπιδεί-
ξω τὸ τοῦ κατορθώματος ὕψος καὶ μέγεθος. τί γὰρ ἂν εἰς ἴσον ἔλθοι τῷ καλῷ τούτῳ
τῆς συγκρίσεως. ὅπου γὰρ πατὴρ μὲν εἷς μιμούμενος τὸν ἄνω πατέρα, παῖδες δὲ πολλοὶ
νικᾷν ἐσπουδακότες ἀλλήλους ταῖς περὶ τὸν προεστῶτα εὐνοίαις, παῖδες πρὸς ἑαυτούς
τε ὁμονοοῦντες, καὶ τὸν πατέρα ταῖς ἀρίσταις πράξεσι δεξιούμενοι, οὐ φύσιν τῆς συ-
ναφείας αἰτίαν ἐπιγραφόμενοι, λόγον δὲ φύσεως βεβαιότερον τῆς ἑνώσεως ἀρχηγὸν καὶ
φύλακα ποιησάμενοι, καὶ πνεύματος ἁγίου δεσμῷ κρατούμενοι. τίνα ἂν εἰκόνα τῶν
ἐπὶ τῆς γῆς εἰς παράστασιν ἔχοιεν τῆς τοῦ κατορθώματος ἀρετῆς; ἀλλὰ τῶν μὲν ἐπὶ τῆς
γῆς οὐδεμίαν. μόνη δὲ τῇ ἄνω λείπεται. ἀπαθὴς ὁ ἄνω πατὴρ, δίχα πάθους οὗτος, λό-
γῳ δὲ ἅπαντας προσαγόμενος. ἄφθαρτοι οἱ παῖδες τοῦ ἄνω πατρὸς, ἀφθαρσία καὶ
τούτους εἰσεποιήσατο. ἀγάπη συνδεῖ τὰ ἄνω, ἀγάπη καὶ τούτους πρὸς ἀλλήλους συ-
νήρμοσεν. ὄντως ἀπαγορεύει πρὸς τὴν τοιαύτην φάλαγγα καὶ αὐτὸς ὁ διάβολος, οὐκ ἀρ-
κῶν πρὸς τοσούτους ἀγωνιστὰς, οὕτως ἀσφαλῶς καὶ συγκεκροτημένως κατ' ἐκείνου στρα-
τεύοντας, καὶ τοσοῦτον τῇ ἀγάπῃ συνησπικότας ἀλλήλοις καὶ φραττομένους τῷ πνεύμα-
τι, ὥστε μήτε βραχυτάτην τινὰ παρείσδυσιν τοῖς ἐκείνου βολαῖς παρασχεῖν. σκόπει μοι
τὴν τῶν ἑπτὰ μακκαβαίων σύμφωνον ἄθλησιν, καὶ εὑρήσεις παρὰ τούτοις θερμοτέραν
τὴν συμφωνίαν. περὶ τούτων δ' ἄρα ὁ προφήτης ἐν ᾠδαῖς ἀναβάσεως λέγων. ἰδοὺ δὴ τί
καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό. τῷ μὲν καλῷ τὸ τοῦ βίου
δόκιμον παριστὰς, τῷ δὲ τερπνῷ τὴν ἐκ τῆς ὁμονοίας καὶ τῆς ἑνώσεως εὐφροσύνην. τού-
των οἱ μετιόντες τὸν βίον μετ' ἀκριβείας, ἐμοὶ δοκεῖν τὴν ἀνωτάτω ἐζηλωκότες ἀρετήν.

Ὅτι χρὴ τὸν ἀσκητὴν βεβαίᾳ κρίσει προσιέναι τῇ ἀσκήσει. καὶ περὶ ὑποταγῆς. κ'.

Τοῖς μὲν οὖν διορατικοῖς τὸν νοῦν ἐν τῇ προδιηγήσει τῶν τῆς πολιτείας ἰδιωμάτων,
τὸν κανόνα τῆς πολιτείας ὁ λόγος ἀφείσατο. ἐπειδὴ δὲ προσήκει διὰ τοὺς ἁπλου-
στέρους τῶν ἀδελφῶν καὶ σαφέστερον ἐκθέσθαι τὸν τῆς πολιτείας ἐφ' ἑκάστῳ κανό-
να, ἐπὶ τοῦτο δὴ καὶ τρεψόμεθα. χρὴ τοίνυν πρό γε ἁπάντων, τὸν προσελθόν-
τα τῇ τοιαύτῃ πολιτείᾳ, ἐστηριγμένον, καὶ ἑδραῖον, καὶ ἀκίνητον ἔχειν τὸ φρόνη-
μα, καὶ κρεῖσσον τοῖς πνεύμασι τῆς πονηρίας ἀνεπιχείρητον καὶ ἀμετάθετον, καὶ
μαρτύρων ἔνστασιν τῇ τῆς ψυχῆς ἐπιδείκνυσθαι βεβαιότητι μέχρι θανάτου. πολλ

τὸν δὲ ἀποσπουδασθῆναι αὐτῷ τὸ πονηρὸν διὰ τάχους ἅμα τῆς τῶν ἀτόπων λογισμῶν μνή-
μης. ὥστε ἀπαρεμποδίστως τῇ τῆς διανοίας ὁρμῇ, ἀχρόνως, καὶ ὀξυῤῥέπως πρὸς τὸν θεὸν
διαβαίνειν, μηδαμοῦ ταῖς τῶν πονηρῶν ἐνθυμημάτων ἐφόδοις διακοπτόμενος. εἰ δὲ καὶ
ἐπιτείνοιτο ἡ τοιαύτη τῶν λογισμῶν ἐπήρεια διὰ τὴν τοῦ προσπολεμοῦντος ἀναίδειαν,
οὐδὲ οὕτως ἀπαγορεύειν, οὐδὲ ἡμιέργοις τοῖς ἀγῶσι καταλιμπάνειν προσήκει. ἀλλὰ μέ-
χρι τοσούτου καρτερεῖν, μέχρις ἂν ὁ θεὸς τὴν ἡμετέραν ἔνστασιν θεασάμενος, τὴν χάριν
τοῦ πνεύματος ἐπιλάμψῃ. τὸν μὲν ἐπίβουλον φυγαδεύουσαν, τὴν δὲ διάνοιαν ἡμῶν καθαίρου-
σαν καὶ θείου φωτὸς ἐμπιπλῶσαν, καὶ ἀκυμάντῳ γαλήνῃ τὸν λογισμὸν τῷ θεῷ λατρεύειν
μετ᾽ εὐφροσύνης παρέχουσαν.

Πρὸς τοὺς ἐν κοινοβίῳ κανονικούς. ιθ΄.

Περὶ μὲν οὖν τοῦ καθ᾽ ἕκαστον ἀσκητοῦ, καὶ τοῦ τὸν μονήρη βίον ἀσπασαμένου ἐν τοῖς πρόσθεν
ὡς εἰπεῖν διειλέχθημεν. ὅπως τήν τε ψυχὴν πρὸς τὸ καλὸν διασκεῖν, καὶ τὸ σῶμα πρὸς τὸ
δέον οἰκονομεῖν, δύναιτ᾽ ἂν ἡμῖν τὸν ἀκριβῆ χαρακτηρίσαι φιλόσοφον. ἐπεὶ δὲ οἱ πλεῖστοι
τῶν ἀσκητῶν κατὰ συστήματα πολιτεύονται ἀλλήλοις τὰ φρονήματα πρὸς ἀρετὴν παραθή-
γοντες, καὶ τῇ τῶν κατορθωμάτων ἀντιπαραθέσει παρορμῶντες ἑαυτοὺς ἐπὶ τὴν τοῦ καλοῦ
προκοπὴν, δίκαιον ᾠήθημεν, καὶ τούτοις τὴν διὰ τῶν λόγων παράκλησιν εἰσενέγκασθαι. χρὴ
δὲ πρότερον ἐγνωκότας αὐτοὺς, ὁπόσου καὶ πηλίκου μεταποιοῦνται καλοῦ, οὕτω τὴν ἐπὶ
τούτῳ προτροπὴν ἀποδέξασθαι, ἵνα προθυμίαν καὶ σπουδὴν ἀξίαν τῆς τοῦ κατορθώμα-
τος ἀρετῆς ἐπιδείξωνται. πρῶτον μὲν οὖν ἐπὶ τὸ κατὰ φύσιν καλὸν ἐπανέρχονται, τὴν κοινω-
νίαν καὶ τὴν συνδιαίτησιν ἀσπαζόμενοι. κοινωνίαν γὰρ βίου τελεωτάτην ἐγὼ καλῶ, ἐν ᾗ κτή-
σεως μὲν ἰδιότης ἐξώρισται, γνώμης δὲ ἐναντίωσις ἀπελήλαται, ταραχὴ δὲ πᾶσα, καὶ φιλο-
νεικία, καὶ ἔριδες ἐκ ποδῶν ἑστήκασι. κοινὰ δὲ τὰ σύμπαντα, ψυχαί, γνῶμαι, σώματα, καὶ
ὅσοις τὰ σώματα τρέφεται καὶ θεραπεύεται. κοινὸς ὁ θεὸς, κοινὸν τὸ τῆς εὐσεβείας ἐμπό-
ρευμα, κοινὴ ἡ σωτηρία, κοινὰ τὰ ἀγωνίσματα, κοινοὶ οἱ πόνοι, κοινοὶ οἱ στέφανοι, εἷς οἱ πολ-
λοί, καὶ ὁ εἷς οὐ μόνος, ἀλλ᾽ ἐν πλείοσι. τί ταύτης τῆς πολιτείας ἴσον; τί δὲ μακαριώτε-
ρον; τί τῆς συναφείας καὶ τῆς ἑνώσεως ἀκριβέστερον; τί τῆς τῶν ἠθῶν καὶ τῶν ψυχῶν συγκρά-
σεως χαριέστερον; ἄνθρωποι ἐκ διαφόρων γενῶν καὶ χωρῶν κινηθέντες, εἰς τοσαύτην ἀκρί-
βειαν ταυτότητος συνηρμόσθησαν, ὥστε μίαν ψυχὴν ἐν πολλοῖς σώμασι θεωρεῖσθαι, καὶ
τὰ πολλὰ σώματα μιᾶς γνώμης ὄργανα δείκνυσθαι. ὁ ἀσθενῶν τὸ σῶμα, πολλοὺς ἔχει
τῇ διαθέσει συγκάμνοντας. ὁ νοσῶν καὶ καταπίπτων ψυχῇ, πολλοὺς ἔχει τοὺς ἰωμένους καὶ
συνδιανιστῶντας αὐτόν. ἀλλήλων ἰσόδουλοι, ἀλλήλων κύριοι, καὶ ἐν τῇ ἀμάχῳ ἐλευθε-
ρίᾳ τὴν ἀκριβεστέραν δουλείαν ἀλλήλοις ἀντεπιδείκνυνται, ἣν οὐκ ἀνάγκη περιστάσεως
βίαιον ἐπήγαγε, πολλὴν φέρουσα τοῖς ἁλοῦσι τὴν ἀθυμίαν, ἀλλὰ γνώμης τὸ αὐθαίρε-
τον μετ᾽ εὐφροσύνης ἐδημιούργησεν. ἀγάπης τοὺς ἐλευθέρους ὑποτασσούσης ἀλλήλοις,
καὶ τῷ αὐθαιρέτῳ τὸ ἐλεύθερον φυλαττούσης. τοιούτους ἡμᾶς ἐξ ἀρχῆς ὁ θεὸς εἶναι ἐ-
βούλετο, καὶ ἐπὶ τούτοις ἐδημιούργησεν. οὗτοι τὸ ἀρχαῖον ἀνακαλοῦνται καλὸν, τοῦ
ἀρχιπάτορος ἀδὰμ τὴν ἁμαρτίαν ἐπικαλύπτοντες. διαίρεσις γὰρ καὶ διάστασις, καὶ πό-
λεμος οὐκ ἂν ἦν ἐν ἀνθρώποις, μὴ τῆς ἁμαρτίας διατεμούσης τὴν φύσιν. οὗτοι ἀκριβεῖς
μιμηταὶ τοῦ σωτῆρος, καὶ τῆς κατ᾽ αὐτὸν ἐν σαρκὶ πολιτείας ὑπάρχουσιν. ὥσπερ γὰρ ἐκεῖ-
νος χορὸν μαθητῶν συστησάμενος, κοινὰ τὰ πάντα, καὶ κοινὸν ἑαυτὸν τοῖς ἀποστόλοις πα-
ρέσχηκεν, οὕτω καὶ οὗτοι τῷ καθηγουμένῳ πειθόμενοι, εἴγε καλῶς τὸν κανόνα τοῦ βίου
διαφυλάσσοντες, τὴν τῶν ἀποστόλων καὶ τοῦ κυρίου πολιτείαν μετ᾽ ἀκριβείας μεμίμηνται.
οὗτοι τὴν τῶν ἀγγέλων ζωὴν ἐζηλώκασι, τὸ κοινωνικὸν ὥσπερ ἐκεῖνοι δι᾽ ἀκριβείας φυ-
λάξαντες. οὐκ ἔστιν ἐν ἀγγέλοις ἔρις, οὐ φιλονεικία, οὐκ ἀμφισβήτησις, ἀλλ᾽ ἕκαστος τὰ πάν-
των ἔχει, καὶ πάντες ὁλόκληρα παρ᾽ ἑαυτοῖς τὰ καλὰ ταμιεύονται. οὐ γάρ ἐστιν ὕλη ἐμ-
περίγραπτος ὁ τῶν ἀγγέλων πλοῦτος, δεομένη τομῆς ἣν ἵνα ἂν αὐτὴν πλείοσιν ἐπινέμεσθαι
δέῃ. ἀλλὰ ἄϋλος ἡ κτῆσις, καὶ διανοίας ὁ πλοῦτος. καὶ διὰ τοῦτο παρ᾽ ἑκάστοις ὁλόκληρα τὰ
καλὰ μένοντα, πάντας ἰσοτίμως πλουσίους ἐργάζεται, ἀναμφισβήτητον αὐτοῖς καὶ ἄ-
μαχον τὴν οἰκείαν κτῆσιν παρέχοντα. θεωρία γὰρ τοῦ ἀνωτάτου καλοῦ, καὶ ἀρετῶν σαφε-

καὶ τὸ χρηστὸν συγκέκραται· χρηστότης γὰρ ὕλη πραότητος· ταῦτα δὲ συγκιρνώμενα ἀλλήλοις καὶ συμπλεκόμενα τὸ κράτιστον τῶν ἀρετῶν τὴν ἀγάπην ἀποτελεῖ.

Περὶ φρονήσεως. ιε΄.

Πάντων μέντοι τῶν προειρημένων φρόνησιν ἡγεῖσθαι προσήκει· φρονήσεως γὰρ δίχα, πᾶν ὅτι καὶ καλὸν εἶναι δοκῇ, εἰς κακίαν διὰ τῆς ἀκαιρίας καὶ τῆς ἀμετρίας μεταπίπτει. λόγου δὲ καὶ φρονήσεως τοῖς ἀγαθοῖς τὸν καιρὸν καὶ τὸ μέτρον ὁρίζοντος, θαυμαστόν τι τὸ τῆς χρήσεως αὐτῶν κέρδος, τοῖς τε διδοῦσι, καὶ τοῖς λαμβάνουσι γίνεται.

Περὶ πίστεως καὶ ἐλπίδος. ιϛ΄.

Πάντων μέντοι τῶν ἐγχειρημάτων ἡγείσθω πίστις ἡ εἰς θεὸν καὶ συνεπέσθω τῇ ἐλπίδι, ἵνα τῇ μὲν πίστει τὴν δύναμιν τῆς ψυχῆς ἐρρωσόμεθα· τῇ δὲ ἐλπίδι πρὸς τὰ καλὰ προθυμώμεθα. οὐδὲ γὰρ ἡ περὶ τὰ καλὰ τῶν ἀνθρώπων ἐγχείρησις δίχα τῆς ἄνωθεν βοηθείας τελειωθήσεται· οὐδὲ ἡ ἄνωθεν χάρις ἐπὶ τὸν μὴ σπουδάζοντα παραγένοιτ' ἄν, ἀλλ' ἑκάτερα συγκεκρᾶσθαι προσήκει, σπουδήν τε ἀνθρωπίνην, καὶ τὴν διὰ τῆς πίστεως ἄνωθεν καθήκουσαν συμμαχίαν εἰς τελείωσιν ἀρετῆς.

Περὶ ταπεινοφροσύνης. ιζ΄.

Ἐπὶ πᾶσι μέντοι τοῖς παρ' ἡμῶν κατορθουμένοις, ἡ ψυχὴ τῆς κατορθώσεως τὰς αἰτίας ἐπὶ τὸν δεσπότην ἀναφερέτω, μηδὲν ὅλως κατορθοῦν ἐξ οἰκείας λογιζομένη δυνάμεως· ἡ γὰρ τοιαύτη διάθεσις τὴν ταπεινοφροσύνην ἡμῖν ἐμποιεῖν πέφυκε. ταπεινοφροσύνη δὲ, θησαυροφυλάκιον ἀρετῶν· ταῦτά σοι παρ' ἡμῶν ὡς ἄν τις εἴποι σπέρματα τῶν περὶ ἀρετῆς λόγων. σὺ δὲ λαβὼν ἐντεῦθεν, πολύχουν ἡμῖν ἐργάσαι τὸν καρπὸν, καὶ πλήρου τὸν τῆς σοφίας λόγον, τὸν διδόναι κελεύοντα τοῖς σοφοῖς ἀφορμὰς ἵνα σοφώτεροι γένωνται.

Κατὰ πόσους τρόπους οἱ πονηροὶ λογισμοὶ ἐν ψυχῇ συνίστανται. ιη΄.

Ἐπειδὴ δὲ φθάσαντες μὲν ἤδη τὰ περὶ τῶν λογισμῶν ἐξητάσαμεν, οὐ διειλόμεθα δὲ κατὰ πόσους τρόπους αἱ πονηραὶ ἔννοιαι τοῖς ὀρθοῖς λογισμοῖς ἐπιφύονται, νῦν καὶ τοῦτο προσθεῖναι ἐδικαιώσαμεν· ὥστε εἶναι τελειοτάτην τὴν τοῦ μέρους ἐξέτασιν. δύο τοίνυν τρόποι, καθ' οὓς αἱ ἀπρεπεῖς ἔννοιαι παρενοχλοῦσι τοῖς ὀρθοῖς λογισμοῖς. ἢ τῆς ψυχῆς κατ' οἰκείαν ὀλιγωρίαν περὶ τὰ μὴ προσήκοντα πλανωμένης, καὶ φαντασίαις ἐκ φαντασιῶν ἀλογίστοις ἐντυγχανούσης, ἢ κατ' ἐπιβουλὴν τοῦ διαβόλου πειρωμένου πραγμάτων ἀτοπίας ἀποφαίνειν τῇ διανοίᾳ καὶ ταύτην ἀπάγειν τῆς τῶν ἐπαινετῶν θεωρίας καὶ διασκέψεως. ὅταν μὲν οὖν ἡ ψυχὴ τὸ πυκνὸν καὶ σύντονον τῆς διανοίας ἀποχαλάσασα, μνήμας τὰς προστυχούσας καὶ τῶν τυχόντων ἀναφέρῃ πραγμάτων, τηνικαῦτα ὁ λογισμὸς ἀσπούδαστος καὶ ἀνεπιστημόνως πρὸς τὰ μνημονευθέντα τῶν πραγμάτων φερόμενος, τούτοις τε ἐπὶ πλεῖον ἀνασχολούμενος, πλάνας ἐκ πλανῶν μεταμείβει μακρούς, καὶ εἰς ἀργότητας πολλάκις καὶ ἀτοπίας ἐννοιῶν καταφέρεται τὸ τελευταῖον. ἀλλὰ τὴν μὲν τοιαύτην ὀλιγωρίαν τῆς ψυχῆς, καὶ διάχυσιν πυκνοτέρᾳ καὶ ἐπιστρεφεστέρᾳ τῇ τῆς διανοίας ἐπιστάσει διορθοῦσθαι καὶ ἐπανάγειν, καὶ τῇ πρὸς τὸ παρὸν ἀεὶ περὶ τὰ καλὰ διασκέψει προσασχολεῖν. ὅταν δὲ ὁ διάβολος ἐπιβουλεύειν ἐπιχειρῇ, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ὥσπερ τινὰ βέλη πεπυρωμένα τοὺς παρ' αὐτοῦ λογισμοὺς ἐνιέναι ἡσυχαζούσῃ καὶ ἠρεμούσῃ βιάζεται τῇ ψυχῇ, καὶ ταύτην αἰφνίδιον ἐμπιπρᾶν, καὶ χρονίας καὶ δυσεκλύτους τὰς μνήμας τῶν ἅπαξ ἐμβληθέντων ἐργάζεσθαι, τηνικαῦτα νήψει καὶ προσοχῇ συντονωτέρᾳ τὰς τοιαύτας ἐπιβουλὰς ὑπεξίστασθαι δεῖ. καθάπερ ἀθλητοῦ τινος ἀκριβεστάτῃ φυλακῇ, καὶ τάχει σώματος τὰς λαβὰς τῶν ἀντιπάλων ἐκτρεπομένου. καὶ τὸ πᾶν τῇ προσευχῇ καὶ τῇ ἐπικλήσει τῆς ἄνωθεν συμμαχίας διδόναι τὴν τοῦ πολέμου καθαίρεσιν, καὶ τὴν τῶν τοξευμάτων ἀποτροπήν. τοῦτο γὰρ ἡμᾶς Παῦλος
" ἐδίδαξε λέγων· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα
" τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. καὶ τοίνυν ἐν αὐταῖς ταῖς προσευχαῖς ἀποβάλλειν τὰς πονηρὰς φαντασίας, μὴ ἀφιστάσθω ἡ ψυχὴ τοῦ προσεύχεσθαι, μὴ δὲ οἰέσθω οἰκεῖα εἶναι γεώργια τὰς πονηρὰς τοῦ ἐχθροῦ ἐπισποράς, καὶ τὰς τοῦ ποικίλου θαυματοποιοῦ φαντασίας. ἀλλὰ λογισαμένη τῇ ἀκολουθίᾳ τοῦ τῆς πονηρίας εὑρετοῦ, τὴν τῶν ἀτόπων ἐννοιῶν φαντασιῶν, ταύτῃ μᾶλλον ἐπιτεινέτω τὴν ἐπίστασιν, καὶ ἱκετευέτω

τὸν θεὸν

ἀεὶ λαιξόμενον, τὸν μέλιτι χρώσαντα τῆς οἰκείας ἀπάτης τὸ δηλητήριον, καὶ ταῖς διανοίαις τῶν ἀνθρώπων τὴν ὀλεθρίαν ὀρέγοντα κύλικα. ἵνα οἶμαι τοῦ πάθους ἐμφορηθῶσιν ἀπλήστως. γλυκὺ γὰρ ἀνθρωπίνη δόξα τοῖς ἀπαιδεύτοις. ἄλλως δὲ καὶ κρίσεως ὀρθῆς, ἀκόλως ἁμαρτάνειν τοὺς ἁλόντας παρεσκεύαζε. ὁ γὰρ ταύτης ἐφιέμενος, τὰς μὲν οἰκείας κρίσεις καταλύσειεν. τοῦτο δὲ νενόμικε τίμιον, ὅπερ ἂν παρὰ τῶν προστυχόντων θαυμάζηται. ὡς οἵγε πονηροὶ ὄντες, ἢ ἀλόγιστοι θαυμάζοιεν τὰ κακά, τοῦτο δράσει πάντως ὁ ἐπαινούμενος, ὅπερ δὴ κατὰ τῶν οἰκείων ἐπιτηδευμάτων καλὸν ὑπειληφοίη νενόμικεν. ὡς εἶναι τὴν κενοδοξίαν οὐ μόνον καθαιρέτην τῶν καλῶν πράξεων, ἀλλὰ γὰρ καὶ τῶν πονηρῶν ὁδηγόν. διὸ δὴ προσήκει πρὸς τὸν ὀρθὸν λόγον, καὶ πρὸς θεὸν βλέποντας τὸν τοῦ ὀρθοῦ λόγου καθηγητὴν ταύτῃ βαδίζειν, ἥπερ ἂν ὁ θεὸς ὑφηγῆται. κἂν ἐπαινοῦσι τινὲς τὴν τοιαύτην ὁδὸν μὴ μέγα ποιεῖσθαι τὸν ἐκείνων ἔπαινον, πρὸς τὸν αὐτῶν ἐπαινέτην ὁρῶντας. συγχαίρειν δὲ μόνον αὐτοῖς τῆς ὀρθῆς ὁδοῦ τὰ καλὰ κεκτῆσθαι. κἂν ψέγωσιν ἕτεροι μηδαμῶς καταδύεσθαι. ταλανίζειν δὲ ἐκείνους τῆς ὀρθῆς κεκτῆσθαι ἀμοιροῦντας, καὶ σκότος διανοίας τὸ δεινότατον ἐπισωμάζοντας.

σωμάζοντες

Περὶ ἀκαιρίας λόγων. ιβʹ.

Ταῦτα μὲν οὖν τὰ κεφαλαιώδη τῶν κατορθωμάτων, ἅπερ οὐ πρὸς τὸ μέγεθος τῆς οἰκείας ἀρετῆς διηγόρευται. πρὸς δὲ τὸ μέτρον τῆς ἡμετέρας δυνάμεως, τὰς μέντοιγε καθεξῆς ἀρετάς, ὅσαι τὸ πρόχειρον ἦθος ἐπικοσμοῦσι, ῥᾴδιον οἶμαι καταδηλῶν ἅπασιν. οἷον λόγων ἀκαιρίαν καὶ πρὸς τὸ χρήσιμον προφοράν, χρήσιμον δ' ἂν εἴη ἢ τὸ περὶ ἀρετῆς ἐν καιρῷ διαλέγεσθαι, ἢ πρὸς τὴν ἀνεστῶσαν δὲ, καὶ κατεπείγουσαν χρείαν τοὺς λόγους ποιεῖσθαι, ἢ καὶ ὅλως πρὸς τὴν τῶν ἀκουόντων οἰκοδομήν. τοὺς δὲ λοιπούς, ὡς περιττοὺς καὶ ἀνωφελεῖς παραιτεῖσθαι.

Ὅτι οὐ χρὴ πρὸς εὐτραπελίας βλέπειν τὸν ἀσκητήν. ιγʹ.

Εὐτραπελίας ἁπάσης ἀπέχεσθαι προσήκει. πολλοὺς γὰρ συμβαίνει τοὺς περὶ τὰ τοιαῦτα ἀσχολουμένους, τοῦ ὀρθοῦ λόγου διαμαρτάνειν, τῆς ψυχῆς πρὸς γελοιασμὸν διαχεομένης, καὶ τὸ τῆς φρονήσεως συννοίᾳ καὶ πεπυκνωμένον καταλυούσης. πολλάκις δὲ τὸ κακὸν ὁδῷ βαδίζον καὶ εἰς αἰσχρολογίαν, καὶ ἀτοπίαν τὴν ἐσχάτην κατέλυσεν. ὡς μὴ συμβαίνειν κατὰ ταύτην τὴν ψυχῆς νῆψιν καὶ εὐτραπελίας διάχυσιν. εἰ δέ που καὶ δέοι, ὥστε μικρὸν ὑπανεῖναι τὸ σκυθρωπὸν διὰ τῶν λόγων φαιδρύνεσθαι, ἔστω ὁ λόγος ὑμῶν χάριτος γέμων πνευματικῆς, καὶ τῷ εὐαγγελικῷ ἅλατι ἠρτυμένος, ἵνα τῆς οὐ δοθὲν σοφῆς οἰκονομίας τὴν εὐωδίαν ἐπιφέρηται, καὶ διπλῶς εὐφραίνει τὸν ἀκροατήν, τῇ τε ἀνέσει, τῇ τε τῆς συνέσεως χάριτι.

Περὶ πρᾳότητος, καὶ τίνα τρόπον ἀγάπη συνίσταται. ιδʹ.

Πρᾳότητος δεῖ ὅτι μάλιστα ἔμπλεων εἶναι τὸν ἀσκητήν. ἐπειδὴ τοῦ πνεύματος τῆς πρᾳότητος ἢ μετέχειν, ἢ μεταχεῖν ἐφίεται. καὶ προσήκει τὸν τούτου ξενίαν τῷ ξενιζομένῳ προσοικοῦσαι. εἰ δέ που καὶ ἀγανακτήσεως δέοι κατὰ τοῦ ῥᾳθυμοῦντος ὑφ' ἡμῶν δηλαδὴ τεταγμένου, ἔστω λογισμῷ κεκραμένη ἡ ἀγανάκτησις. καὶ γὰρ ξίφεσι κέχρηνται μὲν καὶ ἀνδροφόνοι, κέχρηνται δὲ καὶ ἰατρῶν παῖδες. ἀλλ' οἱ μὲν ἐπειδὴ ὀργῇ καὶ ὠμότητι τὸ ξίφος διαχειρίζονται, τὰ πάντων ἀτοπώτατα δρῶσι, τοὺς ὁμογενεῖς διαχρώμενοι. οἱ δὲ ἐπειδὴ λογισμῷ πρὸς τὴν διὰ ξίφους ἐνέργειαν ἀφικνοῦνται, τὰ μέγιστα ἐντεῦθεν ὠφελοῦσι. τοὺς γὰρ κινδυνεύοντας περισώζουσιν. οὕτω καὶ ὁ σὺν λόγῳ διαγανακτεῖν ἐγνωκώς, ὀνήσει τὰ μεγάλα τοῦτον, καθ' οὗ ἐποιήσατο τὴν ἀγανάκτησιν, ῥᾳθυμίαν ἢ πονηρίαν ἐπανορθούμενος. ὁ δὲ ὀργῆς πάθει κεκρατημένος, οὐδὲν ὑγιὲς ἀπεργάζεται. ὅτι δὲ καὶ τῆς πρᾳότητος ἐπιμελουμένοις πρέπει ἡ ἐν καιρῷ ἀγανάκτησις, δῆλον ἐντεῦθεν. καὶ γὰρ Μωσῆς πρᾳότητος πάντων ἀνθρώπων μαρτυρηθεὶς, τοῦ καιροῦ καλοῦντος, διηγανάκτησε, καὶ εἰς τοσοῦτον προύβη κινήσεως, ὥστε φόνῳ τῶν ὁμοφύλων ὁρίσαι τὴν ἀγανάκτησιν. τοῦτο μέν, ἡνίκα τὸν μόσχον ἐτέκταινον, τοῦτο δέ, ὁπότε τῷ Βεελφεγὼρ ἐμιάνθησαν. ὥστε οὖν καὶ πρᾷον ὄντα, σὺν λόγῳ διαθερμαίνεσθαι. καὶ τὸ τῆς πρᾳότητος μὴ διαφθείρειν καλόν. τὸ δὲ ἀκίνητον μένειν, ἢ δέοντος μὴ ἀγανακτεῖν, ἀργίας φύσεως, οὐ πρᾳότητος ἂν εἴη. τῇ δὲ πρᾳότητι πεφυκέναι καὶ τὸ ἀνεξίκακον ἕπεσθαι. πρᾳότης γὰρ ἀνεξικακίας μήτηρ. οὐδὲν δὲ ἧττον τοῖς κατὰ ἀλήθειαν πρᾳέσι, ἀλλὰ μὴ βαρύτητι πεπλημμελοῦσι τὸ ἦθος,

κρύπτουσι. πολλούς τε καὶ παρατρέπειν ἐπὶ τὴν ἴσην κακίαν σπουδάζουσιν, ὅσοι κυβερνήσεως λογισμοῦ ἀμοιροῦντες· καὶ τῷ καλῶς, καὶ τῷ κακῶς ἄγοντι ῥᾳδίως προσίενται. τοῦτο καλὸν νομίσαντες, ὅπερ αὐτοῖς ἢ ὀρθῶς, ἢ πιθανῶς ὑφηγήσηται. καὶ τούτους τοίνυν πρὸς τὸ οἰκεῖον καθέλκειν σπουδάζουσι βάραθρον τῆς διαστροφῆς αὐτῶν· οἰκείαν ἀπολογίαν εἶναι νομίζοντες καὶ τὴν ἑταιρείαν τῆς πονηρίας τῶν ἐγκλημάτων ἔλαττον. τούτους οὖν ἐκ παντὸς τρόπου προσήκει φυλάττεσθαι, ὡς ἂν μήτ᾿ ἄλλους βλάψαιεν τῇ τοῦ ψυχικοῦ λοιμοῦ μεταδόσει, καὶ αὐτοὶ πάντοθεν εἰργόμενοι, ὀψὲ γοῦν πρὸς τὸ καλὸν ἐπιστρέψωσι, παιδαγωγὸν τὴν αἰσχύνην λαμβάνοντες, καὶ τὴν τῶν σπουδαίων ἀποστροφὴν νουθεσίαν εἰς τὴν τῆς κακίας ἀπαλλαγήν. τοῦτο γὰρ καὶ ὁ Παῦλος ἐδίδαξε, λέγων περὶ τῶν μηδὲν ἐργαζομένων ἀλλὰ περιεργαζομένων· τοῦτον φησὶ σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ.

ὅτι κλήρου, ἢ προστασίας ἀδελφῶν οὐδαμῶς ἐφίεσθαι προσήκει τὸν ἀσκητήν. ι.

Κλήρου μέν τοι, ἢ προστασίας ἀδελφῶν ἐφίεσθαι τὸν ἀσκητὴν οὐδαμῶς προσήκει. διαβολικὸν γὰρ τὸ νόσημα, καὶ φιλαρχίας τὸ ἔγκλημα. ὅπερ τῆς ἀναστάσεως τοῦ διαβόλου πονηρίας τὸ γνώρισμα. κἀκεῖνος γὰρ ἀπὸ τούτου τοῦ πάθους εἰς τὸ περιφανὲς κατεκυλίσθη πτῶμα. καὶ ὁ τούτῳ τῷ πάθει κρατούμενος, τὰ ἴσα ἐκείνῳ νοσεῖ. ἔπειτα δὲ καὶ βασκάνους καὶ φιλονείκους, καὶ κατηγόρους, καὶ ἀναισχύντους, καὶ διαβόλους, καὶ κόλακας, καὶ κατασκαστάς, καὶ παρὰ τὸ προσῆκον ταπεινούς, καὶ δουλοπρεπεῖς, καὶ ἀλαζόνας, καὶ μυρίας ταραχῆς γέμοντας, τοῦτο τὸ πάθος τοὺς ἑαλωκότας ἐργάζεται. ὁ γὰρ τοιοῦτος βασκαίνει τοῖς ἀξίοις, καὶ διαβάλλει τούτους. δέξεται δὲ πολλάκις αὐτῶν καὶ τὸν θάνατον. ὡς ἀπορίᾳ τῶν πρὸς τὸ ἔργον ἐπιτηδείων ἐπ᾿ αὐτὸν τὰς ψήφους ἐλθεῖν. κολακεύσει τε τοὺς δυναμένους κυρίους τὸν κλῆρον· καὶ διὰ τοῦτο δουλοπρεπὴς ἔσται. θρασυνεῖται δὲ κατὰ τῶν ἐλαττόνων, εἰ ἀντιπίπτοιεν. δόλους οὖν συρράψει, ταραχάς, καὶ ἀπονοίας μυρίας ἕξει, καὶ τὴν γαλήνην τῆς ψυχῆς καταλύσει. καὶ ὁ θεὸς τῆς εἰρήνης ἀπελαθήσεται, οὐκ ἔχων ὅπου προσαναπαύσεται. γνόντες οὖν τὴν ζημίαν, φύγωμεν τῆς ἐπιθυμίας τὸ ἄτοπον. εἰ δέ που θεός τινα πρὸς τὰ τοιαῦτα ψηφίσαιτο, οἶδεν ὁ ἀμήχανος ὅπως καὶ παράξει τὸν ἄξιον ἡμῶν μηδαμοῦ συνειδότων ἑαυτοῖς ἐσπουδακόσι περὶ τὸ τοιοῦτον, ἢ ὅλως τὴν ἐπιθυμίαν ἐν τῇ ψυχῇ περιέχειν. νόσημα γὰρ καὶ τοῦτο ψυχῆς χαλεπώτατον, καὶ ἔκπτωσις τῶν καλῶν.

ὅτι οὐ χρὴ πρὸς κενοδοξίαν βλέποντα, ζηλοῦν τὰ καλά. ια.

Κενοδοξίαν ὅτι μάλιστα φεύγειν προσήκει τὴν οὐ περὶ τῶν πόνων τοῦ ποιεῖν ἀφιστῶσαν. ἦν γὰρ ἂν τὸ κακὸν ἔλαττον, ἀλλὰ μετὰ τοὺς πόνους τῶν στεφάνων ἀποσυλῶσαν τὴν δυσάλωτον τῆς ἡμετέρας σωτηρίας ἐπίβουλον, τὴν πρὸς ταῖς οὐρανίαις ἀψῖσι τοὺς καθ᾿ ἡμῶν λόχους ἱδρύουσαν, καὶ μέχρις οὐρανῶν στελεχωθείσας ἀρετὰς καταβαλεῖν φιλονεικοῦσαν. ἐπειδὰν γὰρ ἴδῃ τὸν τῆς εὐσεβείας ἔμπορον παντοδαποῖς ἀγωγίμοις ἀρετῶν τὴν φορτίδα τῆς διανοίας πληρώσαντα, τότε τὴν ἑαυτῆς καταιγίδα κινήσασα, περιτρέπειν, καὶ ἀποβρύχιον ἄγειν τὸ σκάφος διαγωνίζεται. τὴν γὰρ διάνοιαν τοῦ τῆς ἄνω βασιλείας πλωτῆρος πρὸς τὰ κάτω καὶ τὰς ἀνθρωπίνας δόξας ὁρᾶν ἀναπείσασα, ἅπαντα τὸν πλοῦτον τῆς ψυχῆς αἰφνίδιον ἐξεφύσησε, καὶ τοὺς θεμελίους τῶν ἀρετῶν ἀποσύρασα ἐπὶ γῆν, οὐρανομήκεις πόνους κατήνεγκε, τὸν ἐπὶ τοῖς πεπονημένοις μισθὸν παρὰ ἀνθρώποις αἰτεῖσθαι παρασκευάσασα. δέον ἐστὶ πρὸς τὸν θεὸν μόνον βλέποντας καὶ τούτῳ τὰ ἡμέτερα κατορθώματα ταμιεύοντας, παρ᾿ ἐκείνου μόνου ἀξίως κομίζεσθαι. ἡμεῖς δὲ τοῦ διὰ θεὸν ἐσπουδακέναι τὰ καλὰ τὴν διὰ ἀνθρώπων δόξαν ἐνεγκεῖν προτιμήσαντες, παρ᾿ ἐκείνων τὸν διάκονον τῆς εὐφημίας μισθὸν ἀπαιτοῦντες, εἰκότως καὶ δικαίως τῶν θείων ἀμοιβῶν ἀποπίπτομεν, οὐ τῷ θεῷ πονοῦντες, ἀλλὰ τοῖς ἀνθρώποις ἑαυτοὺς ἐργατεύοντες. παρ᾿ ὧν τὴν ζημίαν τῶν μισθῶν ἀντὶ μισθῶν κομιζόμενοι, τί καὶ παρὰ θεοῦ ἀπαιτήσομεν, ᾧ οὐδὲν ἐργάσασθαι προειλόμεθα; καὶ ὅτι τοῦτο ἐστὶν ἀληθές, ἄκουσον τοῦ ἱεροῦ εὐαγγελίου λέγοντος περὶ τῶν διὰ ἀνθρώποις τὰ καλὰ δρώντων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. φύγωμεν οὖν κενοδοξίαν τὸν γλυκὺν σκυλευτὴν τοῦ πνευματικοῦ πλούτου, τὸν ἡδὺν τῶν ἡμετέρων ψυχῶν πολέμιον, τὸν σῆτα τῶν ἀρετῶν, τὸν μεθ᾿ ἡδονῆς τὰ ἡμέτερα κα-

σεως τὸ ἐπαινετὸν ἔχει. οὔπω δὲ τὸ τέλειον τῶν ἀρετῶν κέκτηται. πολλάκις δὲ οὐδὲ διαγινώσκεται τὸν τρόπον τῆς αὐτῶν κατορθώσεως, ἀλλὰ δεῖται καθ' ἡσυχίαν ἑαυτὸν ἐπισκεψάμενος, καταπαλαῖσαί τε τὰς ἀτάκτους τῆς ψυχῆς ὁρμὰς καὶ κινήσεις, καὶ ταύτας γενναίως ἀνταγωνίσασθαι. καὶ τοῖς κρείττοσι λογισμοῖς τὰς ἀταξίας ἐπανορθώσασθαι. τάξις γὰρ ψυχῆς, ἀρετῆς σύνθημα. ὁ τοίνυν διαπαντὸς ἐν ἀποδημίαις καὶ μεταβάσεσιν ὤν, καὶ ἀεὶ τὸ τῆς ψυχῆς σύννουν καὶ πεπυκνωμένον ῥιπίζων καὶ διαχέων, καὶ πρὸς τὰς ἡδονὰς τοῦ σώματος βλέπειν κατὰ μικρὸν ἐθιζόμενος, πῶς δυνήσεται καταπαλαῖσαι ἑαυτόν, ἢ γνῶναι τὰ μὴ καλῶς ἔχοντα, ἢ πρὸς τὸ δέον αὐτὰ μεθαρμόσασθαι τὴν ψυχὴν ἔτι διερεθίζων πρὸς ἐμπαθεῖς διαθέσεις; χρὴ τοίνυν ἡσυχῇ μένειν τὰ πολλά, καὶ καρτερεῖν ἕκαστον τὴν ἰδίαν καταγωγήν, ἵνα ἔχῃ τοῦτο τῆς εὐσταθείας τὸν τρόπον μαρτύριον. μὴ πάντη μὲν καθεῖρχθαι, ἀλλὰ τάς τε ἀναγκαίας προόδους ἀπαρρησιάστους ποιεῖσθαι. ἐν αἷς οὐδὲν τὸ συνειδὸς ἐπισκώπτει. καὶ τοὺς βελτίστους τε καὶ ὠφελιμωτάτους διὰ πολιτείας ἀκρίβειαν τῶν ἀδελφῶν ἐπισκέπτεσθαι. παραδείγματα ἀρετῶν ἐκ τῆς ὠφελίμου συντυχίας λαμβάνοντα, ἐμμέτρους ὡς ἔφημεν καὶ ἀνεπιλήπτους τὰς προόδους ποιούμενον. πολλάκις γὰρ καὶ ἀηδίαν ἐγγενομένην τῇ ψυχῇ ἡ πρόοδος διαλύσασα, πάλιν οἷον ἐπιρρῶσαι καὶ ἀναπνεῦσαι μικρὸν παρασχοῦσα προθύμως προσιέναι τοῖς ὑπὲρ τῆς εὐσεβείας ἀγωνίσμασι δίδωσιν. εἰ δέ τις ἐπὶ τῷ μὴ προϊέναι τοῦ δωματίου μέγα φρονοίη, ἴστω διακένῳ φυσώμενος πράγματι. οὐδὲ γὰρ τὸ μὴ προϊέναι καθ' ἑαυτὸ καλὸν ἢ τὸ κατὰ καιρὸν προϊέναι καλὸν ἢ φαῦλον οἶδεν ἐργάζεσθαι, ἀλλ' ἡ περὶ τὸ καλὸν βεβαία καὶ ἀκίνητος κρίσις, ἢ τοὐναντίον, τὸ ἀμετάθετον σπουδαῖον ἢ φαῦλον ἀποτελεῖ. εἰ δέ τις τὸ καλὸν τῇ ψυχῇ βεβαίως ἐνιδρυσάμενος, καὶ τῇ χρονίᾳ ἀσκήσει τῆς τῶν παθῶν κυβερνήσεως τὴν ἐμπειρίαν λαβών, καὶ δαμάσας μὲν σωματικὰς ἀκρασίας, χαλινώσας δὲ τὰς ψυχικὰς ἀταξίας, θαρρῶν δὲ τῷ τοῦ λογισμοῦ χαλινῷ συχνοτέρας θέλοι ποιεῖσθαι τὰς προόδους εἰς οἰκοδομὴν καὶ ἐπίσκεψιν ἀδελφῶν, τὸν τοιοῦτον καὶ παρορμήσει μᾶλλον ὁ λόγος ἐπὶ τὴν πρόοδον, ἵνα τὸν λύχνον ἐπὶ τὴν λυχνίαν θεὶς, πᾶσι τὸ φῶς τῆς τῶν καλῶν καθηγήσεως χορηγήσῃ. μόνον εἴγε θαῤῥοίη, ὡς καὶ λόγῳ καὶ ἔργῳ διδασκαλεῖον ἀρετῶν ἑαυτὸν δυνήσεται τοῖς συντυγχάνουσι παρέχειν. καὶ οὕτως ἐξασφαλίσαιτο ἑαυτὸν, καθὼς ὁ ἀπόστολος εἴρηκε. μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Ὅτι οὐ χρὴ τοῖς ἀτακτοῦσι τῶν ἀσκητῶν μεταδιδόναι θάρσους καὶ παῤῥησίας, ἀλλὰ καὶ τούτους φυλάττεσθαι. θʹ.

Φυλάττεσθαι μέντοι προσήκει καὶ τοὺς ἀτακτοῦντας, καὶ ἄλλοτε πρὸς ἄλλους τῶν ἀδελφῶν καὶ ἀπαύστοις καὶ ἀνονήτοις ὁρμαῖς διαπαντὸς περινοστοῦντας τὰ μοναστήρια καὶ προφάσει δῆθεν τινὸς ἀγάπης τὰ τῆς σαρκὸς ἐκπληροῦντας θελήματα. οὐδὲν βέβαιον, οὐδὲ ἱδρυμένον, οὐδὲ εὔτακτον, οὐδὲ συνέσει κεκοσμημένον ἐν ταῖς ψυχαῖς ἔχοντας, ἀλλὰ πᾶν ὅτι περίεργον καὶ κακόηθες, ῥεμβασμοῦ καὶ ἀλογιστίας πεπληρωμένον, δόλου καὶ ὑποκρίσεως, ψευδολογίας καὶ ἀπατηλῆς κολακείας. οὗτοι γλώσσῃ μὲν ἀπαίδευτοι, γαστέρα δὲ ἀκρατεῖς, ψυχὴν δὲ διαπαντὸς ἐπτερωμένοι καὶ ῥιπιζόμενοι, λογισμοὺς κατὰ τὴν πτῆσιν τῶν νυκτερίδων ἔχοντες, οὐδαμοῦ πρὸς τὸ εὐθὺς βλέποντας, ἀλλὰ σκολιὰ καὶ ἀμετάστρεπτα πετομένους. ἄλλα παρὰ τὰς πρώτας ὁρμὰς ἀποφαίνοντας. καὶ πρὸς ἕτερον τῷ ἀμεταβόλῳ τῆς γνώμης παρὰ δόξαν πᾶσαν φερομένους, πολλὰ ἕρποντας, καὶ οὐδὲν προβαίνοντας. ἐοίκασι δὲ καὶ τῶν ὑποζυγίων τοῖς περὶ τοὺς μύλους ἐλαυνομένοις, ἃ πολλὰ βαδίζοντα, ἐπὶ τὸν αὐτὸν ἀεὶ τόπον ἀνευρίσκεται. καὶ τὸ μὲν σῶμα κόπτεται, τὸ δὲ βραχὺ χωρίον οὐδαμῶς ὑπερβαίνει. οὕτω κἀκεῖνοι διαπαντὸς περὶ τὰ πάθη τοῦ σώματος εἰλινδούμενοι, οὐδὲν ἐπὶ τὸ πνευματικὸν ὕψος προκόπτουσι, τρέχουσι δὲ κύκλον ἀπέραντον ταῖς τοῦ σώματος ἐπιθυμίαις καὶ ἡδοναῖς ἀεὶ συνδιανοούμενοι, καὶ ἀπὸ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ πάλιν φερόμενοι, καὶ τῆς πονηρᾶς δουλείας οὐκ ἀφιέμενοι διὰ τὴν τῆς προαιρέσεως μοχθηρίαν. οὗτοι τὸ σχῆμα τοῦ προβάτου πρὸς ὁρώντων δέλεαρ προβαλλόμενοι, οἷον τὴν λίχνην καὶ κακοήθη, καὶ ὕπουλον ἀλώπεκα.

προσκαταβάλλων αὐτὸν, οὕτω καὶ ἐκεῖνοι, ἐπειδὰν ἴδωσι τὸν ἐν ἀσκήσει ἀρετῆς ἀγωνίζοντα
μικρόν τι τοῦ καλοῦ διαμαρτήσαντα, ἐπιτίθενται ταῖς λοιδορίαις καὶ ταῖς διαβολαῖς, ὥσ-
περ τοξεύμασι βάλλοντες· οὐ λογιζόμενοι καθ' ἑαυτοὺς, ὅτι αὐτοὶ μὲν ἐφ' ἑκάστης ἡμέρας
μυρίοις τιτρώσκονται τοῖς βέλεσι τῶν παθῶν· οἱ δέ γε τῆς εὐσεβείας ἀγωνισταὶ, καίπερ
ὑπὸ τῶν ὁμοίων πολιορκούμενοι παθῶν, ἢ μικρά τινα, ἢ οὐδὲν πολλάκις ὑπὸ τούτων ἐπη-
ρεάζονται· καὶ ταῦτα καὶ τὴν ἀνταγωνιστὴν σφοδρότερον, ἤπερ ἐκεῖνοι δεχόμενοι. ἐπείπερ
οὗτοι μὲν τὸν πρὸς ἐκεῖνον ἀγῶνα διωμολόγησαν, καὶ μέγα τῷ πονηρῷ τὸ κατὰ τούτων
ἔρχεσθαι νῖκος· πάλιν δ' αὖ τὸ ἡττηθῆναι, κουφίαν τὴν πληγὴν ἐπήνεγκον, ὡς ὁλοσχερῶς καὶ
πᾶσιν ἀρετῆς μέρεσιν ἡττηθοῦντι. ὁ δὲ πρὸς τοὺς τῷ βίῳ προσνενήμαντας ἑαυτοὺς, καταπε-
φρόνηται πόλεμος· τὸ μὲν, ὅτι οἱ πλεῖστοι αὐτῶν αὐτομάτως ὑπὸ τὴν ἧτταν τρέχουσι ταῖς
ποικίλαις ἡδοναῖς καὶ ἐπιθυμίαις πρὸς τὴν ἁμαρτίαν δελεαζόμενοι· καὶ ἄπονον αὐτῷ
τὴν καθ' ἑαυτῶν νίκην παρέχοντες· τὸ δὲ ὅτι καὶ οἱ δοκοῦντες μικρὸν πρὸς τὴν ἁμαρ-
τίαν ἀνταίρειν τοῖς ποικίλοις πειρασμοῖς, εὐκόλως τῆς ἀγωνίας ἀφέλκονται. καὶ τὰ
νῶτα ῥίψαντες, καὶ ἀνενδότως βαλλόμενοι, πολλὰ καὶ αἰσχρὰ τῆς ἥττης τὰ στίγματα
φέρουσιν. εἰ δέ που τινὲς καὶ τὴν φορὰν τῶν βιωτικῶν πειρασμῶν βιασάμενοι, ἀντιβλέ-
ψαι πρὸς τὸν τοῦ πονηροῦ δεδύνηνται πόλεμον. ἀλλ' οὖν γε οὐ τοιούτοις ἀγῶσιν ἐλέγ-
χονται, ἀλλὰ πολλῷ καὶ ἀπείρῳ τῷ μέτρῳ τῶν ἀσκητικῶν λειπομένους. ὁ μὲν γὰρ τοῦ δι-
καίου κρατεῖν ἐσπούδακε, καὶ φιλονείκως διαγωνίζεται ἐν τοῖς περὶ τὰ παρόντα ἀμφισ-
βητήσεσιν, ὁ δὲ καὶ τῶν δικαίων τοῖς ἀμφισβητοῦσι παραχωρεῖ· πληρῶν τὸ ἀπὸ τοῦ αἴρον-
τος τὰ σὰ μὴ ἀπαίτει. ὁ μὲν τυπτηθεὶς ἀντιτύπτει, καὶ ἀδικηθεὶς, ἀντιδικεῖ. κἂν τοῦ-
τῳ τὸ ἴσον ἔχειν ὑπολαμβάνει· ὁ δὲ καρτερεῖ μέχρι τοσούτου, ἄχρι κόρον τῷ ἀδικοῦντι, καὶ
τῷ παίοντι ἐμποιήσει. καὶ ὁ μὲν πασῶν τῶν τοῦ σώματος ἡδονῶν κρατεῖν διεσπούδακεν,
ὁ δὲ ἐν κόρῳ διατρίβει τῶν ἡδονῶν. πῶς οὖν ἂν καὶ ἀγωνιστὴς ὁ βιωτικὸς νομισθείη πρὸς τὸν
ἀσκητὴν κρινόμενος; σκόπησον δὲ καὶ ἕτερον, ὅπερ πᾶσιν συνήθεις τοῖς τῷ παρόντι βίῳ
προσέχουσιν, ἡνίκα ἂν τὰ περὶ τοὺς ἀσκητὰς ἐξετάζωσιν. ἐπειδὰν γὰρ ὁ ἀσκητὴς ἐκ μα-
κρᾶς τῆς ἐνδείας ὑπὲρ δέον τὸ σῶμα τροφῇ καλῶς ἔχειν ἡγήσαιτο, καθάπερ ἀσώμα-
τόν τε καὶ ἄϋλον, ἢ οὐ μετέχειν τροφῆς, ἢ τῆς ἐλαχίστης θέλουσι, κἂν ἴδωσι τὸν ἀσκητὴν
μὴ πάντη τοῦ σώματος ἀφειδῶς ἔχοντα, ἀλλὰ μέρει γοῦν τινι τὴν ὑπέχουσαν ἔνδειαν
θεραπεύοντα, λοιδοροῦσι καὶ διαβάλλουσι· καὶ πολυσίτους τινὰς καὶ λαιμάργους ἀπο-
καλοῦσι· τὴν κατὰ τοῦ ἑνὸς ὕβριν καὶ παροινίαν ἐπὶ τοὺς πάντας ἐκτείνοντες. οὐ λογι-
ζόμενοι, ὅτι αὐτοὶ μὲν δὶς, οἱ δὲ αὐτῶν καὶ τρὶς τῆς ἡμέρας σιτούμενοι, σιτίων τὰ πα-
χύτατα καὶ πιότατα, ἀπείρους τε ὄγκους κρεῶν ἐμφορούμενοι, καὶ οἴνου πλῆθος ἄμετρον
ἐγχεόμενοι, οὕτως ἐπὶ τὰς τραπέζας κεχήνασιν, ὥσπερ σκύλακες μετὰ μακρὰν ἔνδειαν τῶν
δεσμῶν ἀφεθέντες· οἱ δέ γε κατὰ ἀλήθειαν ἀσκηταὶ, τροφῇ τε ξηροτάτῃ κέχρηνται, καὶ
ὀλίγον ἐχούσῃ σὺν ἀφθονίᾳ τὸ τρόφιμον καὶ παρὰ πᾶσαν τὴν ἡμέραν ἅπαξ· οἵ γε τά-
ξει διαζῆν ἐγνωκότες, καὶ τοῦτο μετρίως καὶ ἐπιστημόνως σιτούμενοι, εἰκότως παρὰ τοὺς
καιροὺς τῆς σιτήσεως τὴν χρείαν μετ' εὐπαρρησίας τοῦ συνειδότος χορηγοῦσι τῷ σώματι,
διά τοι τοῦτο προσήκει μὴ τὴν ἐλαφρείαν ἡμῶν κρίνεσθαι ὑπὸ ἄλλης συνειδήσεως. εἰ
γὰρ ἡμεῖς χάριτι μετέχομεν, τί βλασφημούμεθα ὑπὲρ ὧν ἡμεῖς εὐχαριστοῦμεν; τὴν ἔν-
δειαν καὶ τὴν τῆς τροφῆς εὐτέλειαν μετὰ τοσαύτης εὐφροσύνης αἱρούμενοι, μεθ' ὅσης ἂν
δὲ ἐκεῖνοι τὴν ὑπέρλαμπρον καὶ παντοδαπῆ τῆς πολυόψου τραπέζης παρασκευήν. εἰ
δέ τις τῶν εἰρημένων ἀνθρώπων ἐπὶ συνέσει καὶ εὐλαβείᾳ γνώριμος εἴη καὶ δι' αἰδοῦς ἄγοι
τὸν ἡμέτερον βίον, τούτῳ κοινωνεῖν τραπέζης, ἐν τούτου δεήσειεν ἐπεσκεμμένος, οὐκ ἀλογονι-

ὅτι οὐ χρὴ συχνὰς καὶ ἀβασανίστους ποιεῖσθαι τὰς προόδους. η'.

Χρὴ δὲ μηδὲ προφάσει τῆς τῶν ἀδελφῶν ἐπισκέψεώς τε καὶ συντυχίας, πολλὰς καὶ συ-
χνὰς ἐκποιεῖσθαι τὰς ἐκδημίας. ἔστι γὰρ καὶ τοῦτο διαβολικῆς ἐπίνοια πειρωμένου τοῦ
ἐχθροῦ καὶ διὰ τῆς τοιαύτης μεθόδου τὸ εὐσταθὲς ἡμῶν καὶ τὸ τεταγμένον τῆς ζωῆς παρα-
λῦσαι, καὶ εἰς φιληδονίας, καὶ λογισμῶν ἀκαταστασίας διαφόρους ἐμβάλλειν. καθ' ἡσυ-
χίαν δὲ ἑαυταῖς ὁμιλοῦντας, διασκέπτεσθαί τε καὶ ἐπανορθοῦν τὰ τῆς ψυχῆς ἁμαρτή-
ματα. ὁ γὰρ ἄρτι τὸν δεσμὸν τῆς διαθέσει καταλιπὼν, ἀπὸ μὲν τῆς πρὸς τὰ καλὰ νά-

καὶ οὐ παραβαῖνον εἰς χρῆσιν τούτων, δι' οὓς καὶ ἔφυ. ἀλλά φησι καὶ ὁ πρὸς ἀσιτίαν ἐπιτεταμένην διήνεγκε. καὶ μωσῆς δὲ οὐδὲν ἧττον. καὶ ἠλίας ὁ προφήτης. ἀλλὰ καὶ τοῦτο σκόπησον, ὅτι ὁ πρὸς ἡμῶν ἅπαξ τοῦτο μόνον ἐποίησε. καὶ μωϋσῆς δὲ καὶ ἠλίας ὁμοίως. τὸν δὲ λοιπὸν χρόνον ἅπαντα ἐν τάξει τῇ προσηκούσῃ διακυβερνῶντος τὸ σῶμα, καὶ ἐνεργὸν τοῦτο παρέχοντος, κόποις τε καὶ πόνοις προσομιλοῦντος ἀεί, οὕτω τὰς ἀρετὰς τῆς ψυχῆς τῇ συνεργίᾳ τοῦ σώματος ἀπελάμπρυναν. τὸν πρακτικὸν βίον σφραγῖδα καὶ τελείωσιν τῆς πνευματικῆς πολιτείας πεποιημένοι. τοῦτο μὲν μωσῆς, τοῦτο δὲ ἠλίας, τοῦτο δὲ καὶ ἰωάννης αὐτός, οἰκονομίᾳ μὲν ἀπορρήτῳ τὴν χρονίαν ἐν τῇ ἐρήμῳ διατριβὴν ποιησάμενος. μετὰ δὲ τὴν πλήρωσιν τῆς οἰκονομίας ἐπὶ τὴν κατῳκημένην χώραν ἐλθών, κηρύσσοντι καὶ βαπτίζων, ἀπὸ τοῦ πράττειν δεῖ καὶ ἐκ τῆς πρὸς τὸν ἡρώδην παρρησίας τὴν ἄθλησιν τελειούμενος. τοῦτο καὶ πᾶς ὁ τῶν ἁγίων κατάλογος, καὶ ἰησοῦς αὐτὸς ἐν τῷ πράττειν διατελῶν, ὡς εἶναι πάντοθεν δῆλον, εἴτε τῶν νόμων τῆς φύσεως καὶ τῆς διδασκαλίας τῶν θείων γραφῶν, εἴτε τῶν τοῖς ἁγίοις ἅπασι πεπραγμένων, εἴτε τῆς πολιτείας τοῦ σωτῆρος ἡμῶν, καὶ τοῦ κανόνος τῆς τῶν εὐσεβούντων ζωῆς, ὅτι καλὸν καὶ συμφέρον συντείνειν μᾶλλον, ἢ παρεῖσθαι τῷ σώματι, καὶ ἐνεργὸν τοῦτο παρέχειν τοῖς ἀγαθοῖς πράξεσιν, ἢ ἀργὸν ἑκουσίως ἀποτελεῖν.

Ὅτι προσήκει τὸν ἀσκητὴν ἔργα ἐπιτηδεύειν τὰ προσήκοντα. ϛʹ.

Ἐργάζεσθαι μέντοι τὸν ἀσκητὴν προσήκει ἔργα τὰ πρέποντα, ὅσα καπηλείας ἁπάσης, καὶ μακροτέρων περισπασμῶν, καὶ αἰσχροκερδείας ἀπήλλακται. ὅσα ἀπερισπάστων μενόντων ἡμῶν, ὡς τὰ πολλὰ ἐπιτελεῖσθαι δύναται. ἵνα καὶ τὸ ἔργον πληρῶται, καὶ ἡ ἡσυχία φυλάττηται. εἰ δέ τι δέοι διὰ τὴν ἀναγκαίαν χρείαν καὶ ὕπαιθρον ἔργον ἐπιτελεῖν, οὐδὲ τοῦτο τὴν φιλοσοφίαν κωλύσει. ὁ γὰρ ἀκριβὴς φιλόσοφος φροντιστήριον ἔχων τὸ σῶμα, καὶ καταγωγὴν τῆς ψυχῆς ἀσφαλῆ, κἂν ἐπ' ἀγορᾶς ὢν τύχῃ, κἂν ἐν πανηγύρει, κἂν ἐν ὄρει, κἂν ἐν ἀγρῷ, κἂν μεταξὺ πλήθους πολλοῦ, ἐν τῷ φυσικῷ μοναστηρίῳ καθίδρυται, εἴσω συνάγων τὸν νοῦν, καὶ φιλοσοφῶν τὰ αὐτῷ πρέποντα. δυνατὸν γὰρ καὶ οἴκοι καθήμενον, ἔξω περιπλανᾶσθαι τοῖς λογισμοῖς. καὶ ἐπὶ τῆς ἀγορᾶς ὄντα, νήφοντα δέ, ὡς ἐπ' ἐρημίας εἶναι. πρὸς ἑαυτόν τε, καὶ πρὸς θεὸν μόνον ἐπιστρεφόμενον, καὶ οὐ δεχόμενον τοῖς αἰσθήσεσι τοὺς ἐκ τῶν αἰσθητῶν τῇ ψυχῇ θορύβους προσπίπτοντας.

Ὅτι οὐ χρὴ πᾶσιν ἀνθρώποις ἀφυλάκτως συνδιατρίβειν τὸν ἀσκητήν. ζʹ.

Θαῤῥεῖν δὲ μηδὲ πᾶσιν ἀνθρώποις ἑαυτόν, μηδὲ ἀπογυμνοῦν, μηδὲ ἀνακαλύπτειν ἀφυλάκτως προσήκει. πολλοὺς γὰρ ἐφέδρους ὁ κατὰ θεὸν πολιτευόμενος ἔχει. καὶ αὐτοὺς πολλάκις τοὺς οἰκειοτάτους, τῆς ἑαυτοῦ ζωῆς κατασκόπους. προσήκει τοίνυν μὴ ἀβασανίστους ποιεῖσθαι τὰς πρὸς τοὺς ἔξωθεν συντυχίας. εἰ γὰρ ὁ σωτήρ, ὥς φησι τὸ εὐαγγέλιον, οὐκ ἐπίστευε τοῖς πᾶσιν ἑαυτόν. αὐτὸς γάρ φησιν ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, εἰ ἐκεῖνος ὁ καθαρός, ὁ ἄμωμος, ὁ ἀνεπίληπτος, ὁ δίκαιος, ὁ τὴν πᾶσαν ἀρετήν, πῶς ἡμεῖς οἱ ἁμαρτωλοί, οἱ εὐόλισθοι, οἱ μὴ κατὰ σκοπὸν ἀεὶ ὁδευόμενοι, τοῦτο μὲν διὰ τὴν φυσικὴν ἀσθένειαν, τοῦτο δὲ διὰ τὸν πονηρὸν καὶ ἀσπόνδως ἡμῖν προσπαλαίοντα, ἑαυτοὺς ἐκδιδόντες τοῖς περιέργοις ἀνθρώποις, οὐχὶ πονηρὰς ἐπισπασόμεθα διαβολάς, καὶ ἑαυτοῖς τὰ σκάνδαλα καταπήξομεν; πολλάκις γὰρ οἱ πονηροὶ καὶ τὰ καλῶς πραττόμενα διαβάλλειν ἐπιχειροῦσι καὶ μὴ ἀλωσθέντα καταλιμπάνειν καὶ τὰ μικρότατα τῶν πταισμάτων ἀνέχονται. χρὴ τοίνυν πεφυλαγμένας ποιεῖσθαι τὰς πρὸς τοὺς ἔξωθεν ὁμιλίας. συμβαίνει γὰρ αὐτοῖς τι καὶ ἕτερον πάθος ἀπὸ λογισμῶν ἀπειρίας ἐπὶ τῶν ἀναχωρησάντων τοῦ βίου. ὑπολαμβάνουσι γάρ, οὐ τὴν γνώμην μετατεθεῖσθαι τῶν μετατιθεμένων τὴν πολιτείαν, ἀλλὰ τὴν φύσιν αὐτοῖς τὴν ἀνθρωπίνην μετασκευάσθαι. καὶ οὐ κρίνουσι τοὺς ἀσκητὰς ὡς ἐν πάθεσι μὲν τοῖς αὐτοῖς στρεφομένους, δυνάμει δὲ ψυχῆς καὶ ἀλλοτριώσει τῇ πρὸς τὰς ἡδονὰς ἐπικρατοῦντας αὐτῶν. ἀλλ' οἴονται ὅτι πάντη ἐκποδὼν τὰ πάθη τῆς τοῦ σώματος αὐτῶν φύσεως γέγονεν. ὅθεν δή, καὶ εἰ ὅτι μικρὸν ὁ πνευματικὸς διαμάρτοι τοῦ καλοῦ, ἀθρόως ἅπαντες, καὶ οἱ τὸ πρὶν θερμότατοι ἐπαινέται καὶ θαυμασταὶ πικροὶ κατήγοροι γίνονται, καὶ διελέγχουσιν ἑαυτούς, οὐδὲ πρότερον ἀληθεῖς τοὺς ἐπαίνους ποιούμενοι. καθάπερ γὰρ ἀθλητοῦ τινος ὀλισθήσαντος, εὐθὺς ὁ ἀντίπαλος κατεξανίσταται παίων καὶ

ἡμαρτηκότος τὸ πάντας προσίεσθαι μετὰ τῆς αὐτῷ πρεπούσης χρηστότητος, καὶ ἀπέρ-
στος ὁμιλίαν παρέχειν οὐ τοῖς σπουδαίοις τῶν ἀνθρώπων μόνον, ἀλλ' ἤδη καὶ οἷς τὰ αἴ-
σχιστα ἐπιτηδεύειν φίλον καὶ συνήθες. οὕτω γοῦν πόρναι καὶ τελῶναι προσίεσαν, οὐχ
ἵνα τὸ νόσημα τῆς λαγνείας, ἢ τῆς φιλαργυρίας αὐξήσωσιν, ἀλλ' ἵνα τὸ νόσημα τῆς ψυ-
χῆς ἀποτρίψωνται. καὶ ἐν κατῃδεῖτο μᾶλλον τῷ συνειδότι τῆς πονηρίας, ἢ ἐθάρρουν
τῇ ἐλπίδι τῆς θεραπείας. ἠπίστασαν γὰρ καὶ τὴν πεῖραν τῆς ἐλπίδος ὑψηλοτέραν. τῆς
δὲ φιλανθρωπίας, καὶ τῆς εὐσπλαγχνίας αὐτοῦ τινα τὰ ὑποδείγματα; ἄρτι μὲν ἐν τῇ
ἐρήμῳ τοῖς ὑπὸ ἐνδείας ἐκλυομένοις τράπεζαν αὐτοσχεδιάζειν ἀμφιλαφῆ, διπλῇ δε-
ξιουμένην, τῷ τε ἀφθόνῳ τῆς χρείας, καὶ τῷ παραδόξῳ τοῦ πορισμοῦ. ἄρτι δὲ ἐπὶ τοῖς
κειμένοις σπλαγχνίζεσθαι, ὅτι ἦσαν ἐσκυλμένοι καὶ ἐρριμμένοι ὡς πρόβατα μὴ ἔχοντα
ποιμένα. καὶ ἰᾶσθαι μὲν σωματικὰς ἀσθενείας, λώβας τε μελῶν, καὶ πηρώσεις ἐπα-
νορθοῦσθαι, λύειν δὲ καὶ ψυχικὰς ἀρρωστίας, καὶ ἁμαρτημάτων ἀλύτους δεσμούς, καὶ
φραγγελλίας βιαίων συναλλαγμάτων, ὡς πρὸς τὸν πατέρα τῆς ἁμαρτίας τὸν διάβολον
ἐπιποιήμασθαι. ταπεινοφροσύνης δὲ ἡλίκα τὰ ὑποδείγματα, τὸ μὴ μόνον ἑλέσθαι σάρ-
κα περιβαλέσθαι, ἀλλὰ γὰρ καὶ ταπεινῶν κατὰ τὸ παρὸν σχῆμα γονέων παῖς. τὸ μὲν γε-
νέσθαι, τὸ δὲ νομισθῆναι. γενέσθαι μὲν τῆς μητρὸς, νομισθῆναι δὲ τοῦ λεχθέντος πατρός. φρο-
νήσεως δὲ, τὸ ἄρτι μὲν διελέγχειν τοὺς σαδδουκαίους διαγελᾶν τὴν ἀνάστασιν πειρωμένους
τῷ πλάσματι τῶν ἑπτὰ ἀδελφῶν ἐπὶ μιᾷ γαμετῇ τεθνεώτων. ἄρτι δὲ τοὺς μαθητὰς τῶν
φαρισαίων μετὰ τῶν ἡρωδιανῶν καταισχύνειν, ἡνίκα τὸ ἀμφίκρημνον ἐρώτημα προ-
βαλλόμενοι, εἰ δέοι κῆνσον καίσαρι δοῦναι, ἢ οὔ, ἀπόκρισιν ἐδέχοντο περιδέξιον, ἐφ' ἑκά-
τερα ἑλεῖν τὴν ἐκείνων αἰτίαν δυναμένην, οὐχὶ δοῦναι, ἀλλὰ ἀποδοῦναι προστάττου-
σαν. ἀπόδοτε γάρ φησι τὰ τοῦ καίσαρος τῷ καίσαρι, ἐπειδὴ τὸ νόμισμα καίσαρος ἦν,
οὗ τὴν εἰκόνα καὶ τὴν ἐπιγραφὴν ἔφερε. καὶ τὰ μὲν προηγούμενα τῶν κατορθωμά-
των ταῦτα. καὶ τούτων ἀπείρῳ τῷ ἀριθμῷ πλείονα. τὰ δὲ τοῦ σώματος, ἡλίκα, καὶ ὅ-
σα, ὧν οὐχ ἥκιστα μάλιστα προσήκει καὶ τὸ ὑπόδειγμα. κατὰ μὲν τὴν πρώτην ἡλικίαν τοῖς
γονεῦσιν ὑποτασσόμενος, ἅπαντα πόνον σωματικὸν πρᾴως καὶ εὐπειθῶς συνδιέφε-
ρεν. ἄνδρες γὰρ ὄντες, δίκαιοι μὲν καὶ εὐσεβεῖς, πένητες δὲ καὶ τῶν ἀναγκαίων οὐκ εὔ-
ποροι. καὶ μάρτυς ἡ φάτνη τῶν τιμίων τόκων ἡ θεραπεία, ἐκ ὅτως πόνοις σώματος περὶ
σωμάλους διηνεκέσι, τὴν ἀναγκαίαν χρείαν ταύτῃ ἑαυτοῖς συμπορίζοντες. Ἰησοῦς δὲ
τούτοις ὑποτασσόμενος, ὥς φησιν ἡ γραφή, πάντως καὶ τῷ συνδιαφέρειν τοὺς πόνους
τὴν εὐπείθειαν ἐπεδείκνυτο. προϊὼν δὲ καὶ τὰς διδασκαλικὰς καὶ θείας ἐνεργείας ἀπο-
γυμνῶν, καὶ μαθητὰς λοιπὸν αἱρούμενος, καὶ βασιλείαν οὐρανῶν κηρύττειν διανοούμε-
νος, οὐκ ἐπὶ μιᾶς γωνίας κείμενος, ἐκλυόμενός τε τὸ σῶμα, τῆς παρ' ἑτέρων ἐδεῖτο δια-
κονίας, ἀλλὰ ἄρτι μὲν ὁδοιπορῶν, καὶ πεζεύων διηνεκῶς, τοῖς μαθηταῖς ἅμα διακο-
„ νούμενος ὡς αὐτὸς ἔφησεν. ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν, καὶ καθὼς ὁ υἱὸς
„ τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι. ἄρτι δὲ νίπτων τοὺς πόδας τῶν
μαθητῶν. αὖθις δὲ τῇ διδασκαλίᾳ προσδιατρίβων ἐπὶ μακρὸν, τόπον τε ἐκ τόπου με-
ταμείβων ἀόκνως, διὰ τὴν σωτηρίαν ἡμῶν διετέλει. ἅπαξ δὲ ὑποζυγίῳ, καὶ τούτῳ μό-
νον ἐπ' ὀλίγῳ χρησάμενος φαίνεται. οὐχ ἵνα τὸ σῶμα διαναπαύσῃ, ἀλλ' ἵνα τοῖς ἔργοις
τὴν προφητείαν σφραγίσηται. τί δὲ οἱ ἀπόστολοι, οὐχὶ τὸν δεσπότην μεμίμηνται; οὐ-
χὶ πόνοις ὁμιλοῦσι διηνεκῶς; σκέπτεσθαι Παῦλον ἐργαζόμενον ἀπαύστως, ὁδοιποροῦντα
συντόνως, πλέοντα, κινδυνεύοντα, χειμαζόμενον, ἐλαυνόμενον, μαστιζόμενον, λιθαζόμε-
νον, πᾶσιν ἀρκοῦντα τοῖς πειρασμοῖς τῇ προθυμίᾳ τῆς ψυχῆς, καὶ τῷ τόνῳ τοῦ σώμα-
τος. εἰ δὲ ἦν τῇ ἀμετρίᾳ παραλύσας τὴν τοῦ σώματος δύναμιν, οὐκ ἂν ἐπὶ τούτοις ἐστεφα-
νώθη. καλὸν οὖν τὸν τοῦ δεσπότου βίον, καὶ τῶν τούτου μαθητῶν ἀποστόλων διά τε
τῶν ψυχικῶν ἀρετῶν, διά τε τῶν σωματικῶν ἀσκημάτων μιμούμενον, ἐνεργὸν παρέχειν
τὸ σῶμα ταῖς ἀρίσταις ὑπηρετούμενον πράξεσι. ψυχῆς μὲν γὰρ, τὸ προελέσθαι τῶν κα-
λῶν, ὅσα καὶ τῇ συνεργείᾳ τοῦ σώματος τελειοῦνται. σώματος δὲ, τὸ ἐνεργεῖν ἅπερ ἡ ψυ-
χὴ προείλετο. ἀτονοῦντος δὲ τούτου πρὸς τὴν ἐνέργειαν ἡμιτελὲς τὸ κατόρθωμα ἐν
προαιρέσει κρυπτόμενον, καθάπερ τι βλάστημα τοῖς τῆς γῆς κόλποις ἐμμαραινόμενον

νομένοις, καὶ εἶναι κατὰ τὸν προφήτην, ὥσπερ σευτλίον ἡμίεφθον, οὐδὲ ταῖς οἰκείαις
χρείαις ὑπηρετεῖσθαι δυνάμενον. καὶ ταῦτα αὐτοτελῆ τὴν τῆς οἰκείας θεραπείας δύ-
ναμιν παρὰ τῆς φύσεως ἔχοντας. ἐξ ἡμισείας δὲ τὴν φιλοσοφίαν ἐργάζεσθαι ψυχῇ μό-
νῃ, ἀλλ' οὐχὶ καὶ τῷ σώματι. εἰ μὲν γὰρ ἔξω σώματος καθειστήκειμεν, ἀναγκαῖον τῇ ψυχῇ
μόνῃ σπουδάζειν τὰ βέλτιστα. ἐπεὶ δὲ διπλοῦς ὁ ἄνθρωπος, διπλοῦν εἶναι προσήκει καὶ τὸ
τῆς ἀρετῆς σπούδασμα. πόνοις τε σώματος, καὶ ψυχῆς ἀσκήμασι κατορθούμενον. πό-
νοι δὲ σώματος, οὐχ ἡ ἀργία, ἀλλὰ τὸ ἔργον ἐστί. δεῖ μέντοι καὶ τοῦτο σκοπεῖν, ὅπως ἂν
μὴ προφάσει τῆς τοῦ σώματος χρείας εἰς ὑπηρεσίαν τῶν ἡδονῶν ἐξοκείλωμεν. εἰ μὲν
γὰρ ἦν ἐνδείᾳ δυνατὸν προσανέχοντας τὰς καθηκούσας ἐκτελεῖν ἐργασίας τῷ σώματι,
τοῦτο ἂν ἦν ἄριστον. ἐπεὶ δὲ λίαν ὀλίγων σωμάτων ἐστὶ τῇ τοιαύτῃ διαιτήσει μὴ κατα-
πίπτειν, δεῖ καὶ νικᾶν ἔμμετρα, καὶ τὴν ἀναγκαιοτάτην ἐπιμέλειαν εἰσφέρειν τῷ σώ-
ματι. μὴ τῆς ἡδονῆς ἡγουμένης περὶ τὰ βρώματα, ἀλλὰ τοῦ λογισμοῦ τὴν χρείαν μετὰ
ἀκριβείας ὁρίζοντος. καθάπερ τινὸς ἐπιστήμονος ἰατροῦ τοῖς καθήκουσιν ἀπερισπάστως
τὴν ἀσθένειαν θεραπεύοντος. ταύτης γὰρ τῆς διαθέσεως ἐν ψυχῇ γενομένης, οὐδὲν ὁ μετέ-
χων τῆς τροφῆς τοῦ μὴ μετέχοντος, δεύτερος εἰς φιλοσοφίαν φανεῖται. ἀλλὰ τῷ μὲν σκο-
πῷ τὴν δυνατὴν οὐ κτῆσιν μόνον, ἀλλὰ καὶ ἀτρεμίαν κατόρθωσε. τῇ δὲ περὶ τὸ σῶμα
προμηθείᾳ τῆς ἀρίστης οἰκονομίας τὸ ἐπαινετὸν ἔχει. οὐ γὰρ οἶδεν ἡ σύμμετρος ἀγωγὴ τοῦ
σώματος, καὶ ἐγκράτεια τὰς ἐπιθυμίας ἀναφλέγειν, καὶ ἀδάμαστα τὰ πάθη ποιεῖν. πλεο-
νεξίας γὰρ καὶ τρυφῆς τοῦτό γε. καὶ ταῦτα μὲν οὖν, ὅσον ἐκ τῶν τῆς φύσεως νόμων καὶ
μαρτυριῶν τῆς θείας γραφῆς, συστῆναι τὸ νῦν εἰς διάσκεψιν ἡμῖν προκείμενον. ἐπειδὴ δὲ
δεῖ μὴ μόνον ταῖς τῶν λόγων ἀποδείξεσι κρατύναι τὰ εἰρημένα, ἀλλὰ καὶ πρακτικοῖς
ὑποδείγμασι τὴν συμβουλὴν βεβαιώσασθαι. ἐπ' αὐτὴν ἤδη βαδιοῦμαι τοῦ σωτῆρος
τὴν πολιτείαν, ἣν κατὰ σάρκα πολιτευσάμενος πᾶσι τοῖς εὐσεβῶς βιώσασθαι θέλου-
σι, τύπον ἀρετῆς, καὶ πρόγραμμα τέθεικεν. ὥστε τοὺς λοιποὺς ὁρῶντας εἰς ἐκείνους τοὺς
χαρακτῆρας, τὴν ὁμοίαν τοῖς ἑαυτῶν βίοις ἐναποτυποῦν ἰδέαν, οὐδαμοῦ τὸ ἀρχέτυ-
πον τῇ παραλλαγῇ τῆς μιμήσεως διαφέροντας. ὅτι γὰρ τὸν οἰκεῖον βίον ὁ σωτὴρ εἰκό-
να πολιτείας ἀρίστης πᾶσι τοῖς αὐτῷ πείθεσθαι θέλουσιν ἔθηκεν, ἄκουσον αὐτοῦ διαρ-
ρήδην τοῦτο διδάσκοντος. ἐάν τις γάρ φησιν ἐμοὶ διακονῇ, ἐμοὶ ἀκολουθείτω. οὐ τὴν κατὰ
σάρκα δηλῶν ἀκολούθησιν, ἣν γὰρ πᾶσιν ἄπορος, τοῦ νῦν τανῦν ἐν οὐρανοῖς εἶναι κατὰ τὸ
σῶμα γινωσκομένου, ἀλλὰ τὴν ἀκριβῆ τῆς πολιτείας κατὰ τὸ ἐγχωροῦν μίμησιν. πῶς
οὖν ὁ σωτὴρ ἡμῶν βεβίωκε, καὶ πῶς πεπολίτευται; ἁμαρτίαν μὲν οὐκ ἐποίησε. πῶς γὰρ
ἂν ἡ δικαιοσύνη τῇ ἁμαρτίᾳ ἐπλήσθη; πῶς δ' ἂν τὸ ψεῦδος τῆς ἀληθείας ἐκράτησεν; πῶς
δὲ ἡ δύναμις ὑπὸ τῆς ἀσθενείας κατεπαλαίσθη, ἢ πῶς τὸ μὴ ὂν τοῦ ὄντος περιεγένετο;
ὁ μὲν γὰρ θεὸς ἀεὶ ὤν, καὶ τῆς ὑπάρξεως ὅρον οὐκ ἔχων, πέρας οὐ προσιέμενος. ἡ δὲ ἁ-
μαρτία, ἔτι μὲν οὐδέποτε, οὐδὲ ἐν ἰδίᾳ ὑποστάσει καταλαμβάνεται. ἐν δὲ τοῖς δρῶσιν
αὐτὴν μᾶλλον, ἢ ἐν τοῖς δρωμένοις κακῶς ἀπολείψει τοῦ καλοῦ τὴν ὕπαρξιν ἔχουσα,
σκότος τυποῦται τοῖς ἀδικήμασι νοητὸν τῷ φωτὶ τῆς δικαιοσύνης διαλυόμενον. τὸ γὰρ
φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ τῷ πέρατι τῶν ἀτοπημάτων συνδιατρέχον. πεπαυμένων
» γὰρ τῶν πονηρῶν πράξεων, καὶ ἡ ὕπαρξις τῆς ἁμαρτίας συναφανίζεται. ζητηθήσε-
» ται γάρ φησιν ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ. κἂν ἡ ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρία
τεταμιευμένη τύχοι τοῖς ἁμαρτάνουσι, καὶ ἄλυτος ἡ ἐπὶ τοῖς ἀδικήμασι κόλασις. ἁμαρ-
» τίαν τοίνυν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. μακροθυμίας δὲ
» καὶ ἀνεξικακίας καὶ χρηστότητος, πρᾳότητός τε καὶ φιλανθρωπίας καὶ ἡμερότητος,
ταπεινοφροσύνης τε καὶ φρονήσεως, καὶ πάσης ἁπαξαπλῶς ἀρετῆς πολλὰ παρέχεται
ὑποδείγματα, ἅπερ ἐν τοῖς εὐαγγελίοις σαφῶς διηγόρευται. μακροθυμίας μὲν καὶ ἀνε-
ξικακίας, τὸ φέρειν τὰς τῶν ἰουδαίων ἐπιβουλάς, ἀεὶ ταῖς ἑξῆς ὑπερβολαῖς τὰ πρότερα
πονηρεύματα καλυπτούσας. καὶ διελέγχει μὲν αὐτοὺς ἠρέμα ὅσον στῆσαι τῆς πονηρίας.
ἀμύνασθαι δὲ καὶ ἐπεξιέναι οὐδὲ κατὰ μικρὸν, ἀλλὰ φιλονικεῖν ταῖς ὑπερβολαῖς τῆς ἐκείνων
ἀπανθρωπίας καὶ νικᾶν ταῖς τῶν ἀγαθῶν χορηγίαις τὴν τῆς πονηρίας ἐπίτασιν. καὶ
τὸ τελευταῖον. σταυρὸν ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν καταδέχεται. πρᾳότητος δὲ καὶ

σιν χαλκοῦ καὶ σιδήρου πρὸς τὰ φρυγανώδη τῶν ξύλων. ὥστε ἐγκράτειαν αἱρεῖσθαι
προσήκει πρὸς λόγον τῆς ὑπαρχούσης δυνάμεως. ἀρεταὶ μὲν γὰρ αἱ ἐν μόνῃ τῇ ψυχῇ κα-
τορθούμεναι, πᾶσαι πᾶσιν ὁμοίως ταχθήσονται· οἷον πρᾳότης, ἐπιείκεια, ταπεινοφροσύ-
νη, ἀγαθωσύνη, φιλαδελφία, τὸ ἄδολον, τὸ φιλάληθες, τὸ συμπαθὲς, τὸ ἥμερον, τὸ φι-
λάνθρωπον, ταύτας γὰρ ἐξαιρέτους φαμὲν τῆς ψυχῆς ἀρετὰς, ἐπειδὴ πρὸς τὴν αὐτῶν
κτῆσίν τε καὶ κατόρθωσιν, οὐδὲν πλέον τὸ σῶμα τῇ ψυχῇ συνεισφέρει, ἢ τὸ βουλητήριον
αὐτῇ γενέσθαι τῆς περὶ αὐτῶν διασκέψεως. ἐγκράτεια δὲ ἑκάστῳ πρὸς τὴν δύναμιν
τοῦ σώματος ὁρισθήσεται. ὥστε μήτε ἔλαττον τῆς ὑπαρχούσης δυνάμεως διαθλεῖν, μή-
τε τοῖς ὑπὲρ τὴν δύναμιν ἐπικτείνεσθαι. καὶ τοῦτο γὰρ οἶμαι προσήκει σκοπεῖν, ὅπως
ἂν μὴ τῇ ἀμετρίᾳ τῆς ἐγκρατείας τὴν δύναμιν τοῦ σώματος καταλύσαντες, ἀργὸν αὐ-
τὸ καὶ ἄπρακτον πρὸς τὰ σπουδαῖα τῶν πράξεων ἀποφήνωμεν. οὐ γὰρ δὴ ποιῶν ὁ θεὸς
τὸν ἄνθρωπον, ἀργὸν καὶ ἀκίνητον αὐτὸν εἶναι βεβούληται, ἀλλ' ἐνεργὸν ὑπάρχειν πρὸς
τὰ καθήκοντα. ἐν μὲν τῷ παραδείσῳ κελεύσας τὸν ἀδὰμ ἐργάζεσθαι, καὶ φυλάττειν αὐ-
τόν. εἰ γὰρ καὶ θεωρίᾳ τῷ ἔργῳ πρόσκειται, ἀλλά γε οὖν καὶ τὸ ἴδιον, ζήλου καὶ σπουδῆς
ἄξιον. μετὰ δὲ τὴν ἐκεῖθεν ἔκπτωσιν, ἐν ἱδρῶτι τοῦ προσώπου τὸν ἄρτον ἐσθίειν ἀποφηνά-
μενος. τὰ δὲ πρὸς τὸν ἀδὰμ εἰρημένα, ὅτι πᾶσι τοῖς ἐξ αὐτοῦ γεγενημένοις εἴρηται, δῆ-
» λον ἐντεῦθεν. καὶ γὰρ τὸν θάνατον ὥρισε μὲν ὁ θεὸς κατ' ἐκείνου. γῆ εἶ, καὶ εἰς γῆν ἀπε-
» λεύσῃ, εἰπών. πάντες δὲ οἱ ἐξ αὐτοῦ γεγονότες, μετέσχον παραπλησίως ἐκείνῳ τοῦ πά-
θους. προσήκει τοίνυν μηδὲν καινοτομεῖν παρὰ τὴν φύσιν καὶ τοὺς ὅρους τῆς ἀλογίστου
τῆς φύσεως, ἀλλ' ἐμμένοντας τούτοις, ἔμπρακτον ἔχειν τὸ σῶμα, μηδαμοῦ ταῖς ἀμε-
τρίαις παραλυόμενον. τοῦτο γὰρ οἶμαι ἀρίστης οἰκονομίας ἐστὶ, τὸ τοῖς κειμένοις κατα-
κολουθεῖν ὅροις. ἄλλως τε καὶ ἐκ πλειόνων μαρτυριῶν τῆς θείας γραφῆς ἔχομεν ἂν συ-
στῆσαι τὸν λόγον. ἡ γὰρ θεία γραφὴ ἐργάζεσθαι μὲν κελεύει καὶ κινεῖσθαι τῷ σώματι, καὶ
μᾶλλον ἑτέρων ὑπηρετεῖν ἀξιοῦσα, ἢ τῆς παρ' ἑτέρων δεῖσθαι χειρός. καταμαραίνειν
δὲ τοῦτο καὶ παραλύειν ταῖς ἀμέτροις ἐκτήξεσιν, οὐδαμῶς. καὶ τούτου ἀξιοπιστότατόν
» σοι παρέξομαι μάρτυρα τὸν ἅγιον παῦλον, πῆ μὲν λέγοντα, ἀκούομεν γάρ τινας ἐν ὑμῖν
» ἀτάκτως περιπατοῦντας μηδὲν ἐργαζομένους, καὶ τὴν ἀργίαν ἀταξίαν ἀποφηνάμε-
» νον. οὐχ ἠτακτήσαμεν γάρ φησιν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλ-
» λ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι. καὶ τὸ τούτου πλέον, ταῖς χρείαις
» μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. ἑτέρωθι δὲ πάλιν. ἵνα ἐργα-
» ζόμενοι φησὶ, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι. καὶ πάλιν ἀλλαχόθι, ἡσυχάζειν, καὶ πράττειν
» τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν. τύφου παντὸς ἀπηλλάχθαι προσήκει
τὸν ἀσκητὴν καὶ τὴν μέσην ὄντως καὶ βασιλικὴν ὁδὸν πορευόμενον, ἐπὶ θάτερα μηδα-
μῶς ἀποκλίνειν. μήτε τὴν ἄνεσιν ἀσπαζόμενον, μήτε τῇ ὑπερβολῇ τῆς ἐγκρατείας
ἀχρειοῦντα τὸ σῶμα. εἰ μὲν γὰρ καλὸν ἦν παρεῖσθαι τῷ σώματι, καὶ κεῖσθαι νεκροὺς
ἐμπνόους, τοιούτους πάντως ἂν ἡμᾶς κατεσκεύασεν ἐξ ἀρχῆς ὁ θεός. εἰ δὲ οὐ πεποίηκεν
οὕτως, πάντως ὅτι περ ἂν καλὸν ἔγνω, τοῦτο καὶ ἀπετέλεσεν. εἰ δὲ ὅπερ καλὸν ἦν, τοῦτο
ἡμᾶς ἀπειργάσατο, ἁμαρτάνουσιν οἱ τὸ καλῶς ποιηθὲν ὡς οὖν ἐστιν οὐ φυλάττοντες. σὺ
οὖν ὁ ἀσκητὴς τῆς εὐσεβείας σκοπείτω. εἰ μήπου κακία διὰ ῥαθυμίας ἐνεφώλευσε τῇ
ψυχῇ, εἰ μήπου ἡ νῆψις, καὶ ἡ πρὸς θεὸν ἐκ τινὸς τῆς διανοίας ἀπόστασις ἐξελύθη. εἰ μή-
που ὁ τοῦ πνεύματος ἁγιασμὸς, καὶ ὁ ἐκεῖθεν ἐγγινόμενος τῇ ψυχῇ φωτισμὸς ἠμαυρώθη.
ὡς εἴγε τὰ εἰρημένα ἀκμάζοι καλὰ, οὐδαμῶς καιρὸν ἕξει τὰ πάθη τοῦ σώματος κατεξανί-
στασθαι, τῆς ψυχῆς πρὸς τὰ ἄνω ἀσχολουμένης, καὶ οὐκ ἐνδιδούσης καιρὸν τῷ σώματι τῆς
διαναστάσεως τῶν παθῶν. εἰ γὰρ διανοουμένων ἡμῶν τι πολλάκις κατὰ τὸν βίον συντό-
νῳ λογισμῷ, καὶ ἡ ὄψις καὶ ἡ ἀκοὴ ἀνενέργητος ἔμεινε, καὶ ὅλη ἡ ψυχὴ τοῦ ἐνθυμήματος
ἔχεται καταλιποῦσα τὰς αἰσθήσεις ἐρήμους, πολλῷ μᾶλλον εἰ ὁ θεῖος ἔρως ἐνακμάζοι
ἡμῶν τῇ ψυχῇ, οὐδὲ μικρὰν τῆς περὶ τὰ πάθη ἐννοίας ἕξομεν. εἰ δέ που καὶ μικρὸν ταῦ-
τα διαναστῇ, ταχέως τῇ τῆς ψυχῆς μεγαλονοίᾳ καταστελήσεται. τί γὰρ βέλτιον, εἰπέ
μοι, μιμεῖσθαι τῶν δένδρων τὰ ἄκαρπα, ἃ καὶ αὐτὰ πλουτεῖ, καὶ ἑτέρους ταῖς ἀκαρ-
πίαις ἀφραίνει, ἢ παροικεῖν τῶν λαχάνων τοῖς ὑπὸ καύσωνος καὶ ἀνυδρίας μαραι-
νομένοις.

τοῖς διαβάλλειν ὡς ἀρχηγὸν κακίας τὸ ἐπιχειροῦσι. μεμπτὴ δὲ τῆς ὀλιγορίας, ἡ τὸ κῦρος ἀνῃρημένη τοῦ σώματος. οὔτε αὐτὴ φύσει τὸ κακὸν ἐν ἑαυτῇ ἔχουσα ἀλλὰ τῇ ἀπολείψει τοῦ καλοῦ ἐν τούτῳ καθισταμένη. κακία γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ ἀπόλειψις ἀρετῆς.

Ὅτι οὐ δεῖ τὰς τῶν γυναικῶν συντυχίας ἀφυλάκτως ποιεῖσθαι. δ´

Περὶ μὲν τῆς ἐπιστασίας τῶν λογισμῶν, καὶ τῆς ἰσχνώσεως τῶν τοῦ σώματος παθημάτων, καὶ τῆς [illegible] καὶ γαλήνης τῆς ἔνδον ἀνθρώπου, καὶ τῆς τῶν καθηκόντων αὐτῷ θεωρίας τε καὶ σπουδῆς, ἀρκούντως, ὡς οἶμαι, προειρήκαμεν. χρὴ δὲ μὴ μόνον τοῖς λογισμοῖς ἐπιστατεῖν, ἀλλὰ καὶ τούτων τῆς ὁμιλίας ὡς οἷόν τε χωρίζεσθαι, μάλιστα ὅσα πλησιάζοντα ἡμῖν εἰς ὑπόμνησίν τε τῶν παθῶν ἡμᾶς ἄγοντα, ταράττει καὶ συγχεῖ τὸν λογισμόν, καὶ πολέμους καὶ ἀγωνίας ἐμποιεῖ τῇ ψυχῇ. τὸν μὲν γὰρ ἀκουσίως ἡμῖν προσπίπτοντα καταδέχεσθαι πόλεμον ἀναγκαῖον ἂν εἴη. ἑκούσιον δὲ δημιουργεῖν ἑαυτοῖς, ἀλογώτατον. ἐν μὲν γὰρ τῷ προτέρῳ καὶ ἡ ἧττα τυχὸν, συγγνώμης τεύξεται· ἀπείη δὲ τῶν κατὰ θεὸν ἀθλητῶν. ἐν δὲ τούτῳ ἁλῶναι, πρὸς τὸ καταγέλαστον εἶναι, καὶ συγγνώμης ἐστέρηται. χρὴ τοίνυν καὶ τὰς τῶν γυναικῶν ὁμιλίας καὶ συντυχίας ὡς τὰ μάλιστα φεύγειν, εἰ μή τις ἀπαραίτητος ἀνάγκη τὴν συντυχίαν βιάζοιτο. καὶ ἀνάγκης δὲ καταλαβούσης, ὡς ἀπὸ πυρὸς προσήκει φυλάττεσθαι, καὶ ὀξυτάτας καὶ ταχείας ἀπαλλαγὰς ποιουμένους. σκόπησον δὲ τί περὶ τούτου φησὶν ἡ σοφία. „ἀποδήσει τις πῦρ „ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; ἢ περιπατήσει τις ἐπ᾽ ἀνθράκων πυρὸς, τοὺς δὲ „πόδας οὐ κατακαύσει; εἰ δέ τις λέγει ἐκ τοῦ γυναιξὶ συντυγχάνειν συνδιατᾶσθαί τε ἐπὶ πλέον μὴ παραβλάπτεσθαι, οὗτος ἢ οὐ μετέσχηκε τῆς τοῦ ἄρρενος φύσεως, καὶ ἔστι τι κτῆμα παραδοξότατον ἐν μεταιχμίῳ τῆς φύσεως ἑκατέρας ἱστάς. οἷον τοὺς ἀπὸ γεννήσεως εὐνούχους φησίν, ἔγωγε κἀκείνοις δοίημεν τὸ πρὸς τὴν θήλειαν ἀπαθὲς καὶ ἀκίνητον. „ἐπιθυμία γὰρ εὐνούχου ἀποπαρθενῶσαι νεάνιν φησὶν ὁ σοφός. ἢ εἰ μετέχει, βαπτιζόμενος ὑπὸ τῶν παθῶν οὐκ αἰσθάνεται τοὺς μεθύοντας ἢ φρενιτιῶντας μιμούμενος, οἳ τὰ δεινότατα πεπονθότες, ἔξω πάθους εἶναι νομίζουσι. συγχωρήσωμεν δὲ τῷ λόγῳ τὸ ἔξω λόγου, τὸ εἶναί τινα μὴ νυττόμενον ὑπὸ τοῦ ἄρρενος πάθους, ἀλλὰ κἂν αὐτὸς μὴ πάσχῃ, οὐκ ἂν καὶ τοὺς ἄλλους ἀκόλως πείσειεν, ὡς οὐ πάσχει. τὸ δὲ μηδενὸς προκειμένου κατορθώματος τοὺς πολλοὺς σκανδαλίζειν, οἶμαι οὐκ ἀκίνδυνον τῷ ποιοῦντι. ἔπειτα δὲ καὶ ἕτερόν ἐστιν ἰδεῖν, ὅτι κἂν ὁ ἀνὴρ μὴ δέχηται λύμην τοῖς λογισμοῖς, ἀλλ᾽ οὐκ ἤδη καὶ περὶ τῆς γυναικὸς ἡμῖν ἀμφισβητήσει, ὡς καὶ αὐτὴ ἔξω τῶν τοῦ σώματος ὑπάρχει παθῶν. ἀλλὰ πολλάκις ἐκείνη ἀσθενὴς οὖσα τὸν λογισμόν, καὶ τὸ πάθος ὀξύρροπον ἔχουσα, ἔπαθέ τι ἐπὶ τῷ ἀφυλάκτως πεποιημένῳ τὰς συντυχίας. καὶ αὐτὸς μὲν οὐ τέτρωται, ἔτρωσε δὲ πολλάκις, ὡς οὐκ ἐπίσταται. καὶ ἐν προσποιήσει δῆθεν τινὸς ἀγάπης τὸ γόνιμον συνεχῶς πρὸς τὸν αἴτιον τὴν ἀφικνούμενον, ἔρχεται δι᾽ ὀφθαλμῶν τῆς ἁμαρτίας ἐμφορηθῆναι, καὶ ἀκολάστοις ὄμμασι τὴν τοῦ πλησίον ἰδέαν ἐπιβόσκεσθαι. καὶ τὴν οἴδον παρθένον, ἣν μάλιστα ὁ νυμφίος ἐρᾷ, τοῖς ἀκαθάρτοις λογισμοῖς διαφθείρει. ὡς ἂν τοίνυν μηδὲν τῶν εἰρημένων συμβαίνῃ, φυλάττεσθαι προσήκει, εἰ μὲν οἷόν τε, καὶ παντελῶς, εἰ δὲ μὴ τὰς γοῦν συχνὰς καὶ ἐπιτεταμένας ὁμιλίας τῶν γυναικῶν καὶ συντυχίας, οὐχ ὡς μισοῦντας τὸ γένος, ἄπαγε, οὐδὲ ὡς ἀπαρνουμένους τὴν ἐκείνων συγγένειαν, ἀλλὰ καὶ προϊσταμένους καὶ ὠφελοῦντας τὰ δυνατά. πάσαις μὲν κοινωνούσαις τῆς αὐτῆς φύσεως, ἐξαιρέτως δὲ ταῖς τοὺς ὑπὲρ τῆς ἁγνείας ἀγῶνας ἀνειλημμέναις· ὡς τὰ ἀδελφὰ ἡμῖν συναθλούσαις. τὴν δὲ συντυχίαν φυλαττομένους. ἵνα μὴ πάθους οὗ παρῃτήμεθα, καὶ ὃ ἀπηγορεύσαμεν ὑπόμνημα γένηται.

Ὅτι δεῖ τὴν δύναμιν τοῦ σώματος μετρεῖν τὴν ἐγκράτειαν, καὶ ὅτι καλὸν καὶ ἔννομον ἡ τοῦ σώματος ἐργασία. ε´.

Ἀκόλουθον μέντοι καὶ γαστρὸς ἐπικρατεῖν· γαστρὸς γὰρ παιδαγωγία, παθῶν ἐστι κόλασις. παθῶν δὲ κόλασις, ἀταραξία καὶ γαλήνη ψυχῆς, ἀρετῶν γονιμωτάτη πηγή. ἐγκράτεια δὲ γαστρὸς ἀρίστη ἡ ἑκάστῳ μετρουμένη πρὸς τὴν τοῦ σώματος δύναμιν. ἐνίοις μὲν γὰρ καὶ ἐπιτεταμένη κακοπάθεια ἄλυπος ὤφθη, καὶ αὔξησις μᾶλλον, ἢ πόνος ἔδοξε, διὰ τὸ στερρὸν καὶ ἀνένδοτον τῆς τοῦ σώματος κατασκευῆς καὶ δυνάμεως. τὸ δὲ τούτοις ἀνεκτόν, ἑτέροις κινδύνων ὑπόθεσις γέγονε. σωμάτων γὰρ πρὸς σώματα τοσαύτην αὐτῆς ἔχει διαφοράν, ὅ-

νὴς θεωροῦσα καὶ ἀναλογιζομένη τὸ τῆς θείας δόξης ἀπρόσιτον διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος· τὸ τῆς μακαριότητος διαυγές, τὸ τῆς σοφίας ἀπέραντον, τὸ τῆς ἀταραξίας πεπηγός, καὶ ἀκύμαντον· τὴν ἀπαθῆ καὶ ἀκίνητον φύσιν. ᾧ γὰρ μηδὲν ἐξ ἀδοκήτου συμπίπτειν δύναιτ' ἄν, οἷα δὴ τεθησαυρισμένῳ τὴν γνῶσιν τῶν τε ὄντων, τῶν τε ἐσομένων ἁπάντων· καὶ περιδεδραγμένῳ τῶν ὅλων, καὶ ὑπὸ χεῖρα τὰ σύμπαντα ἔχοντι, καὶ οὐδὲν ἀντιπεσεῖν καὶ ἀντιπλέξαι γοῦν ὅλως δύναται· τοῦτο ἀκόλουθον παρεῖναι γαλήνην καὶ ἀταραξίαν διηνεκῆ· αἱ γὰρ τῶν ἀνελπίστων πραγμάτων αἰφνίδιοι περιστάσεις τὰς ταραχὰς ταῖς τῶν ἀνθρώπων διανοίαις ἐμποιεῖν πεφύκασιν· ὥστε ᾧ μηδεμία κακία παρενοχλεῖ, τούτῳ δὲ ἀρετὴ καὶ πᾶν ὅτι καλὸν ἕπεται, οὗτος εὐφραίνοιτο ἂν κατὰ λόγον εὐφροσύνην ἀκίνητόν τε καὶ ἀτελεύτητον· ἀρετῆς γὰρ καὶ ἀγαθότητος ὁ παῖς, εὐφροσύνη· καθὼς ὁ προφήτης φησίν· εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. ψυχὴ τοίνυν, ἢ τὸ νοερὸν αὐτῆς ἐν νήψει, καὶ τὰς προσηκούσας ἐνεργείας διαφυλάττουσα οὔτε τοῖς περιδρεμόνοις θεωρήμασι κατασπάσεται, καὶ τὸ ἑαυτῆς ἦθος πρὸς τὸ ὀρθὸν καὶ δίκαιον, κόσμιόν τε καὶ εἰρηνικὸν ἐξασκήσει· ἡνίκα δ' ἂν τῷ διανοεῖσθαι καὶ ἐννεανίζειν τοῖς καθήκουσι θεωρήμασιν ἀπολήξῃ, τηνικαῦτα ὥσπερ σκύλακες ἄτακτοι καὶ θρασεῖς τὸν ἐπιστάτην ἀποβαλόντες, διαναστάντα τὰ τοῦ σώματος πάθη, πολλὰ καθυλακτεῖ τῆς ψυχῆς, καὶ ποικίλως αὐτὴν διασπᾶν ἐπιχειρεῖ ἕκαστον τῶν παθῶν τὴν ζωτικὴν αὐτῆς δύναμιν πρὸς ἑαυτὸ μεριζόμενον· διττὴν γὰρ οἶμαι τῆς ψυχῆς ἔγωγε εἶναι τὴν δύναμιν, μιᾶς καὶ τῆς αὐτῆς ὑπαρχούσης· τὴν μέν τινα τοῦ σώματος ζωτικήν, τὴν δὲ ἑτέραν, τῶν ὄντων θεωρητικήν, ἣν δὴ καὶ λογιστικὴν ὀνομάζομεν· ἀλλὰ τὴν μὲν ζωτικὴν δύναμιν, ἐπεὶ συγκέκραται τῷ σώματι ἡ ψυχὴ φυσικῶς διὰ τὴν σύγκρασιν, καὶ οὐκ ἐκ προαιρέσεως χορηγεῖ. ὥσπερ γὰρ ἥλιον οὐχ οἷόν τε ἐπιλάμψαντα τὸ μὴ φωτίσαι τοῦτο καθ' οὗ τὰς αὐγὰς ἤνεγκεν, οὕτω ψυχὴν ἀμήχανον μὴ ζωοποιεῖν σῶμα, ᾧ ἂν ἐγγένηται· ἡ δὲ θεωρητικὴ δύναμις ἐν προαιρέσει ἔχει τὴν κίνησιν· ἂν μὲν οὖν διὰ παντὸς τὸ θεωρητικόν τε καὶ λογιστικὸν ἑαυτῆς ἐγρηγοροῦσα παρασκευάζῃ, καθὼς ὁ προφήτης φησί· μὴ δὲ νυστάξῃ ὁ φυλάσσων σε, διπλῆ κατευνάζει τὰ πάθη τοῦ σώματος· ἥτε γὰρ περὶ τῶν κρειττόνων καὶ προσφυῶν θεωρία αὐτοῖς ἀπησχόληται, καὶ ἡ τὰς ἀταξίας ἐπισκοποῦσα τοῦ σώματος, σωφρονίζει ταύτας καὶ καταστέλλει· ἂν δὲ τὴν ἀργίαν ἀσπαζομένη τὸ θεωρητικὸν ἀκίνητον ἔχῃ, σχολὴν τὸ ζωτικόν, τὰ πάθη τοῦ σώματος αἴροντα καὶ μεριζόμενα μηδενὸς ἐπιστατοῦντος καὶ ἀνακόπτοντος, ἐπὶ τὰς οἰκείας ὁρμάς τε καὶ ἐνεργείας τὴν ψυχὴν συγκαθέλκουσιν· ὥστε εἶναι τὰ πάθη τοῦ σώματος βίαια μέν, ἀργοῦντος τοῦ ἐν ἡμῖν λόγου· ἀπειθῆ δὲ τούτου τάττοντος καὶ διέποντος. οὐ μεμπτὸν τοίνυν τὸ σῶμα τοῖς ὀρθῶς περὶ αὐτοῦ γινώσκειν ἐθέλουσι. πρέπει γὰρ τῇ τῆς συμβουλῆς ἐκθέσει καὶ τὰς κακοδοξίας τῶν πονηρῶς ὑπειληφότων περὶ τοῦ σώματος ἀνελεῖν· ὥσπερ γὰρ ἀγαπητέ, καλὸν ὁ ἵππος, καὶ ὅσῳ περ ἂν τὴν φύσιν ὀξύτερος καὶ θερμότερος ᾖ, τοσούτῳ ἀμείνων· δεῖται δὲ τοῦ ἡνιοχήσοντός τε, καὶ κυβερνήσοντος, οἷα δὴ λογισμῶν ἄμοιρος ὤν· ἐπιβαίνοντος δὲ τοῦ ἡνιόχου, οὗτος μὲν τῇ φύσει χρῆσθαι πειράσεται· ἐὰν μὲν οὖν ὁ ἡνίοχος τὰς ὁρμὰς τοῦ ὑποζυγίου δεόντως οἰκονομήσῃ, ἑαυτῷ τε πρὸς τὸ συμφέρον ἐχρήσατο, καὶ τοῦ σκοποῦ τοῦ προκειμένου τετύχηκε· καὶ αὐτὸς δὲ σέσωσται, καὶ τὸ ὑποζύγιον ὤφθη τὴν χρῆσιν ἄριστον· ἐπειδὰν δὲ ὁ ἡνίοχος κακῶς ἀγάγῃ τὸν πῶλον, ὅτε πῶλος πολλάκις παρατρέπῃ τῆς λεωφόρου καὶ εἰς ἀνοδίαν ἐξέπεσε· κατενεχθεὶς δὲ καὶ αὐτός, ἔστιν ὅτε τὸν ἐπιβάτην κατήνεγκε, καὶ κίνδυνος ἑκατέρων ἡ τοῦ ἡνιόχου ῥᾳθυμία γίνεται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, καὶ τοῦ σώματος ὑπολάμβανε. τὸ μὲν γὰρ σῶμα τὰς φυσικὰς ὁρμὰς ἔλαβεν οὐκ ἀτόπους, ἀλλὰ πρός τι πάντως καλὰς καὶ χρησίμους· λογισμοῦ τε τοῦτο ἄμοιρον ὑπάρχει, ἵνα τιμηθείη τοῖς τοῦ λόγου προτερήμασιν ἡ ψυχή. ἐὰν μὲν γὰρ αὐτὴ τὰς τοῦ σώματος ὁρμὰς δεόντως οἰκονομῇ, αὐτό τε περιεσώσατο καὶ αὐτὴ ἔξω κινδύνων διατελεῖ· ἐὰν δὲ τοῦ ἐπιστατικοῦ ἀμελήσῃ, καὶ ὕπνῳ κρατηθεῖσα τῇ ῥᾳθυμίᾳ παρέῃ τὴν τοῦ σώματος ἡνιόχησιν, αὐτό τε οἷα λογισμῶν ἔρημον τῆς εὐθείας ἐκτρέπεται, καὶ τὴν ψυχὴν τοῖς ἰδίοις περιέβαλε πταίσμασιν οὐκ ἐξ οἰκείας κακίας, ἀλλὰ διὰ τὴν ἐκείνης ὀλιγωρίαν. εἰ μὲν γὰρ ἦν τὰ πάθη τοῦ σώματος, οἷα μὴ δαμασθῆναι ψυχῇ, εἶχον ἂν τὰς αἰτίας εὐλόγως τὸ σῶμα. εἰ δὲ πολλοῖς ὑποχείρια γέγονε τοῖς κρατεῖν ἐσπουδακόσιν, ἀνεύθυνον μὲν τὸ σῶμα

καὶ σὺ οὖν πιστεύεις αὐτῷ, ἀλλὰ γὰρ κἂν στιγμὴν θέλωμεν, ἐλεγχόμεθα ὑπὸ τοῦ συνειδό-
τος ἡμῶν· οὐ γὰρ ἀπιστοῦμεν αὐτῷ ὡς μὴ δυναμένῳ ἀναπαῦσαι ἡμᾶς, ἀλλὰ περιστελλό-
μεθα ἆραι τὸν ζυγὸν αὐτοῦ ἐφ' ἑαυτῶν τὸν χρηστὸν καὶ ἐλαφρὸν καὶ διὰ τῆς στενῆς πύλης εἰσελ-
θεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· αἱρούμεθα δὲ μᾶλλον τὸ τῶν ἁμαρτιῶν φορτίον βαστάζειν,
καὶ διὰ τῶν ἐν ἡδονῇ παθημάτων τὴν εὐρύχωρον ὁδὸν βαδίζειν, καὶ διὰ τῆς πλατείας πύλης εἰ-
σέρχεσθαι εἰς τὴν ἀπώλειαν. ἀλλὰ πολλάκις φησὶν ᾔτησα, καὶ οὐκ ἔλαβον· πάντως ὅτι κα-
κῶς ᾔτησας, ἢ ἀπλήστως, ἢ ματαίως, ἢ τὰ μὴ συμφέροντά σοι. εἰ δὲ καὶ τὰ συμφέροντα
» πολλάκις ᾔτησας, ἀλλ' οὐ παραμένας· γέγραπται γάρ· ὅτι ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε
» τὰς ψυχὰς ὑμῶν· καὶ ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται· οἶδεν ὁ θεὸς τοῦ προσευχομέ-
νου τὴν καρδίαν· τί οὖν φησι, τῆς ἡμῶν χρείαν ἔχει αἰτήσεως ὁ θεός; οὐκ οἶδεν ὧν χρείαν ἔ-
χομεν, τίς οὖν χρεία αἰτήσεως· οἶδε μὲν ὁ θεὸς ὧν χρήζομεν· καὶ πάντα τὰ σωματικὰ πλου-
σίως ἡμῖν παρέχει εἰς ἀπόλαυσιν, καὶ ἀγαθὸς ὑπάρχων, βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ
τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ πρὸ τοῦ αἰτῆσαι ἡμᾶς. τὴν δὲ πίστιν, καὶ
τὰ κατορθώματα τῆς ἀρετῆς, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐὰν μὴ αἰτήσῃς μετὰ καμάτου καὶ
παραμονῆς πολλῆς, οὐ λαμβάνεις. δεῖ γὰρ πρότερον ποθῆσαι, ποθήσαντα δὲ ζητῆσαι διὰ
ἀληθείας ἐν πίστει καὶ ὑπομονῇ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέροντα. ἐν μηδενὶ κρινόμενον ὑ-
πὸ τοῦ ἰδίου συνειδότος, ὡς ἢ ἀμελῶς, ἢ ῥαθύμως αἰτοῦντος, καὶ τότε λαβεῖν, ὅτε θέλει
ὁ θεός· κρεῖσσον γάρ σου οἶδε τὰ συμφέροντά σοι· καὶ ἴσως διὰ τοῦτο ἀναβάλλεται διδόναι τὴν πα-
ρ' αὐτοῦ προσεδρίαν σου σοφιζόμενος, καὶ ἵνα γνῷς, τί ἐστι δῶρον θεοῦ, καὶ φυλάξῃς τὸ δοθὲν μετὰ
φόβου. πᾶν γὰρ ὃ μετὰ πολλοῦ καμάτου τις κτήσεται, σπουδάζει τοῦτο φυλάττειν, ἵνα μὴ
ἀπολέσας αὐτό, ἀπολέσῃ καὶ τὸν πολὺν αὐτοῦ κάματον, καὶ τὴν χάριν τοῦ θεοῦ ἀθετήσας, ἀ-
νάξιος γένηται τῆς αἰωνίου ζωῆς. τί γὰρ ὠφέλησε τὸν σολομῶντα ταχέως λαβόντα τὴν χά-
ριν τῆς σοφίας, καὶ ἀπολέσαντα αὐτήν; μὴ οὖν ὀλιγοψύχει, εἰ μὴ λάβῃς ταχέως τὸ αἴτη-
μα. εἰ γὰρ ᾔδει ὁ ἀγαθὸς δεσπότης, ὅτι ταχέως λαμβάνων τὴν χάριν οὐκ ἀπολύεις αὐτήν,
ἕτοιμος ἦν καὶ πρὸ τοῦ αἰτῆσαί σε αὐτὸν παρασχεῖν· νῦν δὲ κηδόμενός σου τοῦτο ποιεῖ. εἰ
γὰρ ὁ λαβὼν τὸ τάλαντον, καὶ σῶον αὐτὸ φυλάξας, διότι μὴ ἐπραγματεύσατο αὐτὸ κατε-
κρίθη, πόσῳ μᾶλλον κατακριθήσεται ὁ ἀπολέσας αὐτό; ταῦτα οὖν εἰδότες, εἴτε τα-
χύτερον, εἴτε βραδύτερον λάβωμεν, μένωμεν εὐχαριστοῦντες τῷ κυρίῳ. ὅτι πάντα, ἅ τι
ποιεῖ ὁ δεσπότης ὑπὲρ τῆς ἡμῶν σωτηρίας οἰκονομεῖ· μόνον ἡμεῖς μὴ ὀλιγοψυχήσαντες
παυσώμεθα τῆς αἰτήσεως. διὰ γὰρ τοῦτο τὴν παραβολὴν εἶπεν ὁ κύριος ὑπὲρ τῆς χήρας, ἣ διὰ
τῆς παραμονῆς αὐτῆς ἐπέκαμψε τὸν ἄδικον κριτήν. ἵνα καὶ ἡμεῖς διὰ τῆς παραμονῆς λαμ-
βάνωμεν τὰ αἰτήματα ἡμῶν. οὕτω γὰρ καὶ ἡ πίστις ἡμῶν καὶ ἡ ἀγάπη ἡ πρὸς τὸν θεὸν
δείκνυται, ὅταν καὶ μὴ λαμβάνοντες ταχύ, μένωμεν εὐχαριστοῦντες αὐτῷ. εὐχαρι-
στήσωμεν οὖν αὐτῷ διὰ παντός, ἵνα καταξιωθῶμεν ἐπιτυχεῖν τῶν αἰωνίων αὐτοῦ ἀγα-
θῶν. ὅτι αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Περὶ τῆς τῶν λογισμῶν ἐπιστάσεως, καὶ ὅτι οὐ κα-
κὸν τὸ σῶμα, ὥς τινες ὑπειλήφασιν. γ.

Πρῶτον μὲν οὖν κρατητικὸν ἐκ παντὸς τρόπου τὸν λογισμόν, νηφάλιον ἐφιστῶντας τὴν τῆς
διανοίας ἐπισκοπήν, ὡς ἂν μὴ συγχωρεῖν τῇ ψυχῇ ταῖς ἀπερισκέπτοις ὁρμαῖς ῥα-
δίως πρὸς τὰς τοῦ σώματος ἀνθολκὰς ἐνδιδόναι. βλέψις μὲν γὰρ τοῦ σώματος,
ὁ ὀφθαλμός· ὅρασις δὲ τῆς ψυχῆς, ὁ συμφυὴς αὐτῇ νοῦς. ἀλλ' οὐχ ὡς ἕτερον ἐν
ἑτέρῳ, ἀλλὰ ταὐτὸν ψυχή τε καὶ νοῦς. δύναμις ὑπάρχων φυσική τις καὶ οὐκ ἐ-
πείσακτος, τοῦ λογικοῦ τῆς ψυχῆς. ἡνίκα μὲν γὰρ ἡ ψυχὴ τὸ ἑαυτῆς ἀνακι-
νοῦσα νοερόν, τὸ φυσικῶς ἐγκατεσπαρμένον αὐτῇ παρὰ τῆς πεποιηκυίας αὐτὴν ἁγίας
τριάδος, βουλεύεται τὰ δέοντά τε καὶ προσήκοντα, τηνικαῦτα διαφαίνει τὰς τοῦ
σώματος ὑπηρεσίας. τάς τε ἀτάκτους αὐτοῦ κινήσεις περιορωμένη καὶ ἐπιστομίζουσα
γαλήνην τε ἄγει τὴν αὐτῇ πρέπουσαν, καὶ ἐν ἀπερικτυπήτῳ σχολῇ ἐν τοῖς κατὰ φύσιν
θεωρήμασι γίνεται. τοῦτο μὲν εἰς τὴν ἁγίαν καὶ προσκυνητὴν τριάδα κατὰ τὸ ἐνὸν ἀτε-

πίστεως αἴτει, διὰ παντὸς τὸ ἀγαθὸν ἐργαζόμενος. πολλάκις γάρ τις δι' ἡμῶν ἐν νεότητι
ἄν τε ποιήθῃ σωφροσύνης, εἶτα ὑπεισῆλθεν ἡ ἡδονὴ, ἐκαύθησαν αἱ κατὰ φύσιν ἐπιθυ-
μίαι, ἠθύμησεν ἡ προσευχὴ, ἐπικλάσθη τῇ νεότητι οἶνος, ἀπώλετο ἡ σωφροσύνη, καὶ γέ-
γονεν ὁ ἄνθρωπος ἄλλος ἀντ' ἄλλου, οὕτως αἱ μεταβολαὶ γίνονται διὰ τὸ μὴ γενναίῳ λο-
γισμῷ ἀνθίστασθαι τοῖς πάθεσι. καὶ τὰ μὲν παρ' ἑαυτοῦ εἰσφέρειν πάντα, βοᾶν δὲ πρὸς
τὸν θεὸν ἵνα συμμαχήσῃ αὐτῷ. ἐὰν γάρ τις χαυνότητι ἐκδώσει αὐτὸν τοῖς ἐπιθυμίαις, καὶ
ἑαυτὸν προδώσει τοῖς ἐχθροῖς, τούτῳ ὁ θεὸς οὐ συμμαχεῖ, οὐδὲ εἰσακούει. προλαβὼν γὰρ διὰ
τῆς ἁμαρτίας ἠλλοτρίωσεν ἑαυτὸν ἀπὸ τοῦ θεοῦ. ὁ γὰρ θέλων βοηθεῖσθαι ὑπὸ τοῦ θεοῦ, τὸ πρέ-
πον οὐ προδίδωσιν. ὁ γὰρ τὸ πρέπον μὴ προδιδοὺς, οὐ προδίδοταί ποτε ὑπὸ τῆς θείας
συμμαχίας. χρὴ τοίνυν ἐν μηδενὶ καταγινώσκεσθαι ὑπὸ τοῦ ἰδίου συνειδότος, καὶ οὕ-
τως τὴν θείαν συμμαχίαν ἐπικαλεῖσθαι. ἐπικαλεῖσθαι δὲ μὴ ῥαθύμως, μὴ μετεωρι-
ζομένῳ τῷ νῷ ὧδε κἀκεῖσε. ὁ γὰρ τοιοῦτος, οὐ μόνον οὐ λήψεται τὸ αἴτημα, ἀλλὰ καὶ με-
ζόνως παροξυνεῖ τὸν δεσπότην. εἰ γὰρ ἐνώπιον ἄρχοντός τις ἑστὼς, καὶ διαλεγόμενος, μετὰ πολ-
λοῦ φόβου ἵσταται, ἀμετεώριστον ἔχων καὶ τὸ ἔξωθεν ὄμμα καὶ τὸ τῆς ψυχῆς ἔνδοθεν, μή-
ποτε κινδυνεύσῃ, πόσῳ μᾶλλον ἐνώπιον θεοῦ χρὴ ἑστάναι μετὰ φόβου καὶ τρόμου, ὅλον τὸν
νοῦν τεταμένον ἔχοντα πρὸς αὐτὸν μόνον, καὶ ἀλλαχοῦ μηδαμοῦ. διότι αὐτὸς οὐ μόνον τὸν
ἔξωθεν ἄνθρωπον βλέπει, καθὼς οἱ ἄνθρωποι, ἀλλὰ καὶ τὸν ἔνδοθεν καθορᾷ. ἐὰν τοί- +
νυν οὕτως ὡς χρὴ στῇς ἐνώπιον τοῦ θεοῦ, καὶ τὰ παρὰ σεαυτοῦ πάντα εἰσφέρῃς, μὴ ἀπο-
στῇς, ἕως ὅτου λάβῃς τὸ αἴτημά σου. ἐὰν δὲ καταγινώσκῃ ὑπὸ τοῦ συνειδότος σου ὡς κα-
ταφρονῶν, καὶ ἐὰν μετεώρως στῇς εἰς εὐχὴν, δυνάμενος ἀμετεωρίστως στῆναι, μὴ τολ-
μήσῃς στῆναι ἐνώπιον τοῦ θεοῦ, ἵνα μὴ γένηταί σου ἡ προσευχὴ εἰς ἁμαρτίαν. εἰ δὲ ἐξα-
σθενήσας ὑπὸ τῆς ἁμαρτίας ἀπερισπάστως οὐ δύνασαι εὔχεσθαι. ὅσον δύνασαι σεαυ-
τὸν βιάζου καὶ προσκαρτέρει στήκων ἐνώπιον τοῦ θεοῦ τὸν νοῦν πρὸς αὐτὸν ἔχων, καὶ ἐπισυ-
νάγων αὐτὸν πρὸς ἑαυτόν. καὶ ὁ θεὸς συγγνώμην ποιεῖ, ὅτι οὐκ ἀπὸ καταφρονήσεως,
ἀλλὰ ἀπὸ ἀσθενείας οὐκ ἰσχύεις, ὡς χρὴ, στῆναι ἐνώπιον τοῦ θεοῦ. ἐὰν οὕτω βιάζῃ ἑαυτὸν
εἰς πᾶν ἔργον ἀγαθὸν, μὴ ἀποστῇς ἕως ὅτου λάβῃς τὸ αἴτημά σου. ἀλλὰ μακροθύμως
» κροῦε τὴν θύραν αὐτοῦ αἰτῶν τὸ αἴτημά σου. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει φησὶν, καὶ ὁ ζη-
» τῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. τίνος γὰρ ἄλλου θέλεις τυχεῖν, εἰ μὴ μόνης τῆς
κατὰ θεὸν σωτηρίας; θέλεις μαθεῖν ἀγαπητὲ, πῶς ἐμακροθύμησαν οἱ ἅγιοι καὶ οὐκ ἀπε-
γίνωσκον; τὸν ἀβραὰμ ὁ θεὸς νεώτερον ἐκάλεσε, καὶ ἐκ τῆς ἀσσυρίων γῆς μετῴκισεν αὐτὸν
» εἰς τὴν παλαιστίνην, φήσας αὐτῷ. σοὶ δώσω τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου με-
» τὰ σὲ, καὶ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, οὕτως ἔσται τὸ σπέρμα σου, ὃ οὐκ ἐξαριθμηθήσεται. καὶ
παρῆλθε πολὺς ἐτῶν ἀριθμὸς, καὶ ἐνεκρώθη μετ' αὐτοῦ ἡ φύσις. ἐν προθύροις δὲ αὐτοῦ ἡ τε-
λευτὴ, καὶ οὐκ εἶπεν, ὅτι καὶ ἐμοὶ παῖδας ἐπαγγέλλῃ, καὶ πατέρα με ἔσεσθαι πάντων
τῶν ἐθνῶν προλέγεις, νεκρωμένης διὰ γήρως τῆς φύσεως τὰ κινήματα, καὶ στεῖρα ἡ γυνή
μου, οὐκέτι ὑπομένει τι γυναικεῖον διὰ τὸ γῆρας, ὥστε ψευδὴς ἡ ἐπαγγελία. δύο γὰρ γέρον-
τες, ποίαν ἐλπίδα ἔχομεν; οὐκ εἶπε ταῦτα, οὐκ ἐνενόησεν, ἀλλ' ἔμενεν ἀσάλευτος τῇ
πίστει. καὶ τῇ μὲν ἡλικίᾳ ἐγήρασκεν, ἡ δὲ ἐλπὶς ἐνέαζε. καὶ τὸ μὲν σῶμα εἰς ἀτονίαν ἤρχε-
το, καὶ ἀπόγνωσιν ἐνεποίει, ἡ δὲ πίστις ἐνδυναμοῦ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. θεός φησιν
ἐστὶν ὁ ἐπαγγειλάμενος, ὁ δεσπότης τῆς φύσεως, καὶ ἄλλως γενέσθαι οὐ δύναται. αὐ-
τός ἐστιν ὁ καὶ τὰ ἀδύνατα δυνατὰ ποιῶν, διότι ποιεῖ πάντα, καὶ μετασκευάζει ὡς βού-
λεται. μιμοῦ τὴν πίστιν τοῦ ἀβραάμ. ὅτε οὖν ἠσθένησεν ἡ φύσις, καὶ ἐνεκρώθη
τὰ κινήματα, τότε ἤνθησεν ἡ ἐπαγγελία τοῦ θεοῦ. δέχου τὰ ὑποδείγματα. ἡμεῖς
δὲ ἐνιαυτὸν προσευχόμεθα καὶ ἀναχωροῦμεν. δύο ἔτη νηστεύομεν καὶ παυόμεθα.
μὴ οὖν ἀτονήσωμεν πρὸς τὴν ἐπαγγελίαν τοῦ θεοῦ. καὶ γὰρ ὁ ἐκείνῳ ἐπαγγειλά-
μενος πληθύνειν τὸ σπέρμα αὐτοῦ, καὶ ἡμῖν ἐπηγγείλατο αἰτοῦσι παρέχειν τὸ αἴ-
» τημα ἡμῶν. καὶ πάλιν. δεῦτε πάντες πρός με οἱ κοπιῶντες καὶ πεφορτισ-
» μένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. μακρὰν γάρ σου ὄντος ἀπ' αὐτοῦ, κοπιῶντα τε
καὶ πεφορτισμένον τὸ βαρύτατον φορτίον τῆς ἁμαρτίας, ἐλεήσας σε προσεκαλέ-
σατο, ὥστε κουφίσαι σε τοῦ φορτίου, καὶ ἀνάπαυσιν τοῦ λοιποῦ χαρίσασθαι.

ὡς λοιπὸν τῆς χρείας ἀναγκαζόμενος προσεύχῃ τῷ θεῷ. ἀρχόμενος τοίνυν προσευ-
χῆς, κατάλιπε σεαυτὸν, γυναῖκα, τέκνα, ἔασον τὴν γῆν, ὑπέρβηθι οὐρανὸν, κατάλι-
πε πᾶσαν τὴν κτίσιν ὁρατήν τε καὶ ἀόρατον, καὶ ἄρξαι ἀπὸ δοξολογίας τοῦ ποιήσαντος
τὰ πάντα, καὶ ὅταν δοξολογήσῃς αὐτὸν, μὴ πλανώμενος τὸν νοῦν ὧδε κἀκεῖσε μηδὲ ἑλ-
ληνικῶς μυθολογῶν, ἀλλ' ἀπὸ τῶν ἁγίων γραφῶν ἐκλεγόμενος καὶ λέγων, εὐλογῶ σε
κύριε τὸν μακρόθυμον, καὶ ἀνεξίκακον, τὸν καθ' ἑκάστην ἡμέραν μακροθυμοῦντά μοι πλημ-
μελοῦντι, καὶ δόντα ἐξουσίαν πᾶσιν ἡμῖν μετανοίας. διὰ γὰρ τοῦτο σιωπᾷς, καὶ ἀνέχῃ
ἡμῶν κύριε, ἵνα σε δοξολογῶμεν τὸν οἰκονομοῦντα τοῦ γένους ἡμῶν τὴν σωτηρίαν. ποτὲ
μὲν διὰ φόβον, ἄλλοτε δὲ διὰ παραινέσεως, ποτὲ δὲ διὰ προφητῶν, ὕστερον δὲ διὰ τῆς
παρουσίας τοῦ Χριστοῦ ἐπισκεψάμενος ἡμᾶς. σὺ γὰρ ἔπλασας ἡμᾶς, καὶ οὐχ ἡμεῖς. σὺ εἶ ὁ
θεὸς ἡμῶν. ὅταν δὲ δοξολογήσῃς ἀπὸ τῶν γραφῶν ὡς δύνασαι, καὶ ἀναπέμψῃς αἶνον
πρὸς τὸν θεὸν, τότε ἄρχου μετὰ ταπεινοφροσύνης, καὶ λέγε· ἐγὼ μὲν κύριε, οὐκ εἰμὶ ἄ-
ξιος τοῦ σοῦ φθέγξασθαι, διότι σφόδρα ἁμαρτωλὸς τυγχάνω. κἂν μὴ συνοιδάς τι σεαυ-
τῷ φαῦλον, οὕτω χρή σε λέγειν. οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ μόνος ὁ θεός. πολλὰ
» γὰρ ἁμαρτάνοντες, τὰ πλεῖστα οὔτε συνίεμεν. διὰ τοῦτο φησὶν ὁ ἀπόστολος, οὐδὲν ἐ-
» μαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. τουτέστι πολλὰ ἁμαρτάνω, καὶ οὐ συ-
» νιῶ. ὅθεν καὶ ὁ προφήτης φησί· παραπτώματα τίς συνήσει; ὥστε οὖν οὐ ψεύδῃ ἁμαρ-
» τωλὸν σεαυτὸν εἰπών. εἰ γὰρ συνιεῖς, καὶ αὐτὸ τοῦτο ἁμαρτάνεις, τὸ λέγειν, ὅτι οὐκ εἰμὶ
ἁμαρτωλός. ἀλλὰ μᾶλλον λέγε, ὅτι ὑπὲρ τοὺς ἁμαρτωλούς ἐγώ εἰμι, ὁ παραβαίνων τὸ
» θεῖον πρόσταγμα τὸ καλόν. ὅταν πάντα κατορθώσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν·
» ἃ γὰρ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. οὕτω σε δεῖ λογίζεσθαι διαπαντός. ὅτι ἀχρεῖος
εἰμί. καὶ πάλιν τῇ ταπεινοφροσύνῃ ἀλλήλους προηγούμενοι, ὑπερέχοντας ἑαυτῶν.
προσεύχου οὖν τῷ θεῷ μετὰ φόβου καὶ ταπεινοφροσύνης. ὅταν οὖν ἀποτείνῃς λόγον τα-
πεινοφροσύνης, καὶ εἴπῃς, εὐχαριστῶ σοι κύριε, ὅτι μοι ἐμακροθύμησας τοῖς παραπτώμα-
σι, καὶ ἕως τοῦ νῦν ἀτιμώρητόν με εἴασας. ἐγὼ μὲν γὰρ ἄξιος ἤμην πάλαι μυρία δεινὰ πα-
θεῖν, καὶ ἀπορριφῆναι ἀπὸ τοῦ προσώπου σου. ἡ δὲ ἀνεξίκακός σου φιλανθρωπία ἐμα-
κροθύμησεν ἐπ' ἐμοί, εὐχαριστῶ σοι, εἰ καὶ μὴ τυγχάνω αὐτάρκης πρὸς εὐχαριστίαν τῆς
σῆς ἀνεξικακίας. καὶ ὅταν τὰ δύο μέρη ἀποπληρώσῃς τῆς δοξολογίας καὶ ταπεινο-
φροσύνης, τότε λοιπὸν, αἴτησον ὃ ὀφείλεις αἰτῆσαι. μὴ πλοῦτον, καθὼς προεῖπον,
μηδὲ δόξαν ἐπίγειον, μὴ ὑγείαν σώματος, αὐτὸς γάρ σε ἔπλασε, καὶ κήδεται σου τῆς σωτη-
ρίας, καὶ οἶδε πῶς ἑκάστῳ συμφέρει, εἴτε ὑγιαίνειν, εἴτε ἀσθενεῖν, ἀλλ' αἴτει καθὼς προ-
σετάχθης, τὴν βασιλείαν τῶν οὐρανῶν μόνον. καὶ περὶ τῆς χρείας τοῦ σώματός σου, κα-
θὼς προεῖπον, αὐτὸς φροντίζει. ἀξιωματικώτατος γάρ ἐστιν ὁ βασιλεὺς ἡμῶν. καὶ ἀγα-
νακτεῖ, ἐάν τις αὐτὸν μικρόν τι αἰτήσῃ, ἐάν τις ἡμῶν περὶ τῶν οὐδὲν προσηκόντων αὐτὸν
αἰτῇ. μὴ τοίνυν ἐν τῇ προσευχῇ σου ἀγανάκτησιν σεαυτῷ προσαγάγῃς, ἀλλ' αἴτησον
σεαυτῷ ἄξια τοῦ βασιλέως θεοῦ. αἰτῶν δὲ τὰ ἄξια τοῦ θεοῦ, μὴ ἀποστῇς, ἕως ὅτου λά-
» βῃς. τοῦτο γὰρ αἰνιττόμενος ὁ κύριος φησὶν ἐν τῷ εὐαγγελίῳ, τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ
» πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου, καὶ ἐρεῖ αὐτῷ, φίλε χρῆσόν μοι τρεῖς ἄρτους. ἐπει-
» δὴ φίλος μοι παρεγένετο ἐξ ὁδοῦ, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ, κἀκεῖνος ἔσωθεν ἀ-
» ποκριθῇ, μή μοι κόπους πάρεχε, ἤδη γὰρ ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ' ἐ-
» μοῦ ἐν τῇ κοίτῃ εἰσὶν οὐ δύναμαι ἀναστὰς δοῦναί σοι. λέγω ὑμῖν εἰ καὶ οὐ δώσει αὐτῷ
» ἀναστὰς διὰ τὸ φίλον αὐτοῦ εἶναι, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει
» αὐτῷ ὅσον χρῄζει. ὑπόδειγμα ἡμῖν δίδωσιν ὁ κύριος, ἵνα διδάξῃ ἡμᾶς εὐτόνους εἶ-
ναι καὶ φιλονείκους ἐν πίστει. ὑπόδειγμα γὰρ λαμβάνει ἀπὸ ἀνθρώπου πρὸς ἄν-
θρωπον, ἵνα μάθῃς μὴ ἀπαγορεύειν ποτέ. ἵνα ὅταν αἰτήσῃς καὶ μὴ λάβῃς, μὴ ἀ-
ποστῇς ἕως ὅτου λάβῃς. πλὴν καθὼς προεῖπον, ἐὰν αἰτῇς ἅπερ ὁ θεὸς θέλει, καὶ μὴ
εἴπῃς ὅτι ἁμαρτωλός εἰμι, καὶ οὐκ ἀκούομαι. ἵνα γὰρ μὴ ἀπογνώσῃς διὰ τοῦτο φησίν·
» εἰ καὶ μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι οὐ δώσει αὐτῷ, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ
» δώσει αὐτῷ ὅσον χρῄζει. λοιπὸν κἂν μὴν παρέλθοι, κἂν ἐνιαυτὸς, κἂν τριετὴς, κἂν
τετραετὴς χρόνος, κἂν πλείονα ἔτη, ἕως ὅτου λάβῃς, μὴ ἀναχωρήσῃς, ἀλλὰ μετὰ

Πᾶσα πρᾶξις ἀγαθή τε, καὶ πᾶς λόγος τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ, κανών ἐστιν εὐσεβείας τε καὶ ἀρετῆς. διά τοι τοῦτο καὶ ἐνηνθρώπησεν, ὡς ἐν εἰκόνι διαγράφων ἡμῖν εὐσέβειάν τε καὶ ἀρετήν, ἵνα κατὰ δύναμιν ἕκαστος καὶ ἑκάστη ὁρῶντες, ζηλώσωμεν τὸ ἀρχέτυπον. διὰ γὰρ τοῦτο φορεῖ τὸ ἡμέτερον σῶμα, ἵνα καὶ ἡμεῖς αὐτοῦ τὴν πολιτείαν ὡς οἷόν τε μιμησώμεθα. σὺ τοίνυν, ὅταν ἀκούσῃς λόγον ἢ πρᾶξιν αὐτοῦ, μὴ παρέργως καὶ ἁπλῶς ὡς ἔτυχεν ἄκουε, ἀλλ' ἔμβαινε εἰς τὸ βάθος τῶν θεωρημάτων. γίνου κοινωνὸς τῶν μυστικῶς παραδιδομένων. μάρθα μὲν γὰρ τὸν κύριον ὑποδέχεται, καθίζεται δὲ πρὸς τοὺς πόδας αὐτοῦ μαρία. ἐν δυσὶ δὲ ἀδελφαῖς καλὴ προθυμία. διάστησον μέντοι τὰ πράγματα. ἡ μὲν γὰρ μάρθα διηκόνει παρασκευάζουσα τὰ πρὸς δεξίωσιν τῆς σωματικῆς αὐτοῦ χρείας, ἡ δὲ μαρία καθημένη πρὸς τοὺς πόδας αὐτοῦ, ἤκουε τῶν λόγων αὐτοῦ. ἡ μὲν οὖν ἀνέπαυε τὸ φαινόμενον, ἡ δὲ ἐδούλευε τῷ ἀοράτῳ. ἦν γὰρ ἀληθῶς καὶ ἄνθρωπος καὶ θεὸς ὁ παρών, ὁ αὐτὸς δεσπότης ἀμφοτέρων τῶν γυναικῶν τὴν προθυμίαν ἀπεδέξατο. ἀλλ' ἡ μὲν μάρθα καμάτῳ πιεζομένη μεσίτην γενέσθαι παρεκάλει τὸν κύριον, ἵνα προσλάβῃ βοηθὸν τὴν ἰδίαν ἀδελφὴν τῆς διακονίας. εἰπέ, φησὶν αὐτῇ, ἵνα ἀναστᾶσα συνδιακονῇ μοι. ὁ δὲ κύριος πρὸς αὐτήν, μάρθα μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία. μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. οὐδὲ γὰρ ἦλθον τοῦτο πορισόμενος, ἵνα ἐπὶ γῆς ἀναπαύσωμαι, καὶ τὴν κοιλίαν θρέψωμαι, ἀλλὰ παρέσομαι, ἵνα ὑμᾶς θρέψωμεν λόγῳ ἀληθείας, καὶ θεωρίᾳ μυστηρίων. τὴν μὲν οὐ κατέτρεψεν ἀφ' ὧν ἐποίει, τὴν δὲ ἀπεδέξατο, ἐφ' οἷς προσεῖχεν. ὅρα μοι τοίνυν τὰς δύο μερίδας διὰ τῶν δύο γυναικῶν εἰσαγομένας, τὴν μὲν μίαν ἐλάττω τὴν διακονίαν τὴν σωματικωτέραν ἐχομένην, πλὴν ὅτι καὶ αὐτὴν χρησιμωτάτην. τὴν δὲ ἀναβεβηκυῖαν τῇ θεωρίᾳ τῶν μυστηρίων κρείττονα καὶ πνευματικωτέραν. ταῦτα σὺ ὁ ἀκροατὴς τυπικῶς ἐκλάμβανε, καὶ ὃ θέλεις ἔκλεξαι. εἰ μὲν βούλει διακονεῖν, διακόνει τῷ ὀνόματι τοῦ χριστοῦ, αὐτὸς γὰρ ἔλεγεν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. κἂν γὰρ ξένους δέχῃ, κἂν πτωχοὺς ἀναπαύῃς, κἂν τοῖς ὀδυνωμένοις ἐπικάμπτῃ, κἂν τοῖς ἀνάγκῃ καὶ συμφορᾷ χεῖρα βοηθείας ὀρέγῃς, κἂν ἀρρώστους ὑπηρετῇς, πάντα εἰς ἑαυτὸν ὁ χριστὸς ἀναδέχεται. εἰ δὲ θέλεις τὴν μαρίαν ζηλῶσαι, καταλιποῦσαν τὴν τοῦ σώματος διακονίαν, ἀναβᾶσαν δὲ εἰς θεωρίαν τῶν πνευματικῶν θεωρημάτων, γνησίως μέτελθε τὸ πρᾶγμα. κατάλιπε τὸ σῶμα, ἔασον γαστριμαργίαν, ὀψοποιίαν τε καὶ παρασκευήν. κάθισον δὲ παρὰ τοὺς πόδας τοῦ κυρίου, καὶ ἄκουσον αὐτοῦ τῶν λόγων, ἵνα κοινωνὸς γένῃ τῶν τῆς θεότητος μυστηρίων. ἡ γὰρ θεωρία τῶν ἰησοῦ μαθημάτων ἀναβέβηκε τοῦ σώματος τὴν διακονίαν. ἔλαβες τοίνυν ἀγαπητὲ τὰ ὑποδείγματα καὶ τὴν ἀπόδειξιν. ζήλωσον ὃ θέλεις, ἢ διάκονος ἔσο πτωχῶν, ἐραστὴς δογμάτων χριστοῦ. εἰ δὲ δύνασαι ἀμφότερα ζηλῶσαι, ἑκατέρωθεν ἀποφέρῃ τὸν καρπὸν τῆς σωτηρίας. πρῶτος μέντοι ἐστὶν ὁ πνευματικὸς λόγος, τὰ δὲ λοιπά, πάντα δεύτερα. μαρία γάρ φησι τὴν ἀγαθὴν μερίδα ἐξελέξατο. ἂν τοίνυν καὶ σὺ θέλῃς μύστης εἶναι χριστοῦ, παρακάθεζε μὲν αὐτοῦ τοῖς ποσί, δέχου δὲ αὐτοῦ τὸ εὐαγγέλιον, καταλείψας αὐτοῦ ὅλον τὸν βίον, καὶ ἀμέριμνος διάξεις. ἐπιλανθάνου δὲ καὶ τοῦ ἰδίου σώματος, καὶ οὕτω δυνήσῃ προσδιαλέγεσθαι αὐτοῦ τοῖς θεωρήμασιν, ἵνα ζηλώσῃς μαρίαν, καὶ τὴν ἀνωτάτω καρπώσῃ δόξαν. προσευχόμενος δέ, ὅρα μὴ ἄλλα ἀντ' ἄλλων αἰτήσῃς καὶ παροργίσῃς τὸν κύριον, μὴ χρήματα, μὴ δόξαν ἀνθρωπίνην, μὴ δυναστείαν, μὴ ἄλλο τι τῶν παρερχομένων. ἀλλ' αἴτει τὴν βασιλείαν τοῦ θεοῦ, καὶ πάντα τὰ πρὸς τὴν χρείαν τοῦ σώματος, αὐτός σοι παρέξει, καθώς φησιν αὐτὸς ὁ κύριος· ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. προσευχῆς δὲ ἀγαπητέ, δύο εἰσὶ τρόποι. ὁ μὲν, ὁ τῆς δοξολογίας μετὰ ταπεινοφροσύνης. δεύτερος δὲ ὁ τῆς αἰτήσεως ὑποβεβηκώς. προσευχόμενος οὖν μὴ εὐθέως ἐπὶ αἴτησιν ἔρχου. εἰ δὲ μή γε, διαβάλλεις σου τὴν προαίρεσιν,

τοῦ αὐτοῦ ἀσκητικὴ διάταξις πρὸς τοὺς ἐν κοινοβίῳ καὶ καταμόνας ἀσκοῦντας. α.

Τὴν κατὰ χν φιλοσοφίαν ἐπανελόμενος, καὶ τῶν βιωτικῶν ἐπιθυμιῶν τε καὶ ἡδονῶν, καὶ φροντίδων ἀνώτερον ἄρας τὸ φρόνημα, καὶ τῶν σαρκικῶν παθημάτων τὸν λογισμὸν, ἐκ παντὸς τρόπου χωρίζειν καὶ ἀποκρίνειν ἐσπουδακώς. πολλάκις μὲν πρὸς ἡμᾶς πολλοὺς ἐποιήσω λόγους, πυνθανόμενος, τίνα τρόπον δέοι τὴν τοῦ ἀγῶνος οὕτω πᾶσιν ἐλάσαι. μηδαμοῦ ταῖς σαρκικαῖς ἐπιθυμίαις ταῖς διὰ τοῦ σώματος παρεισιούσαις ἐπὶ τὴν ψυχὴν ἁλισκόμενον. καὶ τί μὲν πρῶτον ὡς μάλιστα παραφυλακτέον, τί δὲ μετὰ τὸ πρῶτον. τίνα δὲ τῶν καλῶν ζηλωτέον. ὥστε τῇ μὲν παραφυλακῇ φυγεῖν τὴν τῶν ἀτόπων ἐνέργειαν. τῷ δὲ ζήλῳ κατορθῶσαι τὴν τῶν καλῶν πρᾶξιν. ἔπειτα μέντοι ἠξίους καὶ ἔγγραφόν σοι τῆς ἡμετέρας περὶ τούτου συμβουλῆς γενέσθαι τὴν ἔκθεσιν. τούτου χάριν καὶ αὐτοὶ προὐχόμενοι τὸν ἀγαθόν σου ζῆλον μὴ παριδεῖν, ἀλλὰ καὶ τὸν ἐνόντα τρόπον ταῖς παρ' ἑαυτῶν ὑποθήκαις ὑποστηρίξαι καὶ βεβαιώσασθαι. οὐχ ὡς ἀρκοῦντα πρὸς τὴν ὑπόθεσιν παρεχόμενοι λόγον, ἀλλ' ὡς τὸν ὄντα μὴ κατακρύπτοντες, ὥσπερ τινὶ χώματι τῇ σιγῇ, καὶ ταύτῃ φεύγοντες τὴν ἐπὶ τῷ κατακρύψαντι τὸ τάλαντον εἰς τὴν γῆν, ἠπειλημένην δίκην. πρόφασις μὲν οὖν ὡς τὰ πολλὰ τοῖς ἀνθρώποις τοῖς περὶ τὰς κοσμικὰς ἐπιθυμίας τε καὶ ἡδονὰς καὶ φροντίδας, ὁ γάμος. οὔτε γὰρ τῆς τοῦ θήλεος ἐπιθυμίας ἀνδράσιν, ἢ γυναιξὶ τῆς τοῦ ἄρρενος σφοδροτέραν καὶ βιαιοτέραν εὕροις ἂν ἐγκειμένην τῇ φύσει τοῦ σώματος καὶ μάλα γε εἰκότως, οἷα δὴ περὶ τὴν τῶν ἐκγόνων βλάστησιν συνίστασθαι πεφυκυῖαν, ὃς κυριωτάτην ἔχων ἐνέργειαν, ἤμελλε καὶ τὴν ῥύμην σφοδροτέραν ἐπάγεσθαι. οὔτε φροντίδας βαρυτέρας ἀνθρώποις παρεισπιπτούσας, τῶν διὰ τὴν συζυγίαν ἀθρόως ἐμπιπλαμένων, καθὼς Παῦλός φησιν. ὁ γαμήσας, μεριμνᾷ τὰ τοῦ κόσμου τὰς φροντίδας ἐπικεχειρισμένος. ὁ μὲν γὰρ μόνος, ἑαυτοῦ μόνου καὶ τῶν οἰκείων τοῦ σώματος ἀναγκαίων ἀνάσχοιτο ἂν, ἢ ἴσως καὶ περιφρονήσει τούτοις, ἑαυτὸν εἰς τοῦτο πείθειν ἀκόλως δυνάμενος. ὁ δὲ γαμετῆς καὶ παίδων ἐπιμελούμενος, οὐκ ἔτι τῆς οἰκείας γνώμης κύριος γίνεται, ἀλλὰ ἀνάγκην ἔχει ταύτῃ τὰ καθ' ἡδονὰς πράττειν, καὶ περὶ τὴν τῶν παίδων ἐπιμέλειαν ἀσχολούμενος, πολλὴν ἄβυσσον ἐμπιπλᾶσθαι φροντίδων, ἃς καταλέγειν, μακρότερον ἂν εἴη, ἢ κατὰ τὸν παρόντα καιρόν. ὁ τοίνυν τῶν τοῦ κόσμου δεσμῶν ἐλεύθερος εἶναι γλιχόμενος, τὸν γάμον ὥσπερ τινὰς πέδας ἀπέφυγε, τοῦτον δὲ ἀποφυγὼν, τὸν ἑαυτοῦ βίον ἀνέθηκε θεῷ, καὶ τὴν ἁγνείαν καθωμολόγησεν. ὡς μήτε ἄδειαν ὑπάρχειν αὐτῷ τῆς ἐπὶ τὸν γάμον ἐπαναστροφῆς, ἀλλ' ἔχεσθαι αὐτὸν ἐκ παντὸς τρόπου τῶν ὑπὲρ τῆς ἁγνείας ἀγωνισμάτων φύσει προσπαλαίοντα, καὶ ταύτῃ ταῖς βιαιοτέραις ὁρμαῖς. ἐραστὴς γὰρ ὁ τοιοῦτος τοῦ θεοῦ καταστὰς, καὶ τῆς ἐκείνου ἀπαθείας, κατὰ γοῦν τὸ σμικρότατον καταλαβεῖν ἐφιέμενος, καὶ τῆς πνευματικῆς ἁγιότητος, γαλήνης τε καὶ ἀταραξίας, καὶ ἡμερότητος, καὶ τῆς ἐκ τούτων τικτομένης εὐφροσύνης τε καὶ χαρᾶς ἐπιθυμῶν ἀπογεύσασθαι. παντὸς μὲν ὑλικοῦ καὶ σωματικοῦ πάθους τὴν ψυχὴν ἐπιθολοῦντος, πόρρω τοὺς λογισμοὺς ἀπάγειν ἐσπούδακε. καθαρῷ δὲ καὶ ἀνεπισκιάστῳ ὄμματι τῆς ψυχῆς, τὰ θεῖα περιαθρεῖ. ἀπλήστως τοῦ ἐκεῖθεν φωτὸς ἐμφορούμενος. εἰς τοιαύτην τε ἕξιν καὶ κατάστασιν τὴν ψυχὴν διαβιβάσας, οἰκειοῦται κατὰ τὴν ἐγχωροῦσαν ὁμοίωσιν τῷ θεῷ. ἐπέραστός τε καὶ ποθεινότατος αὐτῷ γίνεται. οἷα δὴ μέγαν τινὰ ἆθλον καὶ δυσήνυτον ἀνατλὰς, καὶ ἐκ τῆς κατὰ τὴν ὕλην συγκράσεως δυνηθεὶς ἀκραιφνεῖ καὶ κεχωρισμένῃ τῇ διανοίᾳ τῆς τῶν σωματικῶν ἐπιμιξίας παθῶν προσομιλῆσαι θεῷ. οὐκοῦν πρέπον τε καὶ ἀκόλουθον, τὸν εἰς τοιαύτην ἕξιν διὰ τῆς προειρημένης ἀσκήσεως ἀνελθόντα, μὴ κατασπᾶσθαι πάλιν διὰ τῶν τῆς σαρκὸς ἐρεθισμῶν πρὸς κοινωνίαν τῶν ἐκείνης παθῶν. μηδὲ τοὺς ἐκεῖθεν ἀτμοὺς ἀνιόντας δεχόμενον, ὥσπερ ἀχλύϊ τινὶ βαθυτέρᾳ ἀμαυροῦσθαι τὸν τῆς ψυχῆς ὀφθαλμὸν, καὶ ἀποπίπτειν τῆς θείας καὶ πνευματικῆς θεωρίας, ἀπὸ τοῦ καπνοῦ τῶν παθημάτων τὸ βλέμμα τοῦ λογισμοῦ δριμυσσόμενον.

α΄ Τοῦ αὐτοῦ διατάξεις πρὸς τοὺς ἐν κοινοβίῳ, καὶ κατὰ μόνας ἀσκοῦντας.

β΄ Περὶ τοῦ δεῖν τὴν ἀρχὴν περιποιεῖσθαι πάντων.

γ΄ Περὶ τῆς τῶν λογισμῶν ἐπιστάσεως, καὶ ὅτι οὐ κακὸν τὸ σῶμα, ὅστινες ὑπειλήφασιν.

δ΄ Ὅτι οὐ δεῖ τὰς τῶν γυναικῶν συντυχίας ἀφυλάκτως ποιεῖσθαι.

ε΄ Ὅτι δεῖ τῇ δυνάμει τοῦ σώματος μετρεῖν τὴν ἐγκράτειαν, καὶ ὅτι καλὸν καὶ σύννομος ἡ τοῦ σώματος ἐργασία.

ϛ΄ Ὅτι προσήκει τὸν ἀσκητὴν ἔργα ἐπιτηδεύειν τὰ πρέποντα.

ζ΄ Ὅτι οὐ χρὴ πᾶσιν ἀνθρώποις ἀφυλάκτως συνδιατρίβειν τὸν ἀσκητήν.

η΄ Ὅτι οὐ χρὴ συχνὰς καὶ ἀβασανίστους ποιεῖσθαι τὰς προόδους.

θ΄ Ὅτι οὐ χρὴ τοῖς ἀποστατοῦσι τῶν ἀσκητῶν μεταδιδόναι θάρσους, καὶ παρρησίας, ἀλλὰ καὶ τούτους φυλάττεσθαι.

ι΄ Ὅτι κλήρων ἢ προστασίας ἀδελφῶν οὐδαμῶς ἐφίεσθαι προσήκει τὸν ἀσκητήν.

ια΄ Ὅτι οὐ χρὴ πρὸς κενοδοξίαν βλέποντα ζηλοῦν τὰ καλά.

ιβ΄ Περὶ ἀκακείας λόγων.

ιγ΄ Ὅτι οὐ χρὴ πρὸς εὐτραπελίαν βλέπειν τὸν ἀσκητήν.

ιδ΄ Περὶ πραότητος, καὶ τίνα τρόπον ἀγάπη συνίσταται.

ιε΄ Περὶ φρονήσεως.

ιϛ΄ Περὶ πίστεως καὶ ἐλπίδος.

ιζ΄ Περὶ ταπεινοφροσύνης.

ιη΄ Κατὰ πόσους τρόπους οἱ πονηροὶ λογισμοὶ συνίστανται.

ιθ΄ Πρὸς τοὺς ἐν κοινοβίῳ κανονικούς.

κ΄ Ὅτι χρὴ τὸν ἀσκητὴν βεβαίᾳ κρίσει προσιέναι τῇ ἀσκήσει· καὶ περὶ ὑπακοῆς.

κα΄ Ὅτι οὐ χρὴ τὰς πρὸς τοὺς βιωτικοὺς συγγενεῖς μεταδιώκειν ὁμιλίας, ἢ τὰ ἐκείνων φροντίζειν.

κβ΄ Ὅτι οὐ δεῖ τῆς πνευματικῆς ἀδελφότητος ἀποκόπτεσθαι.

κγ΄ Περὶ ὑπακοῆς πληρέστερον.

κδ΄ Ὅτι καὶ τὰ εὐτελῆ τῶν ἔργων μετὰ πολλῆς προθυμίας αἱρεῖσθαι προσήκει τὸν ἀσκητήν.

κε΄ Ὅτι οὐ χρὴ τιμὰς καὶ πρεσβείας ἐπιζητεῖν τὸν ἀσκητήν.

κϛ΄ Περὶ τῆς κατὰ τὰ βρώματα ἀτυφίας καὶ ἁπλότητος.

κζ΄ Ὅτι τὸν πρὸς τὸ τέλειον βλέποντα, οὐδὲν ἡ πρόοδος παραβλάψαι δυνήσεται.

κη΄ Ὅτι οὐ χρὴ ἰδίας ἀσχολίας ἔχειν τὸν ἀσκητήν.

κθ΄ Ὅτι χρὴ τὸν προεστῶτα πατρικῇ εὐνοίᾳ τὰ κατὰ τοὺς ὑπηκόους οἰκονομεῖν.

λ΄ Ὅτι οὐ χρὴ ἑταιρείας δύο ἢ τριῶν ἀδελφῶν ἐν συστήματι ἀσκητικῷ γίνεσθαι.

λα΄ Ὅτι οὐ χρὴ ἐνδυμάτων ἢ ὑποδημάτων ἐκλογὴν ἐπιζητεῖν τὸν ἀσκητήν.

λβ΄ Ὅτι δεῖ τὸν προεστῶτα ἀνάλογα τῆς τοῦ σώματος δυνάμεως ὁρίζειν τὰ ἐπιτάγματα, καὶ περὶ τῶν ἀποκρυβόντων τὴν ἑαυτῶν δύναμιν.

λγ΄ Ὅτι οὐ δεῖ τοὺς ἀδελφοὺς λυπεῖσθαι τῶν ἀσθενεστέρων φειδοῦς ἀξιουμένων.

λδ΄ Ὅτι οὐ χρὴ τοὺς προεστῶτας τοῖς ἀποστατοῦσι τοῦ οἰκείου ἀθροίσματος ἀσκηταῖς, παρρησίας μεταδιδόναι, ἢ τούτους εἰς κοινωνίαν βίου δέχεσθαι.

λε΄ Ὅτι οὐ χρὴ τὸν ἐν συστήματι πολιτευόμενον ἀσκητὴν, ἰδίᾳ τι κεκτῆσθαι τῶν ὑλικῶν ε-

Ἐπιτίμια εἰς τὰς κανονικάς.

Ἡ ὀμόσασα τὸν τυχόντα ὅρκον, ἀφοριζέσθω ἑβδομάδας δύο.

Ἡ βλασφημήσασα τῶν πρεσβυτίδων τινὰ τῶν πεπιστευμένων, διατυπῶσαί τι ἐν τῷ ἀσκητηρίῳ, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ καταλαλοῦσα ἀδελφῆς λέγουσά τι σκοπῷ τοῦ διαβάλλειν αὐτήν, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ ὑβρίσασα τινὰ ὕβριν τὴν τυχοῦσαν, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ κατὰ ἀπούσης ἀδελφῆς λέγουσα σκοπῷ ἐκτὸς τῶν πρεσβυτίδων τῶν πεπιστευμένων οἰκονομεῖν, ἥτις ἄλλη δὲ εἴσηκοιτο ψιθυρίζουσα, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἥτις χωρὶς ἀναγκαίας χρείας ἄκαιρον ὁμιλίαν προβαλλομένη ἀργολογεῖ, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἥτις δὲ γέλωτα φθέγγεται, ἢ γελῶσα ἀπρεπῆ, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἥτις ἐν τῷ ἔργῳ τῆς διακονίας οὖσα, καὶ ἀναγκαίαν χρείαν ἔχουσα ὁμιλήσει τῇ πλησίον, ἢ μετὰ κραυγῆς ἢ θρασυλογίας, ἀφοριζέσθω ἑβδομάδα μίαν.

Ἥτις ἀντέχεται τῆς ἐπικατα γινωσκομένης ἐπὶ πλάσματι, παρὰ τῶν μετὰ δοκιμασίας οἰκονομεῖν καὶ διατυπεῖν πεπιστευμένων, συναφοριζέσθω ἐκείνῃ ᾗ ἀντέχεται, ἑβδομάδας δύο.

Ἥτις τινὶ τῶν ἔξωθεν ἐπεισερχομένων ὁμιλήσει πρὶν ἐπιτραπεῖ παρὰ τῆς τὴν φροντίδα ἐμπεπιστευμένης ἐν πάσῃ ἐξουσίᾳ ἀταξίας, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἥτις δὲ εἴσηκοιτο γογγύζουσα ἐν τῇ στενοχωρίᾳ τῶν πρὸς τὴν χρείαν ἢ ἐν τῷ καμάτῳ τῶν ἔργων, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ ἀντιπίπτουσα τῷ προστάγματι τῶν πεπιστευμένων τὴν φροντίδα, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ καταφρονητικῶς μετὰ δεῖθον ἡσυχίας μὴ πληροῦσα τὸ ἐπίταγμα, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ θέλουσα καλλωπίζεσθαι μετὰ μίαν καὶ δευτέραν νουθεσίαν, ἐπὶ τοῦ προεστῶτος ἐλεγχέσθω.

Ἡ αὐθαδῶς γνώμης τῶν πεπιστευμένων τὴν φροντίδα, εἰς μητέρα ἢ εἰς ἀδελφὴν ἀπελθοῦσα, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ ἐννεύσασα ὀφθαλμοῦ σχήματι πονηρῷ, λυποῦσα τῇ πλησίον, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἡ μετὰ τὴν ἀπόλυσιν τῶν συνάξεων ὁμιλοῦσα τινὶ τῶν ἔξω γυναικῶν, ἀφοριζέσθω ἑβδομάδας δύο.

Ἡ ἀφ' ἔργου εἰς ἕτερον ἔργον μεταβαίνουσα χωρὶς ἐπιταγῆς τῶν ἐχόντων τὴν φροντίδα, ἀφοριζέσθω ἑβδομάδα μία.

Ἥτις τὸ ἐπιτίμιον ἀποβάλλοιτο, ἢ ἀντιλέγει, ἢ γογγύζει μὴ γνωρίζουσα τὸ ἑαυτῆς ὄφελος ἐν τῇ διορθώσει, ἀφοριζέσθω ἑβδομάδας δύο.

ἘΠΙΤΙΜΙΑ.

α΄. Εἴ τις ὑγιαίνων τῷ σώματι ἀμελοίη τῶν προσευχῶν, ἢ τῆς ἐκμαθήσεως τῶν ψαλμῶν, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις· οὗτος ἀφοριζέσθω, ἢ νηστευέτω ἑβδομάδα μίαν.

β΄. Εἴ τις ἐλέγχοιτο ἐπὶ πταίσματι μετὰ ἀγάπης, καὶ μὴ καταδέχοιτο τὸν ἔλεγχον, μετὰ πάσης εὐλαβείας παρακαλῶν, καὶ αἰτῶν συγγνώμην ἐφ' οἷς ἐπλημμέλησε, καὶ αὐτὸς ἀφοριζέσθω ἑβδομάδα μίαν.

γ΄. Εἴ τις συγγνῷ τινὶ ἁμάρτημα, καὶ μὴ διορθώσηται αὐτόν· ἢ ἐλέγξει ἐν εἰρήνῃ μετὰ ἀγάπης τῆς ἐν Χριστῷ, ἀλλ' ἐν λύπῃ ὡς θριαμβεύων μᾶλλον τὸν ἀδελφὸν, ἢ θεραπεύων τὸ αἴτιον τῆς ἁμαρτίας, καὶ αὐτὸς συναφοριζέσθω τῷ ἐλεγχομένῳ ἐπὶ τῷ ἁμαρτήματι, ἑβδομάδας δύο, ἐπειδὴ ὡς ἐχθρὸς καὶ οὐχ ὡς ἀδελφὸς ἤλεγξεν.

δ΄. Εἴ τις ὑβρίζοι ἢ ἀντιλέγοι ἐπιτασσόμενος παρὰ ἀδελφοῦ τὰ κατὰ δύναμιν, καὶ μὴ ὑπακούῃ μετὰ πάσης τῆς ἐν Χριστῷ χαρᾶς, ὡς πληροφορῶν αὐτόν· ὁμοίως ἀφοριζέσθω ἑβδομάδα μίαν.

ε΄. Εἴ τις ἀργολογοίη, ἢ εὐτραπελεύοιτο· μὴ φυλάσσων μετὰ φόβου καὶ τρόμου τὴν διδασκαλίαν τοῦ μακαρίου ἀποστόλου καὶ τῶν εὐαγγελίων, καὶ αὐτὸς ἀφοριζέσθω ἑβδομάδα μίαν.

ς΄. Εἴ τις πλὴν τοῦ ναὶ καὶ τοῦ οὒ ἄλλον ὀμνύῃ ὅρκον, καὶ αὐτὸς ἀφοριζέσθω ἑβδομάδα μίαν.

ζ΄. Εἴ τις συγγνῷ τινὶ ἀδελφῷ πταίσαντι, καὶ μετὰ τὸ παρελθεῖν ὀνειδίζοι, ὡς παραδειγματίζων, καὶ αὐτὸς ὡς ἀσυμπαθὴς καὶ ἐπιχαιρέκακος, ἀφοριζέσθω ἑβδομάδα μίαν.

η΄. Εἴ τις συγγνῷ τινὶ ἁμάρτημα, καὶ ὁρᾷ αὐτὸν ἀδιαφόρως φέροντα· καὶ μὴ μετὰ συντριμμοῦ καρδίας, καὶ πολλῶν δακρύων ἐξιλεούμενον τὸν κύριον, παρακαλείτω καὶ ὑπομιμνησκέτω αὐτὸν μετανοεῖν καὶ ἐπιδείκνυσθαι ἔργα μετανοίας. εἰ δὲ τούτων γινομένων ἀμελοίη τῆς ἑαυτοῦ σωτηρίας, χωριζέσθω ὁ τοιοῦτος τῆς συνοδίας παντελῶς. μικρὰ γὰρ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, κατὰ τὸν εἰπόντα ἅγιον.

θ΄. Εἴ τις περιέρχοιτο παρὰ τὰς ἀναγκαίας χρείας περιάγων ἀκαίρως, ἀφοριζέσθω ὁ τοιοῦτος, ἵνα ἡσυχάζωσιν ἐν οἴκῳ οἱ πόδες αὐτοῦ, καθὼς γέγραπται.

ι΄. Εἴ τις ὀργισθῇ εἰκῆ, καὶ μὴ παραχρῆμα παρακαλέσει τὸν ἀδελφὸν ὃν ἐλύπησεν, ὅπως ἀφῇ αὐτῷ τὴν ἁμαρτίαν ἣν ἥμαρτεν εἰς αὐτὸν, ἀφοριζέσθω καὶ αὐτὸς ἑβδομάδα μίαν.

ια΄. Εἴ τις ὑβρισθείη παρὰ ἀδελφοῦ, καὶ παρακληθεὶς ὑπὸ τῆς συνοδίας, μὴ συγ-
» χωρήσει τὸ ἁμάρτημα, μνημονεύσας τοῦ λέγοντος· ἐάν τις πρός τινα ἔχῃ μεμφὴν
» καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο, καὶ αὐτὸς ὁμοίως ἀφοριζέσθω ἑβδομάδα μίαν.

Ἐρώτησις, τι´.

Εἰ χρὴ εἰς κοινὸν οἶκον προσκομιδὴν γίνεσθαι.

Ἀπόκρισις.

Ὥσπερ οὐδὲν κοινὸν σκεῦος ἐπιτρέπει ὁ λόγος εἰσφέρεσθαι εἰς τὰ ἅγια, οὕτως οὐδὲ τὰ ἅγια εἰς κοινὸν οἶκον ἐπιτελεῖσθαι. τῆς παλαιᾶς διαθήκης φανερῶς περὶ πράγματι θεοῦ μηδὲν τοιοῦτον ἐπιτρεπούσης γίνεσθαι. τοῦ κυρίου λέγοντος, πλεῖον τοῦ ἱεροῦ ὧδε. καὶ τοῦ ἀποστόλου λέγοντος, μὴ γὰρ οἰκίας οὐκ ἔχετε, εἰς τὸ ἐσθίειν καὶ πίνειν; τί εἴπω ὑμῖν, ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; οὐκ ἐπαινῶ. ἐγὼ γὰρ παρέδωκα ὑμῖν ὃ καὶ παρέλαβον. καὶ τὰ ἑξῆς. ἐξ ὧν παιδευόμεθα μήτε τὸ κοινὸν δεῖπνον ἐν ἐκκλησίᾳ ἐσθίειν καὶ πίνειν, μήτε τὸ κυριακὸν δεῖπνον ἐν οἰκίᾳ καθυβρίζειν, ἐκτὸς εἰ μὴ ἐν ἀνάγκῃ ἐπιλέξηταί τις καθαρώτερον τόπον, ἢ οἶκον ἐν καιρῷ εὐθέτῳ.

Ἐρώτησις, τια´.

Εἰ χρὴ εἰς ἐπίσκεψιν ἀπέρχεσθαι ἐπιζητούντων τινῶν.

Ἀπόκρισις.

Τὸ μὲν ἐπισκέπτεσθαι ἀρεστὸν θεῷ. δεῖ δὲ τὸν ἐπισκεπτόμενον συνετὸν εἶναι ἀκροατὴν, καὶ φρόνιμον ἐν ταῖς ἀποκρίσεσι. πληροῦντα τὸ εἰρημένον. ἔστω ὁ λόγος ὑμῶν ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. τὸ δὲ ἢ διὰ συγγένειαν, ἢ διὰ φιλίαν, ἐπίσκεψιν ποιεῖσθαι, ἀλλότριον τοῦ ἡμετέρου ἐπαγγέλματος.

Ἐρώτησις, τιβ´.

Εἰ χρὴ τοὺς ἐπισκεπτομένους λαϊκοὺς περιτρέπεσθαι εἰς εὐχήν.

Ἀπόκρισις.

Εἰ φίλοι εἰσὶ θεοῦ, ἀκόλουθον. τοῦ ἀποστόλου γράψαντος αὐτοῖς, προσεύχεσθαι καὶ περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, μετὰ παῤῥησίας λαλῆσαι τὸ μυστήριον τοῦ θεοῦ.

Ἐρώτησις, τιγ´.

Εἰ χρὴ ἐργάζεσθαι, ἐπισκεπτομένων τινῶν.

Ἀπόκρισις.

Οὐδὲν τῶν κατ' ἐντολὴν γινομένων ἐκκόπτεσθαι χρὴ διὰ τοὺς ἐπεισερχομένους οὐκ οἰκείου καθήκοντος. εἰ μή τι ἂν ἰδιάζουσα ψυχῆς ἐπιμέλεια τὴν σωματικὴν σχολὴν κατ' ἐντολὴν τοῦ κυρίου παραδοκιμάζῃ. τῶν ἁγίων ἀποστόλων ἐν ταῖς πράξεσιν εἰπόντων. οὐκ ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις.

Τέλος.

Ἀπόκρισις.

Ἐὰν τὸ τοῦ ἐκλεκτοῦ δαΐδ φρόνημά τις ἀναλάβῃ εἰπόντος, ποτὲ μὲν, προωρώμην τὸν κύριον
» ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ· ποτὲ δὲ, ὅτι οἱ ὀφθαλμοί
» μου διαπαντὸς πρὸς τὸν κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου· ποτὲ δὲ, ἰδοὺ,
» ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας
» τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν. καὶ ἵνα τῷ ἐλάτ-
τονι παραδείγματι σπουδαιότερον τὰ μείζονα κατορθοῦν φροντίσωμεν, ἕκαστος ἑαυτῷ
λογιζέσθω, οἷός ἐστιν ἐνώπιον τῶν παρόντων, κἂν ἰσότιμοι τυγχάνωσι, πῶς τὸ ἀκατάγνω-
στον ἑαυτῷ σπουδάζει κατορθῶσαι καὶ ἐν στάσει, καὶ ἐν περιπάτῳ, καὶ ἐν κινήματι παντὸς
μέλους, καὶ ἐν φθέγματι· ὥσπερ δὲ τὰ ἀνθρώποις φυλάσσειν σπουδάζομεν, οὕτω καὶ πο-
λὺ πλέον, ἐάν τις τὸν θεὸν πληροφορηθῇ ἔχειν ἐπόπτην, ἐτάζοντα καρδίας καὶ νεφροὺς κα-
» τὰ τὸ γεγραμμένον. καὶ τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ πληροῦντα τὴν ἐπαγγελίαν. οὗ ἐὰν ὦ-
» σι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ τὸ ἅγιον πνεῦμα ἐ-
πισταμένου καὶ μερίζοντα τὰ χαρίσματα, καὶ ἐνεργοῦν, καὶ τοὺς ἀγγέλους παρατηρητὰς ἑκά-
» στου κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ κυρίου, ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων.
» λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν τῷ οὐρανῷ διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ
» πατρός μου τοῦ ἐν οὐρανοῖς, πολυπλασίονα καὶ σφοδρότερον ἀγῶνα ἔχει. ὅπως τὸ ἀρεστὸν τῷ
θεῷ εὐσέβειαν κατορθώσῃ. καὶ οὕτω τὸ ἀμετεώριστον σφοδρότερον καὶ ἀκριβέστερον βεβαιοῦ-
» ται. ἔτι δὲ καὶ ἐὰν σπουδάσῃ πληρῶσαι τὸ, εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ. διαπαντὸς ἡ
» αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. καὶ τὸ, μελετήσει ἐν τῷ νόμῳ αὐτοῦ ἡμέρας καὶ νυκτὸς, ἵ-
να τῇ ὁμαλῇ καὶ διηνεκεῖ μελέτῃ, καὶ θεωρίᾳ τῶν θελημάτων, καὶ τῶν δοξῶν τοῦ θεοῦ
μὴ ἀφῇ ὁ νοῦς καιρὸν μετεωρισμοῦ.

Ἐρώτησις, τζ.

Εἰ χρὴ διὰ ἐμμελείας ἀπεύχεσθαι τῆς ψαλμῳδίας, ἢ τῆς προσευχῆς.

Ἀπόκρισις.

Τοῦτο ἐν τῷ πλήθει τῶν ἀξίων φυλαξάτω τὴν εὐταξίαν, ἵνα μήτε εὐτελὲς, καὶ ἀδιάφο-
ρον τὸ πρᾶγμα νομισθῇ. μήτε μὴν ἡ ὁμαλότης ἐφ' ἑνὸς καὶ δευτέρου προσώπου, ὑπερη-
φανίας τοῦ ἡγουμένου καὶ καταφρονήσεως τῶν λοιπῶν δῷ ὑποψίαν.

Ἐρώτησις, τη.

Εἰ χρὴ ἐν ἀδελφότητι τὸν διδόντα τι ἀμείβεσθαι, καὶ εἰ κατὰ
ἀναλογίαν τοῦ δόματος ποιεῖσθαι τὴν ἀντίδοσιν.

Ἀπόκρισις.

Τοῦτο ὅλον τὸ ἐρώτημα ἀνθρώπινον. εἰ δὲ χρὴ εὐγνωμοσύνης διδόναι ἀπόδειξιν, ἐν τῷ οἰκο-
νομοῦντι ἀποκείσθω ἡ δοκιμασία καὶ τοῦ λαμβάνειν τὰ διδόμενα, καὶ τοῦ ἀμείβεσθαι τὸν
διδόντα.

Ἐρώτησις, τθ.

Εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ χρὴ τολμᾶν
εἰς κοινωνίαν τῶν ἁγίων παρέρχεσθαι.

Ἀπόκρισις.

Κρείττονα τῆς φύσεως, καὶ τῆς συνηθείας ἔδειξεν ὁ ἀπόστολος εἶναι τὸν ἐν τῷ βαπτισμῷ
συνταφέντα χριστῷ, ποτὲ μὲν εἰπὼν ἐν τῷ τύπῳ τοῦ ἐν ὕδατι βαπτίσματος τόπῳ μετὰ τὰ
» προειρημένα. τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα κα-
» ταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. ποτὲ δὲ παραγγέ-
λλων. νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐ-
πιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ
» ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. ποτὲ δὲ ὀρθότερον ἐνθέμενος, ἐν τῷ εἰπεῖν. οἱ δὲ τοῦ χριστοῦ τὴν σάρκα
» ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. ἐγὼ δὲ ἔγνων, ὅτι ταῦτα κατορ-
θοῦται χριστοῦ χάριτι καὶ ἐν ἀνδράσι καὶ ἐν γυναιξὶ, πίστει τῇ εἰς τὸν κύριον γνησίᾳ. τὸ δὲ ἐν ἀκαθαρ-
σίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις, καὶ ἐκ τῆς παλαιᾶς διαθήκης φοβερώτερον διδασκόμε-
θα τὸ κρίμα. εἰ δὲ πλεῖον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δηλονότι παιδεύσει ἡμᾶς ὁ ἀπόστο-
λος εἰπὼν, ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει.

Ἐρώτησις, τγʹ.

Εἰ χρὴ τοῖς παρὰ πάντων λεγομένοις ὑπακούειν ἐν ἀδελφότητι.

Ἀπόκρισις.

Τὸ ἐρώτημα τοῦτο πολλὴν διαφορὰν ἔχει τῆς ἀποκρίσεως. πρῶτον μὲν ὅτι ἀταξίας ἔμφασιν φανερῶς δίδωσιν ἐν τῷ παρὰ πάντων λέγεσθαί τι· τοῦ ἀποστόλου λέγοντος, προφῆται δὲ δύο, ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν· καὶ τοῦ αὐτοῦ ἐν τοῖς μερισμοῖς τῶν χαρισμάτων, ἴδιον ἑκάστου τῶν λαλούντων τὸ τάγμα τάξαντος, ἐν τῷ εἰπεῖν, ἑκάστῳ, ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως· καὶ ἐν τῷ ὑποδείγματι τῶν μελῶν τοῦ σώματος σαφῶς μὲν παριστῶντος ἐν μέρει εἶναι τὸ μέρος τοῦ λαλοῦντος. ἀκριβέστερον δὲ διακρινοῦντος ἐν τῷ εἰπεῖν, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει· καὶ τὰ λοιπά· ὡς δῆλον ἐκ τούτων εἶναι μὴ πάντα πᾶσιν ἐπιτετράφθαι· ἕκαστον δὲ ἐν ἰδίᾳ κλήσει μένειν καὶ κατορθοῦν ἐπιμελέστερον τὸ ὑπὸ τοῦ κυρίου πιστευθέν. δεῖ τοίνυν τὸν μὲν προεστῶτα τοῦ κοινοῦ, καὶ διατασσόμενον τοῖς πᾶσι, μετὰ πολλῆς δοκιμασίας ἐγχειρισθῆναι τὴν φροντίδα ταύτην, καὶ ἑκάστῳ κατὰ τὸ πρέπον ἐπαγρυπνεῖν τῇ μερίμνῃ, ὅπως εὐαρέστως τῷ θεῷ, καὶ ἐστοχασμένως τῆς ἑκάστου ἐπιτηδειότητός τε καὶ δυνάμεως πρὸς τὸ κοινῇ συμφέρον διατάσσηται, καὶ ἐπιτάσσῃ. τὸν δὲ ὑπήκοον τῆς εὐταξίας φυλαττομένης, καὶ τῆς ὑπακοῆς τὸ ἴδιον μέτρον γνωριζούσης, μεμνῆσθαι τοῦ κυρίου λέγοντος· τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει· κἀγὼ γινώσκω αὐτὰ καὶ ἀκολουθοῦσί μοι· κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς· καὶ προειπόντος, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. καὶ τοῦ ἀποστόλου λέγοντος· ὅτι εἴτις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ᾽ εὐσέβειαν διδασκαλίᾳ, τετύφωται μηδὲν ἐπιστάμενος. μετὰ δὲ τὰ ἑξῆς συμβαίνοντα ἐπαγαγόντος, ἀφίστασο ἀπὸ τῶν τοιούτων· καὶ πάλιν ἀλλαχοῦ, προφητείας μὴ ἐξουθενεῖτε, πάντα δοκιμάζετε, τὸ καλὸν κατέχετε. ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. ὥστε εἰ μέντι ἐστὶ κατ᾽ ἐντολὴν τοῦ κυρίου λεγόμενον, πρὸς τὴν ἐντολὴν κατευθυνόμενον κἂν θάνατον ἀπειλὴν ἔχῃ, ὑπακούειν χρή. εἰ δέ τι παρ᾽ ἐντολήν ἐστιν, ἢ τὴν ἐντολὴν παραβλάπτει, κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἤ τις τῶν ἀποστόλων ἐπιτάσσῃ, κἂν ζωῆς ἐπαγγελίαν ἔχῃ, κἂν θανάτου ἀπειλήν, οὐδαμῶς ἀνέχεσθαι χρή. τοῦ ἀποστόλου εἰπόντος· κἂν ἡμεῖς αὐτοί, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ᾽ ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

Ἐρώτησις, τδʹ.

Εἰ ἀπὸ τῶν παραδιδομένων τῇ ἀδελφότητι παρὰ τῶν οἰκείων θελόντων διδόναι, τί χρὴ δέχεσθαι;

Ἀπόκρισις.

Ἡ τούτου φροντὶς καὶ δοκιμασία ἀνήκει τῷ προεστῶτι. πλὴν, ὡς κατ᾽ ἐμὴν γνώμην, λογίζομαι ὅτι μᾶλλον ἀπρόσκοπόν ἐστι τοῖς πολλοῖς καὶ εἰς οἰκοδομὴν τῆς πίστεως ὠφελιμώτερον τὸ ἀποθέσθαι τὰς τοιαύτας χάριτας. ἐκ γὰρ τῆς ὑποδοχῆς, πρῶτον μὲν ὅτι συμβαίνει καὶ ὀνειδισμὸν κατὰ τοῦ κοινοῦ προενεχθῆναι πολλάκις. ἔπειτα, ὅτι καὶ ἐπάρσεως παρέχει πρόφασιν τῷ οἰκείῳ τῶν προσενεγκόντων. πρὸς τούτοις, ὅτι κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου ὑπὸ τῶν εἰς τὸ κοινὸν τὰ ἴδια ἐσθιόντων καὶ πινόντων γίνεται, τὸ καταισχύνειν τοὺς μὴ ἔχοντας· καὶ πολλὰ τοιαῦτα. τοσούτων δὲ προφάσεων εἰς ἁμαρτίαν ἐπισυμβαινουσῶν, καλόν ἐστι τὸ μὴ δέχεσθαι τὰ τοιαῦτα. ἐπιτρέπειν δὲ τῷ προεστῶτι δοκιμάζειν καὶ παρὰ τίνων χρὴ ληφθῆναι, καὶ πῶς δεῖ οἰκονομηθῆναι.

Ἐρώτησις, τεʹ.

Εἰ δεῖ λαμβάνειν παρὰ τῶν ἔξωθεν, ἢ κατὰ χάριν φιλίας, ἢ προκατειλημμένης συγγενείας;

Ἀπόκρισις.

Τοῦτο τὸ ἐρώτημα τὴν ὁμοίαν δύναμιν ἔχει τῷ ἐρωτήματι, εἰ παρὰ τῶν οἰκείων χρή τι λαμβάνειν.

Ἐρώτησις, τϛʹ.

Μετὰ ποίου τρόπου τὸ ἀμετάθετον κατορθοῦται;

ἐρώτησις, σϟη.

Εἰ τὰ καλὰ κατ' ἰδίαν ἀρέσκειαν ποιεῖν ὁ λόγος συγχωρεῖ.

Ἀπόκρισις.

Ὁ ἑαυτῷ ἀρέσκων, ἀνθρώπῳ ἀρέσκει. ἄνθρωπος γὰρ καὶ αὐτὸς ἕκαστος. ὥσπερ οὖν ἐστὶν ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ, ὁ τὴν ἑαυτοῦ πεποίθησιν δηλοῖ, οἷς ἐπιφέρει, καὶ ἀπὸ κυρίου ἀποστῇ ἡ ψυχὴ αὐτοῦ. οὕτω καὶ ὁ ἄλλῳ ἀρέσκων, ἢ κατ' ἰδίαν ἀρέσκειάν τι ποιῶν τῆς θεοσεβείας ἐκπίπτει. ποιοῦσι γάρ φησιν ὁ κύριος, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. καὶ ὁ ἀπόστολος δὲ ὁμολογεῖ, ὅτι εἰ ἔτι ἀνθρώποις ἤρεσκον, χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. σφοδροτέρα δὲ ἀπειλὴ φέρεται ἐν τῇ θεοπνεύστῳ γραφῇ λεγούσῃ, ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων.

ἐρώτησις, σϟθ.

Πῶς πληροφορηθῇ ἡ ψυχὴ ἀποστῆναι τῆς φιλοδοξίας;

Ἀπόκρισις.

Ὅταν ἀναπαύηται τοῦ κυρίου εἰπόντος, οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ τοῦ ἀποστόλου παραγγέλλοντος, ὅτι εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. ἵνα ὁ θεοσεβὴς μήτε τῆς παρούσης, μήτε τῆς μελλούσης δόξης ἀντιποιούμενος. τὴν δὲ πρὸς θεὸν ἀγάπην πάντων προτιμήσας παρρησίαν ἔχει εἰπεῖν μετὰ τῶν προειρημένων τό, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν. αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ εἰπόντος. ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου, καὶ ὅτι ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ. ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν, οὗτος ἀληθής ἐστιν.

ἐρώτησις, τ.

Τίς ὁ τρόπος τῆς ἐπιστροφῆς, ὅτι ὑπὸ ἀοράτου ἐστὶν ὁ λόγος.

Ἀπόκρισις.

Ὁ μὲν τρόπος τῆς ἐπιστροφῆς, ἐν ἐκείνῳ τῷ ἐρωτήματι δηλοῦται, ἐν τῷ πῶς ἀπὸ τῶν ἁμαρτημάτων ἐπιστρέφειν χρή. τὸ δὲ ὑπὸ ἀοράτου εἶναι τὸν λόγον, μνημονεύσωμεν τοῦ κυρίου, ὅτι οὐδέν ἐστι κρυπτόν, ὃ οὐ γνωσθήσεται. καὶ ὅτι ἐκ περισσεύματος τῆς καρδίας λέγει τὸ στόμα.

ἐρώτησις, τα.

Ἐὰν δὲ εἴπῃ ὅτι οὐ καταγινώσκει μου τὸ συνειδός; Ἀπόκρισις.

Τοῦτο καὶ ἐπὶ τῶν σωματικῶν παθῶν συμβαίνει. πολλὰ γάρ ἐστι πάθη, ἃ οὐκ ἐπαισθάνονται οἱ ἀσθενοῦντες. τῇ μέντοι γε τῶν ἰατρῶν σημειώσει πιστεύουσι μᾶλλον, ἢ τῇ ἑαυτῶν ἀναισθησίᾳ προσέχουσιν. οὕτω καὶ ἐπὶ τῶν τῆς ψυχῆς παθῶν, τουτέστιν ἐπὶ τῶν ἁμαρτημάτων, κἂν ἑαυτοῦ τις μὴ καταγινώσκοι, μὴ ἐπαισθανόμενος τοῦ ἁμαρτήματος, πιστεύειν μέντοι γε ὀφείλει τοῖς δυναμένοις πλέον ἰδεῖν τὰ ἐκείνου. τοῦτο δεικνύντων μὲν τῶν ἁγίων ἀποστόλων, ὅτε ἐν πληροφορίᾳ ὄντες τῆς ἑαυτῶν εἰλικρινοῦς πρὸς τὸν κύριον διαθέσεως καὶ ἀκούσαντες, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, τῷ λόγῳ τοῦ κυρίου ἐπίστευσαν μᾶλλον καὶ διεφέροντο λέγοντες, μήτι ἐγώ εἰμι κύριε. σαφέστερον δὲ ἡμᾶς τοῦ ἁγίου πέτρου διδάσκοντος, ὃς διὰ πύρρω μὲν ταπεινοφροσύνῃ παραιτεῖται τὴν ὑπηρεσίαν τοῦ δεσπότου θεοῦ καὶ διδασκάλου. πληροφορίᾳ δὲ τῆς ἀληθείας τῶν τοῦ κυρίου ῥημάτων ἀκούσας, ὅτι ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, λέγει, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν.

ἐρώτησις, τβ.

Εἰ χρὴ ἀπὸ τῆς οἰκονομίας διδόναι τοῖς ἐνδεέσι τῶν ἔξωθεν. Ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ, καὶ ὅτι οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. τὰ διατεταγμένα τοῖς ἀνακειμένοις θεῷ, οὐκ ἀναγκαῖον εἰς ἀδιαφόρους παραναλίσκειν. εἰ δὲ δυνατὸν γενέσθαι τὸ εἰρημένον ἀπὸ τῆς ἐπαινουμένης ἐν πίστει γυναικός, ὅτι ναὶ κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, ἐν τῇ τοῦ οἰκονόμου ἀνακείσθω δοκιμασίᾳ μετὰ κοινῆς τῶν μετ' αὐτὸν προεχόντων γνώμης. ἵνα ἐκ τοῦ πατρὸς ἅμα τοῦ, ὁ ἥλιος καθὼς γέγραπται ἀνατέλλῃ ἐπὶ πονηροὺς καὶ ἀγαθούς.

Ἐρώτησις, σϟδ'.

Ἐκ ποίας αἰτίας ἐκπίπτει τις τῆς διηνεκοῦς μνήμης τοῦ θεοῦ;

Ἀπόκρισις.

Ἐάν τις ἀμνήμων γένηται τῶν εὐεργεσιῶν τοῦ θεοῦ, καὶ ἀσυναισθήτως ἀχαριστῇ πρὸς τὸν εὐεργέτην.

Ἐρώτησις, σϟε'.

Ἐκ ποίων σημείων γνωρίζεται ὁ μετέωρος;

Ἀπόκρισις.

Ὅταν ἀμελῇ τις τῶν πρὸς εὐαρέστησιν θεοῦ. τοῦ προφήτου εἰπόντος, προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ.

Ἐρώτησις, σϟϛ'.

Πῶς πληροφορηθῇ ἡ ψυχή, ὅτι τῶν ἁμαρτημάτων καθαρεύει;

Ἀπόκρισις.

Ἐὰν καταμάθῃ τις ἐν ἑαυτῷ τὴν διάθεσιν τοῦ δαβὶδ εἰπόντος, ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην. ἢ καταμάθῃ εἰ κατόρθωσεν ἐν ἑαυτῷ τὸ παρὰ τοῦ ἀποστόλου προστεταγμένον, εἰπόντος. νεκρώσατε οὖν τὰ μέλη ὑμῶν, τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥ τις ἐστὶν εἰδωλολατρεία. δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ. οὕτω καὶ πλατύνων κατὰ παντὸς ἁμαρτήματος τὸ τοιοῦτον κρίμα ἐπήγαγεν, ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. ἵνα δὲ δυνηθῇ εἰπεῖν, ὅτι οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. γνωρίζει δέ τις ἑαυτὸν ἐν τοιαύτῃ διαθέσει καθεστῶτα, ἐὰν καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὴν αὐτὴν τοῖς ἁγίοις φερομένην συμπάθειαν ἀναλάβῃ. τοῦ μὲν δαβὶδ εἰπόντος. εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. τοῦ δὲ ἀποστόλου λέγοντος, τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; εἰ γὰρ κατὰ τὴν ἀλήθειαν τοῦ λόγου, ἡ ψυχὴ κρείττων ἐστὶ τοῦ σώματος, ὁρῶμεν δὲ ἐπὶ τοῦ σώματος ὅτι πᾶσαν μὲν ῥυπαρίαν σικχαίνομεν καὶ βδελυσσόμεθα. παντὸς δὲ σπαραγμοῦ καὶ πάσης ἐπιβουλῆς θεωρία συντριμμὸν καὶ λύπην ἐργάζεται τῇ καρδίᾳ, πόσῳ μᾶλλον ἀκόλουθον τὰ προειρημένα πάσχειν ἐπὶ τοῖς ἁμαρτάνουσι τὸν φιλόχριστον καὶ φιλάδελφον, ὅταν βλέπῃ τῶν ἁμαρτανόντων ὥσπερ ὑπὸ θηρίων τιτρωσκομένην τὴν ψυχήν, καὶ βεβρωσκομένην, καὶ ὥσπερ ἰχῶρας καὶ σηπεδόνας ἐπιφαίνουσαν. τοῦ μὲν δαβὶδ εἰπόντος, ὅτι αἱ ἀνομίαι μου ὑπερῇραν τὴν κεφαλήν μου. ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου, ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους. ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. τοῦ δὲ ἀποστόλου λέγοντος, ὅτι κέντρον τοῦ θανάτου ἡ ἁμαρτία ἐστίν. ὅταν οὖν ἢ ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασιν, ἢ ἐπ' ἀλλοτρίοις κατὰ τὰ προειρημένα ἐξ ἀρχῆς οὕτω διακειμένην καταμάθῃ τις ἑαυτοῦ τὴν ψυχήν, τότε πληροφορηθήτω ὅτι καθαρεύει ἀπὸ ἁμαρτίας.

Ἐρώτησις, σϟζ'.

Πῶς ἀπὸ τῶν ἁμαρτημάτων ἐπιστρέφειν χρή;

Ἀπόκρισις.

Ζηλώσαντα τὴν διάθεσιν τοῦ δαβίδ, πρῶτον μὲν λέγοντος, τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ. ἔπειτα δὲ ἐν τῷ διηγεῖσθαι τὸν τρόπον τοῦ ἕκτου ψαλμοῦ, καὶ δι' ἄλλων δὲ πολυτρόπως. διὰ δὲ τοῦ ἀποστόλου μανθάνοντα ταῦτα, ἃ ἐμαρτύρησε τοῖς κορινθίοις ὑπὲρ ἀλλοτρίου ἁμαρτήματος εἰπών. ὅτι ἡ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. καὶ τὰ ἰδιώματα τῆς λύπης ἐπενεγκών. ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν. ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν. ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. ὡς ἐκ τούτων δηλονότι, οὐ μόνον ἀναχωρεῖν χρὴ τῆς ἁμαρτίας, καὶ ὑπὲρ τῶν ἁμαρτανόντων ταῦτα πάσχειν, ἀλλὰ καὶ ἀφίστασθαι αὐτῶν τῶν ἁμαρτανόντων. τοῦ μὲν δαβὶδ καὶ τοῦτο δηλώσαντος ἐν τῷ εἰπεῖν. ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. τοῦ δὲ ἀποστόλου παραγγέλλοντος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Ἐρώτησις, σϟ.

Πῶς περισσεύει τις ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε;

Ἀπόκρισις.

Ἤτοι τὸ διδόμενον χάρισμα πολυπλασιάζων ἐν τῇ τῶν ἐλεγχομένων ὑπ' αὐτοῦ ὠφελείᾳ καὶ προκοπῇ, ἢ ἐκ συγκρίσεως τῶν ἀνθρωπίνων σπουδασμάτων τὸ πλεῖον τῆς σπουδῆς ἐπιδεικνύμενος ἐν τῷ ἔργῳ τοῦ κυρίου.

Ἐρώτησις, σϟα.

Τίς ἐστιν ὁ συντετριμμένος κάλαμος, ἢ τὸ τυφόμενον λίνον, καὶ πῶς τις τὸ μὲν οὐ κατεάξει, τὸ δὲ οὐ σβέννυσιν.

Ἀπόκρισις.

Συντετριμμένον μὲν κάλαμον λογίζομαι εἶναι τὸν ἐν πάθει τινὶ ποιοῦντα ἐντολὴν θεοῦ, ὃν κατεάσσειν καὶ ἀποκόπτειν οὐ χρή, ἀλλὰ μᾶλλον θεραπεύειν, ὡς ὁ κύριος ἐδίδαξεν εἰπών, » προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς. » καὶ ὁ ἀπόστολος παραγγέλλει λέγων, πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ » διαλογισμῶν. καὶ ἀλλαχοῦ· μηδὲν κατ' ἐρίθειαν, ἢ κενοδοξίαν. λίνον δὲ τυφόμενον, ὅταν τις ποιῇ τὴν ἐντολὴν μὴ διαπύρῳ ἐπιθυμίᾳ, καὶ τελείᾳ σπουδῇ· νωθρότερον δέ πως καὶ χαυνότερον, ὃν οὐ χρὴ παύειν· διεγείρειν δὲ μᾶλλον ὑπομνήσει τῶν κριμάτων τοῦ θεοῦ, καὶ τῶν ἐπαγγελιῶν αὐτοῦ.

Ἐρώτησις, σϟβ.

Εἰ χρὴ ἐν ἀδελφότητι παιδίων βιωτικῶν εἶναι διδάσκαλον;

Ἀπόκρισις.

Τοῦ ἀποστόλου εἰπόντος, οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐ» τὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. ἐὰν οἱ προσάγοντες ἐπὶ τοιούτῳ σκοπῷ προσάγουσι, καὶ οἱ δεχόμενοι πληροφορίαν ἔχουσιν, ὅτι δύνανται ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου ἐκθρέ» ψαι τὰ προσαγόμενα, φυλασσέσθω τὸ ὑπὸ τοῦ κυρίου προστεταγμένον εἰπόντος, ἄφετε τὰ » παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. ἄνευ δὲ τοῦ τοιούτου σκοποῦ, καὶ τῆς τοιαύτης ἐλπίδος, οὔτε θεῷ ἀρεστὸν τοῦτο, καὶ ἡμῖν οὐ πρέπον, οὔτε συμφέρειν λογίζομαι.

Ἐρώτησις, σϟγ.

Πῶς δεῖ προσφέρεσθαι τοῖς τὰ μείζονα τῶν ἁμαρτημάτων παραιτουμένοις, τὰ δὲ μικρὰ ἀδιαφόρως ποιοῦσιν.

Ἀπόκρισις.

Πρῶτον μὲν εἰδέναι χρή, ὅτι ἐν τῇ καινῇ διαθήκῃ ταύτην τὴν διαφορὰν οὐκ ἔστι μαθεῖν. μία » γὰρ ἀπόφασις κατὰ πάντων ἁμαρτημάτων κεῖται, τοῦ κυρίου εἰπόντος, ὅτι ὁ ποιῶν τὴν ἁμαρ» τίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. καὶ πάλιν, ὅτι ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν » ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. καὶ τοῦ Ἰωάννου βοῶντος, ὁ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωήν, » ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν. τῆς ἀπειθείας οὐκ ἐν τῇ διαφορᾷ τῶν ἁμαρτημάτων, ἀλλ' ἐν τῇ παρακοῇ τὴν ἀπειλὴν ἐχούσης. ὅλως δέ, εἰ ἐπιτρεπόμεθα λέγειν μικρὸν καὶ μέγα ἁμάρτημα, ἀναντίρρητον ἔχει τὴν ἀπόδειξιν, ἑκάστῳ μέγα εἶναι τὸ ἑκάστου κρατοῦν· καὶ μικρὸν τοῦτο, οὗ ἕκαστος κρατεῖ. ὥσπερ ἐπὶ τῶν ἀθλητῶν, ὁ μὲν νικήσας ἐστὶν ἰσχυ» ρός, ὁ δὲ ἡττηθεὶς ἀσθενέστερος τοῦ ἐπικρατουμένου ὅστις ἂν ᾖ. δεῖ οὖν ἐπὶ παντὸς ἁμαρ» τάνοντος οἱονδήποτε ἁμάρτημα, φυλάσσειν τὸ κρίμα τοῦ κυρίου εἰπόντος, ὅτι ἂν ἁμάρτῃ ὁ » ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδη» σας τὸν ἀδελφόν σου. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σεαυτοῦ ἕνα ἢ δύο, ἵνα ἐπὶ στό» ματος δύο ἢ τριῶν σταθήσεται πᾶν ῥῆμα. ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ. » ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. φυλασσέ» σθω δὲ ἐπὶ πᾶσι τοῖς τοιούτοις τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον· διατί οὐ μᾶλλον ἐπεν» θήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν, ὁ τὸ ἔργον τοῦτο ποιήσας. χρὴ γὰρ τὴν μακροθυμίαν » καὶ τὴν εὐσπλαγχνίαν ἐπιφέρεσθαι τῇ ἀποτομίᾳ.

Confer ἐρ. ιη ἐνταῦθα

ράζοντα μᾶλλον ἀκριβάζεσθαι μὴ τῆς ἀξίας ἐλάττονα δοῦναι τιμὴν, ἤπερ τὸν πωλοῦντα.
» ἀμφότεροι δὲ μιμησάσθωσαν τοῦ εἰπόντος· ζημιοῦσθαι ἄνδρα δίκαιον, οὐ καλόν.

Ἐρώτησις, σπα'.

Εἰ δεῖ τὸν ἐν ἀδελφότητι ζῶντα, καὶ ἀσθενείᾳ σωματικῇ περιπεσόντα εἰς ξενοδοχεῖον ἀπάγειν.

Ἀπόκρισις.

Στοχάζεσθαι χρὴ ἑκάστου τόπου καὶ σκοποῦ τοῦ οἰκείου πρὸς τὸ κοινῇ συμφέρον εἰς δόξαν θεοῦ.

Σχόλιον.

Ἐγράφη ἡ βίβλος πρὸς τὸ παλαιότατον ἀντίγραφον τὸ κομισθὲν ἀπὸ τοῦ πόντου, καὶ τῶν τόπων ἐκείνων, ἐν οἷς ὁ μέγας Βασίλειος τὸν μονήρη βίον ἤσκησεν. ἀντανεγνώσθη δὲ καὶ πρὸς τὴν ἀπὸ καισαρείας τὴν διασωθεῖσαν ἐν τῷ πτωχείῳ τῷ ὑπ' αὐτοῦ οἰκοδομηθέντι, ἐπὶ τῆς νῦν καλουμένης βασιλειάδος. Ταῦτα τὰ κζ' κεφάλαια καὶ τὰ ἐπιτίμια, ἐκ τῆς βίβλου τῆς ἀπὸ καισαρείας προστέθησαν.

Ἐρώτησις, σπζ'.

Τίνες εἰσὶν οἱ ἄξιοι καρποὶ τῆς μετανοίας;

Ἀπόκρισις.

Τὰ ἀντικείμενα τῇ ἁμαρτίᾳ ἔργα δικαιοσύνης, ἅπερ ὁ μετανοῶν καρποφορεῖν ὀφείλει, ποιῶν τὸ εἰρημένον, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες.

Ἐρώτησις, σπη'.

Ὁ θέλων ἐξομολογήσασθαι τὰς ἁμαρτίας ἑαυτοῦ, εἰ πᾶσιν ἐξομολογεῖσθαι ὀφείλει καὶ τοῖς τυχοῦσιν, ἢ τίσιν;

Ἀπόκρισις.

Ὁ σκοπὸς τῆς φιλανθρωπίας τοῦ θεοῦ ἐπὶ τῶν ἁμαρτανόντων φανερός. κατὰ τὸ γεγραμμένον, ὅτι οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ἐπεὶ οὖν καὶ τῆς ἐπιστροφῆς ὁ τρόπος οἰκεῖος ὀφείλει εἶναι τοῦ ἁμαρτάνοντος, καὶ καρπῶν δὲ χρεία ἀ-
» ξίων τῆς μετανοίας κατὰ τὸ γεγραμμένον· ποιήσατε καρποὺς ἀξίους τῆς μετανοίας,
» ἵνα μὴ τὰ τῆς ἐπιφερομένης ἀπειλῆς συμβῇ ἐν τῇ ἐλλείψει τῶν καρπῶν· πᾶν γὰρ δέν-
» δρον, φησὶ, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. ἀναγκαῖον τοῖς πεπιστευμένοις τὴν οἰκονομίαν τῶν μυστηρίων τοῦ θεοῦ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα. οὕτω γὰρ καὶ οἱ πάλαι μετανοοῦντες ἐπὶ τῶν ἁγίων εὑρίσκονται πεποιηκότες. γέγραπται γὰρ ἐν μὲν τῷ εὐαγγελίῳ, ὅτι τῷ βαπτιστῇ Ἰωάννῃ ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν. ἐν δὲ ταῖς πράξεσι τοῖς ἀποστόλοις, ὑφ' ὧν καὶ ἐβαπτίζοντο ἅπαντες.

Ἐρώτησις, σπθ'.

Ὁ μετανοήσας ἐπὶ ἁμαρτήματι, καὶ πάλιν εἰς τὸ αὐτὸ ἐμπεσὼν ἁμάρτημα, τί ποιήσει;

Ἀπόκρισις.

Ὁ ἅπαξ τινὰ μετανοήσαντα τὴν αὐτὴν πάλιν ποιήσαι ἁμαρτίαν, ἐλέγχεσθαί τις, τὸ πρῶτον αἴτιον τῆς ἁμαρτίας ἐκείνης μὴ ἐκκαθάραι, ἀφ' οὗ καθάπερ ἀπὸ ῥίζης τινὸς, πάλιν ἀνάγκη τὰ ἴσα φύεσθαι. ὡς γὰρ εἴ τις φυτοῦ τοὺς κλάδους ἐκκόψαι θελήσειε τὴν ῥίζαν ἐάσας, οὐδὲν ἧττον ἡ ῥίζα μένουσα ταῦτα πάλιν βλαστάνει, οὕτως ἐπειδή τινα τῶν ἁμαρτημάτων οὐκ ἐν ἑαυτοῖς ἔχει τὴν ἀρχὴν, ἀλλ' ἐξ ἑτέρων φύεται, ἀνάγκη τοῦτον, τὸν καθαρεῦσαι ἀπ' αὐτῶν βουλόμενον, τὰ πρῶτα αἴτια τῶν ἁμαρτημάτων ἐκείνων ἐξαίρειν. οἷον ἔρις ἢ φθόνος, οὐκ ἀφ' ἑαυτῶν ἄρχεται, ἀλλ' ἀπὸ ῥίζης τῆς φιλοδοξίας βλαστάνει. ἀντιποιούμενος γὰρ τῆς δόξης τῆς παρὰ τοῖς ἀνθρώποις, ἐρίζει τῷ εὐδοκιμοῦντι, ἢ φθονεῖ τῷ παρευδοκιμοῦντι. ἐὰν οὖν ἅπαξ τις λαβόμενος ἑαυτοῦ ἐπὶ φθόνῳ, ἢ ἔριδι, πάλιν τοῖς αὐτοῖς περιπέσῃ, γνωριζέτω ἑαυτὸν τὸ πρῶτον αἴτιον τοῦ φθόνου, ἢ τῆς ἔριδος, τὴν φιλοδοξίαν ἐν βάθει νοσοῦντα. καὶ χρὴ γε αὐτὸν ἐκ τοῦ ἐναντίου διὰ τῶν τῆς ταπεινοφροσύνης γυμνασμάτων. γυμνάσιον γὰρ ταπεινοφροσύνης ἡ ἐν τοῖς εὐτελεστέροις πράγμασι διατριβὴ, τὸ πάθος τῆς φιλοδοξίας θεραπεῦσαι. ἵνα οὕτως ἐν διαθέσει τῆς ταπεινοφροσύνης γενόμενος, μηκέτι ἐκπέσῃ εἰς τὰ προειρημένα τῆς φιλοδοξίας βλαστήματα. καὶ ἐφ' ἑκάστῳ τῶν τοιούτων ἁμαρτημάτων ὁμοίως.

Ἀπόκρισις.

Εἰ μὴ ἐπιθυμητικῶς ἔρχεται ἐπὶ τὸ ψάλλειν, καὶ εἰ μὴ ἐπιφαίνεται αὐτῷ ἡ διάθεσις τοῦ εἰπόντος, ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι τῷ στόματί μου· καὶ εἰ μὴ ζημίαν μεγάλην ἡγεῖται τὴν ἀργίαν, ἢ διορθούσθω, ἢ ἐξαρθήτω, ἵνα μὴ μικρὰ ζύμη ὅλον τὸ φύραμα δολώσῃ.

Ἐρώτησις, σπβ'.

Τίνες εἰσὶν οἱ λέγοντες, ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, καὶ ἀκούοντες, οὐκ οἶδα ὑμᾶς;

Ἀπόκρισις.

Τάχα ἐκεῖνοι, οὓς ὑπέγραψεν ὁ ἀπόστολος ἐπὶ τοῦ ἰδίου προσώπου, εἰπών· ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ, καὶ τῶν ἀγγέλων· καὶ τὰ ἑξῆς· καὶ, ἐὰν ἔχω πᾶσαν τὴν γνῶσιν, καὶ πᾶσαν τὴν πίστιν, καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. ὅπερ ἐπαιδεύθη ὁ ἀπόστολος παρὰ τοῦ κυρίου εἰπόντος περί τινων· ποιοῦσι γὰρ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. τὸ γὰρ μὴ διὰ τὴν πρὸς θεὸν ἀγάπην, ἀλλὰ διὰ τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον γινόμενον, οἷον ἂν ᾖ, οὐ θεοσεβείας ἔπαινον φέρεται, ἀλλ' ἀνθρωπαρεσκείας, ἢ αὐταρεσκείας, ἢ φιλονεικίας, ἢ φθόνου, ἢ τινὸς τοιαύτης αἰτίας ἔχει τὸ κρίμα. διὸ καὶ ἀδικίας ἔργον τὸ τοιοῦτον ὁ κύριος ὀνομάζει, λέγων πρὸς τοὺς εἰπόντας τὸ ἐφάγομεν ἐνώπιόν σου καὶ τὰ ἑξῆς· ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται ἀδικίας. πῶς γὰρ οὐκ ἀδικίας ἐργάται οἱ ταῖς τοῦ θεοῦ δωρεαῖς εἰς πραγματείαν τῶν ἰδίων ἡδονῶν καταχρώμενοι. οἷοι ἦσαν ἐκεῖνοι περὶ ὧν φησιν ὁ ἀπόστολος· οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ θεοῦ. καὶ πάλιν· νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. καὶ πολλὰ τοιαῦτα. ὧν ἁπάντων καθαρεύειν ἀποδείκνυται ἡμῖν ὁ αὐτὸς ἀπόστολος, δι' ὧν φησιν· οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν ὑμῖν, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς, οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν. οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπὸ ἄλλων.

Ἐρώτησις, σπγ'.

Εἰ ὁ ποιῶν τὸ θέλημά τινος, κοινωνός ἐστιν ἐκείνου;

Ἀπόκρισις.

Εἰ πιστεύομεν τῷ κυρίῳ λέγοντι, πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. καὶ πάλιν· ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. οἴδαμεν, ὅτι οὐχὶ κοινωνὸς ἁπλῶς, ἀλλὰ κύριον ἑαυτοῦ καὶ πατέρα ἐπιγράφεται ἐκεῖνον, οὗ τὸ ἔργον ποιεῖ, κατὰ τὴν τοῦ κυρίου φωνήν. μαρτυρεῖ δὲ τοῦτο σαφῶς καὶ ὁ ἀπόστολος, λέγων· οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην;

Ἐρώτησις, σπδ'.

Ἐὰν πτωχεύῃ ἡ ἀδελφότης διὰ περίστασιν νόσων, εἰ ἀδιάκριτόν ἐστι παρ' ἑτέρων λαμβάνειν τὰ πρὸς τὴν χρείαν, καὶ εἰ χρὴ, παρὰ τίνων λήψεται;

Ἀπόκρισις.

Ὁ μνημονεύων τοῦ κυρίου εἰπόντος, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· φροντίδα πολλὴν μετὰ σπουδῆς πλείονος καὶ ἐπιμελείας ποιεῖται, ἄξιος εἶναι ἀδελφὸς τοῦ κυρίου τετάχθαι. ἐὰν οὖν τις τοιοῦτος ᾖ, μὴ διακρινέσθω λαμβάνων, ἀλλ' εὐχαριστείτω. παρὰ τίνων δὲ χρὴ λαμβάνειν, καὶ πότε, καὶ πῶς, ὁ τὴν κοινὴν φροντίδα ἐπιτεταγμένος δοκιμάζειν ὀφείλει. μνημονεύων τοῦ Δαβὶδ εἰπόντος· ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. καὶ πάλιν· πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει.

Ἐρώτησις, σπε'.

Εἰ χρὴ ἀδελφότητα μετὰ ἀδελφότητος πραγματευομένην τὴν ἀξίαν τιμὴν τοῦ εἴδους ἀπεργάζεσθαι.

Ἀπόκρισις.

Εἰ μὲν συγχωρεῖ ὁ λόγος ἐν ἀδελφοῖς τὸ ἀγοράζειν παρ' ἀλλήλων καὶ πωλεῖν ἀλλήλοις, οὐκ ἔχω τι λέγειν. κοινωνεῖν γὰρ ἀλλήλοις παιδευόμεθα πρὸς τὴν χρείαν κατὰ τὸ γεγραμμένον· τὸ ὑμῶν περίσσευμα, εἰς τὸ ἐκείνων ὑστέρημα, καὶ τὸ ἐκείνων περίσσευμα, εἰς τὸ ὑμῶν ὑστέρημα· ὅπως γένηται ἰσότης. εἰ δὲ ἄρα συμπίπτει ποτὲ τοιαύτη ἀνάγκη, χρὴ τὸ ἀγο-

καὶ, πάντα εὐσχημόνως, καὶ κατὰ τάξιν γινέσθω· πάλιν δὲ, ὅταν καὶ θέλημα θεοῦ ᾖ τί, καὶ ἀγαθὸν ᾖ, καὶ εὐάρεστον ᾖ, οὐδ᾽ οὕτως ἀμεριμνεῖν χρὴ, ἀλλ᾽ ἀγωνιᾶν καὶ φροντίζειν, ὅπως τέλειον, καὶ ἀνελλιπὲς τοῦτο ᾖ ἐν μέτρῳ· ποτὲ μὲν τοῦ γινομένου, εἰ κατὰ τὸ προστεταγμένον γίνεται, ποτὲ δὲ τῆς τοῦ ποιοῦντος δυνάμεως· ἀγαπήσεις γάρ φησι κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον καθὼς ὁ κύριος ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ ἐδίδαξε· καὶ πᾶσαν δὲ ἐντολὴν καθὼς γέγραπται· μακάριος γάρ φησιν ὁ κύριος, ὃν ἐλθὼν ὁ κύριος, εὑρήσει ποιοῦντα οὕτως.

Ἐρώτησις, σοζ.

Ποῖόν ἐστι τὸ ταμιεῖον, εἰς ὃ εἰσελθεῖν τὸν προσευχόμενον προστάσσει ὁ κύριος;

Ἀπόκρισις.

Ταμιεῖον μὲν ἡ συνήθεια ὀνομάζειν οἶδεν, οἶκον ἀπολάζοντα καὶ ἀνακεχωρημένον, ἐν ᾧ ἀποτιθέμεθα ἅπερ ἂν ταμιεύεσθαι βουληθῶμεν· ἢ ἐν ᾧ κρυβῆναι δυνατόν· κατὰ τὸ καὶ ἐν τῷ προφήτῃ εἰρημένον· βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖόν σου· ἀποκρύβηθι. τὴν δὲ δύναμιν τῆς ἐντολῆς ἡ ὑπόθεσις σαφηνίζει· πρὸς γὰρ τοὺς νοσοῦντας τὸ πάθος τῆς ἀνθρωπαρεσκείας ὁ λόγος ἐστίν· ὥστε, ἐάν τις ὑπὸ τοῦ πάθους ἐκείνου παρενοχλῆται, καλῶς ποιεῖ, ὑπαναχωρῶν ἐν τῇ προσευχῇ καὶ μονούμενος, μέχρις ἂν δυνηθῇ ἀναλαβεῖν τὴν ἕξιν τοῦ μὴ παραβλέπεσθαι εἰς τοὺς παρὰ τῶν ἀνθρώπων ἐπαίνους. εἰς μόνον δὲ τὸν θεὸν ἀποβλέπειν κατὰ τὸν εἰπόντα· ἰδοὺ, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν· ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν. ἐὰν δέ τις θεοῦ χάριτι καθαρεύῃ τοῦ πάθους ἐκείνου, οὐκ ἔχει ἀνάγκην κρύπτειν τὸ καλόν. ὅπερ διδάσκων αὐτὸς ὁ κύριος, λέγει, οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ὁ δὲ αὐτὸς νοῦς καὶ ἐπὶ τῆς ἐλεημοσύνης καὶ ἐπὶ τῆς νηστείας, ἅπερ ἐν τῷ αὐτῷ τόπῳ κεῖται· καὶ καθόλου ἐπὶ παντὸς πράγματος τῆς θεοσεβείας.

Ἐρώτησις, σοη.

Πῶς τὸ πνεῦμά τινος προσεύχεται, ὁ δὲ νοῦς ἄκαρπός ἐστιν;

Ἀπόκρισις.

Τοῦτο εἴρηται ἐπὶ τῶν ἐν γλώσσῃ ἀγνοουμένῃ τοῖς ἀκούουσι τὰς προσευχὰς ἀναπεμπόντων· φησὶ γὰρ, ἐὰν προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν· ὅταν μὲν γὰρ ἄγνωστα ᾖ τοῖς παροῦσι τὰ ῥήματα τῆς προσευχῆς, ἄκαρπός ἐστιν ὁ νοῦς τοῦ προσευχομένου μηδενὸς ὠφελουμένου· ὅταν δὲ οἱ παρόντες νοῶσι τὴν προσευχὴν ὠφελεῖν δυναμένην τοὺς ἀκούοντας, τότε ὁ προσευχόμενος καρπὸν ἔχει τὴν τῶν ὠφελουμένων βελτίωσιν· ὁμοίως δὲ καὶ ἐπὶ πάσης ἐκφωνήσεως τῶν τοῦ θεοῦ ῥημάτων. γέγραπται γὰρ, ἀλλ᾽ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως.

Ἐρώτησις, σοθ.

Τί ἐστι τὸ ψάλατε συνετῶς;

Ἀπόκρισις.

Ὅπερ ἐστὶν ἐπὶ τῶν βρωμάτων ἡ αἴσθησις τῆς ποιότητος ἑκάστου βρώματος, τοῦτο ἐστὶν ἐπὶ τῶν ῥημάτων τῆς ἁγίας γραφῆς ἡ σύνεσις· λάρυγξ μὲν γάρ φησι σῖτα γεύεται, νοῦς ῥήματα διακρίνει· ἐὰν οὖν τις οὕτω συνδιατεθῇ τὴν ψυχὴν τῇ δυνάμει ἑκάστου ῥήματος, ὡς συνδιατίθεται τὴν γεῦσιν τῇ ποιότητι ἑκάστου βρώματος, ὁ τοιοῦτος ἐπλήρωσε τὴν ἐντολὴν τὴν λέγουσαν, ψάλατε συνετῶς.

Ἐρώτησις, σπ.

Τί ἐστιν ὁ καθαρὸς τῇ καρδίᾳ;

Ἀπόκρισις.

Ὁ μὴ λαμβανόμενος ἑαυτῷ ἐπὶ ἀθετήσει ἐντολῆς θεοῦ, ἢ ἐλλείψει, ἢ ἀμελείᾳ.

Ἐρώτησις, σπα. Τὴν μὴ θέλουσαν ψάλλειν εἰ χρὴ ἀναγκάζεσθαι;

» σκον θεῷ, εἴτε ἐν ἔργῳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν ἐνθυμήσει· τοῦ ἀποστόλου εἰπόντος· πεποί-
» θησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ χριστοῦ πρὸς τὸν θεόν. οὐχ ὅτι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν
» λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ τοῦ διδάσκοντος ἄνθρω-
πον γνῶσιν, καθὼς γέγραπται.

Ἐρώτησις, σοε'.

1. Thess. 2. 18.

Εἰ δύναται ἐγκόψαι πρόθεσιν ἁγίου ὁ σατανᾶς, ὅτι γέγραπται, ἐγὼ μὲν παῦλος προ-
εθέμην ἐλθεῖν, καὶ ἅπαξ καὶ δὶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς.

Ἀπόκρισις.

Τῶν ἐν ἡμῖν κατορθωμάτων τὰ μὲν προθέσει καὶ κρίσει ψυχῆς ἐκτελεῖται, τὰ δὲ διὰ σώμα-
τος ἐνεργεῖται ἢ ἐν σπουδῇ, ἢ ἐν ὑπομονῇ. ὅσα μὲν οὖν ἐν προθέσει ψυχῆς κεῖται, ταῦτα
ἐγκόψαι οὐδενὶ τρόπῳ δυνατόν ἐστι τῷ σατανᾷ. ἐν δὲ τοῖς διὰ σωματικῆς ἐνεργείας κατορ-
θουμένοις, πολλάκις τε καὶ συγχωρεῖ ὁ θεὸς γενέσθαι ἐμπόδιον εἰς δοκιμὴν καὶ ἔλεγχον
τοῦ ἐμποδιζομένου. ἵνα ἢ μετατιθέμενος τῆς ἀγαθῆς προθέσεως ἐλεγχθῇ· ὡς οἱ ἐπὶ τῆς
πέτρας σπαρέντες, οἳ πρὸς ὀλίγον μὲν τὸν λόγον μετὰ χαρᾶς ἐδέξαντο· γενομένης δὲ θλί-
ψεως, εὐθέως ἀπέστησαν. ἢ ἐπιμένων τοῖς καλοῖς ἀποδειχθῇ ἐν σπουδῇ τῶν κατορθω-
μάτων. ὡς αὐτὸς ὁ ἀπόστολος, ὃς πολλάκις προθέμενος ἀπελθεῖν πρὸς τοὺς ῥωμαίους,
καὶ κωλυθεὶς, ὡς αὐτὸς ὁμολόγησεν, ὅμως οὐκ ἐπαύσατο θέλων, μέχρις ὅτε καὶ ἐπλή-
ρωσεν ὃ προέθετο. ἐν δὲ ὑπομονῇ, ὡς ἰώβ. ὃς τοσαῦτα ὑπὸ τοῦ διαβόλου παθὼν, ἀναγ-
κάζοντος φθέγξασθαί τι βλάσφημον, ἢ ἀχαριστῆσαι τῷ θεῷ, καὶ μέχρι τῶν ἐσχάτων συμ-
φορῶν οὐκ ἐξέστη τῆς ἀγαθῆς κρίσεως. καὶ τοῦ φρονεῖν περὶ θεοῦ ὑγιῶς. γέγραπται γὰρ πε-
» ρὶ αὐτοῦ. ἐν πᾶσι τούτοις οὐδὲν ἥμαρτεν ἰὼβ τοῖς χείλεσιν αὐτοῦ ἐναντίον τοῦ θεοῦ, καὶ οὐκ
» ἔδωκεν ἀφροσύνην τῷ θεῷ.

Ἐρώτησις, σος'.

Τί ἐστι τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον, εἰς τὸ δοκιμάζειν ὑμᾶς, τί τὸ
θέλημα τοῦ θεοῦ, τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον.

Ἀπόκρισις.

Πολλά ἐστιν, ἃ ὁ θεὸς θέλει. τὰ μὲν μακροθυμίᾳ καὶ χρηστότητι, ἅπερ ἀγαθά ἐστί τε καὶ λέ-
» γεται, τὰ δὲ κατ' ὀργὴν διὰ τὰς ἁμαρτίας ἡμῶν. ἅπερ κακὰ ὀνομάζεται. ἐγὼ γάρ εἰμι φη-
» σὶν, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. κακὰ δὲ, οὐχ ὑπὲρ ὧν κολαζόμεθα, ἀλλὰ δι' ὧν παι-
δευόμεθα. τὰ δὲ παιδεύοντα καὶ διὰ τῆς κακώσεως εἰς ἐπιστροφὴν ἄγοντα, γίνεται εἰς ἀγα-
θόν. ὅσα μὲν οὖν μακροθυμῶν καὶ χρηστευόμενος θέλει ὁ θεὸς ταῦτα καὶ ἡμᾶς καὶ θέ-
» λειν, καὶ μιμεῖσθαι ἀναγκαῖον. γίνεσθε γάρ φησιν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν
» οἰκτίρμων ἐστίν. καὶ ὁ ἀπόστολος δὲ, γίνεσθε φησὶ μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητά,
» καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ χριστὸς ἠγάπησεν ἡμᾶς. ὅσα δὲ κατ' ὀργὴν διὰ τὰς ἁμαρ-
τίας ἡμῶν ἐπάγει, ταῦτα κακὰ λεγόμενα ὡς εἶπον, τῷ λόγῳ τῆς κακώσεως, οὐ πάν-
τως καὶ ἡμῖν ἔξεστι ποιεῖν. οὐ γὰρ ἐπειδὴ θέλημα θεοῦ ἐστι, λιμῷ πολλάκις, ἢ λοιμῷ, ἢ πο-
λέμῳ, ἢ ἄλλῳ τινὶ τοιούτῳ διαφθαρῆναι ἀνθρώπους, τῷ θελήματι τούτῳ ἐξυπηρετεῖ-
σθαι ἡμᾶς χρή, πρὸς γὰρ τὰ τοιαῦτα καὶ ὑπηρέταις κακοῖς ὁ θεὸς κέχρηται κατὰ τὸ εἰρη-
» μένον. ὅτι ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ. θυμὸν καὶ ὀργὴν, καὶ θλίψιν, ἀποστο-
» λὴν δι' ἀγγέλων πονηρῶν. οὐκοῦν πρῶτον μὲν ζητεῖν δεῖ τί τὸ ἀγαθὸν θέλημα τοῦ θεοῦ,
εἶτα ὅταν γνωρίσωμεν τὸ ἀγαθὸν, ἐξετάζειν εἰ τὸ ἀγαθὸν τοῦτο καὶ εὐάρεστον τῷ θεῷ
ἐστίν. ἔστι γάρ τι, ὃ τῷ μὲν ἰδίῳ λόγῳ καὶ θέλημα θεοῦ ἐστι, καὶ ἀγαθόν ἐστιν. ὅταν δὲ ἢ
παρὰ πρόσωπον, ἢ παρὰ καιρὸν γένηται, οὐκέτι καὶ εὐάρεστον θεῷ ἐστιν. οἷον, θέλημα θεοῦ ἦν,
καὶ ἀγαθὸν ἦν τὸ θυμιᾶν θεῷ, ἀλλ' οὐκ ἦν εὐάρεστον θεῷ, τὸ περὶ δαθὰν καὶ ἀβειρὼν τοῦτο
ποιεῖν. καὶ πάλιν, θέλημα θεοῦ ἐστι, καὶ ἀγαθόν ἐστι τὸ ἐλεημοσύνην ποιεῖν, ἀλλὰ τὸ οὕτως δο-
ξασθῆναι ὑπὸ τῶν ἀνθρώπων ποιεῖν, οὐκέτι καὶ εὐάρεστον θεῷ ἐστι. καὶ πάλιν, θέλημα θεοῦ ἦν καὶ ἀ-
γαθὸν ἦν τὸ τοῖς μαθηταῖς ὃ πρὸς τὸ οὖς ἤκουσαν, κηρύξαι ἐπὶ τῶν δωμάτων, ἀλλὰ τὸ πρὸ και-
» ροῦ τι εἰπεῖν, οὐκέτι καὶ εὐάρεστον ἦν τῷ θεῷ. μηδενὶ γὰρ εἴπητε φησὶ, τὸ ὅραμα τοῦτο, ἕως οὗ ὁ
» υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. καὶ καθόλου πᾶν θέλημα θεοῦ ἀγαθὸν, τότε καὶ εὐάρεστόν ἐστιν,
ὅταν πληρωθῇ ἐπ' αὐτῷ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε.

τὰ ὅμοια· οἷά ἐστι κἀκεῖνα τὰ ἀλλαχοῦ αὐτῷ εἰρημένα· ὡς ἀποθνήσκοντες καὶ ἰδοὺ ζῶμεν· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

Ἐρώτησις, σοα΄.

Τοῦ κυρίου λέγοντος, πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν· εἰ πάντων, ὅσα ἥμαρτέ τις, διὰ τῆς ἐλεημοσύνης τὸν καθαρισμὸν εὑρίσκει.

Ἀπόκρισις.

Αὕτη ἡ ἀκολουθία τῶν προκειμένων σαφηνίζει τὸ εἰρημένον. προειπὼν γὰρ ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ δόλου καὶ πονηρίας, οὕτως ἐπήγαγε· πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστι. πάντα ταῦτα δηλονότι, ὅσα ἐν τῷ ἁρπάζειν καὶ πλεονεκτεῖν ἁμαρτάνομεν, καὶ πονηρευόμεθα. παρίστησι δὲ τοῦτο καὶ ὁ Ζακχαῖος εἰπών, ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι τοῖς πτωχοῖς· καὶ εἴ τινος ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. ὥστε ὅσα τοιαῦτα ἐστὶν ἁμαρτήματα, ἅπερ δυνατὸν ἀναλῦσαι, καὶ ὑπὲρ ὧν ἐστιν ἀντιδοῦναι πολυπλάσιον, τούτῳ τῷ τρόπῳ καθαρίζεσθαι. καὶ τούτῳ φημὶ τῷ τρόπῳ οὐκ αὐτὸ καθ' ἑαυτὸ ἀρκοῦντι πρὸς τὴν κάθαρσιν. χρήζοντι δὲ προηγουμένως τοῦ ἐλέους τοῦ θεοῦ, καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. ἐν ᾧ καὶ τῶν ἄλλων ἁπάντων ἔχομεν τὴν ἀπολύτρωσιν, ποιοῦντες ἐφ' ἑκάστῳ τοὺς ἀξίους καρποὺς τῆς μετανοίας.

Ἐρώτησις, σοβ΄.

Ἐπειδὴ πρόσταγμά ἐστι τοῦ κυρίου μὴ μεριμνᾶν περὶ τῆς αὔριον, πῶς ὑγιῶς τὸ πρόσταγμα νομίζομεν· ὁρῶμεν γάρ, ὅτι πολλὴν ἔχομεν σπουδὴν τῶν πρὸς τὴν χρείαν ἕνεκεν, ὥστε παρατίθεσθαι καὶ τὰ πρὸς πλείονα χρόνον ἀρκέσαι δυνάμενα.

Ἀπόκρισις.

Ὁ καταδεξάμενος τὴν τοῦ κυρίου διδασκαλίαν εἰπόντος, ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ πληροφορηθεὶς τὴν ἀλήθειαν τῆς αὐτοῦ ἐπαγγελίας, ἐπαγαγόντος, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· οὐκ ἐν ταῖς βιωτικαῖς μερίμναις ταῖς συμπνιγούσαις τὸν λόγον, καὶ ἄκαρπον ποιούσαις κατατρίβει τὴν ψυχήν· ἐν δὲ τῷ καλῷ ἀγῶνι τῆς πρὸς θεὸν εὐαρεστήσεως ἀγωνιζόμενος, πιστεύει τῷ κυρίῳ εἰπόντι· ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. καὶ οὐδὲν οὕνεκεν ταύτης περιεργάζεται. ἐργάζεται δὲ καὶ μεριμνᾷ οὐχὶ δι' αὐτό, ἀλλὰ διὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ, καθὼς ὑπέδειξε καὶ ἐδίδαξεν ὁ ἀπόστολος εἰπών, πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. τὸ μὲν γὰρ δι' ἑαυτὸν μεριμνᾶν, φιλαυτίας ἐστὶν ἔγκλημα· τὸ δὲ διὰ τὴν ἐντολὴν μεριμνᾶν καὶ ἐργάζεσθαι, φιλοχρίστου, καὶ διαθέσεως φιλαδέλφου ἐστὶν ἐγκώμιον.

Ἐρώτησις, σογ΄.

Τί ἑαυτῆς ποιήσῃ, βλασφημεῖ εἰς τὸ πνεῦμα τὸ ἅγιον.

Ἀπόκρισις.

Ἐκ τῆς τότε βλασφημίας, ἣν ἐβλασφήμησαν οἱ Φαρισαῖοι· ἐφ' οἷς καὶ τὸ κρίμα τοῦτο ἐτέθη, δῆλόν ἐστιν, ὅτι καὶ νῦν ἐκεῖνος βλασφημεῖ τὸ πνεῦμα τὸ ἅγιον, ὃς ἂν τὰς ἐνεργείας καὶ τοὺς καρποὺς τοῦ ἁγίου πνεύματος τῷ ἐναντίῳ ἐπιφημίσῃ, ὅπερ πάσχομεν οἱ πολλοί· τὸν μὲν σπουδαῖον κενόδοξον πολλάκις ἐνυποκρίτως ἀποκαλοῦντες, τοῦ δὲ ζῆλον ἀγαθὸν ἐπιδεικνυμένου ὀργὴν καταψευδόμενοι· καὶ ἄλλα τοιαῦτα ἐν ἀπονοίαις πονηραῖς ψευδῶς ἐπιφημίζοντες.

Ἐρώτησις, σοδ΄.

Πῶς γίνεταί τις ἐν τῷ αἰῶνι τούτῳ μωρός;

Ἀπόκρισις.

Ἐὰν φοβηθῇ τὸ κρίμα τοῦ κυρίου λέγοντος, οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες, καὶ μιμήσηται τὸν εἰπόντα, κτηνώδης ἐγενήθην παρὰ σοί· καὶ πᾶσαν οἴησιν συνέσεως ἀποβαλὼν μὴ προτερεύῃ τῶν ἰδίων λογισμῶν ὡς ἀγαθὸν ἐγκρίνειν. μήτε μὴν λογίσηται τὴν ἀρχὴν πρὶν ἂν ὑπ' αὐτῆς τοῦ κυρίου τῆς ἐντολῆς ἐπιθῇ τὸ ἀρέ-

ἐσώτερον. καὶ τὸ εἰς πυθμένα ᾅδου ἐν παροιμίαις εἰρημένον δηλοῖ, ὅτι εἰσί τινες ἐν τῷ ᾅ-
δῃ μὲν, οὐκ ἐν πυθμένι δὲ ᾅδου, κουφοτέραν ὑπομένοντες τὴν κόλασιν. τοῦτο δὲ χα-
ρακτηρίζειν ἔστι καὶ νῦν ἐν τοῖς τοῦ σώματος πάθεσιν. ὁ μὲν γάρ τις πυρέσσει μετὰ συμ-
πτωμάτων καὶ ἄλλων παθῶν, ὁ δέ τις πυρέσσει μόνον, καὶ οὗτος οὐχ ὁμοίως τῷ ἑτέρῳ· καὶ
ἄλλος οὐ πυρέσσει μὲν, ὀδύνῃ δέ τινι μέλους καταπονεῖται· καὶ οὗτος πάλιν ἑτέρου πλεῖον
ἢ ἔλαττον. εἴρηται δὲ καὶ τοῦτο τῷ κατὰ τὸ, πολλὰς καὶ ὀλίγας κατὰ τὴν χρῆσιν τῆς συ-
νηθείας. ὥσπερ οὖν καὶ ἄλλα τινὰ τοιαῦτα. οἴδαμεν γὰρ πολλάκις τὸ τοιοῦτον εἶδος τοῦ
λόγου, καὶ ἐπὶ τῶν ὑφ' ἑνός τινος πάθους κεκακωμένων παραλαμβανόμενον. οἷον ὅταν
λέγωμεν ἐπί τινος πυρέσσοντος μόνον, ἢ ὀφθαλμὸν ὀδυνωμένου θαυμάζοντες ὅτι πόσα
ἔπαθεν, ἢ πόσας ὑπέμεινεν ἀνάγκας· ὥστε πολλὰς καὶ ὀλίγας δέρεσθαι πάλιν λέγω οὐκ
ἐν τῇ τοῦ χρόνου παρατάσει ἢ συμπληρώσει, ἀλλ' ἐν τῇ διαφορᾷ τῆς κολάσεως γίνεται.

Ἐρώτησις, σξη'.

Κατὰ ποῖον νοῦν λέγονταί τινες υἱοὶ τῆς ἀπειθείας, καὶ τέκνα ὀργῆς;

Ἀπόκρισις.

Τέκνα καὶ υἱούς τινας ὀνομάζειν οἶδεν ὁ λόγος τοὺς ποιοῦντας τὰ θελήματα αὐτοῦ, εἴτε ἀγα-
θοῦ, εἴτε κακοῦ. εἰ τέκνα γάρ φησι τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. καὶ πά-
λιν. ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλε-
τε ποιεῖν. ὥστε καὶ ἀπειθείας υἱὸς ὁ τὰ τῆς ἀπειθείας ἐργαζόμενος γίνεται. τάχα δὲ
ὥσπερ οὐχ ἁμαρτωλὸς μόνον, ἀλλὰ καὶ αὐτοαμαρτία ὁ διάβολος ὀνομάζεται, διὰ τὸ ἀρ-
χηγὸς ὡς οἶμαι γεγονέναι τῆς ἁμαρτίας. οὕτω καὶ αὐτοαπείθεια λέγοιτο ἂν ὁ διάβο-
λος διὰ τὴν αὐτὴν αἰτίαν. τέκνον δὲ ὀργῆς ἐστί τις, καθ' ὃ ἄξιον ἑαυτὸν πεποίηκε τῆς ὀρ-
γῆς. ὡς γὰρ τοὺς ἀξίους τοῦ κυρίου, καὶ τοὺς ποιοῦντας τὰ τοῦ φωτὸς καὶ ἡμέρας ἔργα, υἱοὺς
φωτὸς, καὶ υἱοὺς ἡμέρας ὁ ἀπόστολος προσηγόρευσεν, οὕτως ἀκόλουθον νοεῖν καὶ τὸ, ἦ-
μεν τέκνα ὀργῆς. εἰδέναι μέντοιγε χρὴ, ὅτι ὁ υἱὸς τῆς ἀπειθείας, ὁ αὐτός ἐστι καὶ τέκνον τῆς
ὀργῆς. τοῦ κυρίου ἀποφηναμένου, ὅτι ὁ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ
τοῦ θεοῦ μένει ἐπ' αὐτόν.

Ἐρώτησις, σξθ'.

Ἐπειδὴ γέγραπται, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, εἰ ἄλλα μέν
ἐστι τὰ τῆς σαρκὸς θελήματα, ἄλλα δὲ τῶν διανοιῶν, καὶ ποῖα ταῦτα.

Ἀπόκρισις.

Τὰ μὲν τῆς σαρκὸς θελήματα ἐν ἄλλῳ τόπῳ κατὰ μέρος ὀνομαστὶ καταλέγει ὁ ἀπόστο-
λος λέγων, φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, μοιχεία, πορνεία, ἀκαθαρσία,
ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέ-
σεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις. καὶ ἀλλαχοῦ περιληπτικώτερον,
ὅτι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν. τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὔ-
τε γὰρ δύναται. τὰ δὲ τῶν διανοιῶν θελήματα, λογισμοὶ εἶεν ἂν μὴ μαρτυρούμενοι ὑπὸ
τῆς γραφῆς. οἷοι εἰσὶν ἐκεῖνοι, περὶ ὧν εἴρηται· λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψω-
μα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. καὶ νοήματα μὴ αἰχμαλωτιζόμενα εἰς τὴν
ὑπακοὴν τοῦ Χριστοῦ, διόπερ ἀναγκαῖον καὶ ἀσφαλὲς ἀεὶ καὶ πανταχοῦ φυλάσσειν ἐκεῖνο τὸ
ὑπὸ τοῦ Δαβὶδ εἰρημένον. καὶ ἡ συμβουλία μου, τὰ δικαιώματά σου.

Ἐρώτησις, σο'.

Τί ἐστιν ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι;

Ἀπόκρισις.

Τὴν πληροφορίαν τῆς ἑαυτοῦ εἰς θεὸν πεποιθήσεως, δι' ἀντιπαραθέσεως τοῦ ἀνθρωπίνου φρο-
νήματος δεικνὺς ὁ ἀπόστολος ἕκαστον τῶν ἐν τῷ τόπῳ τούτῳ κειμένων οὕτω τέθηκεν. ὡς
μὲν γὰρ πρὸς τὸ ἀνθρώπινον φρόνημα ἐν παντὶ θλιβόμενοι φησὶν, ὡς δὲ πρὸς τὴν ἐπὶ θεὸν
πεποίθησιν τὸ, ἀλλ' οὐ στενοχωρούμενοι. πάλιν, ὡς μὲν πρὸς τὸ ἀνθρώπινον φρόνημα
ἀπορούμενοι, ὡς δὲ πρὸς τὴν ἐπὶ θεὸν πεποίθησιν, τὸ οὐκ ἐξαπορούμενοι. καὶ τὰ λοι-

Ἐρώτησις, σξε'.

Εἰ πρὸς μόνους τοὺς ἱερεῖς εἴρηται, τὸ ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ἔχει τι ὁ ἀδελφός σου κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν, πρόσφερε τὸ δῶρόν σου, ἢ καὶ πρὸς πάντας; καὶ πῶς ἕκαστος ὑμῶν προσφέρει ἐπὶ τὸ θυσιαστήριον;

Ἀπόκρισις.

Τοῦτο ἐξαιρέτως μὲν καὶ πρωτοτύπως πρὸς ἱερεῖς ἐκλαμβάνειν ἀκόλουθον ἂν εἴη. ἐπειδὴ γέγραπται, ὅτι ὑμεῖς δὲ ἱερεῖς κυρίου κληθήσεσθε, λειτουργοὶ θεοῦ παντὸς, καὶ θυσία αἰνέσεως δοξάσει με. καὶ πάλιν. θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον. καὶ ὁ ἀπόστολος δέ φησι, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. ὧν ἕκαστον κοινὸν πάντων ἐστὶν, ἀναγκαῖον ἕκαστον ὑμῶν κατορθοῦν τὸ τοιοῦτον.

Ἐρώτησις, σξϛ'.

Τί ἐστι τὸ ἅλας ὃ προσέταξεν ὁ κύριος εἰπών. ἔχετε ἐν ἑαυτοῖς ἅλας καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. καὶ ὁ ἀπόστολος δέ φησιν. ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος.

Ἀπόκρισις.

Καὶ ἐν τούτῳ διὰ τῶν συνεζευγμένων ἑκάστῳ κεφαλαίῳ ὁ νοῦς φανερός ἐστι. ἐν μὲν γὰρ τοῖς τοῦ κυρίου ῥήμασι, τὸ μηδεμίαν ὑπόθεσιν τῆς ἀπ' ἀλλήλων διαλύσεως καὶ διαστάσεως παρέχειν. ἀεὶ δὲ ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης πρὸς τὴν ἑνότητα τοῦ πνεύματος συντηρεῖσθαι διδασκόμεθα. ἐν δὲ τοῖς τοῦ ἀποστόλου μνημονεύσας τις τοῦ εἰπόντος. ἐὰν βρωθήσεται ἄρτος ἄνευ ἁλὸς, εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς, διδαχθήσεται οἰκονομεῖν τοὺς λόγους εἰς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσι, καιρῷ ἐπιτηδείῳ, καὶ τάξει εὐσχήμονι χρώμενος, πρὸς τὸ ἐπιτηδειοτέρους γενέσθαι τοὺς ἀκούοντας.

Ἐρώτησις, σξζ'.

Εἰ ὁ μέν τις δαρήσεται πολλὰς, ὁ δὲ ὀλίγας, πῶς λέγουσί τινες, μὴ εἶναι τέλος τῆς κολάσεως;

Ἀπόκρισις.

Τὰ ἀμφίβολα καὶ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκοῦντα ἔν τισι τόποις τῆς θεοπνεύστου γραφῆς, ἀπὸ τῶν ἐν ἄλλοις τόποις ὁμολογουμένων σαφηνίζεται. τοῦ οὖν κυρίου ποτὲ μὲν ἀποφαινομένου, ὅτι ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, ποτὲ δὲ ἐκπέμποντός τινας εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ ἄλλοτε ὀνομάζοντος γέενναν πυρὸς, καὶ ἐπιφέροντος, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. καὶ ἔτι πάλαι διὰ τοῦ προφήτου περί τινων προειρηκότος, ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται. τούτων καὶ τῶν τοιούτων πολλαχοῦ τῆς θεοπνεύστου γραφῆς κειμένων, ἐν καὶ τοῦτο τῆς μεθοδείας τοῦ διαβόλου τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὥσπερ ἐπιλαθομένους τῶν τοσούτων καὶ τοιούτων τοῦ κυρίου ῥημάτων καὶ ἀποφάσεων τέλος κολάσεως. εἰς τὸ μᾶλλον κατατολμᾶν τῆς ἁμαρτίας, ἑαυτοῖς ὑπογράφειν. εἰ γὰρ τῆς αἰωνίου κολάσεως ἔστι ποτὲ τέλος, τέλος ἕξει πάντως καὶ ἡ αἰώνιος ζωή. εἰ δὲ ἐπὶ τῆς ζωῆς τοῦτο νοῆσαι οὐ καταδεχόμεθα, ποῖον ἔχει λόγον τῇ κολάσει τῇ αἰωνίῳ τέλος διδόναι; ἡ γὰρ τοῦ αἰωνίου προσθήκη ἐφ' ἑκατέρων ἴσως κεῖται, ἀπελεύσονται φησὶν οὗτοι εἰς κόλασιν αἰώνιον. οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. τούτων οὖν οὕτως ὁμολογουμένων, εἰδέναι χρὴ, ὅτι καὶ τὸ δαρήσεται πολλὰς, καὶ τὸ δαρήσεται ὀλίγας οὐχὶ τέλος, ἀλλὰ διαφορὰν κολάσεως δηλοῖ. εἰ γὰρ ὁ θεὸς δίκαιος κριτής ἐστιν, οὐ μόνον τοῖς ἀγαθοῖς, ἀλλὰ καὶ τοῖς πονηροῖς ἀποδιδοὺς ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ, δύναται εἶναι ὁ μέν τις πυρὸς ἀσβέστου ἄξιος καὶ τούτου ἤτοι μαλακωτέρου, ἢ μᾶλλον φλέγοντος. ὁ δέ τις σκώληκος ἀτελευτήτου, καὶ τούτου πάλιν ἢ πρᾳοτέρου ὀδυνῶντος, ἢ σφοδροτέρου καὶ κατὰ τὴν ἀξίαν ἑκάστου. καὶ ἄλλας γεέννης διάφορα πάντως ἐχούσης τὰ κολαστήρια. καὶ ἕτερος τοῦ ἐξωτέρου σκότους, οὗ δεῖ ὁ μέν τις ἐν κλαυθμῷ μόνον, ὁ δέ τις καὶ ἐν βρυγμῷ τῶν ὀδόντων διὰ τὸ ἐπιτεταμένον τῶν πόνων γίνεται. καὶ τὸ ἐξώτερον δὲ σκότος ἀποφαίνει πάντως εἶναί τι καὶ

ἐλέγχοντος τὸν ἡμαρτηκότα, καὶ περὶ τοῦ ἐλεγχομένου ποιεῖται τὸν λόγον· ὅτι τοῦ Θεοῦ μὴ θέλοντος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, ἐὰν ὁ ἐλεγχθεὶς κατανυγῇ τὴν ψυχὴν, καὶ συνέλθῃ τῷ σκοπῷ τοῦ ἐλέγχοντος περὶ παντὸς πράγματος, τουτέστι περὶ παντὸς ἁμαρτήματος οὗ ἐὰν αἰτήσωνται τὴν ἄφεσιν, δοθήσεται αὐτοῖς παρὰ τοῦ φιλανθρώπου Θεοῦ· ἐὰν γὰρ μὴ συμφωνήσῃ ὁ ἐλεγχόμενος τῷ ἐλέγχοντι, οὐκέτι ἄφεσις γίνεται, ἀλλὰ δεσμὸς κατὰ τὸ ἐπιφερόμενον· ὅτι ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· πληρουμένου τοῦ κρίματος ἐκείνου, ὅτι ἐὰν καὶ τῆς ἐκκλησίας παρακούσῃ ὁ ἐλεγχθεὶς, ἔστωσαν ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης.

Ἐρώτησις, σξβʹ.

Τῆς γραφῆς ἐν τοῖς ἐπαινουμένοις τιθείσης τὴν πτωχείαν καὶ τὴν πενίαν, ὡς ἐν τῷ, μακάριοι οἱ πτωχοί· καὶ ἐν τῷ, τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας κύριε· καὶ πάλιν· πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά σου· τίς ἐστιν ἡ διαφορὰ πτωχείας καὶ πενίας; καὶ πῶς ἀλλαχοῦ ὁ Δαβὶδ λέγει, ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης;

Ἀπόκρισις.

Μεμνημένος τοῦ ἀποστόλου εἰπόντος περὶ τοῦ κυρίου, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὢν, λογίζομαι, ὅτι πτωχὸς μέν ἐστιν ὁ ἀπὸ πλούτου κατελθὼν εἰς ἔνδειαν· πένης δὲ ὁ ἐξ ἀρχῆς ἐν ἐνδείᾳ ὢν, καὶ ἀρέστως τῷ κυρίῳ κυβερνήσας τὴν τοιαύτην περίστασιν. ὁ δὲ Δαβὶδ πτωχὸν καὶ πένητα εἶναι ὁμολογεῖ, τάχα μὲν εἰς πρόσωπον τοῦ κυρίου καὶ τοῦτο λέγων· πτωχοῦ μὲν ὀνομαζομένου κατὰ τὸ, ὃς δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν· πένητος δὲ, καθὸ οὐ πλουσίου τινὸς, ἀλλὰ τέκτονος υἱὸς τὸ κατὰ σάρκα ἐχρημάτισε. τάχα δὲ καὶ ἐπείπερ ἤδει κατὰ τὸν Ἰὼβ μὴ θησαυροφυλακεῖν τὰ ἑαυτοῦ, μηδὲ ὡς ἰδίῳ προσέχειν τῷ πλούτῳ· τῷ οἰκονομεῖν δὲ πάντα κατὰ τὸ θέλημα τοῦ κυρίου.

Ἐρώτησις, σξγʹ.

Τί βούλεται διδάξαι ὁ κύριος διὰ τῶν ὑποδειγμάτων, οἷς ἐπιφέρει τὸ, οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. εἰ γὰρ ὁ μὲν θέλων πύργον οἰκοδομῆσαι, ἢ συμβαλεῖν ἑτέρῳ βασιλεῖ, παρασκευάσασθαι ὀφείλει, ἢ πρὸς τὴν οἰκοδομὴν, ἢ πρὸς τὸν πόλεμον· ἐὰν δὲ μὴ ᾖ δυνατὸς, ἔξεστιν αὐτῷ, ἢ μὴ θεῖναι θεμέλιον τὴν ἀρχὴν, ἢ ἐρωτῆσαι τὰ πρὸς εἰρήνην· ἄρα καὶ ὁ θελήσας μαθητὴς γενέσθαι τοῦ κυρίου, ἀποτάξασθαι ὀφείλει, ἐὰν δὲ καταμάθῃ πρὸς τοῦτο δυσκόλως ἔχοντα ἑαυτὸν, ἔξεστιν αὐτῷ μηδὲ τὴν ἀρχὴν μαθητεῦσαι τῷ κυρίῳ;

Ἀπόκρισις.

Σκοπὸς τῷ κυρίῳ ἐν τοῖς ὑποδείγμασι τούτοις ἐστὶν, οὐκ ἐξουσίαν δοῦναι γενέσθαι μαθητὴν τοῦ κυρίου, ἢ μὴ, ἀλλὰ δεῖξαι τὸ ἀδύνατον τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἐν τοῖς περισπῶσι τὴν ψυχήν· ἐν οἷς καὶ κινδυνεύει εὐάλωτος γινομένη ταῖς μεθοδείαις τοῦ διαβόλου· καὶ χλεύης καὶ γέλωτος ἀξία διὰ τὸ ἀτελὲς τῶν ἐσπουδάσθαι δοκούντων ἐλέγχεται· ὅπερ ἀπευχόμενος ὁ προφήτης παθεῖν ἔλεγε· μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν.

Ἐρώτησις, σξδʹ.

Τοῦ ἀποστόλου λέγοντος, ἵνα ἦτε εἰλικρινεῖς, καὶ πάλιν, ἀλλ' ὡς ἐξ εἰλικρινείας, τὸ εἰλικρινὲς, τί ἐστιν;

Ἀπόκρισις.

Εἰλικρινὲς λογίζομαι εἶναι τὸ ἀμιγὲς, καὶ ἄκρως κεκαθαρμένον ἀπὸ παντὸς ἐναντίου· συνηγμένον δὲ καὶ τεταγμένον πρὸς μόνην θεοσέβειαν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ πρὸς ἐν ἑκάστῳ καιρῷ καὶ πράγματι πρὸς τὸν ταύτης σκοπὸν ἀκριβῶς ἐπιζητούμενα· ὥστε μηδὲ τὰ πρὸς τὰ συγγενῆ τῶν κατορθωμάτων ἀπομετεωρίζεσθαι τὸν εἴς τι ταχθέντα. δηλοῦται δὲ τὸ μὲν πρότερον ἐξ αὐτῆς τῆς ἀκολουθίας· ἐπιφέρει γὰρ τῷ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, τὸ, ὡς ἐκ Θεοῦ, κατενώπιον Θεοῦ ἐν Χριστῷ λαλοῦμεν· τὸ δὲ δεύτερον ἐκ τοῦ, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν· ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν· ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως· καὶ ἐκ τῶν τούτοις ἐπιφερομένων.

Ἐρώτησις,

Ἀπόκρισις.

Ἕκαστον πρᾶγμα ἴδιον ἔχει ὅρον. τῷ γὰρ μὴ γίνεσθε ἄφρονες, ἐπιφέρει, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ θεοῦ. καὶ τῷ μὴ ἴσθι φρόνιμος παρ' ἑαυτῷ. τὸ, φοβοῦ δὲ τὸν θεὸν, καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ. ὥστε ἄφρων μέν ἐστιν ὁ μὴ συνιεὶς τὸ θέλημα τοῦ κυρίου, φρόνιμος δὲ παρ' ἑαυτῷ πᾶς ὁ λογισμοῖς ἰδίοις χρώμενος, καὶ μὴ κατὰ πάντα στοιχῶν τοῖς ῥήμασι τοῦ θεοῦ. εἰ οὖν τις βούλεται μήτε ἄφρων εἶναι, μήτε φρόνιμος παρ' ἑαυτῷ, συνιέναι ὀφείλει τὸ θέλημα τοῦ κυρίου πίστει τῇ εἰς αὐτόν. καὶ ἐν φόβῳ θεοῦ μιμεῖσθαι τὸν ἀπόστολον λέγοντα. λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ. καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ.

Ἐρώτησις, σξα.

Τοῦ κυρίου ἐπαγγειλαμένου, ὅτι πάντα, ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύοντες, λήψεσθε. καὶ πάλιν, ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται γενήσεται αὐτοῖς, πῶς αἰτήσαντές τινα καὶ αὐτοὶ οἱ ἅγιοι οὐκ ἔλαβον; ὡς καὶ ὁ ἀπόστολος εἰπών. ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ, καὶ μὴ λαβὼν τὸ αἴτημα. καὶ ἱερεμίας δὲ ὁ προφήτης, καὶ αὐτὸς μωϋσῆς.

Ἀπόκρισις.

Τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ εἰπόντος ἐν προσευχῇ. πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. εἶτα ἐπαγαγόντος, πλὴν μὴ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν γενέσθω. πρῶτον μὲν εἰδέναι δεῖ, ὅτι οὐ πᾶν, ὃ θέλομεν αἰτεῖν ἐπιτρέπομεν. οὐ μὴν οὖν δὲ τὸ συμφέρον αἰτεῖν πάντως γινώσκομεν. τὸ γὰρ τί προσευξόμεθα, καθὸ δεῖ οὐκ οἴδαμεν. ὥστε μετὰ πολλῆς μὲν περισκέψεως κατὰ τὸ θέλημα τοῦ θεοῦ ποιεῖσθαι δεῖ τὰ αἰτήματα, μὴ ἀκουομένους δὲ εἰδέναι χρὴ, ὅτι ἢ ἐπιμονῆς χρεία, ἢ καὶ ἐκτενείας κατὰ τὴν παραβολὴν τοῦ κυρίου πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν. καὶ κατὰ τὸ ἐν ἄλλῳ τόπῳ ὑπ' αὐτοῦ εἰρημένον, ὅτι διὰ τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς, δώσει αὐτῷ, ὅσον χρήζει. ἢ διορθώσεως καὶ ἐπιμελείας, κατὰ τὸ διὰ τοῦ προφήτου ἀπὸ τοῦ θεοῦ πρός τινας εἰρημένον, εἰπόντος. ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τὸ πρόσωπόν μου ἀφ' ὑμῶν. καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. λούσασθε, καθαροὶ γένεσθε. καὶ τὰ ἑξῆς. ὅτι δὲ καὶ νῦν γίνονται, καὶ εἰσὶ τῶν πολλῶν αἱ χεῖρες αἵματος πλήρεις, οὐδὲν ἀμφιβάλλειν δεῖ τὸν πιστεύοντα ἐκείνῳ τῷ κρίματι τοῦ θεοῦ, ὃ κατὰ τοῦ προστάσσοντος ἀναγγεῖλαι τῷ λαῷ καὶ σιωπήσαντος ἀπεφήνατο, εἰπών. ὅτι τὸ αἷμα τοῦ ἡμαρτηκότος ἐκ τῶν χειρῶν τοῦ σκοποῦ ἐκζητηθήσεται. ὅπερ ἀληθὲς, καὶ ἀπαράβατον εἶναι πληροφορηθεὶς ὁ ἀπόστολος ἔλεγε. καθαρός εἰμι ἀπὸ τοῦ νῦν ἀπὸ τοῦ αἵματος πάντων. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ. εἰ δὲ ὁ σιωπήσας μόνον, ὑπόχος τοῦ αἵματος τῶν ἁμαρτανόντων δείκνυται, τί ἄν τις εἴποι περὶ τῶν δι' ὧν ποιοῦσιν, ἢ δι' ὧν λαλοῦσι σκανδαλιζόντων ἑτέρους. ἔτι δὲ ὅτι καὶ δι' ἀναξιότητα τοῦ αἰτοῦντος οὐκ ἐπιτυγχάνεται τὸ αἴτημα, ὡς ἐπὶ τοῦ δαβὶδ ἀξαμένου οἰκοδομῆσαι οἶκον τῷ θεῷ, καὶ κωλυθέντος. ὃς τῆς μὲν πρὸς θεὸν εὐαρεστήσεως οὐκ ἀπηλλοτριώθη. οὐ μὴν καὶ ἐκείνου ἄξιος ἐκρίθη. ὁ μέντοι γε ἱερεμίας μὴ ἀκουσθεὶς φαίνεται διὰ τὴν κακίαν ἐκείνων, ὑπὲρ ὧν ηὔχετο. πολλάκις δὲ καὶ τοῦ καιροῦ διὰ ῥᾳθυμίαν παρελθόντος ἡμῖν. καθ' ὃν ἔδει ποιήσασθαι τὸ αἴτημα, ἀκαίρως ὕστερον καὶ μάτην αἰτοῦντες εὑρισκόμεθα. περὶ δὲ τοῦ, ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ, εἰδέναι χρὴ, ὅτι τῶν περιστάσεων τῶν τε ἔξωθεν, καὶ τῶν περὶ τὸ σῶμα, πολὺς καὶ διάφορός ἐστιν ὁ λόγος τοῦ θεοῦ ἢ ἐπάγοντος, ἢ συγχωροῦντος διὰ τὴν οἰκονομίαν κρείττονα τῆς παρὰ ταῦτα ἀνέσεως. ἐὰν μὲν οὖν τις δυνηθῇ γνωρίσαι, ὅτι χρὴ διὰ προσευχῆς καὶ αἰτήσεως ἀπαλλαγῆναι τῆς περιστάσεως, ἀκούεται αἰτήσασθαι ὡς οἱ δύο τυφλοὶ ἐν εὐαγγελίῳ, καὶ οἱ δέκα λεπροί. καὶ πολλοὶ ἕτεροι. ἐὰν δέ τις μὴ γνωρίσῃ τὸν λόγον, καθ' ὃν περιπέπτωκε τῷ πειρασμῷ. πολλάκις γὰρ καὶ δι' ὑπομονῆς διορθωθῆναι αὐτῷ ὁ σκοπὸς τῶν ἐπαγομένων ὀφείλει. καὶ δέον εἰς τέλος ὑπομένειν, παραιτεῖται τὴν περίστασιν, οὐκ ἀκούεται. ἐπεὶ μὴ συντρέχει τῷ σκοπῷ τῆς φιλανθρωπίας τοῦ θεοῦ. τὸ δὲ, δύο ὑμῶν ἐὰν συμφωνήσωσιν αὐτὴ ἡ περικοπὴ σαφηνίζει. περὶ γὰρ τοῦ

ἐρώτησις, σνδ'.

Τίς ἐστιν ἡ τράπεζα, ἐφ' ἣν ἔδει, φησὶν ὁ κύριος, βαλεῖν τὸ ἀργύριον;

Ἀπόκρισις.

Αἱ παραβολαὶ οὐκ ἐπὶ εἴδους τὰ διηγήματα πληροῦσι, πρὸς δὲ τὴν ὑπόθεσιν τὸν νοῦν ὁδηγοῦσιν. ὥσπερ οὖν τὸ ἀργύριον ἀκολουθίαν ἔχει τοῖς τραπεζίταις δίδοσθαι εἰς πορισμόν· εἰσὶ γάρ, ὡς ἐν ἀλεξανδρείᾳ ἔγνων, οἱ ὑποδεχόμενοι καὶ τοῦτο ποιοῦντες, οὕτως ἐπάναγκες τὸν ὑποδεξάμενον οἱανδήποτε χάριν μεταδιδόναι τῷ χρείαν ἔχοντι, ἢ ἐκεῖνο ποιεῖν, τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον ἐπὶ τοῦ λόγου· ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. οὐ γὰρ μόνον ἐπὶ τοῦ λόγου τοῦτο γίνεσθαι πέφυκεν, ἀλλὰ καὶ ἐπὶ παντὸς πράγματος. ὅτι οἱ μὲν τὸ δύνασθαι ἔχουσιν, οἱ δὲ τὴν ἐμπειρίαν τῆς οἰκονομίας ὑπεδέξαντο.

ἐρώτησις, σνε'.

Πῶς ἀπελθεῖν προσετάχθη ὁ ἀκούσας, ἆρον τὸ σὸν, καὶ ὕπαγε.

Ἀπόκρισις.

Τάχα ὅπου καὶ οἱ ἐξ ἀριστερῶν σταθέντες ἀπελθεῖν προσετάχθησαν, οἵτινες ἐπὶ ἀργίᾳ τῶν καλῶν ἐνεκλήθησαν. πᾶς δὲ ὁ φθονῶν τῷ ἀδελφῷ, χείρων ἐστὶ τοῦ ἀργοῦ. τῆς γραφῆς ἔθος ἐχούσης πολλαχοῦ μετὰ τοῦ φόνου τάσσειν τὸν φθόνον.

ἐρώτησις, σνϛ'.

Τίς ἐστιν ὁ μισθὸς, ὃν λαμβάνουσι καὶ οὗτοι ὁμοίως τοῖς ἐσχάτοις.

Ἀπόκρισις.

Τάχα τὸ μὴ ἐγκληθῆναι ὑπὲρ ὧν ἐποίησέ τις καλῶν, κοινὸν πάντων τῶν ὑπακουόντων. τὸ γὰρ στεφανωθῆναι, ἴδιον τῶν τὸν καλὸν ἀγῶνα νομίμως ἀγωνισαμένων, τὸν δρόμον τελεσάντων, τὴν πίστιν τηρησάντων, ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. δύναται δὲ ὁ συμπεφωνημένος μισθὸς εἶναι· καὶ τὰ ἑκατονταπλασίονα, ἅπερ ἐν τῷ νῦν καιρῷ ἀπολήψεσθαι ὁ κύριος ἐπηγγείλατο τοῖς διὰ τὴν ἐντολὴν αὐτοῦ ἀφιοῦσιν, ὅτι δήποτε τῶν παρόντων. ὥστε τὸ μὲν ἆρον τὸ σὸν, τὸ δὲ τούτου εἰρῆσθαι. ἐπειδὴ δὲ φθόνου πάθος ἐνόσησαν οἱ προκεκμηκέναι δόξαντες πρὸς τοὺς τῶν ἴσων ἀπολαύσαντας, μηκέτι κληρονομεῖν αὐτοὺς καὶ τὴν αἰώνιον ζωὴν, ἀλλὰ μόνα τὰ ἑκατονταπλασίονα νῦν ἀπολαμβάνοντας ἐν τῷ μέλλοντι κατακρίνεσθαι διὰ τὸν φθόνον, καὶ ἀκούειν τὸ ὕπαγε.

ἐρώτησις, σνζ'.

Τίνες εἰσὶν, ἄχυρον κατακαιόμενον πυρὶ ἀσβέστῳ;

Ἀπόκρισις.

Οἱ χρησιμάζοντες μὲν τοῖς ἀξίοις τῆς βασιλείας τῶν οὐρανῶν, ὡς τὸ ἄχυρον τῷ σίτῳ· μὴ ἐν διαθέσει δὲ τῆς πρὸς θεὸν ἀγάπης, καὶ τῆς πρὸς τὸν πλησίον τοῦτο ποιοῦντες, εἴτε ἐν τοῖς πνευματικοῖς χαρίσμασιν, εἴτε ἐν ταῖς σωματικαῖς ἐργασίαις. καὶ οὕτως ἀτελεῖς ἑαυτοὺς ἀφιοῦντες.

ἐρώτησις, σνη'.

Τίς ἐστιν ὁ ὑπὸ τοῦ ἀποστόλου καταγινωσκόμενος, ὅτι θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ καὶ τὰ ἑξῆς.

Ἀπόκρισις.

Τὸ ἐπιφερόμενον σαφηνίζειν οἶμαι τὴν ἐν τῷ τόπῳ δηλουμένην ὑπόθεσιν. ἀφειδίαν γὰρ σώματος περιϊὸν, ὀνομάζει. οἷοί εἰσιν οἱ μανιχαῖοι, καὶ εἴ τινες ὅμοιοι τούτοις.

ἐρώτησις, σνθ'.

Τίς ἐστιν ὁ ζέων τῷ πνεύματι;

Ἀπόκρισις.

Ὁ διαπύρῳ προθυμίᾳ, καὶ ἀκορέστῳ ἐπιθυμίᾳ, καὶ ἀόκνῳ σπουδῇ ποιῶν τὸ θέλημα τοῦ θεοῦ ἐν ἀγάπῃ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν. κατὰ τὸ γεγραμμένον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

ἐρώτησις, σξ'.

Τοῦ ἀποστόλου λέγοντος, ποτὲ μὲν μὴ γίνεσθε ἄφρονες, ποτὲ δὲ μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. ἐν δυνατὸν μὴ εἶναι φρόνιμον παρ' ἑαυτῷ τὸν μὴ ἄφρονα.

ἀλλὰ παρὰ τὴν ἀπειρίαν τῶν ἐλεγχομένων. καὶ καλῶς ἐγκαλεῖται ὁ ἀσυνέτως, ὡς ὁ ἡλίου ἀνατείλαντος καμμύων τοὺς ὀφθαλμοὺς ἵνα ἐν σκότει διάγῃ, καὶ μὴ ἀναβλέπων ἵνα φωτισθῇ.

Ἐρώτησις, σμθ'.

Τί ἐστι τὸ ὅσιον, καὶ τί ἐστι τὸ δίκαιον;

Ἀπόκρισις.

Ὅσιον μὲν εἶναι λογίζομαι τὸ πρέπον καὶ ὀφειλόμενον παρὰ τῶν εὐεργετηθέντων τῷ ὑπερέχοντι κατὰ τὸν τῆς ὑπεροχῆς λόγον. δίκαιον δὲ, τὸ πρὸς ἀξίαν τῶν ἔργων ἑκάστῳ ἀποδιδόμενον. καὶ τοῦ μὲν ὁσίου, τῶν καλλίστων μόνον ἐστὶν ἡ εὐγνωμοσύνη καὶ ἀπόδοσις. τοῦ δὲ δικαίου, καὶ ἡ τῶν κακῶν δοκιμασία καὶ ἀνταπόδοσις.

Ἐρώτησις, σν'.

Πῶς δίδωσί τις τὸ ἅγιον τοῖς κυσὶν, ἢ βάλλει τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ἢ πῶς συμβαίνει τὸ ἐπιφερόμενον, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

Ἀπόκρισις.

Σαφῶς ἡμῖν παραδίδωσιν ὁ ἀπόστολος τοῖς ὑπ' αὐτοῦ εἰρημένοις πρὸς τοὺς ἰουδαίους, εἰπηκώς, „ὅτι ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις. τὴν οὖν ἀτιμίαν, ἣν διὰ τῆς παραβάσεως ἀτιμάζομεν τοὺς ἁγίους τοῦ κυρίου λόγους, ἐν τούτῳ θεὸς ὁ κύριος ἀπηγόρευσεν. ἀφ' ἧς παραβάσεως συμβαίνει καὶ τοὺς ἔξω τῆς πίστεως. ἅμα τε καταφρονῆσαι ἡγεῖσθαι τὰ τοῦ κυρίου διδάγματα, καὶ ἀπ' αὐτῶν ἐκείνων θρασύτερον ἡμῖν ἐπεγείρεσθαι, καὶ οἱονεὶ ῥηγνύειν τοῖς ὀνειδισμοῖς, καὶ τοῖς ἐλέγχοις τὸν παραβαίνοντα.

Ἐρώτησις, σνα'.

Πῶς ποτὲ μὲν ἀπαγορεύει ὁ κύριος βαστάζειν βαλλάντιον καὶ πήραν εἰς ὁδὸν, ποτὲ δὲ λέγει, ἀλλὰ νῦν ὁ ἔχων βαλλάντιον, αἰρέτω ὁμοίως καὶ πήραν. καὶ ὁ μὴ ἔχων πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.

Ἀπόκρισις.

Τοῦτο σαφηνίζει ὁ αὐτὸς κύριος εἰπὼν, ὅτι δεῖ γὰρ ἔτι τοῦτο τελεσθῆναι ἐν ἐμοί. τὸ καὶ μετὰ ἀνόμων ἐλογίσθη. αὐτίκα γὰρ μετὰ τὸ πληρωθῆναι τὴν περὶ τῆς μαχαίρας προφητείαν, „λέγει τῷ πέτρῳ, ἀπόστρεψόν σου τὴν μάχαιράν σου εἰς τὴν θήκην αὐτῆς. πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. ὡς μὴ εἶναι πρόσταγμα, ἀλλὰ νῦν ὁ ἔχων βαλλάντιον, αἰρέτω, ἤτοι ἀρεῖ. οὕτω γὰρ καὶ τὰ πολλὰ τῶν ἀντιγράφων ἔχει. ἀλλὰ προφητείαν προλέγοντος τοῦ κυρίου. ὅτι ἔμελλον οἱ ἀπόστολοι ἐπιλανθανόμενοι τῶν δωρεῶν καὶ τοῦ νόμου τοῦ κυρίου καὶ ξίφους κατατολμᾶν. καὶ ὅτι τῷ προστακτικῷ εἴδει τοῦ λόγου ἀντὶ προφητικοῦ πολλάκις κέχρηται ἡ γραφὴ, πολλαχόθεν δῆλον. οἷον ἐστὶ τὸ, γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. καὶ ὅσα τοιαῦτα.

Ἐρώτησις, σνβ'.

Τίς ἐστιν ὁ ἄρτος ὁ ἐπιούσιος, ὃν δίδοσθαι ἡμῖν καθ' ἡμέραν προσεύχεσθαι ἐδιδάχθημεν.

Ἀπόκρισις.

Ὅταν ὁ ἐργαζόμενος μνημονεύων τοῦ κυρίου λέγοντος μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, „ἢ τί πίητε, καὶ τοῦ ἀποστόλου παραγγέλλοντος ἐργάζεσθαι, ἵνα ἔχωμεν μεταδιδόναι τῷ χρείαν ἔχοντι, μὴ τῆς ἰδίας χρείας, ἀλλὰ τῆς ἐντολῆς τοῦ κυρίου ἕνεκεν ἐργάζηται. ἐπειδὴ ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ, τότε τὸν ἐπιούσιον ἄρτον, τουτέστι τὸν πρὸς τὴν ἐφήμερον ζωὴν τῇ οὐσίᾳ ἡμῶν χρησιμεύοντα, οὐχ ἑαυτῷ ἐπιτρέπει, ἀλλὰ τῷ θεῷ ἐντυγχάνει περὶ τούτου, καὶ τὴν ἀνάγκην τῆς ἐνδείας αὐτῷ ἐπιδείξας, οὕτως ἐσθίει τὸ διδόμενον παρὰ τοῦ μετὰ δοκιμασίας ἐπιτεταγμένου ποιεῖν ἐφ' ἑκάστης ἡμέρας, τὸ διαδίδοσθαι ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν.

Ἐρώτησις, σνγ'.

Τί ἐστι τὸ τάλαντον, ἢ πῶς αὐτὸ πολυπλασιάσομεν;

Ἀπόκρισις.

Λογίζομαι τὴν παραβολὴν πρὸς πᾶσαν θεοῦ δωρεὰν εἰρῆσθαι. ἵνα ἕκαστος ἣν ἂν δοκιμασθῇ χάριν ἔχειν παρὰ τοῦ θεοῦ, ταύτην πολυπλασιάσῃ εἰς ἐξεργασίαν καὶ ὄφελος πλειόνων ἐπιγνώσεως. οὐδεὶς γάρ ἐστιν ἀμέτοχος τῆς τοῦ θεοῦ χρηστότητος.

τῷ ἡμῶν ἁρμόζον, εἰπών, πᾶσα πικρία, καὶ θυμὸς καὶ ὀργή, καὶ κραυγή, ἀρθήτω ἀφ' ὑμῶν.

Ἐρώτησις, σμδ΄.

τί ἐστι τό, δότε τόπον τῇ ὀργῇ;

Ἀπόκρισις.

Ἤτοι τὸ μὴ ἀντιστῆναι τῷ πονηρῷ, καθὼς γέγραπται, ἀλλὰ καὶ τῷ τύπτοντι ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψαι καὶ τὴν ἄλλην. καὶ τὰ ἑξῆς. ἢ τό, ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην.

Ἐρώτησις, σμε΄.

τί ἐστιν ὁ φρόνιμος ὡς ὁ ὄφις, καὶ ἀκέραιος, ὡς ἡ περιστερά.

Ἀπόκρισις.

Φρόνιμος μέν, ὡς ὁ ὄφις ὁ μετὰ περισκέψεως καὶ κατανοήσεως τοῦ δυνατοῦ καὶ τῆς ὁδοῦ τῆς πρὸς τὴν πειθὼ τῶν ἀκουόντων τὴν διδασκαλίαν οἰκονομῶν. ἀκέραιος δὲ ὡς ἡ περιστερά, ὁ μήτε εἰς ἔννοιαν λαμβάνων τοῦ ἀμύνασθαι τὸν ἐπιβουλεύοντα, ἐπιμένων δὲ τῇ εὐεργεσίᾳ κατὰ τὸ ῥητὸν τοῦ ἀποστόλου προστεταγμένον. ὅτι ὑμεῖς δὲ μὴ ἐκκακεῖτε καλοποιοῦντες. ἐπὶ γὰρ τὸ κήρυγμα τοὺς μαθητὰς ἀποστέλλων ὁ κύριος, ταῦτα αὐτοῖς ἐντέλλεται. ὅπου καὶ σοφίας ἦν χρεία πρὸς τὸ πεῖσαι, καὶ ἀνεξικακίας πρὸς τοὺς ἐπιβουλεύοντας. ἵνα ὡς ἐκεῖ ὁ ὄφις ἔγνω, καὶ προσώπῳ προσελθεῖν εὐαγωγοτέρῳ, καὶ πιθανῶς εἰπεῖν εἰς τὸ ἀποστῆσαι θεοῦ, καὶ ὑπαγαγέσθαι τῇ ἁμαρτίᾳ, οὕτω καὶ ἡμεῖς, καὶ πρόσωπον, καὶ τόπον καὶ καιρὸν ἐπιλεγόμεθα, καὶ παντὶ τρόπῳ τοὺς λόγους οἰκονομῶμεν ἐν κρίσει, πρὸς τὸ ἀποστῆναι τῆς ἁμαρτίας, καὶ ἐπαναγαγεῖν πρὸς θεόν. τὴν δέ γε ὑπομονὴν ἐν τοῖς πειρασμοῖς κατορθώσωμεν εἰς τέλος, καθὼς γέγραπται.

Ἐρώτησις, σμϛ΄.

τί ἐστι τό, ἡ ἀγάπη οὐκ ἀσχημονεῖ;

Ἀπόκρισις.

Ἴσον τῷ εἰπεῖν, τοῦ ἰδίου σχήματος οὐκ ἐκπίπτει. σχῆμα δὲ ἀγάπης τὰ ῥητὰ τοῦ ἀποστόλου ἐν τῷ αὐτῷ τόπῳ ἀπηριθμημένα τῆς ἀγάπης ἰδιώματα.

Ἐρώτησις, σμζ΄.

Τῆς γραφῆς λεγούσης, μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε ὑψηλά. καὶ τοῦ ἀποστόλου ποτὲ μὲν ὁμολογοῦντος, ὅτι ὃ λαλῶ, οὐ κατὰ κύριον λαλῶ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. καὶ πάλιν. γέγονα ἄφρων καυχώμενος. ποτὲ δὲ ἐπιτρέποντος, ὅτι ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω, τίς ἐστιν ἡ ἐν κυρίῳ καύχησις, καὶ τίς ἡ ἀπηγορευμένη;

Ἀπόκρισις.

Ἡ μὲν τοῦ ἀποστόλου ἡ κατ' ἀνάγκην πρὸς τὰ πάθη σύστασις, δῆλος. οὐ γὰρ ἵνα ἑαυτοὺς συστήσῃ, ταῦτά φησιν, ἀλλ' ἵνα τὸ θράσος τῆς τινῶν ἀλαζονείας, καὶ τὴν ἔπαρσιν καταβάλῃ. καύχησις δὲ ἡ μὲν ἐν κυρίῳ, ἐστὶν ὅταν τις τὰ κατορθώματα μὴ ἑαυτῷ, ἀλλὰ τῷ κυρίῳ ἀνατίθηται, λέγων. πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. ἡ δὲ ἀπηγορευμένη, διπλοῦν ἂν ἔχοι λόγον, ἢ κατὰ τὸ ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ. καὶ τό, τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἢ κατὰ τό, ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις, δι' αὐτοῦ τοῦ θέλειν ἐπαινεθῆναι ἐφ' οἷς ποιοῦσιν, οἱονεὶ ἐγκαυχώμενοι τοῖς γινομένοις. οἱ δὲ τοιοῦτοι καὶ ἱερόσυλοι εἶεν ἄν, τὰς τοῦ θεοῦ δωρεὰς ἰδιοποιούμενοι, καὶ τὴν ὀφειλομένην τῷ θεῷ δόξαν εἰς ἑαυτοὺς ἁρπάζοντες.

Ἐρώτησις, σμη΄.

Εἰ ὁ κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. καὶ εἰ διὰ τοῦ πνεύματος, ᾧ μὲν δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως. πῶς ἐγκαλεῖ τοῖς μαθηταῖς ὁ κύριος, ὅτι ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε. καὶ ὁ ἀπόστολος αἰτιᾶται τινὰς ὡς ἀσυνέτους;

Ἀπόκρισις.

Εἴ τις τὸ ἀγαθὸν τοῦ θεοῦ οἶδε, τοῦ θέλοντος πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ τοῦ ἁγίου πνεύματος τὴν ἐπιμέλειαν ἔμαθεν, ἐν τῇ διαιρέσει καὶ ἐνεργείᾳ τῶν τοῦ θεοῦ χαρισμάτων, οὗτος γνωρίζει τὴν βραδύτητα τῆς συνέσεως, οὐ παρὰ τὸν ὄκνον τοῦ [illegible],

ρίων τὰ τοῦ ἀκολουθεῖν ἐμπόδια.

ἐρώτησις, σλη.

Εἰ δυνατόν ἐστι τὸ ἀδιαλείπτως ψάλλειν, ἢ ἀναγινώσκειν, ἢ σπουδαιολογεῖσθαι περὶ τῶν ῥημάτων τοῦ Θεοῦ, καὶ διάστημα μὴ γίνεσθαι. καθόλου δὲ τὴν ἐπισυμβαίνουσαν ἀνάγκην τῶν ῥυπαρωτέρων τοῦ σώματος χρειῶν.

ἀπόκρισις.

Τοῦτο ἡμῖν ὁ ἀπόστολος κανονίζει εἰπών· πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω. ὥστε δεῖ μᾶλλον τῆς εὐσχημοσύνης καὶ τῆς εὐταξίας φροντίζειν κατά τε καιρὸν καὶ τόπον.

ἐρώτησις, σλθ.

Τίς ὁ θησαυρὸς ὁ ἀγαθὸς, καὶ τίς ὁ πονηρός.

ἀπόκρισις.

Ἡ μὲν φρόνησις πάσης τῆς ἐν Χριστῷ εἰς δόξαν Θεοῦ ἀρετῆς θησαυρὸς ἀγαθός ἐστιν. ἡ δὲ φρόνησις τῆς κακίας τῶν ἀπηγορευμένων ἀπὸ τοῦ Κυρίου θησαυρὸς πονηρός ἐστιν. ἐξ ὧν προφέρεται κατὰ τὴν τοῦ Κυρίου φωνὴν ἐν τοῖς οἰκείοις ἑκατέρων ἔργοις τε καὶ λόγοις, ἤτοι πονηρὰ, ἤτοι ἀγαθά.

ἐρώτησις, σμ.

Κατὰ τί πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν.

ἀπόκρισις.

Ὅτι δὲ πολλὴν φιλαυτίαν τοῖς ὀνόμασι καὶ ῥήμασι τῶν γινομένων πραγμάτων κέχρηται, πρὸς παράστασιν τῶν ἀληθείας δογμάτων. ὥσπερ οὖν τῆς κατὰ γῆν ὁδοῦ ἡ παρέκβασις πολλὴν πλατύτητα ἔχει, οὕτω φησὶν ὁ ἐκβαίνων τῆς ὁδοῦ τῆς ἀγούσης εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἐν πολλῷ πλάτει τῆς πλάνης εὑρίσκεται. τὸ δὲ πλατεῖα καὶ εὐρύχωρος, λογίζομαι ὅτι ταυτόν ἐστιν. τὸ γὰρ εὐρὺ, καὶ παρὰ τοῖς ἔξω τισὶ παιδευομένοις, πλατὺ λέγεται. ὁ οὖν χῶρος τουτέστιν ὁ τόπος τῆς πλάνης πλατύς ἐστιν, ἧς τὸ τέλος ἀπώλεια.

ἐρώτησις, σμα.

Πῶς στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. καὶ πῶς δι' αὐτῆς τις εἰσέρχεται.

ἀπόκρισις.

Πάλιν καὶ ἐνταῦθα τὸ στενὸν καὶ τεθλιμμένον οὐκ ἄλλο καὶ ἄλλό τι δηλοῖ, ἀλλὰ τῆς στενότητος τὴν ἐπίτασιν τὸ τεθλιμμένον παρίστησιν. ἐπὶ τοσοῦτον τῆς ὁδοῦ ἀποστενουμένης, ὡς θλίβεσθαι, τουτέστι στενοχωρεῖσθαι ἑκατέρωθεν τὸν ὁδεύοντα, παρεκβάσεως πάσης ἐπικινδύνου οὔσης, εἴτε δεξιᾷ εἴτε ἀριστερᾷ. ὡς ἐπὶ γεφύρας, παντόθεν τοῦ ἀπορρέοντος ποταμοῦ ἀποδεχομένου τὸν ἐκκλίνοντα. διό φησιν ὁ Δαβίδ. ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. δεῖ οὖν τὸν διὰ τῆς στενῆς καὶ τεθλιμμένης εἰσελθεῖν εἰς τὴν ζωὴν προθέμενον, φυλάσσειν ἑαυτὸν ἀπὸ πάσης παρεκβάσεως καὶ παρεκτροπῆς τῶν ἐντολῶν τοῦ Κυρίου, πληροῦντα τὸ γεγραμμένον. μὴ ἐκκλίνῃς δεξιὰ μηδὲ ἀριστερά.

ἐρώτησις, σμβ.

Τί ἐστι τὸ, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι.

ἀπόκρισις.

Ἡ στοργὴ κατ' ἐπίτασιν τῆς φιλίας λέγοιτο ἂν, ἐν ἐπιθυμίᾳ καὶ διαθέσει διαπύρῳ τοῦ ἀγαπῶντος περὶ τὸν ἀγαπώμενον. ἵν' οὖν μὴ ἐπιπόλαιος ἡ φιλαδελφία, ἐνδιάθετος δὲ, καὶ διάπυρος ᾖ, εἴρηται τὸ τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι.

ἐρώτησις, σμγ.

Τί βούλεται, λέγων ὁ ἀπόστολος, ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. καίτοιγε ἀλλαχοῦ εἰπὼν, πᾶσα πικρία καὶ ὀργὴ, καὶ θυμὸς ἀρθήτω ἀφ' ὑμῶν.

ἀπόκρισις.

Κατὰ μίμησιν τοῦ Κυρίου νομίζω τὸν ἀπόστολον ἐνταῦθα μετακεχειρίσθαι τὸν λόγον. ὥσπερ γὰρ ἐν τῷ εὐαγγελίῳ ὁ Κύριος πρότερον εἰπών. ἐρρέθη τοῖς ἀρχαίοις τόδε. εἶτα ἐπάγει. ἐγὼ δὲ λέγω ὑμῖν τόδε. οὕτω καὶ ἐνταῦθα ὁ ἀπόστολος πρότερον μνημονεύσας τοῦ παλαιοῦ, καὶ τοῖς τότε ῥηθέντος, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε, ἐπιφέρει μετ' ὀλίγα τὸ παρ' ἑαυ-

ἴδιαν μακροθυμίαν ἔφησυχάση, διπλῆν ἁμαρτίαν ἁμαρτάνει· ὅτι τε αὐτὸς παραβαίνει τὴν λέγουσαν ἐντολήν· ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν, καὶ κοινωνὸς τοῦ ἁμαρτάνοντος διὰ τῆς σιωπῆς γίνεται· καὶ ὅτι τὸν δυνάμενον ἴσως κερδηθῆναι διὰ τῶν ἐλέγχων, καθὼς καὶ ὁ κύριος διετάξατο, τοῦτο ἀφίησιν ἐναπολέσθαι τῷ κόσμῳ.

Ἐρώτησις, σλγ'.

Ἐκ πάντων τῶν κατορθωμάτων, ἐὰν ἐλλείπῃ τινί, εἰ διὰ τοῦτο οὐ σώζεται.

Ἀπόκρισις.

Πολλῶν ὄντων ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ διαθήκῃ τῶν δυναμένων περὶ τούτου πληροφορῆσαι ἡμᾶς, ἀρκεῖν ἡγοῦμαι τῷ πιστῷ καὶ μόνον τὸ ἐπὶ τῷ Πέτρῳ κρίμα, ὃς ἐπὶ τοσούτοις καὶ τηλικούτοις κατορθώμασι, καὶ τοιούτοις παρὰ τοῦ κυρίου μακαρισμοῖς καὶ ἐπαίνοις, ἵνα ἐν ἑνὶ μόνῳ δόξῃ παρακούειν, καὶ τοῦτο οὐδὲ διὰ ὄκνον, οὔτε διὰ καταφρόνησιν, ἀλλὰ δι' εὐλάβειαν καὶ τιμὴν τὴν περὶ τὸν κύριον, ἐπὶ τούτῳ μόνῳ ἀκούει, ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ.

Ἐρώτησις, σλδ'.

Πῶς τὸν θάνατον τις τοῦ κυρίου καταγγέλλει;

Ἀπόκρισις.

Ὡς ὁ κύριος ἐδίδαξεν εἰπών· εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ· καὶ ὁ ἀπόστολος παρέστησεν ὁμολογήσας τό, ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· ὅπερ ἐν αὐτῷ τῷ βαπτίσματι προλαβόντες, συνεθέμεθα· ὅσοι γάρ φησιν ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· οἷς ἐπιφέρει, ἑρμηνεύων τί ἐστι τὸ εἰς τὸν θάνατον τοῦ κυρίου βαπτισθῆναι· ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· πάσης δὲ τῆς πρὸς τὸ ζῆν προσπαθείας καταφρονοῦντας ἀξίους γενέσθαι τῆς μαρτυρίας τοῦ ἀποστόλου εἰπόντος, ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ· ὥστε θαρροῦντας ἡμᾶς λέγειν μετὰ παρρησίας, ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων· καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.

Ἐρώτησις, σλε'.

Εἰ συμφέρει πολλὰ ἐκμανθάνειν ἐκ τῶν γραφῶν.

Ἀπόκρισις.

Δύο ταγμάτων καθολικωτέρων ὄντων, καὶ τῶν μὲν τὴν προστασίαν πεπιστευμένων, τῶν δὲ εἰς εὐπείθειαν καὶ ὑπακοὴν τεταγμένων ἐν διαφόροις χαρίσμασι, λογίζομαι, ὅτι ὁ μὲν τὴν προστασίαν καὶ ἐπιμέλειαν τῶν πλειόνων ἐγκεχειρισμένος, τὰ πάντων εἰδέναι καὶ ἐκμανθάνειν ὀφείλει, ἵνα πάντας διδάσκῃ τὰ θελήματα τοῦ θεοῦ, ἑκάστῳ ἀποδεικνὺς τὰ αὐτῷ ἐπιβάλλοντα· τῶν δὲ ἄλλων ἕκαστος μεμνημένος τοῦ ἀποστόλου εἰπόντος, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε· τὰ ἑαυτῷ ἐπιβάλλοντα σπουδαίως, μανθανέτω καὶ ποιείτω, μηδὲν πλέον περιεργαζόμενος· ἵνα γένηται ἄξιος τῆς φωνῆς τοῦ κυρίου εἰπόντος, εὖγε ἀγαθὲ δοῦλε· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω.

Ἐρώτησις, σλϛ'.

Ὅσοι κατηξιώθησαν τὰ τέσσαρα εὐαγγέλια ἐκμαθεῖν, πῶς ὀφείλουσι τὴν χάριν δέξασθαι;

Ἀπόκρισις.

Τοῦ κυρίου ἀποφηναμένου ὅτι ᾧ παρέθετο πολύ, περισσότερον ἀπαιτήσουσιν αὐτόν· περισσοτέρως φοβεῖσθαι καὶ σπουδάζειν ὀφείλουσι· καθὼς ὁ ἀπόστολος ἐδίδαξεν εἰπών· συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ θεοῦ δέξασθαι· τοῦτο δὲ γίνεται, ἐὰν πεισθῶμεν τῷ κυρίῳ λέγοντι, εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.

Ἐρώτησις, σλζ'.

Ποταπὴ ψυχὴ κατευθύνεται πρὸς τὸ θέλημα τοῦ θεοῦ.

Ἀπόκρισις.

Ἡ καταδεξαμένη τὴν προστασίαν τοῦ κυρίου εἰπόντος, εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· ἐὰν γάρ τις μὴ προκατορθώσῃ τό, ἀπαρνήσασθαι ἑαυτόν, καὶ τό, ἆραι τὸν σταυρόν, πολλὰ ἐξ ἑαυτοῦ διείσκει

τούτου ἀκρίβειαν, ὡς δυνατὸν ἡμῖν παραδεδώκαμεν.

Ἐρώτησις, σκθʹ.

Εἰ χρὴ τοὺς ἀπηγορευμένας πράξεις ἀνεπαισχυντότερον ἐξαγορεύειν πᾶσι, ἢ τισὶ καὶ ποίοις τούτοις.

Ἀπόκρισις.

Ἡ ἐξαγόρευσις τῶν ἁμαρτημάτων τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει ἡ ἐπίδειξις τῶν σωματικῶν παθῶν. ὡς οὖν τὰ πάθη τοῦ σώματος οὐ πᾶσιν ἀποκαλύπτουσιν οἱ ἄνθρωποι, οὔτε τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἐμπείροις τῆς τούτων θεραπείας. οὕτω καὶ ἡ ἐξαγόρευσις τῶν ἁμαρτημάτων γίνεσθαι ὀφείλει, ἐπὶ τῶν δυναμένων θεραπεύειν, κατὰ τὸ γεγραμ-
» μένον. ὑμεῖς οἱ δυνατοὶ, τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζετε. τουτέστι, αἴρετε
» διὰ τῆς ἐπιμελείας.

Ἐρώτησις, σλʹ.

Τί ἐστι λατρεία, καὶ τί ἐστιν ἡ λογικὴ λατρεία;

Ἀπόκρισις.

Λατρεία μέν ἐστιν, ὡς λογίζομαι, ἡ συντεταμένη καὶ διηνεκὴς, καὶ ἀμετακίνητος περὶ τὸ λατρευόμενον θεραπεία. τὴν δὲ διαφορὰν τῆς λογικῆς λατρείας, καὶ τῆς ἀλόγου παρί-
» στησιν ἡμῖν ὁ ἀπόστολος εἰπών. ποτὲ μὲν οἴδατε, ὅτι ὅτε ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄ-
» φωνα ὡς ἂν ἤγεσθε ἀπαγόμενοι. ποτὲ δὲ παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν
» ἁγίαν, εὐάρεστον τῷ θεῷ. τὴν λογικὴν λατρείαν ὑμῶν. ὁ μὲν γὰρ ὡς ἂν ἄγηται, ἀπαγόμενος, ἄλογον λατρεύει λατρείαν, ἅτε μὴ ὑπὸ λόγου καθηγουμένου, ἰδίᾳ ὁρμῇ καὶ προθέσει κινούμενος. τῇ δὲ τοῦ ἄγοντος ἐξουσίᾳ πρὸς ὅπερ ἂν ἄγηται, καὶ ὡς οὐ θέλει φερόμενος. ὁ δὲ μετὰ λόγου ὑγιοῦς καὶ βουλῆς ἀγαθῆς σὺν πολλῇ φροντίδι τὰ τῷ θεῷ πάντοτε καὶ πανταχοῦ δοκοῦντα σκοπούμενος, καὶ κατορθῶν, οὗτος πληροῖ τὴν ἐντολὴν τῆς
» λογικῆς λατρείας, κατὰ τὸν εἰπόντα, λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρί-
» βοις μου. καὶ πάλιν. καὶ ἡ συμβουλία μου τὰ δικαιώματά σου.

Ἐρώτησις, σλαʹ.

Ἐὰν ἀδελφὸς πονηρεύηται εἰς ἐμὲ, καὶ ἐχθραίνῃ μοι, ἢ ἐνίοτε καὶ ἱερεὺς, εἰ ἔξεστί μοι τὰς δεδομένας μοι περὶ ἐχθροῦ ἐντολὰς καὶ ἐπ' αὐτοῦ φυλάσσειν.

Ἀπόκρισις.

Οὔτε ἐν ταῖς περὶ ἐχθρῶν ἐντολαῖς, οὔτε ἐχθροῦ, οὔτε ἐχθρῶν διαφορὰν ᾐνίξατο. μᾶλλον δὲ ἐπὶ τῶν ὑπερεχόντων βαθμῶν τὸ αὐτὸ ἁμάρτημα βαρύτερον εἶναι ὡρίσατο, εἰπὼν
» πρὸς αὐτοὺς, τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ
» σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; μάλιστα οὖν ἐπὶ τῶν τοιούτων καὶ τῶν δοκούντων εἶναι ἐνδοξοτέρων, σπουδῆς χρεία καὶ ἐπισκέψεως. ἵνα καὶ τὴν ὀφειλομένην ἐπιμέλειαν αὐτῶν εἴτε ἐν παρακλήσει, εἴτε ἐλέγχῳ μετὰ τῆς πρεπούσης μακροθυμίας ποιησώμεθα καὶ τὰ λοιπὰ πάντα κατὰ τὴν τοῦ κυρίου ἐντολὴν ἐπ' αὐτῶν παραφυλάξαντες, ἀνυπαιτίους ἑαυτοὺς καὶ ἐν τούτῳ τῷ μέρει φυλάξωμεν.

Ἐρώτησις, σλβʹ.

Ἐάν τις ἀδικηθεὶς ὑπό τινος, μηδενὶ ἀνάσχηται λόγῳ μακροθυμίας καὶ ἀνεξικακίας, δόξει δὲ τῷ θεῷ ἀποδιδόναι τὸ κρίμα, εἰ κατὰ κύριον ποιεῖ.

Ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, ποτὲ μὲν, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ποτὲ δὲ, ἐὰν ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελ-
» φός σου, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδησας
» τὸν ἀδελφόν σου, ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος
» δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα. ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλη-
» σίᾳ. ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. τῆς μὲν μακροθυμίας καρπὸν ἐπιδείκνυσθαι χρὴ τῷ θεῷ τὴν προσευχὴν ὑπὲρ τοῦ ἠδικηκότος ἐξ ἀληθινῆς διαθέσεως προσάγοντα καὶ λέγοντα, κύριε, μὴ στήσῃς αὐτῷ τὴν ἁμαρτίαν, ἵνα μὴ ὡς ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος γένηται τῇ κρίσει. τὴν δὲ παράκλησιν τῷ ἠδικηκότι, καὶ τὸν ἔλεγχον ἀποδιδόναι ἀκόλουθον. ὅπως κἀκεῖνον τῆς ὀργῆς τῆς ἐρχομένης ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας ἐλευθερώσῃ. ἐὰν δὲ ἀμελήσῃ καὶ λόγῳ [illegible] τῆς

Ἐρώτησις, σκε'.

Τοῦ κυρίου εἰπόντος, ὅπου ἐὰν ὦσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν, πῶς τούτου καταξιωθῆναι δυνηθῶμεν;

Ἀπόκρισις.

Οἱ εἰς τὸ ὄνομά τινος συνερχόμενοι, πάντως ὀφείλουσιν εἰδέναι τὸν σκοπὸν τοῦ συναγαγόντος, καὶ πρὸς αὐτὸν ἑαυτοὺς καταρτίζειν, ἵνα ἀπαρεστήσεως χάριν ἀρέσωσι, καὶ μὴ κακίᾳ ἢ ἀμελείᾳ κρίματι ὑποπέσωσιν. ὥσπερ γὰρ οἱ κληθέντες ὑπό τινος, εἰ μὲν σκοπὸς τοῦ θερίσαι πρόκειται τῷ καλέσαντι, πρὸς αὐτὸ ἑαυτοὺς παρασκευάζουσιν, εἰ δὲ σκοπὸς τοῦ οἰκοδομῆσαι πρὸς τὴν οἰκοδομὴν ἀπαρτίζονται, οὕτως οἱ κληθέντες ὑπὸ τοῦ κυρίου, μιμνῄσκειν ὀφείλομεν τοῦ ἀποστόλου λέγοντος· παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πρᾳότητος, μετὰ μακροθυμίας ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, ἓν σῶμα, καὶ ἓν πνεῦμα· καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν. σαφέστερον δὲ ἡμῖν παρίστησιν ὁ κύριος τὸ πῶς διὰ τῆς πρὸς αὐτὸν ἐπαγγελίας εἰπών· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ὡς οὖν γίνεται παρὰ τούτῳ ἡ μονὴ ἐκ τῆς τηρήσεως τῶν ἐντολῶν, οὕτω καὶ τῶν δύο ἢ τριῶν ἐν μέσῳ ἐστίν, ἐὰν πρὸς τὸ θέλημα αὐτοῦ καταρτισθῶσιν. οἱ δὲ μὴ ἀξίως τῆς κλήσεως, μηδὲ πρὸς τὸ θέλημα τοῦ κυρίου συνηγμένοι, κἂν ἐπὶ τοσοῦτο συνῆχθαι ἐν ὀνόματι κυρίου δοκῶσιν, ἀκούουσι· τί με καλεῖτε κύριε κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;

Ἐρώτησις, σκς'.

Τοῦ ἀποστόλου λέγοντος, λοιδορούμενοι εὐλογοῦμεν, βλασφημούμενοι παρακαλοῦμεν, πῶς ὀφείλει εὐλογεῖν ὁ λοιδορούμενος, ἢ τί παρακαλεῖν ὁ βλασφημούμενος.

Ἀπόκρισις.

Καθόλου νομίζω τὸν ἀπόστολον ἐνταῦθα διδάσκειν ἡμᾶς ἀπὸ τῶν καθ' ἑαυτόν, ἀνεξικακίᾳ χρῆσθαι πάντας, καὶ ἀγαθοῖς ἀμείβεσθαι τοὺς πονηρευομένους. ὡς μὴ μόνον ἐπὶ τοῦ λοιδοροῦντος γίνεσθαι τὸ τοιοῦτον, ἀλλὰ καὶ ἐπὶ παντὸς πονηρευομένου, πληροῦντας τὸ εἰρημένον· μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. τὸ δὲ παρακαλεῖν οἶδεν ἡ γραφὴ τιθέναι οὐ κατὰ τὴν χρῆσιν τῆς συνηθείας, ἀλλὰ πρὸς τὸ συμβιβάζειν τὴν καρδίαν εἰς πληροφορίαν τῆς ἀληθείας. ὡς ἐν τῷ παρακαλεῖτε τὸν λαόν μου λέγει ὁ θεός. καὶ ὁ ἀπόστολος δέ φησιν, ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν, εἰς τὸ στηριχθῆναι ὑμᾶς. τοῦτο δέ ἐστι συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ. καὶ ἀλλαχοῦ· ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινούς, παρεκάλεσεν ἡμᾶς ὁ θεὸς ἐν τῇ παρουσίᾳ Τίτου.

Ἐρώτησις, σκζ'.

Εἰ χρὴ ἕκαστον ἀνατίθεσθαι καὶ ἑτέροις ἃ φρονεῖ, ἢ ἐν πληροφορίᾳ τοῦ ἀρέσκοντος θεῷ γενόμενον, παρ' ἑαυτῷ κατέχειν.

Ἀπόκρισις.

Μεμνημένοι τῆς τοῦ θεοῦ ἀποφάσεως εἰπόντος διὰ τοῦ προφήτου, οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες, καὶ τοῦ ἀποστόλου λέγοντος, ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν, εἰς τὸ στηριχθῆναι ὑμᾶς. τοῦτο δέ ἐστι συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ, λογιζόμεθα ἀναγκαῖον εἶναι ἀνατίθεσθαι ἡμᾶς τοῖς ὁμοψύχοις, καὶ ἀπόδειξιν δεδωκόσι πίστεώς τε καὶ συνέσεως. ἵνα ἢ τὸ πεπλανημένον διορθωθῇ, ἢ τὸ ἠκριβωμένον βεβαιωθῇ· καὶ ἡμεῖς φύγωμεν τὸ προειρημένον κρίμα, τὸ κατὰ τῶν ἑαυτοῖς συνετῶν.

Ἐρώτησις, σκη'.

Εἰ ἐπὶ παντὶ πράγματι πληροφορεῖν χρὴ τὸ θέλημα τῶν σκανδαλιζομένων. εἰ ἔστι τινά, ἐφ' ὧν οὐ δεῖ προσποιεῖσθαι, κἄν τινες σκανδαλίζωνται.

Ἀπόκρισις.

Σαφῆ τὴν ἐν τούτοις διαφορὰν ἐν τῷ ἰδίῳ τόπῳ ἐπερωτηθέντες ἐδηλώσαμεν, καὶ τὴν περὶ

τούτου

καὶ ὠφελῆσαι, οὐχ ὅτι γε λυπῆσαι. εἰ δέ τις μνημονεύει τοῦ κυρίου εἰπόντος, ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι λόγον περὶ αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως· φοβεῖται ἐπὶ παντὸς πράγματος τοιοῦτον κρίμα, καὶ πείθεται τῷ ἀποστόλῳ εἰπόντι, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. καὶ ἀλλαχοῦ, πάντα πρὸς οἰκοδομὴν γινέσθω. καὶ οὐδὲν ἀνέχεται ποιῆσαι ἀργῶς καὶ ἀνωφελῶς. τὸ δὲ, τίς, καὶ πότε, καὶ πῶς, ἵνα καιρὸς καὶ τόπος, καὶ πρόσωπον δοκιμάζηται. ἀφ' ὧν κακοῦ μήτινος οὔτε ὑποψία ἔσται. τὸ δὲ ἀπρόσκοπον τοῖς πᾶσι φυλαχθήσεται, καὶ πρὸς οἰκοδομὴν τῆς πίστεως ἡ συντυχία γενήσεται. ἀλλ' οὔτε ἓν πρόσωπον ἑνὶ συντυγχάνειν ἐπιτρέπει ὁ λόγος. ἀγαθοὶ γὰρ οἱ δύο φησὶν ὑπὲρ τὸν ἕνα, ἅμα δὲ καὶ ἀξιόπιστοι. οὐαὶ δὲ τῷ ἑνὶ, ὅτι ἐὰν πέσῃ, οὐκ ἔστιν ὁ ἐγείρων.

Ἐρώτησις, σκα'.

τοῦ κυρίου διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, εἰ δεῖ προσεύχεσθαι μὴ περιπεσεῖν ὀδύναις σωματικαῖς. ἐὰν δὲ περιπέσῃ τις, πῶς παραλάβῃ.

Ἀπόκρισις.

Οὐ διέκρινε πειρασμοῦ ποιότητα, καθολικῶς δὲ προσέταξε, προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. εἰσαχθέντα δὲ σὺν τῷ πειρασμῷ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν· παρὰ τοῦ κυρίου αἰτεῖν δεῖ. ἵνα κατορθωθῇ ἡμῖν τὸ, ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Ἐρώτησις, σκβ'.

Τίς ἐστιν ὁ ἀντίδικος ἑκάστου ἡμῶν, ἢ πῶς αὐτῷ εὐνοήσομεν;

Ἀπόκρισις.

Ἐπιτετηρημένως ἐνταῦθα ὁ κύριος, ἀντίδικον ὀνομάζει τὸν ἀφαιρεῖσθαί τι ἐπιχειροῦντα τῶν διαφερόντων ἡμῖν. εὐνοοῦμεν δὲ αὐτῷ, ἐὰν φυλάξωμεν τὸ πρόσταγμα τοῦ κυρίου εἰπόντος· τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. καὶ ἐπὶ παντὸς πράγματος τοιούτου ὁμοίως.

Ἐρώτησις, σκγ'.

τοῦ κυρίου εἰπόντος· σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, ἵνα μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων. ὁ θέλων διά τινα λόγον ἀρέσκοντα θεῷ νηστεῦσαι, καθὼς καὶ οἱ ἅγιοι πολλάκις πεποιηκότες εὑρίσκονται. ἐπειδὴ καὶ ὡς οὐ θέλει φαίνεται, τί ποιήσει;

Ἀπόκρισις.

Τὸ παράγγελμα τοῦτο ἐστὶ πρὸς τοὺς ἐπιτηδεύοντας ποιεῖν τὴν ἐντολὴν τοῦ θεοῦ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις, ἵνα τὸ πάθος τῆς ἀνθρωπαρεσκείας θεραπεύσωσιν. ἐπεὶ ὅτι γε ἡ ἐντολὴ τοῦ κυρίου εἰς δόξαν θεοῦ γενομένη κατὰ φύσιν, ἀνεπιτηδεύτως ἔχει πρὸς τὸ κρύπτεσθαι παρὰ τοῖς φιλοθέοις, ὁ κύριος ἐδήλωσεν εἰπών· οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, καὶ τὰ ἑξῆς.

Ἐρώτησις, σκδ'.

Εἰ καὶ νῦν οἱ μὲν ἀπὸ τῆς πρώτης ὥρας ἐργάζονται,
οἱ δὲ ἀπὸ τῆς ἑνδεκάτης, καὶ τίνες εἰσὶν οὗτοι.

Ἀπόκρισις.

Τάχα γνωριμώτατον ἐστὶ τοῦτο τοῖς πᾶσιν, ἐκ τῶν ἐν τῇ θεοπνεύστῳ γραφῇ ἱστορουμένων· ὅτι πολλοὶ μέν εἰσι κατὰ τὴν τοῦ ἀποστόλου μαρτυρίαν ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα μανθάνοντες. πολλοὶ δὲ οἱ κατὰ Κορνήλιον τοῖς μὲν φυσικοῖς κινήμασιν ὑγιῶς χρώμενοι, εἰς δὲ τὴν κατ' ἐπιστήμην τελειότητα βραδύνοντες διὰ τὴν ἀπόλειψιν τῶν διδασκόντων. πῶς γὰρ πιστεύσωσι φησὶν, ἐὰν μὴ ἀκούσωσιν; ἐὰν οὖν συμβῇ τινας εἶναι κατὰ τὸν Κορνήλιον, περὶ μηδὲν μὲν κακὸν ἀσχολουμένους, ἐν δὲ ἐπιθυμίᾳ τῆς τελειότητος τὰ δυνατὰ καὶ εἰς γνῶσιν ἥκοντα καλὰ γνησίως ἐπιδεικνυμένους. τούτοις ὁ θεὸς χαρίζεται ἃ καὶ τῷ Κορνηλίῳ. μὴ τούτοις λογισάμενος τὸν παρελθόντα χρόνον τῆς ἀργίας εἰς ἔγκλημα. ἐπεὶ μὴ παρὰ τὴν αὐτῶν αἰτίαν ὡς εἶπον ἐγένετο. τῇ δὲ ἐπιθυμίᾳ ἀρκούμενος τῇ φανερωθείσῃ διὰ τῶν κατὰ καιρὸν σπουδαζομένων, καὶ ἐπὶ τέλει ἐπιμελέστερον κατορθουμένων.

Ἐρώτησις, σιδ.

Χρηστότης καὶ ἀγαθωσύνη, τίνι διαφέρουσιν ἀλλήλων;

Ἀπόκρισις.

Τοῦ Δαβὶδ εἰπόντος, ποτὲ μὲν, χρηστὸς κύριος τοῖς σύμπασι. καὶ χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν. ποτὲ δὲ ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς. καὶ τοῦ Ἱερεμίου, ἀγαθὸς κύριος τοῖς ὑπομένουσιν αὐτόν. πλατυτέραν οἶμαι εἶναι τὴν χρηστότητα εἰς ἐργασίαν, τῶν ὁπωσδήποτοῦν ἐπιδεομένων ταύτης. συνηγμένην δὲ τὴν ἀγαθωσύνην, καὶ τοῖς τῆς δικαιοσύνης λόγοις ἐν ταῖς εὐεργεσίαις συγχρωμένην.

Ἐρώτησις, σιε.

Τίς ἐστιν ὁ ὑπὸ τοῦ κυρίου μακαριζόμενος εἰρηνοποιός;

Ἀπόκρισις.

Ὁ τῷ κυρίῳ συνεργῶν, κατὰ τὸν ἀπόστολον εἰπόντα· ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ· καταλλάγητε τῷ θεῷ. καὶ πάλιν· δικαιωθέντες ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν θεόν. ἡ γὰρ ἄλλως ἔχουσα εἰρήνη, ἐρρέθη ὑπὸ τοῦ κυρίου εἰπόντος· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν.

Ἐρώτησις, σις.

Ἐν τίνι φρονῆσαι δεῖ καὶ γενέσθαι ὡς τὰ νήπια;

Ἀπόκρισις.

Αὐτὴ ἡ περικοπὴ τοῦ εὐαγγελίου διδάσκει ἡμᾶς τὴν ὑπόθεσιν, δηλοῦσα πρὸς ἣν εἴρηται τοῦτο· ὥστε μὴ ζητεῖν ὑπεροχήν. τὴν δὲ ἰσοτιμίαν τῆς φύσεως γνωρίζειν, καὶ ἀγαπᾶν τὸ ἰσότιμον πρὸς τοὺς ἐλαττοῦσθαι δοκοῦντας ἔν τισι. τοιαῦτα γάρ ἐστι καὶ τὰ παιδία πρὸς ἄλληλα, τά γε μήπω προσειληφότα τὴν τῶν ἀναφερομένων κακίαν.

Ἐρώτησις, σιζ.

Πῶς δεξόμεθα τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον;

Ἀπόκρισις.

Ἐὰν τοιοῦτοι γενώμεθα πρὸς τὴν διδασκαλίαν τοῦ κυρίου, οἷόν ἐστι τὸ παιδίον ἐν τοῖς μαθήμασι, μὴ ἀντιλέγον, μήτε δικαιολογούμενον πρὸς τοὺς διδασκάλους· πιστῶς δὲ καὶ εὐπειθῶς δεχόμενον τὰ διδάγματα.

Ἐρώτησις, σιη.

Ποίαν σύνεσιν αἰτεῖν παρὰ τοῦ θεοῦ ὀφείλομεν, ἢ πῶς αὐτῆς καταξιωθῆναι δυνάμεθα;

Ἀπόκρισις.

Τὴν μὲν σύνεσιν παρ' αὐτοῦ τοῦ θεοῦ διὰ τοῦ προφήτου μανθάνομεν, λέγοντος· μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύι αὐτοῦ· καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ. ἀλλ' ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος ἐν τῷ συνιεῖν, καὶ γινώσκειν τὸν κύριον. καὶ διὰ τοῦ ἀποστόλου εἰπόντος, ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ κυρίου. δυνάμεθα δὲ ταύτης καταξιωθῆναι, ἐὰν ποιήσωμεν τὸ γεγραμμένον· σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός. καὶ ἐὰν πιστεύσωμεν ἀληθὲς εἶναι πᾶν ῥῆμα θεοῦ. ἐὰν γὰρ μὴ πιστεύσητε, φησὶν, οὐδὲ μὴ συνῆτε.

Ἐρώτησις, σιθ.

Ἐὰν εὐεργετηθῶμεν παρά τινος, πῶς δυνηθῶμεν καὶ τῷ κυρίῳ τὴν ὀφειλομένην εὐχαριστίαν καθαρὰν καὶ ὁλόκληρον ἀποδοῦναι; καὶ τὴν πρὸς τὸν εὐεργέτην ἐπιστημόνως πληρῶσαι, μήτε ἐλλείποντες, μήτε ὑπερβαίνοντες τὸ μέτρον;

Ἀπόκρισις.

Ἐὰν τὸν μὲν θεὸν, καὶ ἀρχηγὸν, καὶ τελειωτὴν παντὸς ἀγαθοῦ εἶναι πληροφορηθῶμεν· τὸν δὲ διάκονον ὡς ὑπηρέτην τῆς τοῦ θεοῦ ἐργασίας γνωρίσωμεν.

Ἐρώτησις, σκ.

Εἰ παντὶ τῷ βουλομένῳ ἀδελφοῖς συντυγχάνειν ἐπιτρέπειν χρή. ἢ τίς, καὶ πότε, καὶ πῶς ἀδελφοῖς συντεύξεται;

Ἀπόκρισις.

Περὶ τούτων εἴρηται ἐν τοῖς κατὰ πλάτος, ὅτι οὔτε ἀνδρὶ ἀνὴρ, κατ' ἐξουσίαν ἕκαστος ἁπλῶς καὶ ὡς ἔτυχον συντυγχάνειν ὀφείλει. μετὰ δοκιμασίας δὲ ὁ δυνάμενος ὠφελῆσαι

λαμβάνεσθαι τῶν ἀφθονωτέρων, καὶ ὑπηρετεῖν αὐτῷ διδάσκοντι. μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος ταῖς ἰδίαις χερσὶ τὸ ἀγαθόν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. τούτων τοίνυν οὕτως ἡμῖν ὑπὸ τοῦ κυρίου διά τε τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου παραδεδομένων, φανερὸν ὅτι τὸ μὲν ἑαυτοῦ ἕνεκεν μεριμνᾶν, ἢ ἐργάζεσθαι, παντάπασιν ἀπηγόρευται· κατ' ἐντολὴν δὲ τοῦ κυρίου διὰ τὴν χρείαν τοῦ πλησίον μεριμνᾶν καὶ ἐργάζεσθαι σπουδαιότερον χρή· μάλιστα τοῦ κυρίου εἰς ἑαυτὸν ἀναδεχομένου τὴν εἰς τοὺς ἀνακειμένους αὐτῷ σπουδήν, καὶ βασιλείαν οὐρανῶν ὑπὲρ ταύτης ἐπαγγελλομένου.

Ἐρώτησις, ση'.

Εἰ καλόν ἐστι καθόλου σιγὴν ἀσκεῖν.

Ἀπόκρισις.

Τῆς σιγῆς τὸ καλόν, καιρῷ καὶ προσώπῳ δοκιμάζεται, ὡς παρὰ τῆς θεοπνεύστου γραφῆς διδασκόμεθα· καιρῷ μέν, ὡς ὅταν λέγῃ, ὅτι ὁ συνιῶν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσει· ὅτι καιρὸς πονηρός ἐστι. καὶ πάλιν ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. προσώπῳ δέ, ὡς ὅταν γράφῃ ὁ ἀπόστολος, ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. καὶ πάλιν· αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν. ἔστι δὲ ὅτε καὶ τοῖς ἀκρατεστέροις τὴν γλῶσσαν, καὶ μὴ δυναμένοις φυλάξαι τό, πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω· ἀλλ' εἴ τις ἀγαθός, πρὸς οἰκοδομὴν τῆς πίστεως· ἀναγκαία ἡ τελεία σιωπή, ἕως ἂν ἐν ταύτῃ τότε πάθος τῆς ἐν λόγοις προπετείας θεραπευθῶσι, καὶ δυνηθῶσι μαθεῖν ἐπὶ σχολῆς, πότε, καὶ τί, καὶ πῶς λαλεῖν δεῖ· ἵνα καθὼς γέγραπται, δῷ χάριν τοῖς ἀκούουσι.

Ἐρώτησις, σθ'.

Πῶς δυνηθῶμεν φοβηθῆναι τὰ κρίματα τοῦ θεοῦ;

Ἀπόκρισις.

Κατὰ φύσιν ἡ προσδοκία παντὸς δεινοῦ, φόβου ἐστὶ ποιητική. οὕτω γὰρ καὶ τὰ θηρία φοβούμεθα, καὶ τοὺς ἄρχοντας κακοῦ τινος πεῖραν διὰ αὐτῶν προσδοκῶντες. ἐὰν οὖν τις πιστεύσῃ, ὅτι ἀληθεῖς εἰσιν αἱ ἀπειλαὶ τοῦ κυρίου, καὶ προσδοκήσῃ τὴν φρικώδη καὶ δεινοτάτην αὐτῶν πεῖραν, φοβεῖται τὰ κρίματα.

Ἐρώτησις, σι'.

Τίς ἐστιν ἡ ὑπὸ τοῦ ἀποστόλου παραδεδομένη καταστολὴ κοσμία;

Ἀπόκρισις.

Ἡ πρὸς τὸν σκοπὸν τὸν ἴδιον συμπρεπὴς τῆς χρήσεως, ἐστοχασμένη καιροῦ, τόπου, προσώπου, χρείας. οὐ γὰρ τὰ αὐτά, ἐγκρίνει ὁ λόγος ἐν καιρῷ χειμῶνος καὶ θέρους, οὔτε τὸ αὐτὸ σχῆμα τοῦ ἐργάτου, καὶ τοῦ ἀναπαυομένου· τοῦ στρατιώτου καὶ τοῦ ἰδιώτου, ἢ ἀνδρὸς καὶ γυναικός.

Ἐρώτησις, σια'. Τί τὸ μέτρον τῆς πρὸς θεὸν ἀγάπης. Ἀπόκρισις.

Τὸ ὑπὲρ δύναμιν ἀεὶ τὴν ψυχὴν ἐπεκτείνεσθαι πρὸς τὸ τοῦ θεοῦ θέλημα, κατὰ σκοπὸν καὶ ἐπιθυμίαν τῆς ἑαυτοῦ δόξης.

Ἐρώτησις, σιβ'.

Πῶς κατορθοῦται ἡ πρὸς θεὸν ἀγάπη;

Ἀπόκρισις.

Ἐὰν εὐαισθήτως, καὶ εὐγνωμόνως διατεθῶμεν ἐπὶ ταῖς παρ' αὐτοῦ εὐεργεσίαις· ὅπερ καὶ τοῖς ἀλόγοις ὑπάρχει. ὁρῶμεν γάρ, καὶ τοὺς κύνας τὸν διδόντα ἄρτον μόνον ἀγαπῶντας. μανθάνομεν δὲ τοῦτο καὶ ἐκ τῶν διὰ Ἡσαΐου τοῦ προφήτου ἐγκληματικῶς εἰρημένων οὕτως· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. ὥσπερ γὰρ τῷ βοΐ, καὶ τῷ ὄνῳ ἐκ τῆς παρὰ τοῦ τρέφοντος εὐεργεσίας, ἡ πρὸς αὐτὸν ἀγάπη αὐτομάτως ἐγγίνεται, οὕτω καὶ ἡμεῖς, ἐὰν εὐαισθήτως καὶ εὐγνωμόνως τὰς εὐεργεσίας δεξώμεθα, πῶς οὐκ ἀγαπήσομεν τὸν τοσοῦτον καὶ τηλικοῦτον εὐεργέτην θεόν; κατὰ φύσιν, ἵνα οὕτως εἴπω, καὶ ἀδιδάκτως τῆς τοιαύτης διαθέσεως τῇ ὑγιαινούσῃ ψυχῇ ἐγγινομένης.

Ἐρώτησις, σιγ'.

Τίνα ἐστὶ τὰ γνωρίσματα τῆς πρὸς θεὸν ἀγάπης;

Ἀπόκρισις.

Αὐτὸς ὁ κύριος ἐδίδαξεν ἡμᾶς εἰπών, ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε.

Ἀπόκρισις.

Ὅτι οὐκ ἔστιν οὐ μέτρον ἐν πᾶσιν, ἀλλ' ὁ μὲν πλεῖον καὶ πιστεύεται, καὶ ἀπαιτεῖται· ὁ δὲ ἔλαττον, δῆλον ἐκ τῶν τοῦ κυρίου ῥημάτων, ποτὲ μὲν εἰπόντος, ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιών· ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. ὅπερ καὶ ἐπὶ τῶν τὴν μνᾶν ἀποδεξαμένων δείκνυται. ποτὲ δὲ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν.

Ἐρώτησις, σδ'.

Πῶς καταξιοῦταί τις πνεύματος ἁγίου γενέσθαι μέτοχος;

Ἀπόκρισις.

Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδίδαξεν, εἰπών· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν. ἕως οὖν οὐ τηροῦμεν πάσας τὰς ἐντολὰς τοῦ κυρίου, οὐδὲ ἐσμὲν τοιοῦτοι, ὥστε μαρτυρηθῆναι ὑπ' αὐτοῦ, ὅτι ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου, πνεύματος ἁγίου καταξιωθῆναι μὴ προσδοκήσωμεν.

Ἐρώτησις, σε'.

Τίνες εἰσὶν οἱ πτωχοὶ τῷ πνεύματι;

Ἀπόκρισις.

Τοῦ κυρίου λέγοντος, ποτὲ μὲν, ὅτι τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν πνεῦμά ἐστι, καὶ ζωή ἐστι· ποτὲ δέ· ὅτι τὸ πνεῦμα τὸ ἅγιον διδάξει ὑμᾶς πάντα καὶ ὑπομνήσει ἃ ἂν εἶπον ὑμῖν, οὐ γὰρ λαλήσει φησὶν ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρ' ἐμοῦ, ταῦτα λαλήσει· οὗτοί εἰσιν οἱ πτωχοὶ τῷ πνεύματι, οἵτινες οὐ δι' ἀλλοτρίαν αἰτίαν ἐπτώχευσαν, ἀλλὰ διὰ τὴν διδασκαλίαν τοῦ κυρίου εἰπόντος, ὕπαγε πώλησον πάντα ὅσα ἔχεις, καὶ δὸς πτωχοῖς. ἐὰν δέ τις καὶ τὴν ὁπωσοῦν συμβᾶσαν πτωχείαν καταδεξάμενος κυβερνήσῃ πρὸς τὸ θέλημα τοῦ θεοῦ ὡς ὁ Λάζαρος, οὐδὲ οὗτος τοῦ μακαρισμοῦ ἀλλότριος.

Ἐρώτησις, σϛ'.

Τοῦ κυρίου παραγγέλλοντος μὴ μεριμνᾶν τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα, μέχρι τίνος ἐστὶν ἡ ἐντολή; ἢ πῶς κατορθοῦται;

Ἀπόκρισις.

Ἡ μὲν ἐντολή ἐστι μέχρι θανάτου, ὡς καὶ πᾶσα ἐντολή. καὶ γὰρ ὁ κύριος ὑπήκουσε μέχρι θανάτου. κατορθοῦται δὲ τῇ ἐπὶ τὸν θεὸν πεποιθήσει. ἀπαγορεύσας γὰρ ὁ κύριος τὴν μέριμναν, ἐπισυνῆψε τὴν ἐπαγγελίαν, εἰπών. οἶδε γὰρ ὁ πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. τοιοῦτος ἦν ὁ ἀπόστολος λέγων, τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. κατὰ μὲν τὴν κρίσιν καὶ τὴν ἑτοιμασίαν τῆς ψυχῆς καθ' ἡμέραν ἀποθνήσκων, τῇ δὲ τοῦ θεοῦ εὐδοκίᾳ φυλαττόμενος. διὸ μετὰ παρρησίας ἔλεγεν, ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν. βοηθεῖ δὲ τῇ τοιαύτῃ προαιρέσει καὶ ἡ περὶ τὰς ἐντολὰς τοῦ κυρίου διάπυρος σπουδὴ καὶ ἀκόρεστος ἐπιθυμία, ὑφ' ἧς ὁ κρατηθεὶς οὐδὲ σχολὴν ἄγει μετεωρισθῆναι περὶ τὰς τοῦ σώματος χρείας.

Ἐρώτησις, σζ'.

Οὐκοῦν εἰ μηδὲ μεριμνᾶν δεῖ περὶ τῶν ἀναγκαίων πρὸς τὸ ζῆν, καὶ ἄλλη παραγγελία ἐστὶ τοῦ κυρίου εἰπόντος, ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην. περισσὸν τὸ ἐργάζεσθαι;

Ἀπόκρισις.

Αὐτὸς ὁ κύριος ἐν ἑκατέρῳ τόπῳ τὸ ἑαυτοῦ πρόσταγμα ἐσαφήνισεν. ἐκεῖ μὲν γὰρ ἀπαγορεύσας τὸ ζητεῖν τὰ πρὸς τὸ ζῆν, ἐν τῷ εἰπεῖν. μὴ ζητεῖτε τί φάγητε, ἢ τί πίητε, ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ, προσέταξεν εἰπὼν, ζητεῖτε δὲ τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ. πῶς δὲ δεῖ ζητεῖν, διὰ τῶν καταξιουμένων ἐδήλωσεν. ἐνταῦθα δὲ κωλύσας ἐργάζεσθαι τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἐδίδαξεν ἐργάζεσθαι τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον. ἣν αὐτὸς πάλιν ἐφανέρωσεν ἐν ἑτέρῳ τόπῳ εἰπών. ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. εἰ δὲ θέλημα θεοῦ ἐστι πεινῶντα θρέψαι, διψῶντα ποτίσαι, γυμνὸν περιβαλεῖν, καὶ τὰ λοιπὰ, ἀνάγκη πάντως μαθεῖν τὸν ἀπόστολον λέγοντα, πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντι-

Ἐρώτησις, ρϟη'.

Τί ἐστι ταπεινοφροσύνη, καὶ πῶς αὐτὴν κατορθώσομεν;

Ἀπόκρισις.

Ταπεινοφροσύνη μέν ἐστι, τὸ πάντας ἡγεῖσθαι ὑπερέχοντας ἑαυτοῦ κατὰ τὸν ὅρον τοῦ ἀποστόλου. κατορθοῖ δέ τις αὐτὴν, πρῶτον, ἐὰν μνημονεύσῃ τῆς ἐντολῆς τοῦ κυρίου εἰπόντος· μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. ὅπερ πολλαχοῦ, καὶ πολυτρόπως καὶ ἔδειξε, καὶ ἐδίδαξε. καὶ πιστεύσῃ αὐτῷ ἐπηγγελμένῳ, ὅτι ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. ἔπειτα, ἐὰν δι' ὁμαλοῦ, καὶ ἀδιαστάτως τοῖς τῆς ταπεινοφροσύνης ἐπιτηδεύμασιν ἐν παντὶ πράγματι ἐμμελετήσῃ καὶ συγγυμνάσηται. μόλις γὰρ οὕτως δυνήσεται τῇ διηνεκεῖ μελέτῃ ἀναλαβεῖν τὴν ἕξιν τῆς ταπεινοφροσύνης. ὥσπερ καὶ τὴν τῶν τεχνῶν γίνεσθαι εἴωθεν. ὁ δὲ αὐτὸς τρόπος τῆς κατορθώσεως καὶ τὴν πάσης ἀρετῆς τῆς κατ' ἐντολὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ.

Ἐρώτησις, ρϟθ'.

Πῶς αὖ τις προθυμηθείη, καὶ πῶς κινδύνοις ὑπὲρ τῆς ἐντολῆς τοῦ κυρίου παραβουλεύεσθαι;

Ἀπόκρισις.

Πρῶτον μὲν ὑπομνησθεὶς, ὅτι αὐτὸς ὁ υἱὸς ὑπὲρ ἡμῶν ὑπήκουσε τῷ πατρὶ μέχρι θανάτου. εἶτα πληροφορηθεὶς τὴν δύναμιν τῆς ἐντολῆς, ὅτι ζωὴ αἰώνιός ἐστι, καθὼς γέγραπται. ἔπειτα πιστεύσας τῷ κυρίῳ εἰπόντι· ὃς ἐὰν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν. ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν.

Ἐρώτησις, σ'.

Οἱ προσκείμενοι τοῖς ἐν τῷ ἔργῳ τοῦ θεοῦ, πῶς δύνανται ὠφελεῖν τοὺς ἄρτι προσερχομένους.

Ἀπόκρισις.

Εἰ μὲν ἰσχύουσι κατὰ τὸ σῶμα, ἐν τῷ τὸ ἄοκνον τῆς σπουδῆς ἐπιδείκνυσθαι, καὶ τύπον ἑαυτοὺς παρέχειν παντὸς κατορθώματος. εἰ δὲ ἀσθενοῦσιν ἐν τῇ τοιαύτῃ καταστάσει τῆς ψυχῆς, ὡς ἐπιφαίνεσθαι τῷ τε προσώπῳ, καὶ παντὶ κινήματι τὴν πληροφορίαν τῆς τοῦ θεοῦ ἐποψίας, καὶ τῆς τοῦ κυρίου παρουσίας, καὶ ἐν τοῖς ἀπηριθμημένοις ὑπὸ τοῦ ἀποστόλου ἰδιώμασι τῆς ἀγάπης, εἰπόντος. ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται. οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ. συγχαίρει δὲ τῇ ἀληθείᾳ. πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. ταῦτα γὰρ πάντα, καὶ ἐν ἀσθενοῦντι σώματι δυνατὸν κατορθοῦσθαι.

Ἐρώτησις, σα'.

Πῶς κατορθοῖ τις ἐν τῇ προσευχῇ τὸ ἀμετεώριστον;

Ἀπόκρισις.

Πληροφορηθεὶς πρὸ ὀφθαλμῶν εἶναι τὸν θεόν. εἰ γὰρ ἄρχοντά τις ἢ προεστῶτα θεωρῶν, καὶ διαλεγόμενος αὐτῷ, ἀμετεώριστον ἔχει τὸ ὄμμα, πόσῳ μᾶλλον ὁ προσευχόμενος τῷ θεῷ, ἀμετεώριστον ἕξει τὸν νοῦν, ἀπὸ τοῦ ἐτάζοντος καρδίας καὶ νεφρούς; πληρῶν τὸ γεγραμμένον, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν.

Ἐρώτησις, σβ'.

Εἰ δυνατὸν κατορθῶσαι τὸ ἐν παντὶ καὶ πάντοτε ἀμετεώριστον, καὶ πῶς κατορθοῖ τις;

Ἀπόκρισις.

Ὅτι δυνατὸν ἔδειξεν ὁ εἰπών. οἱ ὀφθαλμοί μου διαπαντὸς πρὸς τὸν κύριον. καὶ, προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. πῶς δὲ δυνατὸν, προείρηται. ὅτι ἐν τῷ μὴ διδόναι καιρὸν ἀργίας τῇ ψυχῇ ἀπὸ τῆς περὶ θεοῦ, καὶ τῶν τοῦ θεοῦ ἔργων τε καὶ δωρεῶν ἐννοίας, καὶ τῆς ὑπὲρ πάντων ἐξομολογήσεως καὶ εὐχαριστίας.

Ἐρώτησις, σγ'.

Τῶν κατ' ἐντολὴν τοῦ κυρίου κατορθωμάτων, πότερον ἓν μέτρον ἐστὶν ἐν πᾶσιν, ἢ ὁ μὲν πλεῖον ἔχει, ὁ δὲ ἔλαττον.

ἐπειδὴ τοσούτων καὶ τοιούτων παρὰ Θεοῦ κατηξιώθησαν· ἐπειδὴ αὐτῶν μὲν ἦν ἡ υἱοθεσία καὶ ἡ δόξα· αὐτῶν δὲ ἡ νομοθεσία, καὶ ἡ λατρεία· ἐπειδὴ αὐτοῖς μὲν αἱ διαθῆκαι, καὶ αἱ ἐπαγγελίαι· αὐτῶν δὲ οἱ πατέρες· ἐπειδὴ ἐξ αὐτῶν ὁ Χριστὸς τὸ κατὰ σάρκα, τοσούτου π-μᾶτε αὐτῶν τὴν σωτηρίαν, οὐκ εἰς τὴν συγγένειαν ἀποβλέπων, ἀλλ' εἰς τὸ τοῦ Κυρίου ὑποφθ αὐτῶν ἐν ἀνθρώποις τοῦ εἰπόντος, οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.

Ἐρώτησις, ρϟα.

Τίς ἐστιν ὁ πραΰς;

Ἀπόκρισις.

Ὁ ἀμετάθετος ἐν ταῖς κρίσεσι τῶν πρὸς εὐαρέστησιν Θεοῦ σπουδαζομένων.

Ἐρώτησις, ρϟβ.

Τίς ἐστιν ἡ λύπη ἡ κατὰ Θεόν, καὶ τίς ἡ τοῦ κόσμου;

Ἀπόκρισις.

Ἡ μὲν κατὰ Θεόν, ὅταν ἐντολῆς Θεοῦ παροφθείσης, λυπηθῇ τις κατὰ τὸ γεγραμμένον· ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου· ἡ δὲ τοῦ κόσμου, ὅταν τι ἀνθρώπινον καὶ τοῦ κόσμου ἄξιον ᾖ τὸ λυποῦν.

Ἐρώτησις, ρϟγ.

Ποία ἐν Κυρίῳ χαρά, καὶ τί ἐὰν ποιῶμεν, χαίρειν ὀφείλομεν;

Ἀπόκρισις.

Τὸ ἐπὶ τοῖς κατ' ἐντολὴν τοῦ Κυρίου εἰς δόξαν Θεοῦ γινομένοις χαίρειν, ἡ ἐν Κυρίῳ χαρά ἐστιν. ὅταν οὖν τὰς ἐντολὰς τοῦ Κυρίου ποιῶμεν, ἢ διὰ τὸ ὄνομα τοῦ Κυρίου πάσχωμέν τι, χαίρειν καὶ συγχαίρειν ἀλλήλοις ὀφείλομεν.

Ἐρώτησις, ρϟδ.

Ποῖον πένθος ἀναλάβωμεν, ἵνα καταξιωθῶμεν τοῦ μακαρισμοῦ;

Ἀπόκρισις.

Ἐμφαίνεται τοῦτο τὸ ἐρώτημα τῇ κατὰ Θεὸν λύπῃ. ὅταν ἐπὶ τοῖς ἡμαρτημένοις πενθῶμεν, ἤτοι διὰ τὴν ἀτιμίαν τοῦ Θεοῦ, ὅτι διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεόν τις ἀτιμάζει, ἢ διὰ τοὺς κινδυνεύοντας ἐν τῇ ἁμαρτίᾳ· ψυχὴ γάρ φησιν ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται· μιμούμενοι τὸν εἰρηκότα, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων.

Ἐρώτησις, ρϟε.

Πῶς πάντα εἰς δόξαν Θεοῦ ποιεῖ τις;

Ἀπόκρισις.

Ὅταν πάντα διὰ Θεὸν κατ' ἐντολὴν Θεοῦ ποιῇ· καὶ ἐν μηδενὶ περιβλέπηται τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον. πανταχοῦ δὲ μνημονεύῃ τοῦ Κυρίου εἰπόντος· οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ἐρώτησις, ρϟϛ.

Πῶς ἐσθίει τις καὶ πίνει εἰς δόξαν Θεοῦ;

Ἀπόκρισις.

Ἐν τῇ μνήμῃ τοῦ εὐεργέτου, καὶ ἐν τῇ τοιᾷδε διαθέσει τῆς ψυχῆς μαρτυρουμένης ἐκ τῆς τοῦ σώματος καταστάσεως, ὅτι οὐχ ὡς ἀμέριμνος ἐσθίει, ἀλλ' ὡς ἔχων ἐπόπτην Θεόν. καὶ ἐν τῷ σκοπῷ δὲ τῆς μεταλήψεως, ὅταν μὴ ὡς δοῦλος γαστρὸς δι' ἡδονὴν ἐσθίῃ, ἀλλ' ὡς ἐργάτης Θεοῦ διὰ τὴν ἐν τοῖς κατ' ἐντολὴν Χριστοῦ ἔργοις εὐτονίαν.

Ἐρώτησις, ρϟζ.

Πῶς ὃ ποιεῖ ἡ δεξιά, ἵνα μὴ γινώσκῃ ἡ ἀριστερά;

Ἀπόκρισις.

Ὅταν ἀμεταπείστως καὶ τεταμένη ἡ ἐπιθυμία τῆς πρὸς Θεὸν εὐαρεστήσεως ὁ νοῦς ἐξ ὁλοκλήρου ἀγωνιῶν μὴ ἐκπέσῃ τοῦ προσήκοντος, ἀγωνίζεται νομίμως. τότε οὐδενὸς οὔτε μέλους ἑτέρου λαμβάνει σύνοιαν, εἰ μὴ μόνον τοῦ χρησιμεύοντος εἰς τὸ προκείμενον. ὡς ὁ τεχνίτης καὶ ἕκαστον ἔργον μόνῳ ἐμβλέπων τῷ χρησιμεύοντι αὐτῷ ὀργάνῳ.

Ἀπόκρισις.

Τὴν μὲν διάθεσιν, ἢ τὸν τρόπον τούτου τοῦ κατορθώματος εἰκὸς εἶναι διάφορον. ἄλλα γάρ ἐστι πολλάκις τὰ ὑπὲρ ἁμαρτωλῶν καταδεχθῆναι, καὶ ἄλλα τὰ ὑπὲρ δικαίων σπουδασθῆναι ὀφείλοντα. τὸ μέντοι γε μέχρι θανάτου ἀγάπην δεικνύειν, καὶ ὑπὲρ δικαίων καὶ ὑπὲρ ἁμαρτωλῶν δεδιδάγμεθα μηδὲν διακρίνοντες. συνίστησι γὰρ τὴν ἑαυτοῦ ἀγάπην φησὶν ὁ θεὸς εἰς ἡμᾶς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. πρὸς δὲ τοὺς ἁγίους ἀποστόλους λέγει· ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς. διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε.

Ἐρώτησις, ρπζ'.

Εἰ χρὴ παρὰ τῶν κατὰ σάρκα οἰκείων δέχεσθαί τι ἕκαστον.

Ἀπόκρισις.

Τοῖς μὲν οἰκείοις ἀποδιδόναι τὰ ἐπιβάλλοντα τοῖς προσερχομένοις τῷ κυρίῳ, ἀναγκαῖον, καὶ μηδὲν ὑφαιρεῖν, ἵνα μὴ τῷ κρίματι τῆς ἱεροσυλίας ὑποπέσωσιν. τὸ μέντοι γε ἀναλίσκεσθαι ταῦτα ἐν ὄψεσιν ἐκείνων, οἷς διαφέρειν ἔδοξε, καὶ αὐτοῖς ἐκείνοις γίνεται πολλάκις ἐπάρσεως ὑπόθεσις. καὶ τοῖς πένησι τῶν τῷ αὐτῷ βίῳ προσελθόντων λύπης ἀφορμή· ὥστε συμβαίνειν ἐκεῖνο, ἐφ' ᾧ ἐγκαλοῦνται οἱ Κορίνθιοι ὑπὸ τοῦ ἀποστόλου εἰπόντος, ὅτι καταισχύνετε τοὺς μὴ ἔχοντας. διόπερ ὁ τὴν φροντίδα τῶν κατὰ τόπον ἐκκλησιῶν πεπιστευμένος, ἐὰν ᾖ πιστὸς καὶ φρόνιμος οἰκονομεῖν δυνάμενος, τούτῳ προσφέρεσθω κατὰ μίμησιν τῶν ἐν ταῖς πράξεσιν· οἵτινες φέροντες ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. εἰ δὲ τὸ οἰκονομεῖν τὰ τοιαῦτα οὐκ ἔστι πάντων, ἀλλὰ μόνων τῶν μετὰ δοκιμασίας εἰς τοῦτο πεπιστευμένων, καὶ τὸ παρὰ τῶν τοιούτων διδόμενον, οὕτως ὡς ἂν δοκιμάσῃ ποιήσει.

Ἐρώτησις, ρπη'.

Πῶς ἴδωμεν τοὺς ποτὲ συνοίκους ἡμῶν, ἢ συγγενεῖς ἐπερχομένους.

Ἀπόκρισις.

Ὡς ὁ κύριος ἔδειξε, καὶ ἐδίδαξεν, ὅτε ἀπηγγέλη αὐτῷ, ὅτι ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν ἰδεῖν σε θέλοντες. πρὸς οὓς ἐπιπληκτικώτερον ἀποκρίνεται εἰπών· τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτός μου ἀδελφὸς καὶ ἀδελφή, καὶ μήτηρ ἐστίν.

Ἐρώτησις, ρπθ'.

Ἐὰν δὲ καὶ παρακαλῶσι θέλοντες ἀπαγαγεῖν ἡμᾶς εἰς τὰ ἴδια, εἰ χρὴ αὐτῶν ἀνέχεσθαι.

Ἀπόκρισις.

Εἰ μὲν διὰ οἰκοδομὴν τῆς πίστεως ὁ δυνάμενος οὕτως ἀπελθεῖν μετὰ δοκιμασίας πεμπέσθω. εἰ δὲ διὰ καθῆκον ἀνθρώπινον, ἀκουέτω τοῦ κυρίου λέγοντος πρὸς τὸν εἰπόντα· ἐπίτρεψόν μοι ἀπελθεῖν καὶ ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. εἰ δὲ ὑπὲρ τοῦ ἀποτάξασθαι ἅπαξ θελήσαντος, τοιοῦτον τὸ κρίμα, τί χρὴ λέγειν ὑπὲρ τούτου.

Ἐρώτησις, ρϙ'.

Εἰ δεῖ ἐλεεῖν τοὺς κατὰ σάρκα οἰκείους, ἐπιθυμοῦντας τὴν σωτηρίαν αὐτῶν.

Ἀπόκρισις.

Ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος κατὰ τὴν τοῦ κυρίου φωνήν, καὶ ἐξουσίαν λαβὼν γενέσθαι τέκνον θεοῦ, συγγένειαν μὲν τὴν κατὰ σάρκα ἐπαισχύνεται, οἰκείους δὲ γνωρίζει τοὺς οἰκείους τῆς πίστεως ὑπὸ τοῦ κυρίου μαρτυρουμένους, εἰπόντος· μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες, καὶ ποιοῦντες. καὶ ἐλεείτω οὗτος πάντας μὲν τοὺς μακρυνομένους ἀπὸ τοῦ κυρίου. καὶ τοὺς συγγενεῖς δὲ, τοὺς κατὰ σάρκα ὡς πάντας. εἰ δέ τις τούτοις πλέονι προσπάσχων συνήγορον ἔχειν οἴεται τοῦ ἰδίου πάθους τὸν ἀπόστολον λέγοντα· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, μανθανέτω ὁ τοιοῦτος ἐκ τῶν ἐπιφερομένων. ὅτι οὐ τὴν συγγένειαν τὴν κατὰ σάρκα, ἀλλὰ τὸν Ἰσραὴλ, καὶ τὰ εἰς αὐτὸν ἐξαίρετα τοῦ θεοῦ ὁ ἀπόστολος τιμᾷ. οὐ δ' ἐπειδήπερ συγγενεῖς αὐτοῦ οἱ Ἰσραηλῖται, ἀλλ' ἐπειδὴ Ἰσραηλῖται ἦσαν οἱ κατὰ σάρκα συγγενεῖς. καὶ

ἀπόκρισις.

Οἱ διδαχθέντες ἐν ἀγάπῃ Χριστοῦ καὶ τὴν ψυχὴν αὐτὴν τιθέναι ὑπὲρ ἀλλήλων, πῶς τῶν διὰ τὸ σῶμα φείσασθαι δύνανται; ὥσπερ ἐπιλαθόμενοι τοῦ εἰπόντος, ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· καὶ τὰ ἑξῆς. ἐὰν δὲ γένηται τοῦτο, μακροθυμεῖν χρὴ τοὺς πτωχεύοντας ἐν πληροφορίᾳ τῆς ἐν τῷ μέλλοντι αἰῶνι παρακλήσεως, μιμουμένους τὸν Λάζαρον.

ἐρώτησις, ρπβ.

Ἐκ ποίων καρπῶν δοκιμάζεσθαι ὀφείλει ὁ συμπαθῶς ἐλέγχων τὸν ἀδελφὸν ἁμαρτάνοντα.

ἀπόκρισις.

Πρῶτον μὲν ἐκ τῶν ἐξαιρέτων τῆς συμπαθείας κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου, ὅτι ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· καὶ ὅτι τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ἔπειτα δὲ, ἐὰν ἐπὶ πάσῃ ἁμαρτίᾳ ὁμοίως συντρίβηται, καὶ ἐπὶ πᾶσι τοῖς ἁμαρτάνουσι τοῖς γε εἰς αὐτὸν, καὶ τοῖς εἰς ἄλλον ὁμοίως λυπῆται, καὶ πενθῇ, καὶ ἐλέγχων μὴ διαφθείρῃ τὸν ὑπὸ τοῦ κυρίου παραδεδομένον τρόπον.

ἐρώτησις, ρπγ.

Ἐὰν συμβῇ τινὰς ἐν ἀδελφότητι ζῶντας διαφωνῆσαι πρὸς ἀλλήλους, εἰ ἀκίνδυνόν ἐστιν ἀγάπης ἕνεκεν συμπεριφέρεσθαι τοῖς τοιούτοις.

ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, δὸς πάτερ, ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἓν ὦσιν ἐν ἡμῖν· καὶ τοῦ ἀποστόλου γράψαντος, σύμψυχοι, τὸ ἓν φρονοῦντες· καὶ τῶν πράξεων ἱστορουσῶν, ὅτι ἦν τῶν πιστευσάντων καρδία καὶ ψυχὴ μία· οἱ μὲν διαφωνοῦντες ἀλλότριοι τῶν εἰρημένων εἰσίν· ἀγάπη δὲ, ἡ μὲν κατὰ λόγον φυλάσσει τὸ εἰρημένον· ὁ δὲ ἀγαπῶν ἐπιμελῶς παιδεύει· ἡ δὲ μὴ κατὰ λόγον, οἵα δ' ἂν ᾖ, ἀδόκιμος· τοῦ κυρίου εἰπόντος, ὅτι ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.

ἐρώτησις, ρπδ.

Πῶς δυνηθῇ τις καὶ ὅτε παρακαλεῖ, καὶ ὅτε ἐλέγχει, μὴ μόνον σπουδάζειν ἐπιμόνως λαλῆσαι, ἀλλὰ καὶ τὴν διάθεσιν τὴν ὀφειλομένην σώζειν πρός τε τὸν θεὸν, καὶ πρὸς ἐκείνους, οἷς λαλεῖ.

ἀπόκρισις.

Ἐὰν μνημονεύσῃ τις τοῦ ἀποστόλου εἰπόντος, οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων θεοῦ· οὐχ ὡς ἰδίαν τινὰ ἐπιστήμην ἐξουθενοῦντας οἰκονομῇ, ἀλλ' ὡς θεοῦ ὑπηρεσίαν ἐν ἐπιμελείᾳ ψυχῶν αἵματι Χριστοῦ ἐξηγορασμένων πληροῖ, μετὰ φόβου καὶ τρόμου τοῦ πρὸς θεὸν, κατὰ τὸν εἰπόντα, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν· καὶ μετὰ διαθέσεως καὶ εὐσπλαγχνίας τῆς ὑπὲρ τῶν ἀκουόντων, ποιῶν τὸ εἰρημένον· ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς.

ἐρώτησις, ρπε.

Ἐάν τις ἐν διαλέξει συνδιατιθεμένους τοῖς λεγομένοις ὁρῶν τοὺς ἀκούοντας χαίρῃ, πῶς γνωρίσει ἑαυτὸν, εἰ διαθέσει ἀγαθῇ χαίρει, ἢ πάθει τινὶ ἰδίῳ;

ἀπόκρισις.

Ἐὰν ἐν τοῖς ἐπαίνοις μόνοις τὴν χαρὰν στήσῃ, δῆλός ἐστιν ἰδίῳ πάθει κινούμενος· ἐὰν δὲ τῶν ἐπαινούντων παρ' αὐτὰ μὲν τὸ ὑπὲρ τὴν ἀκρόασιν συνετὸν καταμαθὼν ἐλπίδα τῆς εὐπειθείας ὑποσπείρειν εὐφρανθῇ, ὕστερον δὲ τὴν ὠφέλειαν πολυπραγμονήσας, καὶ ἢ τὰ ἀκόλουθα τοῖς ἐπαίνοις κατορθώματα ἐν αὐτοῖς ὁρῶν χαρῇ, ἢ μηδὲν ὠφεληθέντας τοὺς ἐπαινέσαντας ἐπιδὼν λυπηθῇ, εὐχαριστείτω τῷ θεῷ, ὅτι ὡς φιλόθεος καὶ φιλάδελφος κατηξιώθη κινηθῆναι· μὴ ζητῶν τὴν δόξαν τὴν ἑαυτοῦ, ἀλλὰ τὴν δόξαν τοῦ θεοῦ, καὶ τὴν οἰκοδομὴν τῶν ἀδελφῶν.

ἐρώτησις, ρπϛ.

Ἐπειδὴ διδασκόμεθα τοιαύτην ἀγάπην ἔχειν, ὥστε καὶ τὴν ψυχὴν θεῖναι ὑπὲρ τῶν φίλων, μαθεῖν δεόμεθα, ὑπὲρ ποταπῶν φίλων τοῦτο αἱρεῖσθαι δεῖ.

τὴν μὲν

καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ. οὐκ ἂν δὲ προσέταξεν ὁ ἀγαθὸς καὶ δίκαιος εἰ μὴ τὸ δυνατὸν ἐχαρίσατο. ὅπερ καὶ ἐν τῇ φύσει κατηναγκασμένως ἀποκεῖσθαι ἐφανέρωσεν. ὑπεργίγνεται μὲν γὰρ καὶ τὰ θηρία φυσικῶς ἀγαπᾷ. τί δὲ, τοσοῦτον ὑπεργιγνεῖ ὁ φίλος, ὅσον οἱ ἐχθροί; περιέχουσι τοῖς ἡμῖν τὸν μακαρισμὸν τοῦ κυρίου εἰπόντος. μακάριοί ἐστε, ὅταν διώξωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἐρώτησις, ροζ.

Πῶς ὀφείλουσιν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν.

Ἀπόκρισις.

Εἰ τὸ βαστάζειν ἐστὶ τὸ αἴρειν καὶ θεραπεύειν κατὰ τὸ γεγραμμένον, ὅτι αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν, οὐκ ἐν τῷ εἰς ἑαυτὸν ὑποδέχεσθαι ταῦτα, ἀλλ' ἐν τῷ τοὺς πάσχοντας θεραπεύειν. καὶ ἐνταῦθα ὁ τῆς μετανοίας τρόπος καὶ λόγος ἐφαρμόσει, δι' οὗ θεραπευθήσονται ἐκ τῆς τῶν δυνατωτέρων ἐπιμελείας οἱ ἀδύνατοι.

Ἐρώτησις, ροη.

Τί ἐστι τὸ ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ ποῖον νόμον ἀναπληρώσομεν τοῦτο ποιοῦντες;

Ἀπόκρισις.

Ταυτόν ἐστι τῷ προειρημένῳ. βαρεῖα γὰρ ἡ ἁμαρτία καθέλκουσα τὴν ψυχὴν εἰς πυθμένα ᾅδου. ἣν αἴρομεν ἀλλήλων, καὶ περιαιροῦμεν εἰς ἐπιστροφὴν ἄγοντες τοὺς ἁμαρτάνοντας. τὸ δὲ βαστάσαι ἀντὶ τοῦ ἆραι συνήθως καὶ τοῖς ἐπιχωρίοις κεχρῆσθαι, ὡς πολλάκις παρὰ πολλῶν αὐτὸς ἤκουσα. νόμον δὲ τοῦ Χριστοῦ ἀναπληρώσομεν τοῦ εἰπόντος. οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. καὶ ἡμῖν νομοθετήσαντος, ὅτι ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτόν. ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου.

Ἐρώτησις, ροθ.

Πῶς δύναταί τις αὐτὰ ἀγάπης τῆς κτήσασθαι τοσαύτην, ὥστε ὄρη μεθιστάναι, ἢ τὰ ὑπάρχοντα δοῦναι πτωχοῖς, ἢ παραδοῦναι τὸ ἑαυτοῦ σῶμα, ἵνα καυθῇ;

Ἀπόκρισις.

Εἰ μνημονεύομεν τοῦ κυρίου εἰπόντος, ποιοῦσι γὰρ πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. καὶ τῆς ἀποκρίσεως αὐτοῦ τῆς πρὸς τοὺς εἰπόντας, κύριε κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; πρὸς οὓς φησιν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. οὐχ ὅτι ἐψεύσαντο, ἀλλ' ὅτι τὴν τοῦ θεοῦ χάριν πρὸς τὰ ἴδια θελήματα ἀπεχρήσαντο. ὅπερ τῆς πρὸς θεὸν ἀγάπης ἀλλότριον οὐ δυσκόλως συνορᾷ τὰ εἰρημένα δυνάμεθα. τὸ δὲ χάρισμα θεοῦ, ἢ δωρεὰν λαμβάνειν καὶ τὸν ἀνάξιον, οὐδὲν παράδοξον. θεὸς γὰρ ἐν καιρῷ χρηστότητος καὶ μακροθυμίας τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς. πολλάκις δὲ καὶ εἰς ὠφέλειαν, ἢ ἐκείνου αὐτοῦ τοῦ ὑποδεχομένου τὸ χάρισμα. ἐὰν ἄρα δυσωπηθεὶς τὴν τοῦ θεοῦ χρηστότητα προτραπῇ εἰς ἐπιμέλειαν τῆς πρὸς αὐτὸν εὐαρεστήσεως, ἢ καὶ ἑτέρων κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου. τινὲς μὲν διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν. οἷς ἐπιφέρει μετ' ὀλίγα, πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται, καὶ ἐν τούτῳ χαίρω.

Ἐρώτησις, ρπ.

Μετὰ ποταπῆς διαθέσεως καὶ προσοχῆς ὀφείλομεν ἀκούειν τῶν ἐν τῷ καιρῷ τῆς μεταλήψεως παραγινωσκομένων ἡμῖν.

Ἀπόκρισις.

Πλειοτέρως μεθ' οἵας ἡδονῆς ἐσθίομεν, καὶ πίνομεν, ἵνα δειχθῇ ὁ νοῦς μὴ μετεωριζόμενος εἰς τὰς τοῦ σώματος ἡδονάς. ἐν εὐφραινόμενος δὲ πλέον τοῖς τοῦ κυρίου ῥήμασι κατὰ τὴν διάθεσιν τοῦ εἰπόντος, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.

Ἐρώτησις, ρπα.

Ἐὰν ὦσιν ἀδελφότητες πλησίον ἀλλήλων, καὶ ἡ μὲν πτωχεύῃ, ἡ δὲ ἑτέρα περὶ τὴν κοινωνίαν δυσχερεστέρα ᾖ, πῶς δεῖ τῆς πτωχευούσης πρὸς τὴν μὴ μεταδιδοῦσαν διατίθεσθαι;

λαμβάνων τοῦ ἄρτου καὶ τοῦ ποτηρίου.

Ἐρώτησις, ρογ.

Εἰ δεῖ ἐν τῇ ὥρᾳ τῆς κατ' οἶκον ψαλμῳδίας λαλιάν τινα γίνεσθαι.

Ἀπόκρισις.

Οὐ δεῖ, ἐκτὸς τῶν πεπιστευμένων τὴν φροντίδα καὶ τὴν ἐπιμέλειαν τῆς εὐταξίας καὶ τῆς οἰκονομίας, καὶ τῶν ἔργων, καὶ τοῦτο κατὰ ἀνάγκην τῆς ἐπειγούσης χρείας, καὶ οὐδὲ τότε ἀπαρασκέπτως, ἀλλ' ἐστοχασμένως, τοῦ τε τόπου καὶ τῆς εὐταξίας, τῆς τε σεμνότητος καὶ τοῦ ἀπροσκόπου τοῖς ἄλλοις. πᾶσιν ἀναγκαία ἐστὶν ἡ σιωπή. εἰ γὰρ ἐν καιρῷ διαλέξεως, καὶ ἐν αὐτοῖς τοῖς ἐπιτεταγμένοις τὸν λόγον τῆς διδασκαλίας ὁ πρῶτος σιγᾶν προστέτακται, ἐὰν ἄλλῳ ἀποκαλυφθῇ, πόσῳ μᾶλλον ἐν καιρῷ ψαλμῳδίας ἡ σιγὴ τοῖς πολλοῖς ἀναγκαία;

Ἐρώτησις, ροδ.

Πῶς δυνηθῇ τις ἐν διαθέσει, καὶ μετὰ ἐπιθυμίας ποιεῖν τὰς ἐντολὰς τοῦ κυρίου;

Ἀπόκρισις.

Κατὰ φύσιν ἡ πεῖρα τοῦ ἥδοντος καὶ ὠφελοῦντος, καὶ αὐτὴ ἡ προσδοκία τοῦ τοιούτου ἐμποιεῖ τῇ ψυχῇ τὴν περὶ τούτου διάθεσίν τε καὶ ἐπιθυμίαν. ἐὰν οὖν τις μισήσῃ καὶ βδελύξηται τὴν ἀδικίαν, καὶ καθαρεύσῃ πάσης ἁμαρτίας, ἀφ' ἧς ὥσπερ ἀπὸ νόσου τὸ σῶμα πάσχει τὴν ἀνορεξίαν, καὶ τὴν περὶ τὰ βρώματα ἀηδίαν, οὕτω καὶ ἡ ψυχὴ τὴν περὶ τὰ δικαιώματα τοῦ θεοῦ νωθρότητα καὶ ὀκνηρίαν. καὶ πληροφορηθῇ ὅτι ἡ ἐντολὴ τοῦ θεοῦ, ζωὴ αἰώνιός ἐστι. καὶ πάντα τὰ ἐπηγγελμένα, τοῖς φυλάσσουσιν αὐτὴν ἀληθῆ, κατορθοῦται αὐτῷ ἡ διάθεσις τοῦ εἰπόντος, τὰ κρίματα κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό. ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά. ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.

Ἐρώτησις, ροε.

Πῶς φαίνεται ὁ ἀγαπῶν τὸν ἀδελφὸν κατὰ τὴν ἐντολὴν τοῦ κυρίου, καὶ πῶς ἐλέγχεται ὁ μὴ οὕτως ἀγαπῶν.

Ἀπόκρισις.

Τῆς ἀγάπης ἐξαίρετα δύο ταῦτα· τὸ λυπεῖσθαι μὲν καὶ ἀγωνιᾶν ἐφ' οἷς βλάπτεται ὁ ἀγαπώμενος. χαίρειν δὲ καὶ ἀγωνίζεσθαι ὑπὲρ τῆς ὠφελείας αὐτοῦ. μακάριος οὖν ὁ πενθῶν ἐπὶ τῷ ἁμαρτάνοντι, οὗ ὁ κίνδυνος φοβερός. καὶ χαίρων ὑπὲρ τοῦ κατορθοῦντος, οὗ τὸ κέρδος ἀσύγκριτον, καθὼς γέγραπται. μαρτυρεῖ δὲ καὶ Παῦλος ὁ ἀπόστολος λέγων· ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. κατὰ λόγον πάντως τῆς ἐν Χριστῷ ἀγάπης. καὶ ἐὰν δοξάζηται ἓν μέλος κατὰ σκοπὸν δηλονότι τῆς πρὸς θεὸν εὐαρεστήσεως συγχαίρει πάντα τὰ μέλη. ὁ δὲ μὴ οὕτως συνδιατιθέμενος, φανερὸς ὅτι μὴ ἀγαπῶν τὸν ἀδελφόν.

Ἐρώτησις, ρος.

Τίνες εἰσὶν οἱ ἐχθροί, οὓς ἀγαπᾶν προστετάχημεν; καὶ πῶς ἀγαπήσωμεν τοὺς ἐχθροὺς τὰ εἰς αὐτοὺς εὐεργεσίας μόνον, ἢ καὶ αὐτῇ τῇ διαθέσει, καὶ εἰ δυνατὸν τοῦτο.

Ἀπόκρισις.

Ἐχθροῦ ἴδιον, τὸ βλάπτειν καὶ ἐπιβουλεύειν. πᾶς μὲν οὖν ὁ πωσδήποτε βλάπτων τινὰ ἐχθρὸς ἂν λέγοιτο. ἐξαιρέτως δὲ ὁ ἁμαρτάνων. τὸ γὰρ ὅσον ἐπ' αὐτῷ, βλάπτει κατὰ διαφόρους τρόπους, καὶ ἐπιβουλεύει τῷ συνόντι, ἢ συντυγχάνοντι. ἐπειδὴ δὲ ἐκ σώματος καὶ ψυχῆς συνέστηκεν ὁ ἄνθρωπος, κατὰ μὲν τὴν ψυχὴν ἀγαπήσωμεν τοὺς τοιούτους, ἐλέγχοντες αὐτοὺς καὶ νουθετοῦντες, καὶ παντὶ τρόπῳ εἰς ἐπιστροφὴν ἐνάγοντες. κατὰ δὲ τὸ σῶμα, εὐεργετοῦντες αὐτούς, ἐπιδεομένους τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. ὅτι δὲ ἡ ἀγάπη ἐν διαθέσει ἐστί, παντὶ δῆλον. τὸ δὲ δυνατὸν ἔδειξε, καὶ ἐδίδαξεν ὁ κύριος, τὴν ἀγάπην τοῦ πατρός, καὶ τὴν ἑαυτοῦ ἐν τῇ ὑπακοῇ μέχρι θανάτου ἐπιδειξάμενος ὑπὲρ ἐχθρῶν, οὐχ ὑπὲρ φίλων. ὡς μαρτυρεῖ ὁ ἀπόστολος λέγων· συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην ὁ θεὸς εἰς ἡμᾶς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. καὶ ἡμῖν δὲ αὐτὸ τοῦτο παραινεῖ, ἐν τῷ εἰπεῖν· γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητά,

οὐχὶ ἄλλο ἐστὶ ζητήσει, ἀλλὰ περὶ τοῦ διδομένου ἀγωνιάσει, ὡς ὑπὲρ τὴν ἀξίαν λαμβάνων. τὸ γὰρ ἐπὶ τῆς τροφῆς εἰρημένον, ἐπὶ παντὸς πράγματος τοῦ πρὸς τὴν χρείαν τοῦ σώματος, ὡς περ κανόνα ἔχειν δεῖ.

ἐρώτησις, ρξθʹ.

Ἐὰν ἀδελφὸς νεώτερος ἐστὶ τύχῃ διδάξαι τι τὸν πρεσβύτερον κατὰ ἡλικίαν, πῶς αὐτῷ προσενεχθήσεται;

ἀπόκρισις.

Ὡς ὑπηρεσίαν πληρῶν κατ' ἐπιταγὴν τοῦ δεσπότου θεοῦ. φοβούμενος μὲν μὴ ὑποπέσῃ τῷ
» κρίματι τοῦ εἰπόντος. ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς. ἀσφαλιζόμε-
» νος δὲ μήποτε τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου.

ἐρώτησις, ρό.

Εἰ δεῖ ἴσως προσέχειν τῷ πλεῖον κατορθοῦντι, καὶ τῷ ἔλαττον.

ἀπόκρισις.

Ὅπερ ἐπὶ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων ὁ κύριος ὡρίσατο εἰπὼν, ἀφέωνται αἱ ἁμαρτίαι
» αὐτῆς ὅτι ἠγάπησε πολύ. ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. καὶ ὅπερ ἐπὶ τῶν πρεσ-
» βυτέρων ὁ ἀπόστολος διετάξατο, εἰπών. οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τι-
» μῆς ἀξιούσθωσαν. μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. τοῦτο ἐπὶ πάντων
τῶν τοιούτων φυλάσσειν ἡγοῦμαι ἀκόλουθον.

ἐρώτησις, ροαʹ.

Ἐὰν δὲ λυπῆται ὁ ἐλάττων προτιμωμένου τοῦ ἐπιεικεστέρου, πῶς αὐτῷ προσχρώμεθα;

ἀπόκρισις.

Ὁ τοιοῦτος φανερός ἐστιν ἐπὶ πονηρίᾳ κατεγνωσμένος ἐκ τῆς ἐν τῷ εὐαγγελίῳ παραβολῆς,
» ἐν ᾗ φησιν ὁ κύριος πρὸς τοὺς λυπηθέντας. ὅτι τὰ ἴσα αὐτοῖς τινες ἐτιμήθησαν. εἰ ὁ ὀφθαλ-
» μός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι. καὶ πρόδηλον τὸ ἐπὶ τούτῳ καὶ τοῖς τοιούτοις
» κρίμα τοῦ θεοῦ διὰ τοῦ προφήτου λέγοντος, ἐξουδένωται ἐνώπιον αὐτοῦ πᾶς πονηρευό-
» μενος. τοὺς δὲ φοβουμένους τὸν κύριον δοξάζει.

ἐρώτησις, ροβʹ.

Ποταπῷ φόβῳ, ἢ ποίᾳ πληροφορίᾳ, ἢ ποίᾳ διαθέσει μεταλάβωμεν τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ χριστοῦ.

ἀπόκρισις.

Τὸν μὲν φόβον διδάσκει ἡμᾶς ὁ ἀπόστολος, λέγων, ὁ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυ-
» τῷ ἐσθίει καὶ πίνει. τὴν δὲ πληροφορίαν ἐμποιεῖ ἡ πίστις τῶν ῥημάτων τοῦ κυρίου εἰπόντος.
» τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.
» καὶ τῆς μαρτυρίας τοῦ ἰωάννου μαρτυρησαμένου πρότερον τὴν δόξαν τοῦ λόγου, καὶ ἐπα-
» γαγόντος τὸν τρόπον τῆς ἐνανθρωπήσεως, ἐν τῷ εἰπεῖν. ὅτι ὁ λόγος σὰρξ ἐγένετο, καὶ
» ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς
» πλήρης χάριτος καὶ ἀληθείας. καὶ τοῦ ἀποστόλου γράψαντος, ὅτι ἐν μορφῇ θεοῦ ὑπάρ-
» χων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δού-
» λου λαβών. ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐτα-
» πείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ὅταν οὖν πι-
στεύσασα ἡ ψυχὴ τοῖς ῥήμασι τούτοις καὶ τοῖς τοιούτοις καταμάθῃ τὴν μεγαλειότητα
τῆς δόξης, καὶ θαυμάσῃ τὴν ὑπερβολὴν τῆς ταπεινώσεως καὶ τῆς ὑπακοῆς, ὅτι ὁ τοιοῦ-
τος καὶ τοσοῦτος ὑπήκουσε τῷ πατρὶ μέχρι θανάτου ὑπὲρ τῆς ἡμετέρας ζωῆς, νομίζω
ὅτι κατορθοῖ τὴν διάθεσιν εἰς ἀγάπην τήν τε πρὸς τὸν θεὸν καὶ πατέρα, ὃς τοῦ ἰδίου υἱοῦ οὐκ
ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, καὶ τὴν πρὸς τὸν μονογενῆ αὐ-
τοῦ υἱὸν τὸν ὑπακούσαντα μέχρι θανάτου ὑπὲρ τῆς ἡμετέρας ἀπολυτρώσεως καὶ σω-
τηρίας. καὶ δύναται οὕτως ἀνασχέσθαι τοῦ ἀποστόλου ὥσπερ ὅρον τινὰ ἐκτιθεμένου τοῖς
» ὑγιαίνουσι τὴν ἐν τούτοις ἀγαθὴν συνείδησιν. ἐν τῷ εἰπεῖν, ἡ γὰρ ἀγάπη τοῦ χριστοῦ συνέχει
» ἡμᾶς κρίναντας τοῦτο. ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον. καὶ
» ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν
» ἀποθανόντι, καὶ ἐγερθέντι. τοιαύτην διάθεσιν καὶ ἑτοιμασίαν ὀφείλει ἔχειν ὁ μετα-

Ἀπόκρισις.

Τοῦ κυρίου ποτὲ μὲν λέγοντος μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. ποτὲ δὲ τὴν δικαίαν κρίσιν κρίνειν προστάσσοντος, οὐχὶ τὸ κρίνειν καθόλου κωλυόμεθα, ἀλλὰ διαφορὰν κρίσεως παιδευόμεθα. περὶ τίσι δὲ κρίνειν χρὴ, καὶ περὶ τίσι μὴ, σαφῶς παρέδωκεν ἡμῖν ὁ ἀπόστολος. περὶ μὲν τῶν ἐν ἐξουσίᾳ ἑκάστου κειμένων, καὶ ὑπὸ τῆς γραφῆς μὴ διεσταλμένων εἰπών. σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; καὶ πάλιν. μηκέτι οὖν ἀλλήλους κρίνωμεν. περὶ δὲ τῶν ἀπαρεσκόντων θεῷ καταγινώσκων τῶν μὴ κρινόντων, καὶ αὐτὸς τὴν παρ᾽ αὐτοῦ κρίσιν ἐκφέρων, δι᾽ ὧν φησι. ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν. τὸν οὕτως τοῦτο κατεργασάμενον ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ. ὥστε, εἰ μέν τι ἐν ἐξουσίᾳ ἡμετέρᾳ κεῖται, ἢ καὶ ἄδηλον πολλάκις ἐστὶν, οὐ χρὴ κρίνειν περὶ τούτου τὸν ἀδελφόν. κατὰ τὸ αὐτὸ τοῦ ἀποστόλου περὶ τῶν ἀγνοουμένων εἰρημένον. ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. τὰ δὲ τοῦ θεοῦ κρίματα ἐκδικεῖν, ἀπαραίτητος ἀνάγκη, ἵνα μὴ συναπαπολαύσῃ τῆς ὀργῆς τοῦ θεοῦ ὁ ἡσυχάζων. πλὴν εἰ μή τις τὰ αὐτὰ ποιῶν τῷ ἐγκαλουμένῳ, ἀπαρρησίαστος ἔσται πρὸς τὸ κρίνειν τὸν ἀδελφὸν, ἀκούων τοῦ κυρίου λέγοντος. ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

Ἐρώτησις, ρξε'.

Πῶς γνωρίσει τις, εἰ ζήλῳ θεοῦ κινεῖται κατὰ τοῦ ἁμαρτάνοντος ἀδελφοῦ, ἢ ὀργίζεται.

Ἀπόκρισις.

Ἐὰν κατὰ παντὸς ἁμαρτήματος πάθῃ τὸ γεγραμμένον. ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. φανερὸς τοῦ θεοῦ ὁ ζῆλος. οἰκονομίας δὲ καὶ ἐν τούτῳ δεῖ ἐπιστημονικῆς χρεία πρὸς οἰκοδομὴν πίστεως. ταύτης δὲ τῆς διαθέσεως μὴ προσυπαρξάσης τῇ ψυχῇ καὶ κινησάσης αὐτὴν. τὸ μὲν κίνημα ἀνώμαλον γίνεται. ἐν οὐδενὶ δὲ ὁ σκοπὸς τῆς θεοσεβείας σώζεται.

Ἐρώτησις, ρξς'.

Μετὰ ποίας διαθέσεως ὑπακούειν δεῖ τὸ εἰς ἔργον τῆς ἐντολῆς κατεπείγοντι.

Ἀπόκρισις.

Μεθ᾽ ὅσης διαθέσεως τὸ παιδίον ὑπὸ πείνης κρατούμενον ὑπακούει τῇ τροφῷ καλούσῃ ἐπὶ τὴν μετάληψιν. καὶ πᾶς ἄνθρωπος ἀντιποιούμενος τοῦ ζῆν τῷ χαριζομένῳ τὰ πρὸς τὸ ζῆν. μᾶλλον δὲ καὶ πολλῷ πλέον, ὅσῳ καὶ τιμιωτέρα τῆς παρούσης ἡ αἰώνιος ζωή. ἡ γὰρ ἐντολὴ τοῦ θεοῦ φησὶν ὁ κύριος ζωὴ αἰώνιός ἐστιν. ὅπερ δὲ ἔστιν ἐπὶ τοῦ ἄρτου ἡ βρῶσις, τοῦτο ἔστιν ἐπὶ τῆς ἐντολῆς ἡ ἐργασία. αὐτοῦ πάλιν τοῦ κυρίου εἰπόντος, ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

Ἐρώτησις, ρξζ'.

Ποταπὴ ὀφείλει εἶναι ἡ ψυχὴ, ὅτι ὅλως κατηξιώθη ἐν τῷ ἔργῳ τοῦ θεοῦ καταληφθῆναι.

Ἀπόκρισις.

Οἵα ἦν ἡ λέγουσα. τίς εἰμι ἐγὼ κύριέ μου, κύριε. καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με; πληροῦσα τὸ γεγραμμένον. εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους. καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ.

Ἐρώτησις, ρξη'.

Μετὰ ποταπῆς διαθέσεως δεῖ λαμβάνειν ἱμάτιον ἢ ὑπόδημα οἷον ἂν ᾖ.

Ἀπόκρισις.

Εἰ μὲν μικρότερον ἢ μεῖζον τῆς ἡλικίας ἐστὶ, φανερωσάτω τὴν χρείαν μετὰ τῆς πρεπούσης ἐπιεικείας. εἰ δὲ περὶ εὐτελείας διαφέρεται, ἢ ὅτι οὐκ ἔστι καινὸν, μνημονευσάτω τοῦ κυρίου λέγοντος, ἄξιος, οὐχ ἁπλῶς πᾶς, ἀλλ᾽ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. καὶ ἑαυτὸν ἀνακρινέτω εἰ πρὸς ἀξίαν τῶν τοῦ θεοῦ ἐπιταγμάτων, ἢ ἐπαγγελιῶν εἰργάσατό τι. καὶ τότε

μένῳ, καὶ πικρὸς καὶ ἐπώδυνος ᾖ ὁ τρόπος τῆς θεραπείας ἐν πληροφορίᾳ τῆς τε ἀγάπης, καὶ τῆς ἐμπειρίας τοῦ ἐπιτιμῶντος, καὶ ἐν ἐπιθυμίᾳ τῆς ἰάσεως.

Ἐρώτησις, ρνθ.

Ὁ λυπούμενος κατὰ τοῦ ἐπιτιμήσαντος αὐτῷ ποταπός ἐστιν;

Ἀπόκρισις.

Οὔτε κίνδυνον τῆς ἁμαρτίας ἐγνώρισε· καὶ μάλιστα τὸν πρὸς θεὸν, οὔτε τὸ κέρδος τῆς μετανοίας· οὔτε ἐπίστευσε τῷ εἰπόντι, ὁ δὲ ἀγαπῶν ἐπιμελῶς παιδεύει, καὶ ἑαυτὸν ἀλλότριον κατέστησε τῆς ὠφελείας τοῦ εἰπόντος· παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· καὶ ἐπιβλαβῶς σύνεστιν ὁ τοιοῦτος τῇ ἀδελφότητι ἀπασχολῶν τοὺς ἀγωνιζομένους.

Ἐρώτησις, ρξ.

Μετὰ ποίας διαθέσεως ὀφείλομεν ὑπηρετεῖν τοῖς ἀδελφοῖς;

Ἀπόκρισις.

Ὡς αὐτῷ τῷ κυρίῳ προσφέροντες τὴν ὑπηρεσίαν τῷ εἰπόντι, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. συμβάλλεται δὲ πρὸς κατόρθωσιν τῆς τοιαύτης διορθώσεως καὶ τὸ τοιούτους εἶναι τοὺς θεραπευομένους. διὸ ἐπιμελεῖσθαι αὐτῶν χρὴ τοὺς προεστῶτας σπουδαιότερον, ἵνα μὴ ὡς φιλοσώματοι γαστρὶ καὶ ἡδοναῖς δουλεύωσιν· ἀλλ᾽ ὡς φιλόθεοι καὶ φιλόχριστοι δι᾽ ὑπομονῆς τελείας γένωνται καύχημα τοῦ κυρίου, εἰς ὄνειδος τοῦ διαβόλου, ὡς ὁ δίκαιος ἰώβ.

Ἐρώτησις, ρξα.

Μετὰ ποταπῆς ταπεινώσεως ὀφείλει τις δέχεσθαι τὴν ὑπηρεσίαν παρὰ τοῦ ἀδελφοῦ;

Ἀπόκρισις.

Ὡς δοῦλος παρὰ δεσπότου· καὶ οἵαν ἔδειξε πέτρος ὁ ἀπόστολος τοῦ κυρίου ὑπηρετοῦντος· ἐφ᾽ οὗ καὶ τὸν κίνδυνον τῶν μὴ καταδεχομένων τὴν ὑπηρεσίαν παιδευόμεθα.

Ἐρώτησις, ρξβ.

Ποταπὴν ἐν ἀλλήλοις ἔχειν δεῖ τὴν ἀγάπην;

Ἀπόκρισις.

Οἵαν ὁ κύριος ἔδειξε, καὶ ἐδίδαξεν, εἰπών· ἀγαπᾶτε ἀλλήλους καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει· ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. εἰ δὲ τὴν ψυχὴν θεῖναι δεῖ, πόσῳ μᾶλλον τὴν ἐν τοῖς κατὰ μέρος προθυμίαν ἐπιδείκνυσθαι ἀναγκαῖον; οὐκ εἰς τὰ ἀνθρώπινα καθήκοντα, ἀλλὰ κατὰ σκοπὸν τῆς πρὸς θεὸν εὐαρεστήσεως πρὸς τὸ ἑκάστῳ συμφέρον.

Ἐρώτησις, ρξγ.

Ποίῳ τρόπῳ δυνηθῇ τις κατορθῶσαι τὴν πρὸς τὸν πλησίον ἀγάπην;

Ἀπόκρισις.

Πρῶτον μὲν φοβούμενος τὸ κρίμα τῶν παραβαινόντων τὴν ἐντολὴν τοῦ κυρίου αὐτοῦ, εἰπόντος, ὅτι ὁ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ᾽ ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ᾽ αὐτόν. ἔπειτα δὲ ἀντιποιούμενος ζωῆς αἰωνίου. ἡ γὰρ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι. πρώτη δὲ καὶ μεγάλη ἐντολὴ, ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου· καὶ δευτέρα ὁμοία ταύτῃ, ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν· καὶ ἐπιθυμῶν ἐξομοιωθῆναι τῷ κυρίῳ, εἰπόντι· ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. ἔτι δὲ καὶ ἀπὸ λογισμῶν τοιούτων, ὅτι εἰ μὲν εὐεργέτης ἐστὶν ὁ ἀδελφὸς, χρεωστοῦμεν αὐτῷ καὶ κατὰ ἄνθρωπον τὴν ἀγάπην, ἣν καὶ ἔθνικοι φυλάσσουσι καθὼς ἐν τῷ εὐαγγελίῳ ὁ κύριος δηλοῖ λέγων· καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσιν. εἰ δὲ κακοποιὸς, καὶ οὕτως οὐ μόνον διὰ τὴν ἐντολὴν, ἀλλὰ καὶ ὡς τῶν μειζόνων εὐεργέτην ἀγαπᾶν ὀφείλομεν· εἴγε πιστεύομεν τῷ κυρίῳ εἰπόντι· μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ἐρώτησις, ρξδ.

Τί ἐστιν ἐστὶ τὸ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε.

Ἀπόκρισις.

Τὰ μὲν ἔργα ὡς παρακαταθήκην Θεοῦ πιστευθεῖσα, ἀφιλονείκως δὲ καὶ ἀπεριττοπολύπλως ἑκάστη ἀδελφῇ τὸ οἰκεῖον ἔργον ποιοῦσα καὶ οἰκονομοῦσα.

Ἐρώτησις, ρνδ'.

Ἐὰν συμβῇ ὀλίγους ὄντας ἀδελφούς, καὶ πλείοσιν ἀδελφαῖς ἐξυπηρετουμένους εἰς ἀνάγκην ἐμπίπτειν τοῦ διΐστασθαι ἀπ' ἀλλήλων διαμεριζομένους πρὸς τὰ ἔργα, εἰ ἀκίνδυνον τὸ τοιοῦτον.

Ἀπόκρισις.

Εἰ ἡ φροντὶς ἀπὸ τῆς ἐντολῆς τοῦ κυρίου μαρτυρεῖται, καὶ κατὰ Θεὸν ἐκπονεῖται, ἑκάστῳ μὲν τῶν ἐργαζομένων ἐν τῷ ἰδίῳ ἔργῳ ἡ πρὸς Θεὸν εὐαρέστησις κατορθοῦται· ἡ δὲ ἑνότης αὐτῶν πρὸς ἀλλήλους ἐν τῷ εἶναι αὐτοὺς τοὺς πάντας συμψύχους, τὸ ἓν φρονοῦντας, πληροῦται τὸ ἀπὸ τοῦ ἀποστόλου εἰρημένον· εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι.

Ἐρώτησις, ρνε'.

Ἐπειδὴ διδασκόμεθα οἱ ὑπηρετοῦντες τοῖς ἐν τῷ ξενοδοχείῳ ἀρρώστοις μετὰ τοιαύτης διαθέσεως ὑπηρετεῖν ὡς ἀδελφοῖς τοῦ κυρίου ὑπηρετοῦντες· ἐὰν μὴ ᾖ ὁ τοιοῦτος ὑπηρετούμενος, πῶς ὀφείλομεν αὐτῷ προσέχειν;

Ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς, οὗτός μου ἀδελφός, καὶ ἀδελφή, καὶ μήτηρ ἐστί· εἰ μὴ ἔστι τις τοιοῦτος, ἁμαρτάνων δὲ ἐλέγχεται· ἄξιος ὢν τῆς ἀποφάσεως ἐκείνης, ὅτι ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας· πρῶτον μὲν παρακλήσεως χρῄζει, νουθεσίας παρὰ τοῦ προεστῶτος· ἐὰν δὲ ἐπιμένῃ τοῖς αὐτοῖς, φανερόν ἐστιν ἐπ' αὐτῷ τὸ κρίμα τοῦ αὐτοῦ κυρίου ἐπάγοντος· ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ· καὶ τοῦ ἀποστόλου παραγγέλλοντος· ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν· οὕτω γὰρ τοῖς τε ὑπηρετοῦσι τὸ ἀδιάκριτον, καὶ τοῖς συζῶσι πᾶσι τὸ ἀσφαλὲς ἀποσώζεται.

Ἐρώτησις, ρνϛ'.

Τὸν πεπιστευμένον φροντίδα· ἤτοι κελλαρείου, ἢ ἄλλου τινὸς τοιούτου, εἰ δεῖ πάντοτε ἔχειν τὴν φροντίδα, ἢ καὶ ἐναλλάσσεσθαι.

Ἀπόκρισις.

Εἰ τὴν ἐπιμέλειαν τῆς εὐταξίας, καὶ τὴν ἀκρίβειαν τοῦ κανόνος φυλάσσει, τὸ ἐναλλάσσεσθαι μὲν ὠφέλιμον, μᾶλλον δὲ δύσκολον καὶ δυσαπόδεκτον. ἔχειν δέ τινα παρακολουθοῦντα ἀναγκαῖον, ὀφείλοντα κατὰ μέρος πρὸς τὴν φροντίδα τυποῦσθαι· ἵνα μὴ ὅταν ἡ χρεία ἐπιζητῇ τὸν διαδεξόμενον ἐν ἀπορίᾳ τούτου εὑρεθέντες ταρασσώμεθα· πολλάκις δὲ καὶ τὸν οὐκ ἐπιτηδείως ἔχοντα, παράγειν εἰς τὸ ἔργον ἀναγκαζώμεθα· ὥστε συμβαίνειν ἐξ ἀνάγκης παρὰ τὴν τούτου ἀπειρίαν τήν τε ἀκρίβειαν διαφθείρεσθαι, καὶ τὴν κατὰ λόγον εὐταξίαν διαλύεσθαι.

Ἐρώτησις, ρνζ'.

Ποταπῇ διαθέσει ὀφείλει τις δουλεύειν Θεῷ, καὶ ὅλως ἡ διάθεσις αὕτη τί ἐστιν;

Ἀπόκρισις.

Διάθεσιν ἀγαθὴν ἡγοῦμαι εἶναι ἐπιθυμίαν τῆς πρὸς Θεὸν εὐαρεστήσεως σφοδρὰν, καὶ ἀκόρεστον, καὶ πεπηγυῖαν, καὶ ἀμετάθετον· κατορθοῦται δὲ αὕτη ἐν θεωρίᾳ συνετῇ καὶ διηνεκεῖ τῆς μεγαλειότητος τῶν δοξῶν τοῦ Θεοῦ, λογισμοῖς τε εὐγνώμοσι, καὶ ἀδιαλείπτῳ μνήμῃ τῶν ὑπαρξάντων ἡμῖν παρὰ Θεοῦ ἀγαθῶν· ἀφ' ὧν ἐγγίνεται τῇ ψυχῇ τό, ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, κατὰ τὸν εἰπόντα, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός· μετὰ τοιαύτης οὖν διαθέσεως δουλεύειν χρὴ τῷ Θεῷ πληροῦντα τὸ ἀπὸ τοῦ ἀποστόλου εἰρημένον· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ τὰ ἑξῆς.

Ἐρώτησις, ρνη'.

Ποταπῇ διαθέσει ὀφείλει δέχεσθαι τὸ ἐπιτίμιόν τις.

Ἀπόκρισις.

Τῇ πρεπούσῃ ἀρρώστῳ καὶ ἀγωνιῶντι περὶ τοῦ ζῆν παρὰ πατρὸς καὶ ἰατροῦ θεραπευο-

» σιότερος· ὥστε κατὰ μὲν διάνοιαν πληροῦσθαι τὰ γεγραμμένα, ὅτι ᾄδοντες καὶ ψάλλον-
» τες ἐν ταῖς καρδίαις ὑμῶν τῷ κυρίῳ· εἰ δὲ καὶ στοματικῶς μὴ φθάνει συνδραμεῖν τοῖς λοι-
» ποῖς, μηδὲν διακρίνεσθαι, ποιῶν τὸ εἰρημένον ἕκαστος· ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω·
χρὴ δὲ ἀσφαλίζεσθαι, μήπως δυνάμενός τις πληρῶσαι τὸ ἐπιτεταγμένον, ἀκαίρως
εἰς τύπον καὶ ἄλλων, προφασίσηται τὴν τοῦ ἔργου ἀσχολίαν εἰς πρόσκομμα τῶν λοιπῶν,
καὶ ἐμπέσῃ εἰς τὸ τῶν ἀμελούντων κρίμα.

Ἐρώτησις, ρμη.

Ποῖον μέτρον ἐξουσίας ἔχει ἐν τῇ οἰκονομίᾳ ὁ πιστευθεὶς τὴν φροντίδα τοῦ κελλαρείου.

Ἀπόκρισις.

Πρὸς μὲν τὸν πιστεύσαντα τὴν τούτου μετὰ δοκιμασίας διατύπωσιν, μεμνημένος αὐτοῦ τοῦ
» κυρίου εἰπόντος· οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. πρὸς δὲ τοὺς φροντιζομένους τὴν
» ἑκάστου χρείαν· γέγραπται γάρ, διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν. ὁ δὲ αὐτὸς
λόγος ἔστω πρὸς πάντας τοὺς ἐγχειριζομένους τὰς τοιαύτας φροντίδας.

Ἐρώτησις, ρμθ.

Τί τὸ κρίμα τοῦ οἰκονομοῦντος, ἐὰν κατὰ προσωποληψίαν ἢ φιλονεικίαν ποιήσῃ.

Ἀπόκρισις.

Τοῦ ἀποστόλου ποτὲ μὲν παραγγέλλοντος μηδὲν ποιεῖν κατὰ πρόσκλησιν, ποτὲ δὲ ἀπο-
» φαινομένου, ὅτι εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ
» αἱ ἐκκλησίαι τοῦ θεοῦ. ἀλλότριος τῆς ἐκκλησίας τοῦ θεοῦ ὁ τοιοῦτος χωριζέσθω, ἕως
ἂν διορθωθῇ. δεῖ μέντοι γε μετὰ πολλῆς περισκέψεως δοκιμάζεσθαι πρός τι ἕκαστος ἐπι-
τηδείως ἔχει, καὶ οὕτως ἐγχειρίζεσθαι ὁποῖον ἔργον, ἵνα μήτε οἱ ἐγχειρίζοντες τὸ μὴ
ἁρμόζον τινί, κατακριθῶσιν ὡς κακοὶ οἰκονόμοι, τῶν τε ψυχῶν, καὶ τῶν ἐντολῶν τοῦ κυρίου·
μήτε οἱ ἐγχειριζόμενοι πρόφασιν ἁμαρτίας ἐντεῦθεν εὑρίσκειν δόξωσιν.

Ἐρώτησις, ρν.

Ἐὰν δὲ ἀμελήσας μὴ δῷ τῷ ἀδελφῷ τὰ πρὸς τὴν χρείαν;

Ἀπόκρισις.

Τούτου τὸ κρίμα φανερόν, ἐκ τῶν τοῦ κυρίου ῥημάτων, εἰπόντος· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατη-
» ραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἐπεί-
» νασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· καὶ τὰ ἑξῆς· καὶ
» ὅτι ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς.

Ἐρώτησις, ρνα.

Εἰ ἔξεστι τῷ ὑπηρετοῦντι μετὰ φωνῆς μείζονος λαλεῖν.

Ἀπόκρισις.

Τῆς φωνῆς τὸ μέτρον ὁρίζει ἡ χρεία τῶν ἀκουόντων· οὐκοῦν ἐὰν μὲν ἐλάττων ᾖ, ὡς νωθρο-
τέρα ἐγγύς ἐστι ψιθυρισμοῦ καὶ καταγνώσεως ἀξία· ἐὰν δὲ ὑπὲρ τὴν χρείαν, δυναμένου
τοῦ ἀκούοντος καὶ ἠρέμα λαλοῦντος ἀκοῦσαι, κραυγὴ γίνεται ἡ καταγινωσκομένη, ἐκτὸς
εἰ μήπου τὸ νωθρὸν τοῦ ἀκούοντος εἰς ἀνάγκην ἡμᾶς ἀγάγοι τῇ κραυγῇ χρήσασθαι· καὶ
ὥσπερ ἐξ ὕπνου τοῦτον διεγεῖραι· τοῦτο γὰρ καὶ ὁ κύριος πολλάκις ἱστορεῖται, ὥς φησιν ὁ εὐαγ-
γελιστής· Ἰησοῦς δὲ ἔκραξε, καὶ εἶπεν, ὁ πιστεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν
πέμψαντά με.

Ἐρώτησις, ρνβ.

Ἐάν τις τὴν ἐξ ἐφημερείας ὑπηρεσίαν ἐν τῷ μαγειρείῳ πληρῶν ὑπὲρ δύναμιν κάμῃ, ὡς
ἐμποδίζεσθαι αὐτὸν τῇ ἄλλῃ ἡμέρᾳ εἰς τὸ κατὰ συνήθειαν ἔργον, εἰ δεῖ αὐτῷ ἐπιτάσσειν τὴν
τοιαύτην ὑπηρεσίαν.

Ἀπόκρισις.

Εἴρηται, ὅτι δεῖ τὸν ἐγκεχειρισμένον τὴν οἰκονομίαν τῶν ἔργων, ἐστοχασμένως τῆς τε ἐπι-
τηδειότητος, καὶ τῆς δυνάμεως τοῦ ἐργαζομένου, τυποῦν τὰ ἐπιτάγματα· μὴ ἀκούσῃ
ὁ πλέον τὸν κόπον ὑπὲρ τὸ πρόσταγμα· τὸ μέντοι γε ἐπιτεταγμένον, οὐ χρὴ ἀντιλέγειν· ἡ γὰρ
ὑπακοὴ μέχρι θανάτου ἔχει τὸν ὅρον.

Ἐρώτησις, ρνγ.

Ἡ τὰ ἔρια πιστευθεῖσα, πῶς ὀφείλει αὐτὰ ἔχειν, καὶ
πῶς προσέχειν ταῖς ἐργαζομέναις.

δυνηθῇ διὰ τῆς κακώσεως τῆς σωματικῆς, ἣν ἐκ τῆς ἀκρασίας ὑπομένει, εἰς αἴσθησιν ἐλθεῖν τῆς ἰδίας βλάβης, καὶ ὁδηγηθῆναι πρὸς τὴν ἐν πᾶσιν ἐγκράτειαν. τὴν δὲ ἐπιμέλειαν τοῦ σώματος ἐπὶ τῶν ἐξ ἀκρασίας βλαπτομένων ποιεῖσθαι μὲν τάχα ἄλογον καὶ χρηστότητι πρέπον, οὐκ ἀδοκιμάστως δὲ, ἀλλὰ πεφροντικότας, μήπως ἐν τῇ τοῦ σώματος θεραπείᾳ τὴν ψυχὴν ἀθεράπευτον καταλίπωμεν. ὥστε, ἐὰν μὲν ἐπίδῃ τις τὸν τοιοῦτον ἐκ τῆς τοῦ σώματος θεραπείας παιδευόμενον, ἀγωνιζόμενος καὶ τὴν ψυχὴν ἐν τοῖς ἰδίοις πάθεσιν ἐπιμελεῖσθαι, προσάγειν αὐτῷ τὴν σωματικὴν ἐπιμέλειαν. ἐὰν δὲ τὴν τοῦ σώματος θεραπείαν δεχόμενος, ἐλέγχηται τῆς ψυχῆς καταφρονῶν, βέλτιόν ἐστι τὸν τοιοῦτον ἐναφεθῆναι ταῖς ὀδύναις, ἃς ἐκ τῆς ἰδίας ἀκρασίας ὑφίσταται. ἐὰν ἄρα δυνηθῇ τῷ χρόνῳ εἰς συναίσθησιν ἐλθὼν ἑαυτοῦ καὶ τῆς αἰωνίου κολάσεως φροντίδα ἀναλαβεῖν τῆς κατὰ ψυχὴν ὑγείας. κρινόμενοι γὰρ ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

Ἐρώτησις, ρμα΄.

Εἰ δεῖ ξένοις ἐνδέχεσθαι τοῖς ἐργαστηρίοις, ἢ καὶ τῶν ἐντεῦθεν τινὰς καταλιπόντας τὸν ἴδιον τόπον.

Ἀπόκρισις.

Παρεκτὸς τοῦ τεταγμένου τὴν ἐπίσκεψιν τῶν ἐργαζομένων, ἢ τὴν οἰκονομίαν τῶν ἔργων, ὃς ἂν εὑρεθῇ τοῦτο ποιῶν, ὡς διαλύων τὴν εὐταξίαν τῆς τῶν μελῶν ἁρμονίας, κωλυέσθω καὶ τῆς συγκεχωρημένης προόδου. καθεζόμενος δὲ ἐν τόπῳ ἑνὶ τῷ δοκιμασθέντι πρὸς παιδείαν ἐπιτηδείῳ, ἀμεταστάτως καὶ ἐπιπονώτερον τῆς συνηθείας ἀποδιδότω τὸ ἔργον. ἕως ἂν μάθῃ φυλάσσειν τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον. ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω.

Ἐρώτησις, ρμβ΄.

Εἰ χρὴ τοὺς τεχνίτας δέχεσθαι παρά τινος ἔργον, ἄνευ γνώμης τοῦ ἐπιτεταγμένου τὴν φροντίδα τούτων.

Ἀπόκρισις.

Τῷ ἐγκλήματι τοῦ κλέπτου, ἢ τοῦ συντρέχοντος τῷ κλέπτῃ ὑποκείσθω ἑκάτερος ὅ,τε διδοὺς, καὶ ὁ δεχόμενος.

Ἐρώτησις, ρμγ΄.

Πῶς ὀφείλουσιν ἐπιμελεῖσθαι οἱ ἐργαζόμενοι τῶν πεπιστευμένων αὐτοῖς σκευῶν.

Ἀπόκρισις.

Πρῶτον μὲν ὡς Θεῷ ἐπονομασθέντων, καὶ ἀνατεθέντων. ἔπειτα ὡς ἄνευ αὐτῶν μὴ δυνάμενοι τὴν ὀφειλομένην ἄοκνον σπουδὴν ἐπιδείξασθαι.

Ἐρώτησις, ρμδ΄.

Ἐὰν δέ τις ἐξ ἀμελείας ἀπολέσῃ, ἢ ἐκ καταφρονήσεως παραχρήσηται;

Ἀπόκρισις.

Ὁ μὲν παραχρησάμενος, ὡς ἱερόσυλος. ὁ δὲ ἀπολέσας, ὡς αἴτιος ἱεροσυλίας κρινέσθω, πάντων τῷ Θεῷ ἐπονομασθέντων, καὶ τῷ Θεῷ ἀνακειμένων.

Ἐρώτησις, ρμε΄.

Ἐὰν δὲ ἀφ' ἑαυτοῦ χρήσῃ ἢ λάβῃ;

Ἀπόκρισις.

Ὡς θρασὺς καὶ αὐθάδης κρινέσθω. ταῦτα γὰρ τοῦ ἐπιτεταγμένου τὴν φροντίδα, καὶ οἰκονομοῦντος ἐστὶν ἴδια.

Ἐρώτησις, ρμϛ΄.

Ἐὰν δὲ καὶ συνεχούσης χρείας ὁ προεστὼς ἐπιζητήσῃ παρ' ἑαυτοῦ, καὶ ἀντείπῃ;

Ἀπόκρισις.

Ὁ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ μέλη ἀποδεδωκὼς τῇ ἄλλων χρείᾳ ἐν ἀγάπῃ Χριστοῦ. πῶς ὑπὲρ τῶν σκευῶν ἀντειπεῖν δυνήσεται τῷ προεστῶτι, ᾧ καὶ τῶν σκευῶν ἡ φροντὶς ἀνῆκεν;

Ἐρώτησις, ρμζ΄.

Ὁ ὑπὲρ τὸ ἔργον τοῦ κελλαρείου, ἢ τοῦ μαγειρείου, ἢ περί τι ἄλλο τοιοῦτον ἀσχολούμενος, ἐὰν μὴ φθάσῃ παρεῖναι τῷ κανόνι τῆς ψαλμῳδίας καὶ τῆς προσευχῆς, εἰ μηδὲν ζημιοῦται τὴν ψυχήν.

Ἀπόκρισις.

Ἕκαστος ἐν τῷ ἑαυτοῦ ἔργῳ φυλάσσει τὸν ἴδιον κανόνα ὡς μέλος ἐν σώματι. καὶ ζημιοῦται μὲν αὐτὸς ἀμελήσας τοῦ ἐπιτεταγμένου. καὶ τῷ κοινῷ δὲ ἐπιβουλεύων κινδυνεύει περισσοτέρως.

Ἀπόκρισις.

Εἰ μὲν κατὰ ἀνάγκην τοῦ τόπου ἢ τοῦ ἔργου ἀπελείφθη, ὡς φυλάσσων τὸ παράγγελμα τοῦ εἰπόντος, ἕκαστος, ἐν ᾧ ἐκλήθη ἀδελφοί, ἐν τούτῳ μενέτω· ὁ τῆς κοινῆς εὐταξίας ἔφορος δοκιμάσας συγγνώσεται. εἰ δὲ δυνάμενος συμφθάσαι, καὶ οὐκ ἐσπούδασε, γνωρίσας τὸ ἔγκλημα τῆς ἀμελείας, ἄσιτος μενέτω μέχρι τῆς τεταγμένης ὥρας ἐν τῇ ἐπιούσῃ.

Ἐρώτησις, ρλζ΄.

Εἰ καλόν ἐστι, τὸ κρίναι αὐτὸν πόσον δεῖ, εἰ τύχοι χρόνον ἀπέχεσθαι τοῦ δεῖνος τοῦ βρώματος, ἢ τοῦ πόματος.

Ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τοῦ πέμψαντός με· πᾶσα κρίσις ἰδίου θελήματος, ἐστὶ σφαλερά. ὅπερ εἰδὼς ὁ Δαβὶδ ἔλεγεν· ὤμοσα, καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου, οὐ τὰ ἐμὰ θελήματα.

Ἐρώτησις, ρλη΄.

Εἰ χρὴ ἐπιτρέπεσθαι ἐν ἀδελφότητι, τινὰ πλέον τῶν ἄλλων νηστεύειν ἢ ἀγρυπνεῖν κατὰ τὸ ἴδιον θέλημα.

Ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός· πᾶν ὅπερ ἄν τις κατὰ ἴδιον θέλημα ποιῇ. τοῦτο τοῦ μὲν ποιοῦντος ἐστὶν ἴδιον, τῆς δὲ θεοσεβείας ἀλλότριον. καὶ φόβος μήποτε ἀκούσῃ παρὰ τοῦ θεοῦ, οὐ δοκεῖ ποιεῖν πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ. καὶ τὸ ἐν συγκρίσει δὲ τῶν ἄλλων τὸ πλέον θέλειν καὶ ἐν αὐτοῖς τοῖς καλοῖς, φιλονεικίας πάθος ἐστὶν, ἀπὸ κενοδοξίας συμβαῖνον. ὅπερ ὁ ἀπόστολος ἀπηγορευμένον δεικνὺς, φησίν· οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων. διόπερ ἀφιεμένους τῶν ἰδίων θελημάτων, καὶ τῷ θέλειν δοκεῖν ὑπὲρ τοὺς λοιποὺς ποιεῖν τι, πείθεσθαι τῷ ἀποστόλῳ χρὴ, παραινοῦντι καὶ λέγοντι· εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. φιλονεικία γὰρ καὶ κενοδοξία, καὶ αὐταρέσκεια, παντελῶς ἀλλότρια τῶν τὸν καλὸν ἀγῶνα νομίμως ἀγωνιζομένων. διό φησι, ποτὲ μὲν μὴ γινώμεθα κενόδοξοι, ποτὲ δὲ, εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ. καὶ ἄλλοτε, ὀφείλομεν ἡμεῖς μὴ ἑαυτοῖς ἀρέσκειν. οἷς ἐπιλέγει ἔτι τελειότερον· καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν. εἰ δέ τις οἴεται χρῄζειν τοῦ πλείονος εἴτε ἐν νηστείᾳ, εἴτε ἐν ἀγρυπνίᾳ, εἴτε ἐν ᾧδήποτε ἄλλῳ, ἀποκαλυπτέτω τοῖς τὴν κοινὴν ἐπιμέλειαν πεπιστευμένοις τὴν ὑπόθεσιν αὐτήν, δι' ἣν νομίζει τοῦ πλείονος χρῄζειν· καὶ τὸ παρ' αὐτῶν δοκιμασθὲν παραφυλαττέτω. πολλάκις γὰρ ἑτέρῳ μᾶλλον τρόπῳ τὸ ἱκανὸν τῇ χρείᾳ γενέσθαι δεήσει.

Ἐρώτησις, ρλθ΄.

Τῆς νηστείας ἐπιτεινομένης, ἀτονώτεροι γινόμεθα εἰς τὸ ἔργον. τί οὖν χρή; μᾶλλον ἐμποδίζειν τῷ ἔργῳ διὰ τὴν νηστείαν, ἢ παρορᾶν ἐκείνην διὰ τὸ ἔργον;

Ἀπόκρισις.

Καὶ τὴν νηστείαν, καὶ τὸ φαγεῖν μετὰ λόγου τοῦ οἰκείου τῆς θεοσεβείας παραλαμβάνεσθαι χρή. ἵνα ὅταν μὲν ἐντολὴν θεοῦ διὰ νηστείας κατορθωθῆναι δέοι, νηστεύσωμεν. ὅταν δὲ πάλιν ἡ ἐντολὴ τοῦ θεοῦ βρῶσιν ἐπιζητῇ ἐνδυναμοῦσαν τὸ σῶμα, φάγωμεν. οὐχ ὡς γαστρίμαργοι, ἀλλ' ὡς ἐργάται θεοῦ. φυλάσσειν γὰρ χρὴ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε.

Ἐρώτησις, ρμ΄.

Ἐάν τις μὴ ἐγκρατεύηται ὑπὲρ τὰ βλαβερὰ τῶν βρωμάτων, μεταλαμβάνων δὲ ἀφειδῶς, κακώσει ὑποπέσῃ, εἰ χρὴ αὐτοῦ ἐπιμέλειαν ποιεῖσθαι.

Ἀπόκρισις.

Ἡ μὲν ἀκρασία πρόδηλον ἔχει τὴν κακίαν. καὶ τούτου τοῦ πάθους προηγουμένως φροντίζειν ἀναγκαῖον ὅπως θεραπευθῇ. βουληθεὶς γὰρ δεῖξαι ὁ φιλάνθρωπος θεὸς ἡλίκον κακόν ἐστι τὸ μὴ ἐγκρατεύεσθαι, ἀφῆκε πολλάκις τὴν ψυχὴν καὶ αὐτὸ τὸ σῶμα βλαπτόντων, τὸ σῶμα κεχρῆσθαι τῷ πάθει τῆς ἀκρασίας. ἐὰν ἄρα

Ἀπόκρισις.

Νηστείας καιρὸς, οὐ τὸ θέλημα ἑκάστου, ἀλλ' ἡ χρεία τῶν εἰς θεοσέβειαν ἡκόντων, καθὼς καὶ αἱ πράξεις τῶν ἀποστόλων ἱστοροῦσι, καὶ παρὰ τοῦ ἐκλεκτοῦ δαβὶδ μανθάνομεν. ἐὰν οὖν τις κατὰ λόγον τοιοῦτον νηστεύῃ, καὶ τοῦ δύνασθαι πάντως καταξιοῦται. πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος.

Ἐρώτησις, ρλ.

Πῶς χρὴ νηστεύειν, ὅταν χρεία γένηται νηστείας πρός τι τῶν εἰς θεοσέβειαν ἐπιζητουμένων· ὡς ἀναγκαζόμενον, ἢ μετὰ προθυμίας.

Ἀπόκρισις.

Τοῦ κυρίου λέγοντος, μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην. πᾶν τὸ συν-
» τελοῦν εἰς θεοσέβειαν, μὴ μετ' ἐπιθυμίας καὶ σπουδῆς γινόμενον, ἐπικίνδυνον. ὥστε
» τὸν μὲν νηστεύοντα μὴ προθύμως τοῦτο ποιεῖν, οὐκ ἀκίνδυνον. τὸ δὲ νηστεύειν ἐν καιρῷ χρείας τοιαύτης ἀναγκαῖον. τοῦ ἀποστόλου μετὰ τῶν ἄλλων αὐτοῦ κατορθωμάτων, καὶ τοῦτο πρὸς διδασκαλίαν ἡμετέραν διηγησαμένου τὸ, ἐν νηστείαις πολλάκις.

Ἐρώτησις, ρλα.

Ὁ μὴ μεταλαμβάνων ὧν οἱ ἀδελφοὶ ἐσθίουσιν, ἀλλ' ἕτερον ἐπιζητῶν, εἰ καλῶς ποιεῖ.

Ἀπόκρισις.

Καθόλου τὸ ἐπιζητεῖν βρῶμα, παρ' οὐ πολὺ ἐστί. τοῦ κυρίου εἰπόντος. μὴ ζητεῖτε τί φάγητε,
» καὶ τί πίητε, καὶ μὴ μετεωρίζεσθε. καὶ κατὰ πλεονεκτικώτερον ἐπενεγκόντος. ταῦτα γὰρ
» πάντα τὰ ἔθνη ἐπιζητεῖ. τοῦ δὲ ἐπιτεταγμένου ἐστὶ πληροῦν ἐπιμελῶς τὸ, διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν.

Ἐρώτησις, ρλβ.

Ὁ λέγων, ὅτι βλάπτει με τοῦτο, καὶ λυπούμενος ἐὰν ἄλλο μὴ δοθῇ, τί ἐστιν;

Ἀπόκρισις.

Φαίνεται ὅτι οὐκ ἐπληροφορήθη τὴν ἐλπίδα λαζάρου, οὔτε ἐγνώρισε τὴν ἀγάπην τοῦ πεπιστευμένου τὴν πάντων καὶ αὐτοῦ ἐπιμέλειαν. καθόλου δὲ οὔτε τοῦ βλάπτοντος, ἢ ὠφελοῦντος ἑαυτῷ ἐπιτρέπειν τὴν δοκιμασίαν ἕκαστος ὀφείλει. ἀλλὰ τῷ ἐπιτεταγμένῳ δοκιμάζειν τὸ ἑκάστῳ χρήσιμον. προηγουμένως τὸ ὄφελος τῆς ψυχῆς ἐπιζητοῦντι. καὶ οὕτως δευτέρῳ λόγῳ τὰ πρὸς τὴν χρείαν τοῦ σώματος οἰκονομοῦντι πρὸς τὸ θέλημα τοῦ θεοῦ.

Ἐρώτησις, ρλγ.

Ἐὰν δὲ καὶ γογγύσῃ διὰ βρῶμα;

Ἀπόκρισις.

Τὸ κρίμα τῶν ἐν τῇ ἐρήμῳ γογγυσάντων ἔχει. λέγει γὰρ ὁ ἀπόστολος, μὴ δὲ γογγύζετε, καθώς τινες αὐτῶν ἐγόγγυσαν καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.

Ἐρώτησις, ρλδ.

Ἐάν τις ὀργισθεὶς παραιτῆται λαβεῖν τι τῶν πρὸς τὴν χρείαν;

Ἀπόκρισις.

Ὁ τοιοῦτος ἄξιός ἐστι, κἂν ζητῇ, μὴ λαβεῖν, ἕως ἂν δοκιμάσῃ ὁ προεστὼς, ὅτι ἐθεραπεύθη τὸ πάθος, μᾶλλον δὲ τὰ πάθη.

Ἐρώτησις, ρλε.

Εἰ χρὴ τὸν κάμνοντα αὐτὸν ἐπιζητῆσαι πλέον τι τῆς συνηθείας.

Ἀπόκρισις.

Εἰ ἕνεκεν τῆς παρὰ τοῦ θεοῦ μισθαποδοσίας τὸν κάματον ἀναδέχεται, οὐκ ἐντεῦθεν ἐπιζητεῖν ὀφείλει τὴν παραμυθίαν τοῦ κόπου, ἀλλὰ πρὸς τὴν τοῦ κυρίου μισθαποδοσίαν ἑαυτὸν καταρτίζειν. εἰδὼς, ὅτι ὡς τῆς ὑπὲρ τοῦ κόπου ἀμοιβῆς, οὕτω καὶ τῆς παρακλήσεως ὑπὲρ τῆς στενοχωρίας παρὰ τοῦ φιλανθρώπου θεοῦ καταξιωθήσεται. ὁ μέντοι ἐπιτεταγμένος ποιεῖν τὸ, διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν, ἀναγκαίως ὀφείλει γνωρίζειν ἕκαστον τῶν κοπιώντων, καὶ θεραπεύειν κατὰ τὸ προσῆκον.

Ἐρώτησις, ρλϛ.

Εἰ ἀναγκαῖον πάντας συνάγεσθαι τῇ ὥρᾳ τοῦ ἀρίστου, καὶ τὸν ἀπολιμπανόμενον, καὶ μετὰ τὸ ἄριστον ἐρχόμενον πῶς παραλαμβάνομεν.

Ἀπόκρισις.

Τὸν μὲν ἀσπασμὸν τοῦτον δηλονότι τὸν κοινόν, ἐπ' οὐδενὸς ὁ Κύριος ἀπηγόρευσεν, εἰπών, ἐὰν ἀσπάσησθε τοὺς φίλους ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ ἐθνικοὶ οὕτω ποιοῦσιν; τὸ δὲ τοῦ συνεσθίειν, ἔχομεν παραγγελίαν τοῦ ἀποστόλου, ἐν τίνι χρὴ παραιτεῖσθαι τοῦτο, εἰπόντος, ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι. ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Ἐρώτησις, ρκε'.

Τὸν πιστευόμενον ἔργον, καὶ ποιοῦντά τι χωρὶς ὑπομνήσεως παρὰ τὸ διατεταγμένον, ἢ ὑπὲρ τὸ διατεταγμένον αὐτῷ, εἰ δεῖ ἔχειν τὸ ἔργον.

Ἀπόκρισις.

Τὸ μὲν ἑαυτῷ λαμβάνειν, καθόλου ἀπαρέσκει Θεῷ· καὶ οὔτε πρέπει, οὔτε συμφέρει τοῖς ἐσπουδακόσι τὸν σύνδεσμον τῆς εἰρήνης φυλάσσειν. εἰ δὲ ἐπιμένοι περιττευόμενος, συμφέρει ἀφαιρεθῆναι αὐτοῦ τὸ ἔργον. οὐ γὰρ φυλάσσει τὸ πρόσταγμα τοῦ εἰπόντος· ἕκαστος ἐν ᾧ ἐκλήθη ἀδελφοί, ἐν τούτῳ μενέτω. καὶ ἔτι ἐντρεπτικώτερον, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως.

Ἐρώτησις, ρκϛ'.

Πῶς αὖ τις μὴ ἁλῷ τῆς ἐν βρώμασι φιληδονίας.

Ἀπόκρισις.

Κρίνας τὸν λόγον τοῦ συμφέροντος ὁδηγὸν καὶ διδάσκαλον ἔχειν ἀεὶ τῶν εἰς τὴν χρῆσιν παραλαμβανομένων, εἴτε ἡδέα, εἴτε ἀηδῆ ταῦτα εἴη.

Ἐρώτησις, ρκζ'.

Λέγουσί τινες, ὅτι ἀδύνατόν ἐστι μὴ ὀργισθῆναι ἄνθρωπον.

Ἀπόκρισις.

Εἰ δυνατόν ἐστι τῷ στρατιώτῃ ἐν ὄψει βασιλέως ὀργισθῆναι, οὐδὲ οὕτως λόγον ἔχει τὸ λεγόμενον. εἰ γὰρ ἀνθρώπου ὄψις ἰσοτίμου κατὰ τὴν φύσιν διὰ τὴν ὑπεροχὴν τοῦ ἀξιώματος ἐκόλασε τὸ πάθος, πόσῳ μᾶλλον, ἐὰν πληροφορηθῇ τις, Θεὸν ἔχειν ἐπόπτην τῶν ἰδίων κινημάτων; πολὺ γὰρ πλέον ὁ Θεὸς ὁ ἐτάζων καρδίας καὶ νεφροὺς βλέπει τὰ κινήματα τῆς ψυχῆς, ἢ ἄνθρωπος τὰ εἰς πρόσωπον.

Ἐρώτησις, ρκη'.

Τῷ θέλοντι ἐγκρατεύεσθαι ὑπὲρ δύναμιν, ὥστε καὶ εἰς τὴν προκειμένην ἐντολὴν ἐμποδίζεσθαι, εἰ δεῖ συγχωρεῖν;

Ἀπόκρισις.

Τὸ ἐρώτημα οὐ κυρίως φαίνεταί μοι πεποιημένον. ἡ γὰρ ἐγκράτεια οὐκ ἐν ἀποχῇ ἀλόγων βρωμάτων ἐστίν, ἐν ᾗ συμβαίνει ἡ ὑπὸ τοῦ ἀποστόλου κατηγορουμένη ἀφειδία σώματος, ἀλλ' ἐν τελείᾳ ἀναχωρήσει τῶν ἰδίων θελημάτων. πόσον δὲ ἔχει κίνδυνον διὰ τὸ ἴδιον θέλημα τῆς ἐντολῆς τοῦ Κυρίου ἐκπεσεῖν, δῆλον ἐκ τῶν ὑπὸ τοῦ ἀποστόλου εἰρημένων, εἰπόντος· ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν· καὶ ἦμεν τέκνα φύσει ὀργῆς.

Ἐρώτησις, ρκθ'.

Ὁ πολλὰ νηστεύων, ἐν δὲ τῇ μεταλήψει μὴ δυνάμενος ἀνέχεσθαι τοῦ βρώματος τοῦ κοινοῦ, τί μᾶλλον ἑλέσθαι ὀφείλει; νηστεύειν μετὰ τῶν ἀδελφῶν, καὶ ἐσθίειν μετ' αὐτῶν, ἢ διὰ τὸ ἀμέτρως νηστεύειν, ἄλλων βρωμάτων ἔχειν χρείαν ἐν τῇ μεταλήψει;

ὅτι μὴ ἀρνησάμενος ἑαυτόν. ἔπειτα καὶ ἑτέρων κακῶν πλειόνων ἑαυτῷ τε καὶ τοῖς λοιποῖς αἴτιος γίνεται. καὶ γὰρ θύραν ἀντιλογίας τοῖς πολλοῖς ἀνοίγει, καὶ ἑαυτὸν πρὸς ταύτην ἐθίζει. καὶ ἐπεὶ μὴ δύναται ἕκαστος δοκιμάσαι τὸ συμφέρον, ἐκλέγεται πολλάκις τὸ βλαβερὸν ἑαυτῷ ἔργον. καὶ ὑπονοίας δὲ πονηρὰς ἐμποιεῖ τοῖς ἀδελφοῖς, ὡς προσπεπονθὼς ἢ τὸ ἔργῳ ὅπερ ἐπιζητεῖ, ἢ οἷς συνεργάζεσθαι ἀνάγκη. ὥστε καθόλου τὸ μὴ ὑπακούειν, πολλῶν καὶ μεγάλων κακῶν ἐστι ῥίζα. εἰ δέ τινα λόγον ἔχειν νομίζει τῆς παραιτήσεως τοῦ ἔργου, φανερούτω τοῦτον τοῖς προεστῶσι, καὶ καταλιμπανέτω τῇ ἐκείνων δοκιμασίᾳ.

ἐρώτησις, ρκ΄.

Εἰ δεῖ ἀπιέναι που χωρὶς ὑπομνήσεως τοῦ προεστῶτος.

ἀπόκρισις.

Τοῦ κυρίου λέγοντος, οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε, πόσῳ μᾶλλον ἕκαστος ἡμῶν ἑαυτῷ ἐπιτρέπειν οὐκ ὀφείλει; ὁ γὰρ ἑαυτῷ ἐπιτρέπων, δῆλος ὅτι τὴν ὑψηλοφροσύνην νοσῶν. καὶ ὑποκείμενος τῷ κρίματι τοῦ κυρίου εἰπόντος, τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ θεοῦ. καὶ καθόλου τὸ ἑαυτῷ ἐπιτρέπειν ὕποπτον.

ἐρώτησις, ρκα΄.

Εἰ ἔξεστι παραιτεῖσθαι τὰ βαρύτερα τῶν ἔργων.

ἀπόκρισις.

Ὁ γνήσιος ἐν τῇ πρὸς θεὸν ἀγάπῃ, καὶ βέβαιος ἐν πληροφορίᾳ τῆς παρὰ τοῦ κυρίου μισθαποδοσίας, οὐ τοῖς γινομένοις ἀρκεῖται, ἀεὶ δὲ προσθήκην ἐπιζητεῖ, καὶ τοῦ πλείονος ὀρέγεται. κἂν ὑπὲρ δύναμιν δόξῃ ποιεῖν τι, οὐκ ἀμεριμνεῖ, ὡς πληρώσας τὸ μέτρον. ἀγωνιᾷ δὲ ἀεὶ, ὡς ἀπολιμπανόμενος τῆς πρὸς ἀξίαν. τοῦ κυρίου ἀκούων προστάσσοντος. ὅτι ὅταν ποιήσητε πάντα τὰ διατεταγμένα, τότε λέγετε δοῦλοι ἀχρεῖοι ἐσμέν. ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. τοῦ δὲ ἀποστόλου, ᾧ ὁ κόσμος ἐσταύρωτο, καὶ αὐτὸς τῷ κόσμῳ, μὴ ἐπαισχυνθέντος εἰπεῖν, ὅτι ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι. ἓν δὲ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν χριστῷ ἰησοῦ. ὃς καίτοι ἐξουσίαν ἔχων, τὸ εὐαγγέλιον καταγγέλλων ἐκ τοῦ εὐαγγελίου ζῆν, ἐν κόπῳ καὶ μόχθῳ φησὶ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι, οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. τίς οὕτως ἀναίσθητος καὶ ἄπιστος, ὡς ἀρκεσθῆναί ποτε τοῖς ἤδη γινομένοις, ἢ παραιτήσασθαί τι ὡς βαρύτερον, ἢ κοπωδέστερον;

ἐρώτησις, ρκβ΄.

Ἐάν τις ἐπιτιμηθεὶς εὐλογίαν μὴ λαβεῖν, λέγῃ ὅτι ἐὰν μὴ λάβω εὐλογίαν οὐκ ἐσθίω, εἰ δεῖ αὐτοῦ ἀνέχεσθαι.

ἀπόκρισις.

Εἰ μὲν τοσούτου ἐπιτιμίου ἄξιον τὸ πταῖσμα, ὡς καὶ τοῦ φαγεῖν κωλυθῆναι, ὁ ἐπιτιμήσας δοκιμάσει πάντως. εἰ δὲ μόνης τῆς εὐλογίας ἀνάξιός τις ἐκρίθη, συγχωρηθεὶς δὲ φαγεῖν οὐκ ἀνέχεται ὡς ἀπειθὴς καὶ ἐν τούτῳ καὶ φιλόνεικος κρινέσθω ἅμα καὶ ἑαυτὸν γνωριζέτω καὶ ἐπιγινωσκέτω, ὅτι οὐχὶ θεραπεύει ἑαυτὸν τοῦτο ἐπιζητῶν, ἀλλὰ ἁμάρτημα ἁμαρτήματι συνάπτει.

ἐρώτησις, ρκγ΄.

Ἐάν τις λυπῆται μὴ ἐπιτρεπόμενος ποιεῖν, ὃ μὴ δύναται ἐπιτηδείως ποιεῖν, εἰ χρὴ αὐτοῦ ἀνέχεσθαι.

ἀπόκρισις.

Περὶ τούτου εἴρηται πολλαχοῦ, ὅτι καθόλου τῷ θελήματι τῷ ἰδίῳ κεχρῆσθαι ἢ ἐπιτρέπειν, παρὰ τὸν ὑγιῆ ἐστι λόγον. καὶ τῇ δοκιμασίᾳ τῶν πλειόνων μὴ ὑποτάσσεσθαι, ἀπειθείας καὶ ἀντιλογίας ἔχει τὸν κίνδυνον.

ἐρώτησις, ρκδ΄.

Εἰ δεῖ μετὰ αἱρετικῶν ἢ ἑλλήνων κατὰ συντυχίαν εὑρεθέντα που, ἢ συνεσθίειν αὐτοῖς, ἢ ἀσπάζεσθαι αὐτούς.

ἀπόκρισις.

Τὸν μὲν ἀσπασμὸν τοῦτον δηλονότι τὸν κοινόν, ἐπ' οὐδενὸς ὁ κύριος ἀπηγόρευσεν, εἰπών, ἐὰν ἀσπάσησθε τοὺς φίλους ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ ἐθνικοὶ οὕτω ποιοῦσιν; τὸ δὲ τοῦ συνεσθίειν, ἔχομεν παραγγελίαν τοῦ ἀποστόλου, ἐπὶ τίνων χρὴ παραιτεῖσθαι τοῦτο, εἰπόντος, ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις. ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι. ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Ἐρώτησις, ρκέ.

Τὸν πιστευόμενον ἔργον, καὶ ποιοῦντά τι χωρὶς ὑπομνήσεως παρὰ τὸ διατεταγμένον, ἢ ὑπὲρ τὸ διατεταγμένον αὐτῷ, εἰ δεῖ ἔχειν τὸ ἔργον.

ἀπόκρισις.

Τὸ μὲν ἑαυτῷ λαμβάνειν, καθόλου ἀπηγόρευται. καὶ οὔτε πρέπει, οὔτε συμφέρει τοῖς ἐσπουδακόσι τὸν σύνδεσμον τῆς εἰρήνης φυλάσσειν. εἰ δὲ ἐπιμένοι περιπτευόμενος, συμφέρει ἀφαιρεθῆναι αὐτοῦ τὸ ἔργον. οὐ γὰρ φυλάσσει τὸ πρόσταγμα τοῦ εἰπόντος. ἕκαστος ἐν ᾧ ἐκλήθη ἀδελφοί, ἐν τούτῳ μενέτω. καὶ ἔτι ἐντρεπτικώτερον, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως.

Ἐρώτησις, ρκϛ.

Πῶς αὔτις μὴ ἡττηθῇ τῆς ἐν βρώμασι φιληδονίας.

ἀπόκρισις.

Κρίνας τὸν λόγον τοῦ συμφέροντος ὁδηγὸν καὶ διδάσκαλον ἔχειν ἀεὶ τῶν εἰς τὴν χρῆσιν παραλαμβανομένων, εἴτε ἡδέα, εἴτε ἀηδῆ ταῦτα εἴη.

Ἐρώτησις, ρκζ.

Λέγουσί τινες, ὅτι ἀδύνατόν ἐστι μὴ ὀργισθῆναι ἄνθρωπον.

ἀπόκρισις.

Εἰ δυνατόν ἐστι τῷ στρατιώτῃ ἐν ὄψει βασιλέως ὀργισθῆναι, οὐδὲ οὕτως λόγον ἔχει τὸ λεγόμενον. εἰ γὰρ ἀνθρώπου ὄψις ἰσοτίμου κατὰ τὴν φύσιν διὰ τὴν ὑπεροχὴν τοῦ ἀξιώματος ἐκώλυσε τὸ πάθος, πόσῳ μᾶλλον, ἐὰν πληροφορηθῇ τις, θεὸν ἔχειν ἐπόπτην τῶν ἰδίων κινημάτων; πολὺ γὰρ πλέον ὁ θεὸς ὁ ἐτάζων καρδίας καὶ νεφροὺς βλέπει τὰ κινήματα τῆς ψυχῆς, ἢ ἄνθρωπος τὰ εἰς πρόσωπον.

Ἐρώτησις, ρκη.

Τῷ θέλοντι ἐγκρατεύεσθαι ὑπὲρ δύναμιν, ὥστε καὶ εἰς τὴν προκειμένην ἐντολὴν ἐμποδίζεσθαι, εἰ δεῖ συγχωρεῖν;

ἀπόκρισις.

Τὸ ἐρώτημα οὐ κυρίως φαίνεταί μοι πεποιημένον. ἡ γὰρ ἐγκράτεια οὐκ ἐν ἀποχῇ ἀλόγων βρωμάτων ἐστίν, ἐν ᾗ συμβαίνει ἡ ὑπὸ τοῦ ἀποστόλου κατηγορουμένη ἀφειδία σώματος, ἀλλ' ἐν τελείᾳ ἀναχωρήσει τῶν ἰδίων θελημάτων. ὅσον δὲ ἔχει κίνδυνον διὰ τὸ ἴδιον θέλημα τῆς ἐντολῆς τοῦ κυρίου ἐκπεσεῖν, δῆλον ἐκ τῶν ὑπὸ τοῦ ἀποστόλου εἰρημένων, εἰπόντος. ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν. καὶ ἦμεν τέκνα φύσει ὀργῆς.

Ἐρώτησις, ρκθ.

Ὁ πολλὰ νηστεύων, ἐν δὲ τῇ μεταλήψει μὴ δυνάμενος ἀνέχεσθαι τοῦ βρώματος τοῦ κοινοῦ, τί μᾶλλον ἑλέσθαι ὀφείλει; νηστεύειν μετὰ τῶν ἀδελφῶν, καὶ ἐσθίειν μετ' αὐτῶν, ἢ διὰ τὸ ἀμέτρως νηστεύειν, ἄλλων βρωμάτων ἔχειν χρείαν ἐν τῇ μεταλήψει;

ἐστὶ μὴ ἀρνησάμενος ἑαυτόν. ἔπειτα καὶ ἑτέρων κακῶν πλειόνων ἑαυτῷ τε καὶ τοῖς λοιποῖς αἴτιος γίνεται. καὶ γὰρ θύραν ἀντιλογίας τοῖς πολλοῖς ἀνοίγει, καὶ ἑαυτὸν πρὸς τοιαύτην ἐθίζει. καὶ ἐπεὶ μὴ δύναται ἕκαστος δοκιμάσαι τὸ συμφέρον, ἐκλέγεται πολλάκις τὸ βλαβερὸν ἑαυτῷ ἔργον. καὶ ὑπονοίας δὲ πονηρὰς ἐμποιεῖ τοῖς ἀδελφοῖς, ὡς προσπαθῶς ἢ τῷ ἔργῳ ὅπερ ἐπιζητεῖ, ἢ οἷς συνεργάζεσθαι ἀνάγκη. ὥστε καθόλου τὸ μὴ ὑπακούειν, πολλῶν καὶ μεγάλων κακῶν ἐστι ῥίζα. εἰ δέ τινα λόγον ἔχειν νομίζει τῆς παραιτήσεως τοῦ ἔργου, φανερούτω τοῦτον τοῖς προεστῶσι, καὶ καταλιμπανέτω τῇ ἐκείνων δοκιμασίᾳ.

Ἐρώτησις, ρκ'.

Εἰ δεῖ ἀπιέναι που χωρὶς ὑπομνήσεως τοῦ προεστῶτος.

Ἀπόκρισις.

Τοῦ Κυρίου λέγοντος, οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε, πόσῳ μᾶλλον ἕκαστος ἡμῶν ἑαυτῷ ἐπιτρέπειν οὐκ ὀφείλει; ὁ γὰρ ἑαυτῷ ἐπιτρέπων, δῆλος ὅτι
» ὑψηλοφροσύνην νοσεῖν. καὶ ὑποκείμενος τῷ κρίματι τοῦ Κυρίου εἰπόντος, τὸ ἐν ἀνθρώποις
» ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ. καὶ καθόλου τὸ ἑαυτῷ ἐπιτρέπειν ὕποπτον.

Ἐρώτησις, ρκα'.

Εἰ ἔξεστι παραιτεῖσθαι τὰ βαρύτερα τῶν ἔργων.

Ἀπόκρισις.

Ὁ γνήσιος ἐν τῇ πρὸς Θεὸν ἀγάπῃ, καὶ βέβαιος ἐν πληροφορίᾳ τῆς παρὰ τοῦ Κυρίου μισθαποδοσίας, οὐ τοῖς γινομένοις ἀρκεῖται, ἀεὶ δὲ προσθήκην ἐπιζητεῖ, καὶ τοῦ πλείονος ὀρέγεται. κἂν ὑπὲρ δύναμιν δόξῃ ποιεῖν τι, οὐκ ἀμεριμνεῖ, ὡς πληρώσας τὸ μέτρον. ἀγωνιᾷ
» δὲ ἀεὶ, ὡς ἀπολιμπανόμενος τῆς πρὸς ἀξίαν. τοῦ Κυρίου ἀκούων προστάσσοντος. ὅτι ὅταν
» ποιήσητε πάντα τὰ διατεταγμένα, τότε λέγετε δοῦλοι ἀχρεῖοί ἐσμεν. ὃ ὠφείλομεν ποιῆ-
» σαι, πεποιήκαμεν. τοῦ δὲ ἀποστόλου, ᾧ ὁ κόσμος ἐσταύρωτο, καὶ αὐτὸς τῷ κόσμῳ, μὴ
» ἐπαισχυνθέντος εἰπεῖν, ὅτι ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι. ἓν δὲ, τὰ μὲν
» ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ
» βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ὃς καίτοι ἐξουσίαν ἔχων, τὸ εὐαγγέλιον
» καταγγέλλων ἐκ τοῦ εὐαγγελίου ζῆν, ἐν κόπῳ καὶ μόχθῳ φησὶ νυκτὸς καὶ ἡμέρας ἐργα-
» ζόμενοι, οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι
» ἡμᾶς. τίς οὕτως ἀναίσθητος καὶ ἄπιστος, ὡς ἀρκεσθῆναί ποτε τοῖς ἤδη γινομένοις, ἢ παραιτήσασθαί τι ὡς βαρύτερον, ἢ κοπῶδες;

Ἐρώτησις, ρκβ'.

Ἐάν τις ἐπιτιμηθεὶς εὐλογίαν μὴ λαβεῖν, λέγῃ ὅτι ἐὰν μὴ λάβω εὐλογίαν οὐκ ἐσθίω, εἰ δεῖ αὐτοῦ ἀνέχεσθαι.

Ἀπόκρισις.

Εἰ μὲν τοσούτου ἐπιτιμίου ἄξιον τὸ πταῖσμα, ὡς καὶ τοῦ φαγεῖν κωλυθῆναι, ὁ ἐπιτιμήσας δοκιμάσει πάντως. εἰ δὲ μόνης τῆς εὐλογίας ἀνάξιος ἐκρίθη, συγχωρηθεὶς δὲ φαγεῖν οὐκ ἀνέχεται, ὡς ἀπειθὴς καὶ ἐν τούτῳ καὶ φιλόνεικος κρινέσθω ἅμα καὶ ἑαυτὸν γνωριζέτω καὶ ἐπιγινωσκέτω, ὅτι οὐχὶ θεραπεύει ἑαυτὸν τοῦτο ἐπιζητῶν, ἀλλὰ ἁμάρτημα ἁμαρτήματι συνάπτει.

Ἐρώτησις, ρκγ'.

Ἐάν τις λυπῆται μὴ ἐπιτρεπόμενος ποιεῖν, ὃ μὴ δύναται ἐπιτηδείως ποιεῖν, εἰ χρὴ αὐτοῦ ἀνέχεσθαι.

Ἀπόκρισις.

Περὶ τούτου εἴρηται πολλαχοῦ, ὅτι καθόλου τῷ θελήματι τῷ ἰδίῳ κεχρῆσθαι ἢ ἐπιτρέπειν, παρὰ τὸν ὑγιῆ ἐστι λόγον. καὶ τῇ δοκιμασίᾳ τῶν πλειόνων μὴ ὑποτάσσεσθαι, ἀπειθείας καὶ ἀντιλογίας ἔχει τὸν κίνδυνον.

Ἐρώτησις, ρκδ'.

Εἰ δεῖ μετὰ αἱρετικῶν ἢ ἐλλήνων κατὰ συντυχίαν εὑρεθέντα που, ἢ συνεσθίειν αὐτοῖς, ἢ ἀσπάζεσθαι αὐτούς.

λεται· καὶ οἱονεὶ βοηθεῖ τῆς ἐντολῆς, ἀναγκαῖον μεμνῆσθαι τοῦ ἀποστόλου εἰπόντος· προφητείας μὴ ἐξουθενεῖτε, πάντα δὲ δοκιμάζοντες, τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς ἔργου πονηροῦ ἀπέχεσθε. καὶ πάλιν· λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ. ὥστε ἂν μέν τι συμπίπτον τῇ ἐντολῇ τοῦ κυρίου, ἢ συμβαλλόμενον ἐπιταχθῶμεν, ὡς τοῦ θεοῦ θέλημα σπουδαιότερον καὶ ἐπιμελέστερον καταδέχεσθαι χρή, πληροῦντας τὸ εἰρημένον, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ χριστοῦ. ὅταν δέ τι ἐναντίον τῇ τοῦ κυρίου ἐντολῇ, παραφθεῖρον ἢ μολῦνον αὐτήν, ἐπιταχθῶμεν παρά τινος, καιρὸς εἰπεῖν τό, τε, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις, μνημονεύοντας τοῦ κυρίου λέγοντος, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. καὶ τοῦ ἀποστόλου τολμήσαντος ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας καὶ αὐτῶν καθάψασθαι τῶν ἀγγέλων, δι' ὧν φησι· κἂν ἡμεῖς αὐτοὶ ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. ἐξ ὧν παιδευόμεθα, ὅτι κἂν πολὺ γνήσιός τις ᾖ καὶ ὑπερβαλλόντως ἔνδοξος ὁ κωλύων τὸ ὑπὸ τοῦ κυρίου προστεταγμένον, ἢ προτρέπων ποιεῖν τὸ ὑπ' αὐτοῦ κεκωλυμένον, φευκτός, ἢ καὶ βδελυκτὸς ὀφείλει εἶναι ἑκάστῳ τῶν ἀγαπώντων τὸν κύριον.

Ἐρώτησις, ριε΄.

Πῶς ὑπακούειν ἀλλήλοις χρή;

Ἀπόκρισις.

Ὡς δοῦλοι δεσπόταις· κατὰ τὸ ὑπὸ τοῦ κυρίου προστεταγμένον, ὅτι ὁ θέλων ἐν ὑμῖν εἶναι μέγας, ἔστω πάντων ἔσχατος, καὶ πάντων δοῦλος· οἷς ἐπιφέρει δυσωπητικώτερον· ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι. καὶ κατὰ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον· διὰ τῆς ἀγάπης τοῦ πνεύματος δουλεύετε ἀλλήλοις.

Ἐρώτησις, ριϛ΄.

Μέχρι πόσου ὑπακούειν δεῖ ἐν τῷ κανόνι τῆς πρὸς θεὸν εὐαρεστήσεως;

Ἀπόκρισις.

Ὁ ἀπόστολος ἔδειξε, προθεὶς ἡμῖν τὴν τοῦ κυρίου ὑπακοήν· ὃς ἐγένετο ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. καὶ προειπών, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν χριστῷ Ἰησοῦ.

Ἐρώτησις, ριζ΄.

Ὁ μὴ πληροφορούμενος ἐν τοῖς καθ' ἡμέραν πρὸς τὴν προκειμένην ἐντολὴν ἐπιτάγμασι, τέχνην μαθεῖν ἐπιζητῶν, ποῖον πάθος νοσεῖ, ἢ εἰ χρὴ αὐτοῦ ἀνέχεσθαι;

Ἀπόκρισις.

Ὁ τοιοῦτος καὶ αὐθάδης, καὶ αὐτάρεσκός ἐστι, καὶ ἄπιστος, ὅτι οὐκ ἐφοβήθη τὸ κρίμα τοῦ κυρίου εἰπόντος· γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. εἰ γὰρ καθ' ἡμέραν, καὶ καθ' ὥραν προσδοκᾷ τις τὸν κύριον, ἀγωνιᾷ, πῶς τὴν σήμερον ἀργὸς μὴ παρέλθῃ· καὶ πλέον οὐδὲν περιεργάζεται. εἰ δὲ ἐπιταχθείη μαθεῖν τέχνην, ἐν τῇ ὑπακοῇ ἐχέτω τὸ κέρδος τῆς πρὸς θεὸν εὐαρεστήσεως· καὶ μὴ ἐν τῇ ὑπερθέσει τὸ κρίμα.

Ἐρώτησις, ριη΄.

Ὁ σπουδαῖος εἰς τὴν ἐντολήν, καὶ ἐργαζόμενος οὐχ ὃ ἐπιτάσσεται, ἀλλ' ὃ αὐτὸς θέλει, ποῖον μισθὸν ἔχει;

Ἀπόκρισις.

Αὐταρεσκείας. τοῦ δὲ ἀποστόλου λέγοντος, ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. καὶ περισσοτέρως δυσωποῦντος ἐν τῷ ἐπενεγκεῖν, καὶ γὰρ αὐτὸς ὁ χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, γνωρίζειν ὀφείλει τὸν ἑαυτοῦ κίνδυνον ὁ αὐτάρεσκος. ἐλέγχεται δὲ ὁ αὐτὸς καὶ ἀνυπότακτος.

Ἐρώτησις, ριθ΄.

Εἰ ἔξεστιν ἑκάστῳ παραιτεῖσθαι τὸ ἐγχειρισθὲν ἔργον, καὶ ἄλλο ἐπιζητεῖν;

Ἀπόκρισις.

Τῆς ὑπακοῆς, καθὼς προείρηται, μέχρι θανάτου ἐχούσης τὸ μέτρον, ὁ τὸ ἐγχειρισθὲν παραιτούμενος, καὶ ἄλλο ἐπιζητῶν, πρῶτον μὲν τὴν ὑπακοὴν διαφθείρει, καὶ φανερῶς

Ἐρώτησις, ρη′.

Εἰ χρὴ τὸν προεστῶτα ἐκτὸς τῆς προεστώσης λαλεῖν ἀδελφῇ τινι τὰ πρὸς οἰκοδομὴν τῆς πίστεως.

Ἀπόκρισις.

Ἐν τούτοις οὐ σώζεται τὸ τοῦ ἀποστόλου παράγγελμα, εἰπόντος, πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

Ἐρώτησις, ρθ′.

Εἰ χρὴ τὸν προεστῶτα μετὰ τῆς προεστώσης συνεχῶς διαλέγεσθαι, καὶ μάλιστα ἐάν τινες τῶν ἀδελφῶν ἐπὶ τούτῳ βλάπτωνται.

Ἀπόκρισις.

Τοῦ ἀποστόλου εἰπόντος, ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; καλὸν μιμήσασθαι αὐτὸν λέγοντα, ὅτι οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. καὶ ὅση δύναμις, ἐπὶ τὸ σπανιώτερον καὶ ἀπαλλακτότερον συντέμνειν τὰς συντυχίας.

Ἐρώτησις, ρι′.

Εἰ χρὴ ἐξομολογουμένης ἀδελφῆς τῷ πρεσβυτέρῳ καὶ τὴν πρεσβυτέραν παρεῖναι.

Ἀπόκρισις.

Εὐσχημονέστερον καὶ ἀσφαλέστερον διὰ τῆς πρεσβυτέρας πρὸς τὸν πρεσβύτερον ἡ ἐξαγόρευσις γενήσεται, τὸν δυνάμενον ἐπιστημόνως τὸν τρόπον τῆς μετανοίας καὶ τῆς διορθώσεως ὑποθέσθαι.

Ἐρώτησις, ρια′.

Εἰ τοῦ πρεσβυτέρου γένοιτό τι προστάξαντος ταῖς ἀδελφαῖς παρὰ γνώμην τῆς πρεσβυτέρας, εὐλόγως ἀγανακτεῖ ἡ πρεσβυτέρα.

Ἀπόκρισις.

Καὶ σφόδρα.

Ἐρώτησις, ριβ′.

Ἐάν τις προσέλθῃ τῷ κατὰ θεὸν βίῳ, εἰ ἀκόλουθόν ἐστι τὸν προεστῶτα ἄνευ γνώμης τῶν ἀδελφῶν τὸν τοιοῦτον προσδέχεσθαι, ἢ δεῖ καὶ αὐτοῖς πρότερον ἀνατίθεσθαι.

Ἀπόκρισις.

Ὁ κύριος ἐπὶ τοῦ μετανοοῦντος συγκαλεῖσθαι τοὺς φίλους καὶ τοὺς γείτονας διδάσκει. ὥστε ἀναγκαῖον πολὺ μᾶλλον ἐν γνώσει τῶν ὁμοψύχων προσδέχεσθαι τὸν προσερχόμενον, ἵνα καὶ συγχαρῶσιν ἀλλήλοις, καὶ συνεύξωνται.

Ἐρώτησις, ριγ′.

Εἰ δύναται ὁ φροντίδα ψυχῶν ἐγκεχειρισμένος φυλάξαι τό, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία. ἐπειδὴ πρὸς πολλὰ καὶ διάφορα πρόσωπα ἔχει.

Ἀπόκρισις.

Τοῦ σοφωτάτου Σολομῶντος εἰπόντος, καιρὸς τῷ παντὶ πράγματι. εἰδέναι χρὴ ὅτι καὶ ταπεινοφροσύνης, καὶ ἐξουσίας, καὶ ἐλέγχου, καὶ παρακλήσεως, καὶ φειδοῦς, καὶ παρρησίας, καὶ χρηστότητος, καὶ ἀποτομίας, καὶ ἁπαξαπλῶς παντὸς πράγματος καιρός ἐστιν ἴδιος. ὥστε ποτὲ μὲν τὰ τῆς ταπεινοφροσύνης δεικνύειν, καὶ μιμεῖσθαι ἐν ταπεινώσει τὰ παιδία, καὶ μάλιστα ὅτε καιρός ἐστι τῶν εἰς ἀλλήλους τιμῶν καὶ καθηκόντων, καὶ τῆς περὶ τὸ σῶμα ὑπηρεσίας ἢ θεραπείας, ὡς ὁ κύριος ἐδίδαξε, ποτὲ δὲ τῇ ἐξουσίᾳ κεχρῆσθαι, ἣν ἔδωκεν ὁ κύριος εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν, ὅταν ἡ χρεία ἐπιζητεῖ τὴν παρρησίαν, καὶ ἐν καιρῷ μὲν παρακλήσεως τὸ χρηστὸν ἐνδείκνυσθαι. ἐν καιρῷ δὲ ἀποτομίας τὸν ζῆλον ἐπιδείκνυσθαι. καὶ ἐφ᾽ ἑκάστου τῶν ἄλλων ὁμοίως.

Ἐρώτησις, ριδ′.

Τοῦ κυρίου προστάσσοντος, ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. καὶ τοῦ ἀποστόλου διδάσκοντος, ὑποτάσσεσθαι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ, εἰ δεῖ παντί, καὶ οἱῳδήποτ᾽ οὖν ἐπιτάσσοντι ὑπακούειν.

Ἀπόκρισις.

Τῶν μὲν ἐπιτασσόντων ἡ διαφορὰ οὐδὲν ὀφείλει παραβλάπτειν τὴν ὑπακοὴν τῶν ἐπιτασσομένων. οὔτε γὰρ Μωσῆς παρήκουσε τοῦ Ἰοθὸρ ἀγαθὰ συμβουλεύσαντος. τῶν δὲ ἐπιταγμάτων διαφορᾶς οὐκ ὀλίγης οὔσης. τὰ μὲν γὰρ ἐναντίως ἔχει πρὸς τὴν ἐντολὴν τοῦ κυρίου, ἤτοι παραφθείροντα αὐτήν, ἢ μολύνοντα πολλαχῶς ἐπιμιξίᾳ τοῦ κεκωλυμένου. τὰ δὲ συνεμπίπτει τῇ ἐντολῇ. τὰ δέ, κἂν μὴ συνεμπίπτῃ κατὰ τὸ προφανές, ἀλλὰ συμβάλ-

προηγούμενον γὰρ πρόσταγμα τοῦ κυρίου ἐστὶ, τὸ, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. καὶ πάλιν. πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. εἰ δὲ τὸ ἄλλοις ἀποταχθὲν εἰς ἄλλους φέρειν οὐκ ἀκίνδυνόν ἐστι. τοῦ κυρίου λέγοντος, ὅτι οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ. καὶ οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις, τί καὶ ἀφ' ἑαυτοῦ τις οὐ κρίνει τὸ δίκαιον;

Ἐρώτησις, ρβ.

Εἰ χρὴ τὸν ὑπεξερχόμενον ἀπὸ ἀδελφότητος, καθ' ὃν δήποτε λόγον παρακλήσει κατέχεσθαι, ἢ οὔ. καὶ εἰ χρὴ ἐπίπισιν.

Ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω. καὶ πάλιν. οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. καὶ ἀλλαχοῦ. τίς ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, ἐὰν πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφήσει τὰ ἐνενήκοντα ἐννέα, καὶ πορευθεὶς ζητεῖ τὸ πλανώμενον, ἕως ὅτου εὕρῃ; παντὶ τρόπῳ χρὴ τὸν ἀσθενοῦντα θεραπεύειν, καὶ σπουδάζειν τὸ ἐξηρθρωμένον, ἵνα οὕτως εἴπω, μέλος ἐναρθροῦν. ἐὰν δὲ ἐπιμένῃ τῇ κακίᾳ οἷα δήποτ' οὖν, ἀφοριοῦσιν ὡς ἀλλότριον. γέγραπται γὰρ, ὅτι πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. ἄφετε αὐτοὺς, τυφλοί εἰσιν.

Ἐρώτησις, ργ.

Ὅτι μὲν χρὴ τοῖς πρεσβυτέροις ἕως θανάτου ὑποτάσσεσθαι, τοῦτο ἤδη ἐδιδάχθημεν. ἐπειδὴ δὲ συμβαίνει ἔστιν ὅτε καὶ αὐτὸν ὀλισθαίνειν τὸν πρεσβύτερον, εἰ δέοι αὐτὸν ἐλέγχεσθαι, καὶ πῶς, καὶ παρὰ τίνων διδαχθῆναι δεόμεθα, εἰ δὲ μὴ καταδέχοιτο, τί χρὴ γενέσθαι;

Ἀπόκρισις.

Περὶ τούτων εἴρηται σαφῶς ἐν τῇ πλατυτέρᾳ ἀποκρίσει.

Ἐρώτησις, ρδ.

Πῶς χρὴ τὰς φροντίδας ἐγχειρίζειν τοῖς ἀδελφοῖς, μόνου τοῦ προεστῶτος τὴν δοκιμασίαν ποιουμένου, ἢ καὶ τῶν ἀδελφῶν ψηφιζομένων. ὁμοίως δὲ καὶ ἐν ταῖς ἀδελφαῖς.

Ἀπόκρισις.

Εἰ περὶ ὧν φρονεῖ ἕκαστος, ἀνατίθεσθαι ἑτέροις ἐδιδάχθη, πόσῳ μᾶλλον τὰ τοιαῦτα μετὰ δοκιμασίας τῶν εἰς τοῦτο ἐπιτηδείων γίνεσθαι χρὴ, ὡς τῆς οἰκονομίας κατὰ τὸ ὀφειλούσης ἐγχειρίζεσθαι τοῖς ἤδη ἀπόδειξιν δεδωκόσι, τοῦ δύνασθαι ἀκριβῶς τῷ κατὰ τὸ ἐγχειρισθὲν οἰκονομεῖν, καὶ καθόλου ἐν παντὶ πράγματι τὸν προεστῶτα μνημονεύειν ἀναγκαῖον τῆς γραφῆς λεγούσης, μετὰ βουλῆς πάντα ποίει.

Ἐρώτησις, ρε.

Εἰ χρὴ τοῖς εἰσερχομένοις εἰς ἀδελφότητα εὐθέως τέχνας διδάσκειν;

Ἀπόκρισις.

Οἱ προεστῶτες δοκιμάσουσιν.

Ἐρώτησις, ρς.

Ποίοις ἐπιτιμίοις κεχρῆσθαι δεῖ ἐν ἀδελφότητι πρὸς τὴν τῶν ἁμαρτανόντων ἐπιστροφήν;

Ἀπόκρισις.

Ἐν τῇ τῶν προεστώτων δοκιμασίᾳ γνωριζέσθω ὁ καιρὸς καὶ ὁ τρόπος, κατά τε ἡλικίας καὶ σώματος καὶ ἕξιν ψυχῆς, καὶ ἁμαρτήματος διαφοράν.

Ἐρώτησις, ρζ.

Ἐάν τις ἐπιθυμίαν ἔχειν λέγῃ τοῦ συζῆν ἀδελφότητι, διὰ δὲ τὴν πρὸς τοὺς οἰκείους κατὰ σάρκα θεραπείαν ἢ καὶ διὰ τελέσματα πολλάκις ἐμποδίζηται ἅπαξ ἑαυτὸν ἀποδοῦναι τῷ τοιούτῳ βίῳ, εἰ χρὴ συγχωρεῖν αὐτῷ τὴν πρὸς τοὺς ἀδελφοὺς εἴσοδον.

Ἀπόκρισις.

Τὴν μὲν τοῦ καλοῦ ἐπιθυμίαν ἐγκόπτειν οὐκ ἀκίνδυνον. οὐ μὴν οὐδὲ τῷ εἰσιόντι καιροὺς διδόναι τὰ ἔξωθεν καὶ ἀλλότρια τοῦ κατὰ τὸν βίου λογοποιεῖν ἀσφαλές. εἰ δὲ εἰσιὼν ἑαυτὸν ἀποδίδωσι τοῖς ἔσωθεν, μηδὲν τῶν ἔξωθεν ἐπιφέρων, ἐλπίδα ἔχει χρηστοτέραν.

Ἐρώτησις, ϙζ.

Ἐὰν λέγῃ τις, ὅτι θέλω παρ' ὑμῖν ὀλίγον χρόνον ὠφεληθῆναι, εἰ δεῖ αὐτὸν προσδέχεσθαι.

Ἀπόκρισις.

Τοῦ κυρίου εἰπόντος, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω· καὶ τοῦ ἀποστόλου διηγησαμένου· διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσωσιν· οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς· συγχωρεῖν μὲν οὖν τῷ τὴν εἴσοδον, ἀκόλουθον, καὶ διὰ τὸ ἀμφίβολον τῆς ἐκβάσεως· πολλάκις γὰρ ὠφεληθεὶς ἐκ τοῦ χρόνου καθάπαξ τῷ βίῳ εὐαρεστηθήσεται, ὡς πολλάκις γέγονε· καὶ εἰς φανέρωσιν δὲ τῆς ἐν ἡμῖν ἀκριβείας, ἀλλοιοτέρας ἴσως περὶ ἡμῶν τὰς ὑπονοίας ἔχοντι· τὴν δὲ ἀκρίβειαν ἐπιμελεστέραν καὶ ἐπ' αὐτῷ φυλάσσειν ἀναγκαῖον· ἵνα ἥ τε ἀλήθεια φανερωθῇ, καὶ ἡ ὑποψία πάσης ἀδιαφορίας ἀναιρεθῇ· οὕτω γὰρ ἡμεῖς τε τῷ θεῷ εὐαρεστήσομεν· κἀκεῖνος, ἢ ὠφεληθήσεται, ἢ ἐλεγχθήσεται.

Ἐρώτησις, ϙη.

Ποταπὸν φρόνημα ὀφείλει ἔχειν ὁ προεστὼς ἐν οἷς ἐπιτάσσει, ἢ διατάσσεται.

Ἀπόκρισις.

Πρὸς μὲν τὸν θεὸν ὡς ὑπηρέτης Χριστοῦ καὶ οἰκονόμος μυστηρίων θεοῦ· φοβούμενος μήτι παρὰ τὸ θέλημα τοῦ θεοῦ τὸ ἐν ταῖς γραφαῖς ὁμολογούμενον ἢ εἴπῃ, ἢ τυπώσῃ, καὶ εὑρεθῇ ψευδομάρτυς τοῦ θεοῦ, ἢ ἱερόσυλος, ἐν τῷ ἢ ἐπεισάγειν τι ἀλλότριον τῆς τοῦ κυρίου διδασκαλίας, ἢ παραλεῖψαί τι τῶν ἀρεσκόντων θεῷ· πρὸς δὲ τοὺς ἀδελφούς, ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα· εὐδοκῶν μεταδοῦναι ἑκάστῳ πρὸς τὸ ἀρέσκον θεῷ, καὶ κοινῇ πᾶσι συμφέρον· οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὴν ἑαυτοῦ ψυχήν, κατὰ τὴν ἐντολὴν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς· μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

Ἐρώτησις, ϙθ.

Ποταπῇ διαθέσει χρὴ ἐπιτιμᾶν τὸν ἐπιτιμῶντα.

Ἀπόκρισις.

Πρὸς μὲν τὸν θεόν, τῇ ὑπὸ τοῦ Δαβὶδ κατορθωμένῃ, εἰπόντος· εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο· πρὸς δὲ τοὺς ἐπιτιμωμένους οἵαν ἂν διάθεσιν ἀναλάβοι πατὴρ καὶ ἰατρὸς μετὰ συμπαθείας καὶ εὐσπλαγχνίας κατ' ἐπιστήμην θεραπεύων τὸν ἴδιον υἱόν· καὶ μάλιστα ὅταν λύπη προσῇ, καὶ ἐπίπονος τῆς θεραπείας ὁ τρόπος.

Ἐρώτησις, ρ.

Τοὺς ἔξωθεν ἐρχομένους καὶ προσαιτοῦντας πῶς ἀπολύσωμεν, καὶ εἰ ἕκαστος τῶν βουλομένων, ὀφείλει ἐπιδοῦναι ἄρτον, ἢ ὅτι δήποτε, ἢ οὐ χρὴ καὶ τοῦτο ἐπιτετάχθαι.

Ἀπόκρισις.

Τοῦ κυρίου ἀποφηναμένου μέν, ὅτι οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις, ἀποδεξαμένου δὲ τό, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν· ὁ τὴν μετάδοσιν ἐπιτεταγμένος, μετὰ δοκιμασίας τοῦτο ποιείτω· πᾶς δὲ ὁ παρὰ τὴν γνώμην τούτου ποιῶν, ὡς διαφθορεὺς τῆς εὐταξίας ἐπιτιμάσθω, ἕως ἂν μάθῃ φυλάσσειν τὸν ἑαυτοῦ τόπον· τοῦ ἀποστόλου εἰπόντος, ἕκαστος ἐν ᾧ ἐκλήθη ἀδελφοί, ἐν τούτῳ μενέτω.

Ἐρώτησις, ρα.

Ὁ ἐγχειριζόμενος οἰκονομίαν τῶν τῷ κυρίῳ ἀνατεθέντων εἰ ἀνάγκην ἔχει πληρῶσαι τό, παντὶ τῷ αἰτοῦντί σε δίδου· καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.

Ἀπόκρισις.

Τὸ παντὶ τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς, ὡς πρὸς πειρασμοῦ ἔχει τόπον, ὡς ἡ ἀκολουθία τῶν συγκειμένων διδάσκουσι· καὶ εἰς πονηρούς ἐστι τὸ προστεταγμένον, οὐ προηγουμένως, ἀλλὰ κατὰ περίστασιν γίνεσθαι ὀφεῖλον.

προηγούμενον

τῶν τῶν ὑπαρχόντων φυσικῶς βλαπτόντων· ἢ διὰ τὸν συμβαίνοντα ἐξ αὐτῶν περισπασμὸν τῇ ψυχῇ·

Ἀπόκρισις.

Πρὸς τοῦτο πρῶτον μὲν ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι τῶν ὑπαρχόντων ἕκαστον, εἰ ἦν αὐτὸ καθ' ἑαυτὸ
» κακὸν, οὐδ' ἂν ἦν κτίσμα Θεοῦ· πᾶν γὰρ κτίσμα Θεοῦ φησὶ καλὸν, καὶ οὐδὲν ἀπόβλη-
τον· ἔπειτα δὲ, ὅτι ἡ ἐντολὴ τοῦ Κυρίου οὐχὶ ῥίπτειν ὡς κακὰ τὰ ὑπάρχοντα καὶ φεύγειν, ἀλ-
λὰ οἰκονομεῖν ἐπαίδευσε· καὶ κατακρίνεταί τις, οὐχ ὅτι εἶχεν ὅλως, ἀλλ' ὅτι κακῶς ἐφρό-
νησε περὶ αὐτῶν, ἢ ὅτι μὴ καλῶς ἐχρήσατο αὐτοῖς· ἡ γὰρ ἀπροσπαθὴς καὶ ὑγιὴς περὶ
αὐτὰ διάθεσις, καὶ ἡ κατ' ἐντολὴν αὐτῶν οἰκονομία πρός τε πολλὰ καὶ ἀναγκαιότατα
ἡμῖν συμβάλλεται· ποτὲ μὲν πρὸς καθαρισμὸν τῶν οἰκείων ἁμαρτημάτων· διὸ γέγρα-
πται· πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστι· ποτὲ δὲ πρὸς
κληρονομίαν βασιλείας οὐρανῶν, καὶ κτῆσιν θησαυροῦ ἀνεκλείπτου· κατὰ τὸ ἐν ἄλλῳ
» τόπῳ εἰρημένον· μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
» δοῦναι ὑμῖν τὴν βασιλείαν· πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην·
» ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς.

Ἐρώτησις, ϟγ΄.

Τὸν ἅπαξ ἀποκτησάμενον, καὶ ἴδιον μηδὲν ἔχειν ἐπαγγειλάμενον ποίᾳ διανοίᾳ κε-
χρῆσθαι δεῖ τοῖς πρὸς τὴν ζωὴν ἀναγκαίοις· οἷον ἐσθῆτι καὶ τροφῇ·

Ἀπόκρισις.

Μνημονεύοντα κατὰ τὸ γεγραμμένον, ὅτι ὁ Θεός ἐστιν, ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· πλὴν
» ἀλλὰ φροντίδος χρεία· ἵνα ὡς Θεοῦ ἐργάτης ἄξιος ᾖ τῆς τροφῆς αὐτοῦ· καὶ ταύτης οὐκ
ἐν ἰδίᾳ ἐξουσίᾳ κειμένης, ἀλλὰ παρὰ τοῦ ταύτην ἐπιτεταγμένου τὴν φροντίδα οἰκονο-
» μουμένης· ἐν τε καιρῷ καὶ μέτρῳ κατὰ τὸ γεγραμμένον· διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν
τις χρείαν εἶχεν.

Ἐρώτησις, ϟδ΄.

Ἐάν τις καταλιπὼν φόρους ἀδελφότητι προσέλθῃ, οἱ δὲ οἰκεῖοι αὐτοῦ ὑπὲρ αὐτοῦ ἀ-
παιτούμενοι θλίβονται, εἰ μὴ φέρει τοῦτο διάκρισιν καὶ βλάβην, ἢ ἐκείνῳ, ἢ τοῖς προσ-
δεξαμένοις·

Ἀπόκρισις.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πρὸς τοὺς ἐπερωτῶντας εἰ ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ, φησί,
» δείξατέ μοι δηνάριον, τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν, τῶν δὲ εἰπόντων, ὅτι Καίσαρος,
» ἀποκρίνεται εἰπών· ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· φανε-
ροῦ τοίνυν ἐκ τούτου ὄντος, ὅτι οὗτοι ὑποκεῖσθαι τοῖς τοῦ Καίσαρος ἐπιτάγμασιν ἐλέ-
χθησαν, παρ' οἷς ἂν εὑρίσκηται τὰ τοῦ Καίσαρος· εἰ μέντοι τοιοῦτόν τι ἐκ τοῦ Καίσαρος
καὶ οὗτος ἐπικομιζόμενος εἰς τὴν ἀδελφότητα ἧκεν ὑπὸ χρέος ἔστω τοῖς φόροις· εἰ δὲ πάν-
τα πρὸς καταλιπὼν τοῖς οἰκείοις ἀπῆλθε, μηδεμία διάκρισις ἔστω μήτε αὐτῷ, μήτε
τοῖς ὑποδεξαμένοις.

Ἐρώτησις, ϟε΄.

Εἰ συμφέρει τοῖς ἄρτι προσερχομένοις εὐθὺς
τὰ ἀπὸ τῶν γραφῶν ἐκμανθάνειν;

Ἀπόκρισις.

Καὶ τοῦτο τὸ ἐπερώτημα ἀπὸ τῶν προειρημένων κατευθυνέσθω· τὸ γὰρ πρὸς τὴν χρείαν
ἕκαστον ἐκμανθάνειν ἐκ τῆς θεοπνεύστου γραφῆς ἀκόλουθον καὶ ἀναγκαῖον εἴς τε πληρο-
φορίαν τῆς θεοσεβείας, καὶ ὑπὲρ τοῦ μὴ προσεθισθῆναι ἀνθρωπίνοις παραδόσεσιν.

Ἐρώτησις, ϟϛ΄.

Εἰ παντὶ τῷ βουλομένῳ ἐπιτρέπειν δεῖ γράμματα
μανθάνειν ἢ ἀναγνώσμασι προσέχειν·

Ἀπόκρισις.

Τοῦ ἀποστόλου λέγοντος, ἵνα μὴ ἃ ἂν θέλητε ταῦτα ποιῆτε· ἐν παντὶ πράγματι τὸ κα-
τὰ θέλησιν ἰδίαν αἱρετὸν, ἐπιτρέπειν τινὶ βλαβερόν ἐστι· πᾶν δὲ τὸ ἀπὸ τῶν προεστώ-
των ἐγκεκριμμένον καταδέχεσθαι χρὴ, κἂν ἀβούλητον ᾖ· τὸ δὲ ἔγκλημα τῆς ἀπιστίας,
» καὶ τούτῳ ἁρμόζει· τοῦ Κυρίου εἰπόντος· γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ υἱὸς τοῦ ἀν-
» θρώπου ἔρχεται· φανερὸς γάρ ἐστι χρόνους ζωῆς ἑαυτῷ ὑπογράφων.

Ἀπόκρισις.

Τοῦτο ἐναντίον ἐστὶ τῆς ἐν ταῖς πράξεσι περὶ τῶν πιστευσάντων μαρτυρίας· ἐν αἷς γέγραπται· καὶ οὐδεὶς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι. ὁ οὖν λέγων ἴδιόν τι εἶναι, ἑαυτὸν ἀλλότριον τῆς τοῦ θεοῦ ἐκκλησίας κατέστησε, καὶ τῆς τοῦ κυρίου ἀγάπης, τοῦ διδάξαντος καὶ λόγῳ καὶ ἔργῳ τὴν ψυχὴν ἑαυτοῦ τιθέναι ὑπὲρ τῶν φίλων· οὐχ ὅτι γε τὰ ἐκτός.

Ἐρώτησις, πϛʹ.

Ἐὰν δὲ λέγῃ τις, ὅτι οὔτε λαμβάνω παρὰ τῆς ἀδελφότητος, οὔτε δίδωμι, ἀλλὰ τοῖς ἐμοῖς ἀρκοῦμαι, τί πρὸς τοῦτον παραφυλαξόμεθα.

Ἀπόκρισις.

Εἰ μὴ ἀνέχοιτο τῆς τοῦ κυρίου διδασκαλίας εἰπόντος, ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς· ἀναγκαζόμεθα τῷ ἀποστόλου εἰπόντος· ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν· ἵνα μὴ γένηται τὸ, μικρὰ ζύμη ὅλον τὸ φύραμα δολοῖ.

Ἐρώτησις, πζʹ.

Εἰ ἔξεστιν ἑκάστῳ τὸ παλαιὸν ἱμάτιον αὐτοῦ, ἢ ὑπόδημα δοῦναι ὅπου θέλει εἰς ἐντολήν.

Ἀπόκρισις.

Τὸ διδόναι ἢ λαμβάνειν καὶ κατ᾽ ἐντολὴν οὐ παντός ἐστιν, ἀλλὰ τοῦ μετὰ δοκιμασίας πεπιστευμένου τὴν οἰκονομίαν. ὥστε εἴτε παλαιὸν, εἴτε καινὸν, οὗτος κατὰ τὸν ἴδιον ἑκάστου καιρὸν καὶ δώσει, καὶ ἀποδέξεται.

Ἐρώτησις, πηʹ.

Τίς ἡ μέριμνα ἡ βιωτική;

Ἀπόκρισις.

Πᾶσα μέριμνα, κἂν μηδὲν ἔχειν δοκῇ τῶν ἀπηγορευμένων, μὴ συντελῇ δὲ πρὸς θεοσέβειαν βιωτική ἐστιν.

Ἐρώτησις, πθʹ.

Ἐπειδὴ γέγραπται λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος, ἡμῖν δὲ οὐ περιεχώρησε τοῦτο, τί ποιήσομεν;

Ἀπόκρισις.

Εἰ μὲν σπουδάσαντες οὐκ ἠδυνήθημεν, μνημονεύσωμεν τῆς ἀποκρίσεως τοῦ κυρίου πρὸς τὸν πέτρον ἐπὶ τῷ τοιούτῳ ἀγωνιάσαντα καὶ εἰπόντα, ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; ἀποκρίνεται δὲ αὐτῷ οὕτως· πᾶς ὅς τις ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ ἕνεκεν τοῦ εὐαγγελίου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. εἰ δὲ κατὰ ἀμέλειαν τοῦτο οὐκ ἐποιήσαμεν, νῦν τὴν σπουδὴν ἐπιδειξώμεθα. εἰ δὲ μηκέτι ἐστὶ, μήτε καιρὸς, μήτε δύναμις, παραμυθείσθω ἡμᾶς ὁ ἀπόστολος λέγων· οὐ ζητῶ τὰ ὑμῶν, ἀλλ᾽ ὑμᾶς.

Ἐρώτησις, ϙʹ.

Εἰ ἔξεστι νυκτερινὸν ἱμάτιον ἔχειν, εἴτε τρίχινον, εἴτε ἀλλοῖον.

Ἀπόκρισις.

Εἰ μὲν τοῦ τριχίνου χρῆσις καιροὺς ἔχει ἰδίους· οὐ γὰρ χρείας σωματικῆς ἕνεκεν ἐστὶν ἡ τούτων χρῆσις, ἀλλὰ κακουχίας καὶ ταπεινώσεως ψυχῆς· τῆς δὲ τῶν δύο κτήσεως ἀπαγορευθείσης, εἰ δύναται ἡ χρῆσις παραλειφθῆναι αὐτῷ τῆς προειρημένης αἰτίας ἕκαστος ἑαυτῷ λογιζέσθω.

Ἐρώτησις, ϙαʹ.

Ἐὰν ἀδελφὸς ἴδιον οὐκ ἔχων οὐδὲν, αἰτηθῇ παρά τινος αὐτὸ ὃ φορεῖ, τί ὀφείλει ποιῆσαι, μάλιστα δὲ ἐὰν γυμνὸς ᾖ ὁ αἰτήσας.

Ἀπόκρισις.

Εἴτε γυμνὸς, εἴτε πονηρὸς, καὶ εἴτε κατὰ χρείαν, εἴτε κατὰ πλεονεξίαν αἰτῇ, ἅπαξ εἰρέθη, ὅτι τὸ διδόναι, ἢ λαμβάνειν οὐ παντός ἐστιν, ἀλλὰ τοῦ ἐγκεχειρισμένου μετὰ δοκιμασίας τὴν τοιαύτην οἰκονομίαν, καὶ φυλασσέσθω τὸ, ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω.

Ἐρώτησις, ϙβʹ.

Τοῦ κυρίου προστάσσοντος πωλῆσαι τὰ ὑπάρχοντα, τί διανοούμενον χρὴ τοῦτο ποιεῖν, ὡς αὐ-

εὐλαβὴς ὤν, ἀγωνιῶντι ἅμα καὶ ἀγωνιζόμενος ὑπὲρ τῆς πρὸς θεὸν εὐαρεστήσεως κατὰ περίστασίν τινα, καὶ σχεδὸν ὡς οὐκ ἤθελεν ἐσφάλη καὶ ὠλίσθεν. ὁ δὲ ἀδιάφορος οὐδένα λόγον, οὐδὲ ἑαυτοῦ, οὐδὲ τοῦ θεοῦ ποιούμενος, καὶ οὐδεμίαν διαφορὰν τοῦ τε ἁμαρτάνειν, καὶ τοῦ κατορθοῦν τιθέμενος, ὡς αὐτὸ δηλοῖ τὸ ὄνομα, τὰ πρῶτα καὶ μεγάλα κακὰ νοσεῖ· ἢ καταφρόνησιν θεοῦ, ἢ ἀπιστίαν τοῦ εἶναι θεόν. δύο γὰρ ταῦτα αἴτια τῇ ψυχῇ τοῦ ἁμαρτάνειν γίνεται, ὡς ἡ γραφὴ μαρτυρεῖ λέγουσα· ποτὲ μέν, φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. ποτὲ δὲ εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν. ὥστε ἢ καταπεφρόνηκε, καὶ διὰ τοῦτο ἁμαρτάνει, ἢ αὐτὸ τὸ εἶναι τὸν θεὸν ἀρνεῖται. καὶ διὰ τοῦτο ἐν τοῖς ἐπιτηδεύμασι διαφθείρεται, κἂν ὁμολογεῖν δοκῇ. θεὸν γὰρ ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. ὧν οὕτως ἐχόντων, καὶ τὸν τρόπον τῆς ἐπιτιμήσεως λογίζομαι εἶναι δεῖν ἐπὶ τῶν τοιούτων διάφορον. ὁ μὲν γὰρ εὐλαβής, οἱονεὶ τοπικοῦ τινος χρήζει τοῦ βοηθήματος. καὶ ὑπὲρ αὐτὸ τὸ πρᾶγμα, εἰς ὃ ἐσφάλη, τὴν ἐπιτίμησιν ὑποστῆναι ὀφείλει. ὁ δὲ ἀδιάφορος, ὅλον ὁμοῦ τὸ τῆς ψυχῆς καλὸν διαφθείρας, καὶ αὐτὰ τὰ τῶν κακῶν καθολικώτερα νοσῶν· ἢ ὡς καταφρονητὴς ὥσπερ εἶπον, ἢ ὡς ἄπιστος, καὶ πενθεῖσθαι καὶ νουθετεῖσθαι, καὶ ἐπιτιμᾶσθαι ὀφείλει, μέχρις ἂν πληροφορηθῆναι δυνηθῇ· ἢ ὅτι ὁ θεὸς κριτὴς δίκαιος, καὶ φοβηθῇ· ἢ ὅτι ὅλως ἔστι θεός, καὶ καταπλαγῇ. κἀκεῖνο δὲ εἰδέναι χρή, ὅτι τὰ ἐλαττώματα τῶν εὐλαβῶν γίνεται πολλάκις καὶ κατ' οἰκονομίαν πρὸς τὸ συμφέρον· τοῦ θεοῦ συγχωροῦντος ἐνίοτε ὀλισθῆσαι εἰς θεραπείαν ἐπάρσεως προλαβούσης· οἷόν ἐστι τὸ ἀπὸ τοῦ Πέτρου εἰρημένον, καὶ ἐπ' αὐτοῦ γεγενημένον.

Ἐρώτησις, πβ'.

Ἐπειδὴ γέγραπται πρεσβυτέρας ὡς μητέρας, ἐὰν συμβῇ τὴν πρεσβυτέραν ἁμαρτῆσαι τὸ αὐτὸ τῇ νεωτέρᾳ, εἰ τῷ αὐτῷ ὑπόκειται ἐπιτιμίῳ.

Ἀπόκρισις.

Ὁ μὲν ἀπόστολος πρεσβυτέρας ὡς μητέρας τιμᾶν, ὡς οὐκ ἐπιτιμήσεως ἄξιόν τι ποιούσας ἐδίδαξεν. εἰ δὲ συμβαίη ποτὲ τὴν πρεσβυτέραν τὸ αὐτὸ ἁμαρτῆσαι τῇ νεωτέρᾳ, καταμανθάνειν δεῖ πρῶτον μὲν τὰ φυσικά, ἵνα οὕτως ἅπτω τῆς ἡλικίας ἐλαττώματα, καὶ οὕτω τὸ πρόσφορον ἑκατέρᾳ τῇ ἡλικίᾳ μέτρον τῆς ἐπιτιμήσεως ὁρίζειν. οἷον, φυσικόν ἐστι σχεδὸν τῷ γήρᾳ ὁ ὄκνος, οὐχὶ δὲ καὶ τῇ νεότητι· ὥσπερ ὁ ματαιωρισμός, καὶ ὁ τάραχος, καὶ ἡ θρασύτης, καὶ ὅσα τοιαῦτα τῇ νεότητι, οὐχὶ δὲ καὶ τῷ γήρᾳ, καὶ δοκεῖ βοηθεῖσθαι ἀπὸ τῆς ἐν τῇ νεότητι φυσικῆς θερμότητος. ὥστε τὸ αὐτὸ ἁμάρτημα ὁ ὄκνος εἰ τύχοι, βαρυτέρων ἐγκλημάτων ἄξιον τῇ νεωτέρᾳ γίνεται, οὐδὲν ἀπὸ παραιτουμένης τῆς ἡλικίας. καὶ τὸ αὐτὸ ἁμάρτημα ὁ ματαιωρισμός, ἢ τὸ θράσος, ἢ ὁ τάραχος μείζονος ἀξίαν καταγνώσεως τὴν πρεσβυτέραν ποιεῖ βοηθουμένην καὶ ὑπ' αὐτῆς τῆς ἡλικίας πρὸς τὸ πρᾶον καὶ ἤρεμον. πρὸς δὲ τούτοις καὶ τὸν τρόπον τοῦ ἁμαρτήματος, καὶ τὴν διάθεσιν τοῦ ἁμαρτήσαντος ἐξετάζειν ἐφ' ἑκατέρου προσώπου δεῖ. καὶ οὕτω τὸν ἁρμόζοντα τρόπον τῆς θεραπείας διὰ τοῦ οἰκείου ἐπιτιμίου προσάγειν.

Ἐρώτησις, πγ'.

Ἐάν τις πολλὰ κατορθῶν ἐν ἑνὶ μόνῳ διαπίπτῃ, πῶς αὐτὸν παραλάβωμεν;

Ἀπόκρισις.

Ὡς τὸν Πέτρον ὁ κύριος.

Ἐρώτησις, πδ'.

Ἐάν τις ἦθος ἔχων θορυβοποιὸν καὶ ταραχῶδες, καὶ ἐπὶ τούτῳ καταγινωσκόμενος λέγῃ, ὅτι ὁ θεὸς ἐποίησε τοὺς μὲν καλούς, τοὺς δὲ κακούς, εἰ καλῶς λέγει.

Ἀπόκρισις.

Τοῦτο τὸ φρόνημα πάλαι ὡς αἱρετικὸν ἐγνωρίσθη. καὶ γὰρ βλάσφημόν ἐστι, καὶ ἀσεβές. καὶ πρὸς ἁμαρτίαν εὐόλισθον τὴν ψυχὴν ἀπεργάζεται. ὥστε ἢ διορθωθήτω, ἢ ἐξαρθήτω ἐκ μέσου· ἵνα μὴ γένηται, μικρὰ ζύμη ὅλον τὸ φύραμα δολοῖ.

Ἐρώτησις, πε'.

Εἰ χρὴ ἔχειν τι ἴδιον ἐν ἀδελφότητι;

Ἀπόκρισις.

Ἡ ἀπόφασις τοῦ κυρίου, τοῦτο οὐ συγχωρεῖ, ἅπαξ εἰπόντος, ὅτι τὸ ψεῦδος ἐκ τοῦ διαβόλου ἐστί. διαφορὰν δὲ ψεύδους οὐδεμίαν ἐμφήναντος. καὶ ὁ ἀπόστολος μαρτυρεῖ γράψας. κἂν ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.

Ἐρώτησις. οζ.

Τί ἐστι δόλος, καὶ τί ἐστι κακοήθεια.

Ἀπόκρισις.

Κακοήθεια μέν ἐστιν, ὡς λογίζομαι, αὐτὴ ἡ πρώτη καὶ κεκρυμμένη κακία τοῦ ἤθους. δόλος δὲ, τὸ πρὸς ἐπιβουλὴν πανοῦργον, ὅταν τις ἀγαθόν τι σχηματιζόμενος, καὶ τοῦτο ὥσπερ δέλεαρ τινὶ προθεὶς, δι' αὐτοῦ τὰ τῆς ἐπιβουλῆς κατεργάσηται.

Ἐρώτησις. οη.

Ἐφάρετοι κακῶν τίνες εἰσίν.

Ἀπόκρισις.

Οἱ παρὰ τὰ συνήθη τοῖς πολλοῖς καὶ γνώριμα κακὰ ἄλλα τινὰ προσεπινοοῦντες καὶ εὑρίσκοντες.

Ἐρώτησις. οθ.

Ἐάν τις συνεχῶς ἑαυτοῦ ἐπιλαμβάνηται, ὅτι σκληρὸς προσφέρεται τῷ ἀδελφῷ, πῶς διορθώσεται.

Ἀπόκρισις.

Τὸ μὲν πρᾶγμα συμβαίνει, ὡς ἐξ αὐτοῦ στοχάζομαι, ἢ ἀπὸ φρονήματος ὑπεροχὴν φανταζομένου, ἢ ἀπὸ λύπης τῆς ἐπὶ ἐλαττώμασι τῶν κατορθοῦν ὀφειλόντων. τὸ γὰρ ἐξ ἀγαθοῦ τινος ἐλπισθέντος ἐναντίον καὶ λυπηρὸν ἀπαντήσαν, καὶ σφοδρότερόν πως τῆς ψυχῆς καθάπτεται. ἐπιμελεστέρας δὲ χρεία θεραπείας. ἵνα εἰ μὲν τὸ πρῶτον εἴη, κολάσωμεν τῆς ὑπερηφανίας τὸ πάθος. εἰ δὲ τὸ δεύτερον, περὶ τῆς ἀγανακτήσεως ἐν παρακλήσει καὶ νουθεσίᾳ τὴν εὐσπλαγχνίαν ἐπιδειξώμεθα. ἐὰν δὲ ἄρα ὁ τρόπος οὗτος τῆς θεραπείας ἀνενέργητος φανῇ διὰ τὴν τοῦ ὑποκειμένου πάθους κακίαν, τότε λοιπὸν, καὶ τῇ σφοδρότητι τῆς ἀγανακτήσεως μετὰ συμπαθείας καὶ ἐπ' ὠφελείᾳ καὶ διορθώσει τοῦ ἁμαρτήσαντος εὐκαίρως, καὶ μετὰ λόγου χρησόμεθα.

Ἐρώτησις. π.

Πόθεν συμβαίνει τὸ, ὥσπερ τῇ διανοίᾳ ἐπιλείπειν λογισμοὺς ἀγαθοὺς, καὶ μεμνῆσθαι ἀρεσκούσας τῷ θεῷ, καὶ πῶς ἵνα μὴ τοῦτο πάσχωμεν.

Ἀπόκρισις.

Τοῦ δαβὶδ εἰπόντος, ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, δῆλον ὅτι τὸ τοιοῦτον ἀπὸ νυσταγμοῦ τῆς ψυχῆς καὶ ἀναισθησίας συμβαίνει. γρηγορούσῃ γὰρ τῇ ψυχῇ, καὶ νηφούσῃ, οὐχὶ μὴ μεμνῆσθαι θεῷ ἀρέσκουσα, καὶ λογισμὸς ἀγαθὸς ἐπιλείπει, ἀλλ' ἐναντίον τοιούτοις ἐπιλείπουσαν ἐπιβλέπει. εἰ γὰρ ὁ τοῦ σώματος ὀφθαλμὸς οὔτε ἀρκεῖται πρὸς θεωρίαν καὶ ὀλίγων τινῶν τοῦ θεοῦ δημιουργημάτων, οὔτε ἅπαξ τι θεασάμενος κόρον ἔχει, ἀλλὰ καὶ ἀεὶ τὸ αὐτὸ θεωρῶν οὐ παύεται ὅμως τοῦ βλέπειν, πόσῳ μᾶλλον ὁ τῆς ψυχῆς ὀφθαλμὸς, ἐὰν ἐγρήγορος ᾖ καὶ νήφων, οὐκ ἐξαρκεῖ πρὸς θεωρίαν τῶν τοῦ θεοῦ θαυμασίων καὶ
» κριμάτων. τὰ κρίματά γάρ σου φησὶν, ἄβυσσος πολλή. καὶ ἀλλαχοῦ. ἐθαυμαστώθη
» ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. καὶ πολλὰ τοιαῦτα.
» εἰ δὲ ἐπιλείπει τῇ ψυχῇ λογισμὸς ἀγαθὸς, δηλονότι ἔτι ἐπιλείπει αὐτῇ φωτισμός. οὐ παρὰ τὸ ἐπιλείπειν τὸ φωτίζον, ἀλλὰ παρὰ τὸ νυστάζειν, τὸ φωτισθῆναι ὀφεῖλον.

Ἐρώτησις. πα.

Εἰ χρὴ ἴσως ἐπιτιμᾶν τοῖς εὐλαβέσι καὶ τοῖς ἀδιαφόροις, ὅταν ἐν τῷ αὐτῷ ἁμαρτήματι εὑρίσκωνται ἀμφότεροι.

Ἀπόκρισις.

Ἐὰν ἀποδῶμεν εἰς τὴν διάθεσιν τοῦ ἁμαρτάνοντος, καὶ τὸν τρόπον τοῦ ἁμαρτήματος, γνωσόμεθα καὶ τὸν τρόπον τῆς ἐπιτιμήσεως. κἂν γὰρ τὸ αὐτὸ ἁμάρτημα εἶναι δοκῇ τό, τε τοῦ ἀδιαφόρου καὶ τοῦ εὐλαβοῦς, ἀλλὰ πολλὴ μεταξὺ αὐτῶν ἡ διαφορά. ὁ μὲν γὰρ εὐλαβὴς,

Ἐρώτησις. οβʹ.

Ἐάν τις περὶ τὴν μετάληψιν ἐν ἀδελφότητι ἀσέμνως ἀναστρέφηται λαβρότερον ἐσθίων, ἢ πίνων, εἰ δεῖ αὐτὸν ἐλέγχεσθαι.

Ἀπόκρισις.

Ὁ τοιοῦτος οὐ φυλάσσει τὸ παράγγελμα τοῦ ἀποστόλου εἰπόντος, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. καὶ πάλιν. πάντα εὐσχημόνως, καὶ κατὰ τάξιν γινέσθω. καὶ χρήζει διορθώσεως, πλὴν εἰ μήτις ἀνάγκη τοῦ κόπου, ἢ τοῦ τάχους κατεπείγοι. ἀλλὰ καὶ τότε χρὴ τὸ ἀπρόσκοπον ἐσπουδασμένως φυλάττειν.

Ἐρώτησις. ογʹ.

Τὸν μὴ ἐν ἐπιθυμίᾳ τῆς τοῦ ἀδελφοῦ διορθώσεως ἐλέγχοντα τὸν ἁμαρτάνοντα, ἀλλ᾽ ἐν πάθει τῆς ἑαυτοῦ ἐκδικήσεως, πῶς χρὴ διορθοῦσθαι μετὰ πλείονα παράκλησιν τῷ αὐτῷ ἐπιμένοντα.

Ἀπόκρισις.

Ὡς φίλαυτος καὶ φίλαρχος γνωριζέσθω ὁ τοιοῦτος. καὶ ὁ τῆς διορθώσεως τρόπος αὐτῷ κατ᾽ ἐπιστήμην τῆς θεοσεβείας φανερούσθω. εἰ δὲ ἐπιμένοι τῇ κακίᾳ, δῆλον τὸ κρίμα κατὰ τῶν μὴ μετανοούντων.

Ἐρώτησις. οδʹ.

Τοὺς ἐξερχομένους ἐκ τῆς ἀδελφότητος, καὶ βουλομένους μονήρη βίον ζῆν, ἢ μετὰ ὀλίγων, τῷ αὐτῷ ἐπιθέσθαι σκοπῷ τῆς θεοσεβείας, εἰ χρὴ ἀφορίζειν, διδαχθῆναι ἀπὸ τῆς γραφῆς βουλόμεθα.

Ἀπόκρισις.

Πολλάκις τοῦ κυρίου εἰπόντος, ὁ υἱὸς ἀφ᾽ ἑαυτοῦ ποιεῖ οὐδέν. καὶ, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. καὶ τοῦ ἀποστόλου μαρτυροῦντος, ὅτι ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος. τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλωμεν ποιῶμεν. πᾶν τὸ κατὰ τὸ ἴδιον θέλημα αἱρετὸν, ἀλλότριον θεοσεβούντων. πληρέστερον δὲ περὶ τῶν τοιούτων ἐν τοῖς κατὰ πλάτος εἰρημένοις ἀπεκρινάμεθα.

Ἐρώτησις. οεʹ.

Εἰ παντὸς ἁμαρτήματος, εἴτε κατὰ νοῦν, εἴτε κατὰ λόγον, εἴτε κατὰ πρᾶξιν τὸν σατανᾶν αἴτιον λέγειν ἀκόλουθον.

Ἀπόκρισις.

Καθόλου οἶμαι, ὅτι αὐτὸς καθ᾽ ἑαυτὸν ὁ σατανᾶς αἴτιος γενέσθαι τινὶ ἁμαρτίας οὐ δύναται. τοῖς δὲ ἐνυπάρχουσι ποτὲ μὲν φυσικοῖς κινήμασι, ποτὲ δὲ καὶ ἀπηγορευμένοις πάθεσι συγχρώμενος, δι᾽ αὐτῶν καὶ ἐπὶ τὰ οἰκεῖα τῶν παθῶν ἀπάγειν ἐπιχειρεῖ τοὺς μὴ νήφοντας. συγκέχρηται δὲ τοῖς μὲν φυσικοῖς ὡς ἐπὶ τοῦ κυρίου ποιῆσαι ἐπειράσθη ἡνίκα ἤθελεν αὐτὸ πεινάσαντος, εἰπών. εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. πάθεσι δὲ ἀπηγορευμένοις, ὡς ἐπὶ τοῦ ἰούδα. ὃν ἐπειδὴ φιλαργυρίαν νοσοῦντα κατέμαθε, τούτῳ συγχρησάμενος τῷ πάθει, καὶ εἰς τὸ τῆς προδοσίας πτῶμα τὸν φιλάργυρον διὰ τῶν τριάκοντα ἀργυρίων κατηκόντισεν. ὅτι δὲ καὶ τὰ κακὰ ἐξ ὑμῶν αὐτῶν ἀναφύεται δείκνυσι σαφῶς ὁ κύριος. ἐκ γὰρ τῆς καρδίας φησὶν ἐξέρχονται οἱ διαλογισμοὶ οἱ πονηροί. συμβαίνει δὲ τοῦτο τοῖς ἐξ ἀμελείας ἀγεώργητα καταλιποῦσι τὰ φυσικὰ τῶν ἀγαθῶν σπέρματα. ὡς κατὰ τὸ ἐν παροιμίαις εἰρημένον. ὥσπερ γεώργιον, ἀνὴρ ἄφρων. καὶ ὥσπερ ἀμπελὼν, ἄνθρωπος ἐνδεὴς φρενῶν. ἐὰν ἀφῇς αὐτὸν, χερσωθήσεται, καὶ χορτομανήσει ὅλος, καὶ γίνεται ἐκλελειμμένος. τῇ δὲ ἐκ τῆς τοιαύτης ἀμελείας κεχερσωμένῃ καὶ ἐκλελειμμένῃ ψυχῇ ἀκόλουθον ἐξ ἀνάγκης, τὸ ἀκάνθας καὶ τριβόλους ἀνατέλλειν, καὶ πάσχειν ἐκεῖνο τὸ εἰρημένον, ἔμεινα, ἵνα ποιήσῃ σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. περὶ ἧς ψυχῆς προείρηται. καὶ ἐφύτευσα ἄμπελον σωρὴχ; ὃ ἑρμηνεύεται ἐκλεκτή. τὸ παραπλήσιον δὲ τούτῳ καὶ παρὰ τῷ ἱερεμίᾳ εὕροι τις ἂν ἐκ προσώπου τοῦ θεοῦ λέγοντος. ἐγὼ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία.

Ἐρώτησις. οϛʹ.

Εἰ χρὴ οἰκονομίᾳ δεῖσθαι χρησίμου τινὸς ψεύδεσθαι.

Ἐρώτησις. ξϛʹ.

Τί ἐστιν ἔρις, καὶ τί ἐστιν ἐριθεία;

Ἀπόκρισις.

Ἔρις μέν ἐστιν, ὅταν τις ὑπὲρ τοῦ μὴ ἐλάττων φανῆναι τινός, σπουδάζῃ ποιεῖν τι. ἐριθεία δέ, τὸ ὅπερ ἂν ποιεῖ τις, ἐπιδεικτικῶς, ἢ κενοδόξως προσκαλεῖσθαι, καὶ ἐρεθίζειν ἄλλους εἰς τὰ ὅμοια. καὶ γὰρ ὁ ἀπόστολος ποτὲ μὲν ἐριθείας μνημονεύων, τὴν κενοδοξίαν ἐπισυνάπτει, εἰπών, μηδὲν κατ᾽ ἐριθείαν ἢ κενοδοξίαν. ποτὲ δὲ κενοδοξίᾳ προτάξας· μετὰ ταύτης καὶ τὴν ἐριθείαν ἑτέρῳ ὀνόματι ἀπαγορεύει λέγων· μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι.

Ἐρώτησις. ξζʹ.

Τί ἐστιν ἀκαθαρσία καὶ τί ἐστιν ἀσέλγεια;

Ἀπόκρισις.

Τὴν μὲν ἀκαθαρσίαν ὁ νόμος ἐδήλωσε χρησάμενος τῷ ὀνόματι ἐπὶ τῶν ἀκουσίως ἐκ φυσικῆς ἀνάγκης συμβαινόντων. τὴν δὲ ἀσέλγειαν δοκεῖ μοι ἐκφαίνειν ὁ σοφώτατος Σολομών, ἡδὺν καὶ ἀνάλγητον ὀνομάσας. ὡς εἶναι τὴν ἀσέλγειαν, διάθεσιν μὴ ἔχουσαν, ἢ μὴ φέρουσαν ἄλγος ἀθλητικόν. ὥσπερ καὶ ἀκρασία ἐστίν, ἡ μὴ ἔχουσα κράτος κατὰ τῶν ἐνοχλουσῶν ἡδονῶν.

Ἐρώτησις. ξηʹ.

Τί ἴδιον θυμοῦ, καὶ τί ἴδιον ἀγανακτήσεως κατὰ λόγον. καὶ πῶς πολλάκις ἀπὸ ἀγανακτήσεως ἀρχόμενοι, εὑρισκόμεθα θυμούμενοι;

Ἀπόκρισις.

Θυμοῦ ἴδιον, ὁρμὴ ψυχῆς ἐν μελέτῃ κακώσεως κατὰ τοῦ παροξύναντος. ἀγανακτήσεως δὲ ἐπισήμανος ἴδιον, σκοπὸς διορθώσεως τοῦ ἡμαρτηκότος ἀπὸ διαθέσεως ἀπαρεσκομένης τῷ γενομένῳ. τὸ δὲ ἀπὸ καλοῦ ἀρχομένην ψυχὴν ἐκπίπτειν εἰς κακόν, οὐδὲν παράδοξον. πολλὰ γὰρ ἄν τις εὕροι τοιαῦτα. διόπερ μνημονεύειν χρὴ τῆς θεοπνεύστου γραφῆς λεγούσης· ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. καὶ πάλιν· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. καὶ φυλάσσεσθαι πανταχοῦ τήν τε ἀμετρίαν, καὶ τὴν ἀκαιρίαν, καὶ τὴν ἀταξίαν. παρὰ γὰρ τὴν αἰτίαν τῶν εἰρημένων, ἕκαστον καὶ τὸ δόξαν εἶναι καλόν, πολλάκις εἰς κακὸν μετέπεσεν.

Ἐρώτησις. ξθʹ.

Τὸν μὴ ἔλαττον ἐσθίοντα τῶν λοιπῶν· μήτε σῶμα ἔχοντα κατερριμμένον, μήτε ἐμπαθῆ γνωριζόμενον, ἀδυναμεῖν δὲ πρὸς τὸ ἔργον ὀδυρόμενον πῶς δεῖ μετέρχεσθαι;

Ἀπόκρισις.

Πᾶσα πρόφασις ἀργίας, πρόφασίς ἐστιν ἁμαρτίας. τὴν γὰρ σπουδὴν μέχρι θανάτου, ὥσπερ καὶ τὴν ὑπομονὴν ἐπιδείκνυσθαι χρή. ὅτι δὲ ἡ ὀκνηρία τῇ πονηρίᾳ συνεζευγμένη κατακρίνει τὸν ὀκνηρόν, ἐκ τῶν τοῦ κυρίου ῥημάτων φανερόν, εἰπόντος· δοῦλε πονηρὲ καὶ ὀκνηρέ.

Ἐρώτησις. οʹ.

Τὸν παραχρώμενον τοῖς ἱματίοις, ἢ τοῖς ὑποδήμασι, πῶς δεῖ μετέρχεσθαι. ἐγκαλούμενος γάρ, μικρολογίαν τοῦ ἐγκαλοῦντος, καὶ γογγυσμὸν ἀποπλάττει. εἰ δὲ μετὰ τὴν προσήκουσαν δευτέραν καὶ τρίτην παράκλησιν τοῖς αὐτοῖς ἐπιμένοι, τί χρὴ αὐτῷ ποιεῖν;

Ἀπόκρισις.

Ἐκβάλλει τὴν παράχρησιν ὁ ἀπόστολος εἰπών, ὡς χρώμενοι τῷ κόσμῳ τούτῳ, καὶ μὴ παραχρώμενοι. τῆς γὰρ χρήσεως μέτρον, ἡ ἀπαραίτητος ἀνάγκη τῆς χρείας. ὁ δὲ ὑπὲρ τὴν χρείαν, ἢ πλεονεξίας, ἢ φιληδονίας, ἢ κενοδοξίας ἔχει τὴν νόσον. ὁ δὲ ἐπιμένων τῇ ἁμαρτίᾳ, ἔχει τὸ κρίμα τοῦ μὴ μετανοοῦντος.

Ἐρώτησις. οαʹ.

Εἰσί τινες, οἱ τοῦ πλείονος τὸ ἡδύτερον τῶν ἐδεσμάτων ἐπιζητοῦντες, ἄλλοι δὲ τὸ πλεῖον μᾶλλον, ἢ τὸ ἡδὺ διὰ τὸν κόρον θέλουσιν. πῶς οὖν ἀμφοτέρους πληροφορεῖν χρή;

Ἀπόκρισις.

Ἀμφότεροι νοσοῦσιν. ὁ μὲν τὴν φιληδονίαν, ὁ δὲ τὴν πλεονεξίαν. οὔτε δὲ ὁ φιλήδονος, οὔτε ὁ πλεονέκτης ἐν οὐδενί ποτε πράγματι ἐκτὸς κατακρίσεως. ὧν εὐσπλάγχνως ἐπιμεληθῆναι χρή. εἰ δὲ μὴ θεραπεύοιντο τὴν νόσον, φανερὸν τὸ κρίμα τῶν μὴ μετανοούντων.

μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. γίνεται δὲ τὸ σκάνδαλον κατὰ πλείονας αἰτίας. ἢ γὰρ παρὰ τὸν σκανδαλίζοντα τὸ σκάνδαλον γίνεται, ἢ παρὰ τὸν σκανδαλιζόμενον τὸ σκάνδαλον συμβαίνει. καὶ ἐν τούτοις πάλιν διαφόρως. ποτὲ μὲν γὰρ κατὰ κακίαν, ποτὲ δὲ κατὰ ἀπειρίαν, ἢ τούτου, ἢ ἐκείνου. ἔστι δὲ ὅτε ἐν τῇ ὀρθοτομίᾳ τοῦ λόγου ἡ τῶν σκανδαλιζομένων κακία ἐκδηλοτέρα γίνεται. καὶ ἐν τοῖς πράγμασιν ὁμοίως. ἢ γὰρ ἐντολὴν θεοῦ τινὸς ποιοῦντος, ἢ τοῖς ἐν ἐξουσίᾳ κειμένοις ἐπ' ἀδείας χρωμένου ὁ σκανδαλιζόμενος σκανδαλίζεται. ὅταν μὲν οὖν τοῖς κατ' ἐντολὴν γινομένοις, ἢ λεγομένοις προσκόπτωσιν ἄνθρωποι, καὶ ἐπὶ τούτοις σκανδαλίζονται. ὡς ἐν τῷ εὐαγγελίῳ τινὲς ἐπὶ τοῖς ὑπὸ τοῦ κυρίου κατὰ τὸ θέλημα τοῦ πατρὸς γινομένοις καὶ λεγομένοις, τότε ἀποκριναμένου, ὥς που προσελθόντες οἱ μαθηταί, εἶπον αὐτῷ· οἶδας ὅτι οἱ φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν; πρὸς οὓς φησιν, πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. ἄφετε αὐτούς. τυφλοί εἰσιν ὁδηγοὶ τυφλῶν. τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται. καὶ πολλὰ τοιαῦτα καὶ ἐν τοῖς εὐαγγελίοις, καὶ παρὰ τῷ ἀποστόλῳ εὕροι τις ἄν. ὅταν δὲ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ ἡμετέρᾳ κειμένοις προσκόπτῃ τις, ἢ σκανδαλίζηται, εἰς ἀνάμνησιν ἐλθεῖν δεῖ τότε τῶν ὑπὸ τοῦ κυρίου πρὸς τὸν Πέτρον ῥημάτων, εἰπόντος· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον, καὶ τὸν ἀναβαίνοντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα, ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. καὶ τῶν τοῦ ἀποστόλου πρὸς Κορινθίους γραμμάτων, ἐν οἷς φησιν, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. καὶ πάλιν. καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. ὅπως δὲ ἐστι φοβερὸν τὸ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ κεῖσθαι δοκοῦσι, περιορᾶν τὸν ἀδελφὸν σκανδαλιζόμενον ἐν τούτοις, δείκνυσι μὲν ἡ τοῦ κυρίου παραγγελία καθόλου πάντα σκανδαλισμοῦ τρόπον ἀπαγορεύοντος, καὶ λέγοντος. ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου, τοῦ ἐν οὐρανοῖς. μαρτυρεῖ δὲ καὶ ὁ ἀπόστολος, λέγων ποτὲ μὲν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον, ποτὲ δὲ διὰ περισσοτέρας κατασκευῆς σφοδρότερον ἀπαγορεύων τὸ ἄτοπον. δι' ὧν φησιν. ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπόλλυται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν. οἷς ἐπιφέρει. οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. καὶ ἀλλαχοῦ εἰπών. ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; ἐξῆς ἐπιλέγει. ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ. ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. οὕτω δὲ φοβεροῦ δειχθέντος τοῦ ἐπὶ τοῖς ἐν ἐξουσίᾳ κειμένοις σκανδαλίζειν τὸν ἀδελφὸν, τί ἄν τις εἴποι περὶ τῶν ἐν τῷ τὰ ἀπηγορευμένα ποιεῖν ἢ λέγειν σκανδαλιζόντων; καὶ μάλιστα ὅταν ἢ γνῶσιν ἔχων περισσοτέραν φαίνηται ὁ σκανδαλίζων, ἢ ἐν βαθμῷ ἱερατικῷ ἐξετάζηται. ὃς ὥσπερ κανὼν καὶ τύπος ὀφείλων προκεῖσθαι τοῖς ἄλλοις, κἂν βραχύ τι παρίδῃ τῶν γεγραμμένων, ἢ πράξῃ τὸ κεκωλυμένον, ἢ ἐλλιπὲς τὸ προστεταγμένον, ἢ ὅλως ἐφησυχάσας τινὶ τοιούτῳ, καὶ ἐν τούτῳ μόνῳ τοσοῦτον ἔχει τὸ κρίμα, ὥστε τὸ αἷμα τοῦ ἁμαρτάνοντος φησὶν ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητηθήσεται.

Ἐρώτησις. ξε'.

Πῶς τὴν ἀλήθειαν ἐν ἀδικίᾳ τις κατέχει;

Ἀπόκρισις.

Ὅταν τις παρὰ τοῦ θεοῦ δεδομένοις ἀγαθοῖς εἰς τὰ ἴδια θελήματα καταχρῆται. ὅπερ ἀπηρνήσατο ὁ ἀπόστολος εἰπών· οὐ γάρ ἐσμεν, ὡς οἱ πολλοὶ, καπηλεύοντες τὸν λόγον τοῦ θεοῦ. καὶ πάλιν· οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς· οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπὸ ἄλλων.

Ἐρώτησις. ξ.

Ἐάν τις ὁρίσηταί τι προληφθεὶς πρᾶξαι τῶν μὴ ἀρεσκόντων Θεῷ, τί χρὴ μᾶλλον τηρῆσαι, τὸ κακῶς ὁρισθέν, ἢ φόβῳ τῆς ψεύδους πλῆσαι τὴν ἁμαρτίαν.

Ἀπόκρισις.

Τοῦ ἀποστόλου λέγοντος, οὐχ ὅτι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, καὶ αὐτοῦ τοῦ Κυρίου ὁμολογοῦντος, ὅτι οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν, καὶ πάλιν, τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, καὶ ἀλλαχοῦ λέγοντος, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. μετανοῆσαι ὀφείλει ὁ τοιοῦτος. πρῶτον μέν, ὅτι ἀφ' ἑαυτοῦ τολμᾷ τι ὁρίζειν, οἷον ἂν ᾖ, οὐδὲ γὰρ αὐτὰ τὰ καλὰ ἐξ αὐθεντίας ποιεῖν χρή. ἔπειτα δὲ καὶ σφοδρότερον, ὅτι παρὰ τὸ ἀρέσκον Θεῷ ὁρίσαι οὐκ ἐφοβήθη. ὅτι δὲ ἀνατρέπειν χρὴ τὸ παρ' ἐντολὴν τοῦ Κυρίου κατὰ πρόληψιν ὁρισθέν, δείκνυται σαφῶς ἐπὶ τοῦ ἀποστόλου Πέτρου, ὁρισαμένου μὲν κατὰ πρόληψιν. ὅτι οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. ἐπειδὴ δὲ ἤκουσε τοῦ Κυρίου ἀποφηναμένου, ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ, εὐθὺς μεταθεμένου, καὶ εἰπόντος. Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν.

Ἐρώτησις. ξα΄.

Ἐάν τις μήτε ἐργάζεσθαι δύναται, μήτε τοὺς ψαλμοὺς μαθεῖν βούλεται, τί χρὴ αὐτῷ ποιῆσαι;

Ἀπόκρισις.

Τοῦ Κυρίου ἐν παραβολῇ εἰπόντος περὶ τῆς ἀκάρπου συκῆς, ἔκκοψον αὐτήν, ἵνα τί καὶ τὴν γῆν καταργῇ. προσάγειν μὲν αὐτῷ τὴν ἐπιμέλειαν πᾶσαν ἀναγκαῖον. ἐὰν δὲ μὴ ἀνέχηται τὸ προστεταγμένον περὶ τῶν ἐπιμενόντων τῇ ἁμαρτίᾳ, καὶ ἐπ' αὐτῷ φυλαχθῆναι χρή. καὶ γὰρ ὁ ἀργὸς τοῦ καλοῦ, μετὰ τοῦ διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ κρίνεται.

Ἐρώτησις. ξβ΄

Τί ἐὰν ποιήσῃ τις ὡς κρύψας τὸ τάλαντον, κατακρίνεται;

Ἀπόκρισις.

Ὁ οἱανδήποτε χάριν Θεοῦ παρακατασχὼν εἰς ἀπόλαυσιν ἑαυτοῦ, καὶ μὴ ἄλλους εὐεργετῶν, ὡς κρύψας τὸ τάλαντον κατακρίνεται.

Ἐρώτησις. ξγ΄.

Τί ἐὰν ποιήσῃ τις, κατακρίνεται ὡς ἐκεῖνοι οἱ γογγύσαντες κατὰ τῶν ἐσχάτων;

Ἀπόκρισις.

Ἕκαστος ἐπὶ τῷ ἰδίῳ ἁμαρτήματι κατακρίνεται. καὶ οἱ γογγύσαντες ἐπὶ τῷ γογγυσμῷ. ἄλλοι δὲ πολλάκις δι' ἄλλην ὑπόθεσιν γογγύζουσιν. οἱ μὲν γάρ, ὅτι ἐπέλειψεν αὐτοῖς τὰ πρὸς χορτασίαν ὡς γαστρίμαργοι, καὶ θεοποιοῦντες τὴν κοιλίαν. οἱ δέ, ὅτι τὰ ἴσα τοῖς ἐσχάτοις ἐτιμήθησαν, φθόνου διδόντες ἀπόδειξιν τῷ συζύγῳ τοῦ φόνου. καὶ ἄλλοι δέ, ἄλλοτι.

Ἐρώτησις. ξδ΄.

Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἐρρίπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, τί ἐστι σκανδαλίσαι; ἢ πῶς αὐτὸ φυλαξώμεθα, ἵνα μὴ τὸ οὕτω φοβερὸν κρίμα ἔλθῃ ἐφ' ἡμᾶς;

Ἀπόκρισις.

Σκανδαλίζει μέν τις παρανομῶν λόγῳ ἢ ἔργῳ, καὶ ἕτερον πρὸς παρανομίαν ἐνάγων. ὡς ὁ ὄφις τὴν Εὔαν, καὶ ἡ Εὔα τὸν Ἀδάμ. ἢ κωλύων ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ ὡς ὁ Πέτρος τὸν Κύριον, εἰπών, ἵλεώς σοι Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. καὶ ἀκούσας. ὕπαγε ὀπίσω μου σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. ἢ οἰκοδομῶν τὸ φρόνημα τοῦ ἀσθενοῦς εἴς τι τῶν ἀπηγορευμένων, κατὰ τὸ παρὰ τῷ ἀποστόλῳ γεγραμμένον, εἰπόντι. ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; ὡς ἐπιφέρει. εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. ἵνα

μὴ τὸν

ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. φίλαυτος οὖν ἐστιν, ὁ ἑαυτὸν δῆθεν φιλῶν. γνωρίζεται δὲ ἑαυτόν, ἐὰν ἅπερ ποιεῖ δι' ἑαυτὸν ποιῇ, κἂν κατ' ἐντολὴν ᾖ τὸ γινόμενον. τὸ γὰρ ὑπὲρ τῆς ἑαυτοῦ ἀναπαύσεως ἐλλεῖψαί τι τῶν πρὸς τὴν χρείαν τοῦ ἀδελφοῦ, εἴτε κατὰ ψυχήν, εἴτε κατὰ σῶμα, φανερὰν ἤδη καὶ τοῖς ἄλλοις ἔχει τῆς φιλαυτίας τὴν κακίαν. ἧς τὸ τέλος ἀπώλεια.

Ἐρώτησις. νε΄.

Ποία διαφορὰ πικρίας καὶ θυμοῦ, καὶ ὀργῆς, καὶ παροξυσμοῦ;

Ἀπόκρισις.

Θυμοῦ μὲν καὶ ὀργῆς ἡ διαφορὰ τάχα ἐν διαθέσει καὶ ὁρμῇ κεῖται. τοῦ μὲν ὀργιζομένου ἐν διαθέσει μόνῃ ἔχοντος τὸ πάθος, ὡς δηλοῖ ὁ εἰπών. ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. τοῦ δὲ θυμουμένου, ἤδη τι καὶ πλέον διανύοντος. θυμὸς γὰρ αὐτοῖς φησι κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. καὶ ὁ Ἡρώδης ἦν θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις. καὶ τὸ σφοδρότερον δὲ τοῦ θυμοῦ κίνημα παροξυσμὸς ὀνομάζεται. ἡ δὲ πικρία, κατασκευὴν δεινοτέραν τῆς κακίας ἐμφαίνει.

Ἐρώτησις.

Τοῦ κυρίου ἀποφηναμένου, ὅτι ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ τοῦ ἀποστόλου παραγγέλλοντος, μὴ τὰ ὑψηλὰ φρονεῖν, καὶ ἀλλαχοῦ λέγοντος. ἀλαζόνες, ὑπερήφανοι, τετυφωμένοι. καὶ πάλιν, ἡ ἀγάπη οὐ φυσιοῦται. τίς ἐστιν ὁ ὑψηλόφρων, καὶ τίς ὁ ἀλαζών, καὶ τίς ὁ ὑπερήφανος, τίς δὲ ὁ τετυφωμένος, ἢ τίς ὁ πεφυσιωμένος;

Ἀπόκρισις.

Ὑψηλόφρων μὲν εἴη ἂν καὶ ὁ ἑαυτὸν ὑψῶν, ὁ ἐπὶ τοῖς προσοῦσιν αὐτῷ κατορθώμασι μεγαλοφρονῶν καὶ ἐπαιρόμενος κατὰ τὸν φαρισαῖον ἐκεῖνον, καὶ μὴ τοῖς ταπεινοῖς συναπαγόμενος. ὁ αὐτὸς δ' ἂν λέγοιτο καὶ πεφυσιωμένος, κατὰ τὸ Κορινθίων ἔγκλημα. ἀλαζὼν δὲ, ὁ μὴ στοιχῶν τοῖς νενομοθετημένοις, μηδὲ πληρῶν τὸ τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. ἰδίαν δὲ ὁδὸν δικαιοσύνης καὶ εὐσεβείας ἐπινοῶν. ὑπερήφανος δὲ, ὁ ἐπὶ τοῖς προσοῦσιν αὐτῷ κομπάζων, καὶ ὑπὲρ ὅ ἐστι φαίνεσθαι ἐπιτηδεύων. τετυφωμένος δὲ, ἢ αὐτός ἐστι τάχα τῷ ὑπερηφάνῳ, ἢ ἐγγὺς τούτου. κατὰ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον. τετύφωται μηδὲν ἐπιστάμενος.

Ἐρώτησις. νζ΄.

Ἐάν τις ἐλάττωμα ἔχῃ ἀδιόρθωτον καὶ συνεχέστερον καταγινωσκόμενος βλάπτηται, εἰ συμφέρει μᾶλλον ἐπαφιέναι αὐτῷ;

Ἀπόκρισις.

Τοῦτο καὶ ἀλλαχοῦ εἴρηται, ὅτι τοὺς ἁμαρτάνοντας ἐπιστρέφειν μακροθύμως δεῖ. κατὰ τὸν ὑποδεδειγμένον τρόπον παρὰ τοῦ κυρίου. ἐὰν δὲ μὴ ἀρέσῃ αὐτῷ πρὸς ἐπιστροφὴν ἡ τῶν πλειόνων κατάγνωσις καὶ ἐπιτίμησις, ὡς τῷ Κορινθίῳ, ὡς ἐθνικὸν ὁρᾶσθαι χρὴ τὸν τοιοῦτον. ἐναφίεσθαι δὲ τὸν ὑπὸ τοῦ κυρίου κατακεκριμένον, κατ' οὐδένα τρόπον ἀσφαλὲς οὐδενί. τοῦ μὲν κυρίου εἰπόντος, ὅτι συμφέρει ἵνα τις ἕνα ὀφθαλμόν, ἢ μίαν χεῖρα ἢ ἕνα πόδα ἀπολέσας εἰσέλθῃ εἰς τὴν βασιλείαν, ἢ ἐν τῷ φείσασθαί τινος τούτων, ὅλος βληθῇ εἰς τὴν γέενναν τοῦ πυρός, ὅπου ἐστὶν ὁ κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ τοῦ ἀποστόλου μαρτυροῦντος, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.

Ἐρώτησις, νη΄.

Ὁ κατ' ἐπιτήδευσιν ψευσάμενος κρίνεται μόνον, ἢ καὶ ὁ κατὰ ἄγνοιάν τι παρὰ τὸ ἀληθὲς ἀπολύτως φθεγξάμενος.

Ἀπόκρισις.

Τὸ κρίμα τοῦ κυρίου καὶ ἐπὶ τῶν κατὰ ἄγνοιαν ἁμαρτανόντων, φανερὸν εἰπόντος. ὁ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. πανταχοῦ δὲ ἡ ἀξιόλογος μετάνοια βεβαίαν ἔχει τὴν ἐλπίδα τῆς ἀφέσεως.

Ἐρώτησις, νθ΄.

Ἐὰν ἐνθυμηθῇ τις μόνον ποιῆσαί τι, καὶ μὴ ποιήσῃ, εἰ καὶ οὗτος ὡς ψεύστης κρίνεται;

Ἀπόκρισις.

Εἰ κατ' ἐντολήν ἐστιν ὃ ἐνεθυμήθη ποιῆσαι, οὐχ ὡς ψεύστης μόνον, ἀλλὰ καὶ ὡς ἀπειθὴς κατακρίνεται. ἐτάζων γὰρ καρδίας καὶ νεφροὺς ὁ θεός.

Ἐρώτησις, μη'.

Ἡ πλεονεξία μέχρι τίνος κρίνεται;

Ἀπόκρισις.

Ὅταν ὑπερβαίνῃς τοῦ νόμου τὸν ὅρον. ἔστι δὲ τοῦτο κατὰ μὲν τὴν παλαιὰν διαθήκην, τὸ πλέον ἑαυτοῦ φροντίσαι τοῦ πλησίον. γέγραπται γάρ, ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. κατὰ δὲ τὸ εὐαγγέλιον, τό, πλέον τῶν πρὸς τὴν ἐφεστῶσαν ἡμέραν ἀναγκαίων σπουδάσαι τινὰ ἑαυτοῦ οὕνεκεν. ὡς ὁ ἀκούσας. ἄφρον ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ. ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; οἷς ἐπιφέρει καθολικώτερον. οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς θεὸν πλουτῶν.

Ἐρώτησις. μθ'.

Τί ἐστι τὸ περπερεύεσθαι;

Ἀπόκρισις.

Πᾶν ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν.

Ἐρώτησις, ν'.

Ἐάν τις τὰ μὲν πολυτελέστερα τῆς ἐσθῆτος ἀποθῆται, αὐτὸ δὲ τὸ εὐτελές, εἴτε ἱμάτιον, εἴτε ὑπόδημα οἱονεὶ θέλῃ ἵνα πρέπῃ αὐτῷ, εἰ ἁμαρτάνει, ἢ ποῖον πάθος νοσεῖ;

Ἀπόκρισις.

Ὁ θέλων ἵνα πρέπῃ αὐτῷ πρὸς τὸ ἀνθρώποις ἀρέσαι, φανερός ἐστιν ἀνθρωπαρεσκείας νοσῶν καὶ μακρὰν χωριζόμενος ἀπὸ τοῦ θεοῦ. καὶ τὸ πάθος τῆς περπερείας καὶ ἐν αὐτοῖς τοῖς εὐτελέσι πληροφορῶν.

Ἐρώτησις, να'.

Τί ἐστι ῥακά;

Ἀπόκρισις.

Ἐπιχώριον ῥῆμα ἠπιωτέρας ὕβρεως πρὸς τοὺς οἰκειοτέρους λαμβανόμενον.

Ἐρώτησις, νβ'.

Τοῦ ἀποστόλου λέγοντος ποτὲ μέν, μὴ γενώμεθα κενόδοξοι, ποτὲ δὲ μὴ ἐν ὀφθαλμοδουλίᾳ ὡς ἀνθρωπάρεσκοι, τίς ὁ κενόδοξος, καὶ τίς ὁ ἀνθρωπάρεσκος;

Ἀπόκρισις.

Λογίζομαι ὅτι κενόδοξος μέν ἐστιν, ὁ ψιλῆς οὕνεκεν τῆς ἐν κόσμῳ δόξης, τῆς παρὰ τῶν ὁρώντων ἢ ἀκουόντων ποιῶν τι καὶ λέγων. ἀνθρωπάρεσκος δέ, ὁ πρὸς τὸ θέλημα τινὸς ἀνθρώπου εἰς ἀρέσκειαν αὐτοῦ ποιῶν, κἂν ἀτιμίας ἄξιον ᾖ τὸ γινόμενον.

Ἐρώτησις, νγ'.

Τί ἐστιν ὁ μολυσμὸς τῆς σαρκός, καὶ τίς ὁ μολυσμὸς τοῦ πνεύματος. καὶ πῶς αὐτοὺς καθαρίσομεν; ἢ τίς ὁ ἁγιασμός, καὶ πῶς αὐτὸν κτησόμεθα;

Ἀπόκρισις.

Μολυσμὸς ἂν εἴη σαρκὸς μέν, τὸ ἀναμίγνυσθαι τοῖς αὐτουργοῦσι τὰ ἀπηγορευμένα. πνεύματος δέ, τὸ ἀδιαφορεῖν πρὸς τοὺς φρονοῦντας, ἢ ποιοῦντας τὰ τοιαῦτα. καθαρεύει δέ τις, ὅταν ἀνάσχηται τοῦ ἀποστόλου εἰπόντος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. καὶ ὅσα τοιαῦτα. ἢ ὅταν πάθῃ τὸ εἰρημένον ὑπὸ τοῦ Δαβίδ. ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. καὶ λύπην τοιαύτην ἐνδείξηται, οἵαν ἐπεδείξαντο οἱ Κορίνθιοι ὁπότε ἐνεκλήθησαν, ὅτι πρὸς τὸν ἁμαρτήσαντα ἀδιαφόρως διετέθησαν, ἐν παντὶ συνεστήσαντο ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. ἁγιασμὸς δέ ἐστι, τὸ ἀνακεῖσθαι τῷ ἁγίῳ θεῷ δι' ὅλου ὁλοκλήρως καὶ ἀδιαστάτως ἐν παντὶ καιρῷ, διὰ φροντίδος καὶ σπουδῆς τῶν αὐτῷ ἀρεσκόντων. τό, τε γὰρ λελωβημένον ἐν τοῖς ἀναθήμασιν ἀπρόσδεκτον, καὶ τὸ ἅπαξ ἀνατεθὲν τῷ θεῷ εἰς κοινὴν καὶ ἀνθρωπίνην χρῆσιν ἕλκειν, ἀσεβές, καὶ ἀτόλμητον.

Ἐρώτησις, νδ'.

Τί ἐστι φιλαυτία, καὶ πῶς γνωρίζει ἑαυτὸν ὁ φίλαυτος;

Ἀπόκρισις.

Πολλὰ καταχρηστικῶς λέγεται, ὥσπερ τό, ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν. καὶ

λημα τοῦ θεοῦ διαγγελλούσης· ὥς τε οὐχὶ μετὰ τῶν ἀγνοησάντων ὁ τοιοῦτος ἔλαττον κρίνεται, ἀλλὰ μετ' ἐκείνων σφοδρότερον κρίνεται περὶ ὧν γέγραπται· ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων· φαρμάκου τε φαρμακευομένη παρὰ σοφοῦ· ὁ μέντοι ἐπιτεταγμένος τὴν οἰκονομίαν τοῦ λόγου, ἐὰν ἀμελήσῃ τοῦ ἀναγγεῖλαι ὡς φονεὺς κρίνεται καθὼς γέγραπται.

Ἐρώτησις. μα'.

Εἰ ὁ ἑτέρου ἀνεχόμενος εἰς τὸ ποιῆσαι ἁμαρτίαν, ὑπόχεός ἐστι τῆς ἁμαρτίας.

Ἀπόκρισις.

Τοῦτο τὸ κρίμα φανερὸν ἐκ τῶν τοῦ κυρίου πρὸς Πιλᾶτον ῥημάτων, εἰπόντος· ὁ παραδιδούς με σοί, μείζονα ἁμαρτίαν ἔχει· σαφὲς γὰρ ἐκ τούτου, ὅτι καὶ ὁ Πιλᾶτος ἀνεχόμενος τῶν παραδεδωκότων ἁμαρτίαν εἶχεν, εἰ καὶ ἐλάττονα· παρίστησι δὲ τοῦτο φανερῶς καὶ ὁ Ἀδὰμ ἀνασχόμενος τῆς Εὔας· καὶ ἡ Εὔα ἀνασχομένη τοῦ ὄφεως· οὐδεὶς γὰρ αὐτῶν ὡς ἀθῷος ἀπαμάρτητος ἠφείθη· καὶ αὐτὴ δὲ ἡ τοῦ θεοῦ κατ' αὐτῶν ἀγανάκτησις ἐπιτετηρημένως τοῦτο ἐνδείκνυται· τοῦ γὰρ Ἀδὰμ ἀντὶ ἀπολογίας προενεγκόντος τό, ἡ γυνή, ἣν δέδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκε, καὶ ἔφαγον· ἀποκρίνεται ὁ θεός, ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· καὶ τὰ ἑξῆς.

Ἐρώτησις, μβ'.

Εἰ δεῖ τοῖς ἁμαρτάνουσιν ἐφησυχάζειν.

Ἀπόκρισις.

Ὅτι μὲν οὐ δεῖ, φανερὸν ἐκ τῶν τοῦ κυρίου προσταγμάτων, ἐν μὲν τῇ παλαιᾷ διαθήκῃ εἰπόντος, ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν· ἐν δὲ τῷ εὐαγγελίῳ, ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐὰν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου, ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθήσεται πᾶν ῥῆμα· ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης· ἡλίκον δέ ἐστι τὸ κρίμα τοῦ ἁμαρτήματος τούτου, ἔξεστι γνῶναι πρῶτον μὲν διὰ ἀποφάσεως τοῦ κυρίου καθολικῶς εἰπόντος· ὁ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ' αὐτόν· ἔπειτα καὶ διὰ ἱστοριῶν, ἐν τε τῇ παλαιᾷ καὶ τῇ καινῇ γραφῇ φερομένων· ἰδοὺ γάρ, ὁ μὲν Ἄχαρ, ἐπειδὴ ἔκλεψε τὴν γλῶσσαν τὴν χρυσῆν, καὶ τὴν ψιλήν†, ἐπὶ πάντα τὸν λαὸν γέγονεν ὀργὴ κυρίου· καίτοιγε ἀγνοήσαντα καὶ τὸν ἡμαρτηκότα καὶ τὸ ἁμάρτημα μέχρις ὅτε ἐφανερώθη ὁ προειρημένος· καὶ τὸν φοβερὸν ἐκεῖνον ἅμα πᾶσι τοῖς ἰδίοις ὑπέμεινεν ὄλεθρον· ὁ δὲ Ἠλεί, καίπερ οὐκ ἐφησυχάσας τοῖς ἑαυτοῦ υἱοῖς, οἵτινες ἦσαν λοιμοί, πολλάκις δὲ αὐτοὺς παραινέσας καὶ εἰπών, μή, τέκνα, οὐκ ἀγαθὴ ἀκοὴ περὶ ὑμῶν, καὶ λόγῳ πλείονι κατασκευάσας τῆς τε ἁμαρτίας τὸ ἄτοπον, καὶ τῆς κρίσεως τὸ ἄφυκτον· ὅτι μὴ ὅλως διεδίκησε, μὴ δὲ τὸν πρέποντα ζῆλον κατ' αὐτῶν ἐπεδείξατο, τοσοῦτον παρέξυνε τὴν ὀργὴν τοῦ θεοῦ, ὡς καὶ τὸν λαὸν τοῖς υἱοῖς αὐτοῦ συναναλωθῆναι, καὶ τὴν κιβωτὸν αὐτὴν ἀπὸ τῶν ἀλλοφύλων ληφθῆναι· καὶ αὐτὸν ἐπὶ τούτοις οἰκτρῷ τέλει θανατωθῆναι· εἰ δὲ κατὰ τῶν μὴ συνεγνωκότων τῷ ἁμαρτήσαντι, καὶ κατὰ τῶν κωλυσάντων, καὶ διαμαρτυραμένων τὸ ἁμάρτημα, τοσαύτη ὀργὴ διεκινήθη, τί ἄν τις εἴποι περὶ τῶν γινωσκόντων καὶ ἐφησυχαζόντων; οἵτινες ἐὰν μὴ ἐπιδείξωνται τὰ ἀπὸ τοῦ ἀποστόλου πρὸς τοὺς Κορινθίους εἰρημένα, εἰπόντος· διατί οὐχὶ μᾶλλον ἐπενθήσατε ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας· καὶ τὰ ἑξῆς αὐτοῖς ὑπ' αὐτοῦ μαρτυρηθέντα γράψαντος· ἰδοὺ γὰρ αὐτὸ τοῦτο, τὸ κατὰ θεὸν λυπηθῆναι, πόσην ὑμῖν κατειργάσατο σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν· κινδυνεύουσι πάντως καὶ νῦν ὁμοῦ πάντες τὸν αὐτὸν ὄλεθρον ὑποστῆναι, ἢ καὶ χείρονα, ὅσῳ χεῖρον τοῦ ἀθετήσαντος νόμον Μωσέως, ὁ ἀθετῶν τὸν κύριον, καὶ ὁ τὸ αὐτὸ τῷ προημαρτηκότι, καὶ προκατακριθέντι τολμήσας· ἑπτάκις μὲν γὰρ ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ, ἑβδομηκοντάκις ἑπτὰ τὸ ὅμοιον ἁμαρτόντος.

σολλὼ*

Ἀπόκρισις.

Τοῦ ἀποστόλου εἰπόντος, πάντα ποιεῖτε χωρὶς γογγυσμῶν, καὶ διαλογισμῶν· ἀπηλλο-
τρίωται καὶ ὁ γογγύζων τῆς ἑνώσεως τῶν ἀδελφῶν· καὶ τὸ τούτου ἔργον τῆς χρήσεως
αὐτῶν· φανερὸς δέ ἐστιν ὁ τοιοῦτος νοσῶν, τήν τε ἀπιστίαν, καὶ τῆς ἐλπίδος τὴν ἀμφι-
βολίαν.

Ἐρώτησις, μ΄.

Ἐὰν ἀδελφὸς ἀδελφὸν λυπήσῃ, πῶς ὀφείλει διορθώσασθαι;

Ἀπόκρισις.

Εἰ μὲν οὕτως ἐλύπησεν, ὡς ὁ ἀπόστολος εἰπών, ἐλυπήθητε γὰρ κατὰ θεόν, ἵνα ἐν μηδενὶ
» ζημιωθῆτε ἐξ ἡμῶν· οὐχ ὁ λυπήσας χρῄζει διορθώσεως, ἀλλ' ὁ λυπηθεὶς ὀφείλει τὰ ἰδιώ-
ματα τῆς κατὰ θεὸν λύπης ἐπιδείξασθαι. εἰ δὲ ἐν τοῖς ἀδιαφόροις ἐλύπησε, μνημονευ-
» σάτω ὁ λυπήσας τοῦ ἀποστόλου εἰπόντος, εἰ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέ-
» τι κατὰ ἀγάπην περιπατεῖς· καὶ γνωρίσας τὸ τοιοῦτον ἁμάρτημα, πληρωσάτω τὸ ὑ-
» πὸ τοῦ κυρίου εἰρημένον, ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς
» ὅτι ὁ ἀδελφός σου ἔχει τι κατά σου, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου,
» καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθών, πρόσφερε τὸ δῶρόν σου.

Ἐρώτησις, μα΄.

Ἐὰν δὲ μὴ ἀνέχηται ἀπολογήσασθαι;

Ἀπόκρισις.

Πληρῶσαι ὀφείλομεν ἐπ' αὐτῷ τὰ ὑπὸ τοῦ κυρίου ἐπὶ τοῦ ἁμαρτήσαντος, καὶ μὴ μετανοή-
» σαντος εἰρημένα, εἰπόντος· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς
» καὶ ὁ τελώνης.

Ἐρώτησις, μβ΄.

Ἐὰν δὲ ἀπολογουμένου τοῦ λυπήσαντος, μὴ θέλῃ διαλλαγῆναι ὁ λυπηθείς;

Ἀπόκρισις.

Φανερόν ἐστι τὸ κρίμα τοῦ κυρίου ἐπὶ τούτῳ, ἐπὶ τῇ παραβολῇ τοῦ δούλου πρὸς τὸν σύνδουλον·
ὃς ἐπειδὴ παρακαλούμενος μακροθυμῆσαι οὐκ ἤθελεν, ἰδόντες δέ, φησιν, οἱ σύνδου-
λοι αὐτοῦ, διεσάφησαν τῷ κυρίῳ αὐτῶν· ὀργισθεὶς δὲ ὁ κύριος, ἀνεκαλέσατο τὴν ἑαυτοῦ εἰς αὐ-
τὸν χάριν, καὶ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον.

Ἐρώτησις, μγ΄.

Πῶς ὀφείλει τις προσέχειν τῷ εἰς προσευχὴν διυπνίζοντι;

Ἀπόκρισις.

Εἰ ἐπιγινώσκει τις τὴν ζημίαν τὴν ἐκ τοῦ ὕπνου, ὅτι οὐδὲ ἑαυτοῦ τις ἐπαισθάνεται, γνωρί-
ζει δὲ τὸ κέρδος τῆς ἐγρηγόρσεως, καὶ μάλιστα τὴν ὑπερέχουσαν δόξαν, ὅτε προσάγε-
ταί τις τῷ θεῷ εἰς προσευχήν, ὡς τὰ μεγάλα, καὶ τὰ ὑπὲρ πᾶσαν ἐπιθυμίαν εὐεργε-
τοῦντι, προσέξει τῷ διυπνίζοντι, εἴτε εἰς προσευχήν, εἴτε εἰς οἱανδήποτ' οὖν ἐντολήν.

Ἐρώτησις, μδ΄.

Ἐὰν δὲ συγχάσκῃ ὁ διυπνισθείς, ἢ καὶ ὀργισθῇ, τίνος ἐστὶν ἄξιος;

Ἀπόκρισις.

Ἕως μὲν ἀφορισμοῦ καὶ ἀσιτίας, ἐὰν ἄρα δυνηθῇ κατανυγεὶς ἐπιγνῶναι ὅσων καὶ ἡλίκων
» ἀγαθῶν ἑαυτὸν ἀναισθήτως ἀποστερεῖ, καὶ οὕτως ἐπιστρέψας, ἐν εὐφροσύνῃ τῇ χάριτι τοῦ
εἰπόντος· ἐμνήσθην τοῦ θεοῦ, καὶ εὐφράνθην· ἐὰν δὲ ἐπιμένῃ ἀναισθητῶν, ἀποκοπτέ-
» σθω ὡς τὸ σεσηπός, καὶ διεφθαρμένον μέλος ἀπὸ τοῦ σώματος· γέγραπται γάρ, συμφέ-
ρει ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν.

Ἐρώτησις, με΄.

Ἐάν τις ἀκούσας τοῦ κυρίου εἰπόντος, ὅτι ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ
ποιήσας, μηδὲ ἑτοιμάσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς,
ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας, ἀμελήσῃ τῆς γνώσεως τῶν τοῦ κυρίου θελη-
μάτων, εἰ ἔχει τινὰ παραμυθίαν.

Ἀπόκρισις.

Δῆλός ἐστιν ὁ τοιοῦτος σχηματιζόμενος τὴν ἄγνοιαν, καὶ ἄφυκτον ἔχει τῆς ἁμαρτίας τὴν
» κρίσιν· εἰ μὴ ἦλθον γάρ φησιν ὁ κύριος, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρό-
φασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. τῆς ἁγίας γραφῆς πανταχοῦ πᾶσι τὸ θέ-

Ἀπόκρισις.

Ὅτι τὴν μὲν τῶν ἐπαινούντων σπουδὴν ἐπιδείκνυται, τὴν δὲ τῶν ψεγόντων ὀκνηρὸς γίνεται. Ὁ γὰρ τῷ κυρίῳ ἀρέσκειν βούλεται, πάντοτε καὶ πανταχοῦ ὁ αὐτὸς ἔσται. πληρῶν τὸ εἰρημένον· διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· διὰ δόξης, καὶ ἀτιμίας· διὰ δυσφημίας, καὶ εὐφημίας, ὡς πλάνοι, καὶ ἀληθεῖς.

Ἐρώτησις, λδ'.

Πῶς φύγῃ τις τὸ πάθος τῆς ἀνθρωπαρεσκείας, καὶ τὸ προσβλέπεσθαι τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον.

Ἀπόκρισις.

Πληροφορίᾳ τῆς τοῦ θεοῦ παρουσίας, καὶ ἀπερισπάστῳ φροντίδι τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως, καὶ διαπύρῳ ἐπιθυμίᾳ τῶν παρὰ τοῦ κυρίου μακαρισμῶν. Οὐδεὶς γὰρ ἐν ὄψει δεσπότου πρὸς ἀρέσκειαν συνδούλου τὴν ἀτιμίαν τοῦ δεσπότου καὶ κατάκρισιν ἑαυτοῦ πραγματεύεται.

Ἐρώτησις, λε'.

Πῶς γνωρίζεται ὁ ὑπερήφανος, καὶ πῶς θεραπεύεται.

Ἀπόκρισις.

Γνωρίζεται μὲν ἐκ τοῦ τὰ τῆς ὑπεροχῆς ἐπιζητεῖν. θεραπεύεται δὲ, ἐὰν πιστεύσῃ τῷ κρίματι τοῦ εἰπόντος. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται. Ἐκεῖνο μέντοι εἰδέναι χρὴ, ὅτι ὅπως ἄν τις φοβηθῇ τὸ κρίμα τῆς ὑπερηφανίας, οὐ δύναται θεραπευθῆναι τὸ πάθος, ἐὰν μὴ ἀναχωρήσῃ τῶν τῆς ὑπεροχῆς ἐπιτηδευμάτων ἁπάντων. ὡς οὐ δύναται ἀπομαθεῖν διάλεκτον, ἢ οἱανδήποτε τέχνην, μὴ τελείως ἀναχωρήσας, οὐ μόνον τοῦ ποιεῖν, ἢ λαλεῖν τι κατ᾽ ἐκείνην τὴν τέχνην, ἀλλὰ καὶ ἀπὸ τοῦ ἀκούειν τῶν λαλούντων, καὶ βλέπειν τοὺς ποιοῦντας. ὅπερ παρατηρητέον καὶ ἐπὶ πάσης κακίας.

Ἐρώτησις. λς'.

Εἰ χρὴ τιμὴν ἐπιζητεῖν.

Ἀπόκρισις.

Ἀποδιδόναι μὲν τῷ τὴν τιμὴν, τὴν τιμὴν ἐδιδάχθημεν, ἐπιζητεῖν δὲ τιμὴν ἐκωλύθημεν, τοῦ κυρίου εἰπόντος, πῶς δύνασθε ὑμεῖς πιστεῦσαι δόξαν παρ᾽ ἀλλήλων λαμβάνοντες. καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητοῦντες. ὥστε τὸ ζητεῖν παρὰ τῶν ἀνθρώπων δόξαν, ἀπόδειξίς ἐστιν ἀπιστίας, καὶ θεοσεβείας ἀλλοτριώσεως. τοῦ ἀποστόλου εἰπόντος, εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. εἰ δὲ οἱ τὴν δεδομένην παρὰ ἀνθρώπων δόξαν λαμβάνοντες οὕτω κατεκρίθησαν, οἱ τὴν μὴ δεδομένην ἐπιζητοῦντες ἄρρητον ἔχουσι τὸ κρίμα.

Ἐρώτησις, λζ'.

Ὁ ὀκνηρὸς πρὸς τὴν ἐντολὴν, ποίῳ τρόπῳ σπουδὴν δύναται ἀναλαβεῖν.

Ἀπόκρισις.

Πληροφορηθεὶς τὴν παρουσίαν τοῦ δεσπότου Χριστοῦ τοῦ τὰ πάντα ἐφορῶντος, καὶ τὴν ἀπειλὴν τὴν κατὰ τοῦ ὀκνηροῦ, καὶ τὴν ἐλπίδα τῆς μεγάλης παρὰ τοῦ κυρίου μισθαποδοσίας, τοῦ ἐπαγγειλαμένου διὰ Παύλου τοῦ ἀποστόλου, ὅτι ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. καὶ ὅσα τοιαῦτα γέγραπται πρὸς τὴν ἑκάστου σπουδὴν, ἤτοι ὑπομονὴν εἰς δόξαν θεοῦ.

Ἐρώτησις, λη'.

Ἐὰν ἐπιταχθῇ ἀδελφὸς, καὶ ἀντείπῃ, ὕστερον δὲ ἀπέλθῃ.

Ἀπόκρισις.

Ἐν τῷ μὲν ἀντειπεῖν ὡς ἀντιλογικὸς, καὶ ἄλλους πρὸς τὸ αὐτὸ ἐρεθίζων, γνωριζέσθω ὑπόδικος εἶναι τοῦ κρίματος ἐκείνου, ὅτι ἀντιλογίας ἐγείρει πᾶς κακός. ὁ δὲ κύριος, ἄγγελον ἀνελεήμονα ἐπιπέμπει αὐτῷ. πληροφορείσθω δὲ, ὅτι οὐκ ἀνθρώπῳ ἀντιλέγει, ἢ ὑπακούει. ἤδη δὲ καὶ αὐτῷ τῷ κυρίῳ τῷ εἰπόντι, ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. καὶ κατανυγεὶς πρότερον ἀπολογησάσθω, καὶ οὕτως ἐὰν ἐπιτραπῇ, ποιείτω τὸ ἔργον.

Ἐρώτησις, λθ'.

Ἐὰν δὲ ὑπακούσας τις γογγύσῃ;

Ἀπόκρισις.

Φανερὸν καὶ τοῦτο τὸ κρίμα ἐκ τῆς ὀργῆς τοῦ θεοῦ, τῆς ἐπὶ Μαριὰμ, ἡνίκα κατελάλησε Μωϋσέως, ὅτε τὸ ἁμάρτημα, οὐδὲ αὐτοῦ Μωϋσέως δεομένου, ἀνεκδίκητον ἀφῆκεν ὁ θεός.

Ἐρώτησις. κη'.

Ἐάν τις θρασυτέρᾳ φωνῇ, καὶ ῥήμασι θρασέσιν ἀποκρίνηταί τινι, καὶ ἐπιτιμηθεὶς, λέγῃ, ὅτι οὐδὲν πονηρὸν ἔχω ἐν τῇ καρδίᾳ, εἰ δεῖ αὐτῷ πιστεῦσαι.

Ἀπόκρισις.

Οὐ πάντα τὰ πάθη τῆς ψυχῆς, φανερά ἐστι τοῖς πᾶσιν, οὔτε αὐτῷ τῷ πάσχοντι, ὡς οὐδὲ τὰ τοῦ σώματος. ὥσπερ οὖν ἐπὶ τοῦ σώματος οἱ ἐπιστήμονες σημεῖα ἔχουσί τινα τῶν κεκρυμμένων παθῶν καὶ λανθανόντων τὴν αἴσθησιν τοῦ πάσχοντος, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, κἂν μὴ αἰσθάνηται τοῦ ἰδίου πάθους ὁ ἁμαρτάνων, πιστεύειν δεῖ τῷ κυρίῳ καὶ αὐτὸν, καὶ τῷ μετ' αὐτοῦ βεβαιωσαμένῳ. ὅτι ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ αὐτοῦ τῆς καρδίας προφέρει τὰ πονηρά. ὁ μὲν γὰρ κακὸς, ἀγαθόν τι ῥῆμα ἢ πρᾶγμα πολλάκις εἰ καὶ σχηματίζεται οὐ δύναται προέσθαι, τὸ δὲ ἀγαθὸν σχηματίσασθαί τι κακὸν, ἀμήχανον. προνοούμενοι γὰρ καλὰ φησὶν οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων.

Ἐρώτησις, κθ'.

Ποίῳ τρόπῳ δυνηθῇ τις μὴ ὀργίζεσθαι;

Ἀπόκρισις.

Ἐὰν θεὸν ἐπόπτην, καὶ τὸν κύριον παρόντα ἐνοπτρίζεσθαι ἡγῆται ἀεί. τίς γὰρ ὑπήκοος ἐν ὀφθαλμοῖς ἄρχοντος ποτὲ κατατολμᾷ τινος τῶν μὴ ἀρεσκόντων αὐτῷ, καὶ ἐὰν μὴ ἐκδέχηται τὴν ἑτέρων ὑπακοὴν, ἀλλ' αὐτὸς πρὸς ὑπακοὴν παρασκευάζηται πάντας ἡγούμενος ὑπερέχοντας ἑαυτοῦ. εἰ μὲν γὰρ πρὸς τὴν ἑαυτοῦ χρείαν τὴν ὑπακοὴν ἐπιζητεῖ, γινωσκέτω, ὅτι ὁ λόγος τοῦ κυρίου αὐτὸν ἕκαστον τοῖς ἄλλοις ὑπηρετεῖν διδάσκει. εἰ δὲ τῆς τοῦ κυρίου ἐντολῆς παρακοὴν ἐκδικεῖ, οὐκ ὀργῆς χρεία, ἀλλ' οἴκτου καὶ συμπαθείας κατὰ τὸν εἰπόντα, τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ.

Ἐρώτησις, λ'.

Πῶς ἐκκόψομεν τὸ πάθος τῆς ἐπιθυμίας τῆς κακῆς.

Ἀπόκρισις.

Ἐπιθυμίᾳ διαπύρῳ τῶν θελημάτων τοῦ θεοῦ, καὶ τοιαύτην, οἵαν ἔδειξεν ἔχειν ὁ εἰπὼν, τὰ κρίματα κυρίου ἀληθινὰ, δεδικαιωμένα ἐπὶ τὸ αὐτό. ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. ἀεὶ γὰρ ἡ τῶν κρειττόνων ἐπιθυμία ἐν ἐξουσίᾳ καὶ δυνάμει ἔχουσα τὴν ἀπόλαυσιν τῶν ἐπιθυμουμένων καὶ καταφρονουμένων καταφρονεῖν καὶ ἀποστρέφεσθαι ἀναγκάζει τὰ ἐλάττονα, ὡς ἔδειξαν οἱ ἅγιοι πάντες, πόσῳ δὲ μᾶλλον τὰ φαῦλα, καὶ αἰσχύνης ἄξια;

Ἐρώτησις, λα'.

Εἰ καθόλου γελᾶν οὐκ ἔξεστιν.

Ἀπόκρισις.

Τοῦ κυρίου τοὺς νῦν γελῶντας κατακρίνοντος, ἄδηλον ὅτι οὐδέποτε καιρὸς γέλωτός ἐστι τῷ πιστῷ, καὶ μάλιστα ἐν τοσούτῳ πλήθει τῶν διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμαζόντων καὶ θανατουμένων ἐν τῇ ἁμαρτίᾳ, ὑπὲρ ὧν ἀθυμεῖν καὶ στένειν χρή.

Ἐρώτησις, λβ'.

Ὁ ἄκαιρος καὶ ἄμετρος νυσταγμὸς πόθεν, καὶ πῶς αὐτὸν ἀποθώμεθα;

Ἀπόκρισις.

Ὁ μὲν τοιοῦτος νυσταγμὸς γίνεται, ὅταν νωθροτέρα γένηται ἡ ψυχὴ περὶ τὰς περὶ θεοῦ ἐννοίας, καὶ τῶν κριμάτων τοῦ θεοῦ καταφρονῶμεν. ἀποτιθέμεθα δὲ αὐτὸν ὅταν γνησίαν καὶ ἀξιόλογον ἀναλάβωμεν τῆς μεγαλειότητος τοῦ θεοῦ τὴν ἔννοιαν, καὶ τῶν θελημάτων αὐτοῦ τὴν ἐπιθυμίαν. κατὰ τὸν εἰπόντα, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ σκήνωμα τῷ θεῷ Ἰακώβ.

Ἐρώτησις, λγ'.

Πῶς ἐλέγχεται ὁ ἀνθρωπάρεσκος.

ὁ νοῦς καὶ ἁμαρτάνει διὰ ἀπιστίαν τοῦ παρεῖναι τὸν θεὸν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς. εἰ γὰρ τοῦτο ἐπίστευε, πάντως ἐποίει τὸ εἰρημένον, προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. ὁ δὲ τοῦτο καὶ τὰ ὅμοια τούτῳ κατορθῶν οὔτε τολμήσει ποτὲ, οὔτε ἕξει σχολὴν διαλογίσασθαί τι. οὔτε τῶν μὴ πρὸς οἰκοδομὴν τῆς πίστεως οἰκονομουμένων κἂν ἀγαθὸν εἶναι δοκῇ. οὐχ ὅτι γε τῶν ἀπηγορευμένων, καὶ μὴ ἀρεσκόντων θεῷ.

Ἐρώτησις, κβ'.

Πόθεν αἱ φαντασίαι αἱ νυκτεριναὶ, αἱ ἀπρεπεῖς γίνονται;

Ἀπόκρισις.

Γίνονται μὲν ἐκ τῶν μεθ' ἡμέραν ἀλλοκότων τῆς ψυχῆς κινημάτων. ἐὰν δὲ ἐν τῇ σχολῇ τῶν τοῦ θεοῦ κριμάτων καθαρεύσῃ ἡ ἐκείνου ψυχὴ, καὶ ἐν μελέτῃ γένηται διηνεκεῖ τῶν καλῶν καὶ ἀρεσκόντων θεῷ, τοιαῦτα ἕξει καὶ τὰ ἐνύπνια.

Ἐρώτησις, κγ'.

Ἐκ ποίων ῥημάτων ἡ ἀργολογία κρίνεται;

Ἀπόκρισις.

Καθόλου πᾶν ῥῆμα τὸ μὴ συντελοῦν πρὸς τὴν προκειμένην ἐν κυρίῳ χρείαν ἀργόν ἐστι. καὶ τοσοῦτός ἐστι τοῦ τοιούτου ῥήματος ὁ κίνδυνος, ὅτι κἂν ἀγαθὸν ᾖ τὸ λεγόμενον, μὴ πρὸς οἰκοδομὴν δὲ τῆς πίστεως οἰκοδομῆται, οὐκ ἐν τῇ ἀγαθότητι τοῦ ῥήματος ὁ λαλήσας ἔχει τὸ ἀκίνδυνον, ἀλλ' ἐν τῷ μὴ πρὸς οἰκοδομὴν οἰκοδομῆσαι τὸ ῥηθὲν, λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ. τοῦτο γὰρ σαφῶς ἐδίδαξεν ὁ ἀπόστολος εἰπών. πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. καὶ τοῦτο ἐπαγαγών. καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε. τὸ δὲ λυπῆσαι τὸ πνεῦμα τὸ ἅγιον, ὅσον ἐστὶ κακὸν, τί δεῖ καὶ λέγειν;

Ἐρώτησις, κδ'.

Τί ἐστι λοιδορία;

Ἀπόκρισις.

Πᾶν ῥῆμα ἐκ διαθέσεως τοῦ ἀτιμάσαι λεγόμενον, λοιδορία ἐστί. κἂν αὐτὸ τὸ ῥῆμα μὴ δόξῃ εἶναι ὑβριστικόν. καὶ τοῦτο δῆλον ἐκ τοῦ εὐαγγελίου λέγοντος περὶ τῶν ἰουδαίων, ὅτι ἐλοιδόρησαν αὐτὸν, καὶ εἶπον αὐτῷ. σὺ εἶ μαθητὴς ἐκείνου.

Ἐρώτησις, κε'.

Τί ἐστι καταλαλιά;

Ἀπόκρισις.

Δύο καιροὺς εἶναι ἡγοῦμαι, καθ' οὓς ἔξεστιν εἰπεῖν τι περί τινος φαῦλον, ὅτε ἀνάγκην ἔχει τις βουλεύσασθαι μετὰ καὶ ἑτέρων τῶν εἰς τοῦτο δεδοκιμασμένων πῶς διορθωθῇ ὁ ἡμαρτηκὼς, καὶ πάλιν ὅταν χρεία γένηται ἀσφαλίσασθαί τινας τῶν ἐξ ἀγνοίας δυναμένους πολλάκις συναναμίγνυσθαι τῷ κακῷ, ὡς καλῷ. τοῦ ἀποστόλου παραγγέλλοντος μὴ συναναμίγνυσθαι τοῖς τοιούτοις, μήποτε λάβῃ τις βρόχους τῇ ἑαυτοῦ ψυχῇ. ὅπερ εὑρίσκομεν τὸν αὐτὸν ἀπόστολον πεποιηκότα, δι' ὧν γράφει Τιμοθέῳ. ὅτι Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, ὃν καὶ σὺ φυλάσσου. λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις. ἐκτὸς δὲ τῆς τοιαύτης ἀνάγκης, ὁ λέγων τί κατά τινος, ἵνα αὐτὸ τοῦτο διαβάλῃ, ἢ διασύρῃ, καταλάλός ἐστι, κἂν ἀληθὲς ᾖ τὸ λεγόμενον.

Ἐρώτησις, κς'.

Ὁ καταλαλῶν ἀδελφοῦ, ἢ ἀκούων τοῦ καταλαλοῦντος, καὶ ἀνεχόμενος, τίνος ἄξιος;

Ἀπόκρισις.

Ἀφορισμοῦ καὶ ἀμφότεροι. τὸν γὰρ καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. καὶ ἀλλαχοῦ εἴρηται, μὴ ἡδέως ἄκουε καταλαλοῦντος, ἵνα μὴ ἐξαρθῇς.

Ἐρώτησις, κζ'.

Ἐὰν δὲ τοῦ προεστῶτος καταλαλήσῃ, πῶς αὐτῷ προσέχομεν;

» καὶ ἐὰν φυλάξηται τοῦ λοιποῦ τὸ ὀλισθεῖν· μνημονεύων τοῦ κῦ εἰπόντος· ἴδε, ὑγιὴς γέ-
» γονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. εἰ δὲ τῆς φύσεως ἀναγκαζούσης, καὶ
τῆς πείνης κρατούσης, ἡ μὲν αἴσθησις τὴν μνήμην κινεῖ, νικᾷ δὲ ὁ λογισμὸς τῇ περὶ τὰ κρεί-
ττονα σπουδῇ καὶ σχολῇ, οὐχ ἡ μνήμη καταγνώσεως αἰτία, ἀλλ' ἡ νίκη ἐπαίνου.

Ἐρώτησις, ιη.

Εἰ χρὴ ἐν ἀδελφότητι τῷ ἐξαμαρτήσαντί ποτε φροντίδα τινὰ ἐγχειρίζειν
μηδὲ πολλὴν ἄσκησιν, καὶ εἰ χρή, ποίαν ταύτην.

Ἀπόκρισις.

Μνημονεύοντας τοῦ ἀποστόλου λέγοντος, ἀπρόσκοποι γίνεσθε, καὶ ἰουδαίοις καὶ ἕλλησι, καὶ
» τῇ ἐκκλησίᾳ τοῦ θῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἑαυτοῦ συμφέρον,
» ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσι, πολλὴν φροντίδα ἔχειν ὀφείλομεν, ὅπως μὴ ἐγκοπήν
» τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ χῦ, καὶ ὅπως μὴ πρόσκομμα γινώμεθα τοῖς ἀσθενοῦσι·
μήτε μὴν οἰκοδομήσωμέν τινας εἰς κακίαν. διόπερ ἀναγκαῖον ἐπὶ τῶν τοιούτων, σκο-
πεῖν καὶ δοκιμάζειν τὸ πρὸς οἰκοδομὴν τῆς πίστεως, καὶ προκοπὴν πάσης ἀρετῆς ἐν χῷ.

Ἐρώτησις, ιθ.

Ἐάν τις ὑποπτεύηται ἐφ' ἁμαρτήματι, προφανῶς δὲ τοῦτο μὴ ποιῇ,
εἰ δεῖ αὐτῷ ἐπιτηρεῖν, ἵνα καὶ ἐφωραθῇ ὃ ὑποπτεύεται.

Ἀπόκρισις.

Αἱ μὲν πονηραὶ ὑπόνοιαι, καὶ ἀπὸ προαιρέσεως ἐθελοκάκου γινόμεναι κατηγοροῦνται
ὑπὸ τοῦ ἀποστόλου. ἐπιτηρεῖν δὲ χρὴ τοῖς πᾶσιν ἐν ἀγάπῃ χῦ, καὶ ἐν ἐπιθυμίᾳ θεραπείας
τοῦ ὑποπτευομένου τὸν ἐπιτεταγμένον τὴν πάντων ἐπιμέλειαν, ὅπως γένηται τὸ εἰρημένον
ὑπὸ τοῦ ἀποστόλου, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν χῷ ἰησοῦ.

Ἐρώτησις, κ.

Εἰ χρὴ τὸν ἐν ἁμαρτίαις ἐξετασθέντα, φεύγειν τὴν πρὸς τοὺς ἑτεροδόξους
κοινωνίαν, ἢ καὶ πρὸς τοὺς κακῶς ζῶντας διακρίνεσθαι.

Ἀπόκρισις.

Τοῦ ἀποστόλου εἰπόντος, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦν-
» τος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρελάβοσαν παρ' ἡμῶν. καθόλου παντὶ πᾶσα κοι-
νωνία παντὸς ἀπηγορευμένου πράγματος κατά τε νοῦν, καὶ λόγον καὶ πρᾶξιν ἐπιβλα-
βὴς καὶ ἐπικίνδυνος. τοὺς δὲ ἐν ἁμαρτίαις ἐξετασθέντας καὶ πλέον ἀκριβάζεσθαι χρή.
πρῶτον μέν, ὅτι ὀλισθηροτέρα ἡ ψυχὴ πρὸς τὴν ἁμαρτίαν ὡς ἐπιτοπλεῖστον ἐστίν, ἡ ἐν συνη-
θείᾳ ταύτης γενομένη. ἔπειτα δέ, καθάπερ ἐπὶ τῶν τὰ σώματα ἀσθενούντων ἡ ἐπιμέ-
λεια τὴν τήρησιν ἀκριβεστέραν ἔχει, ὡς καὶ τὰ ὠφελοῦντα τοὺς ὑγιαίνοντας παραιτεῖ-
σθαι πολλάκις. οὕτω καὶ ἐπὶ τῶν τὴν ψυχὴν ἀρρωστησάντων, πολὺ πλείονος χρεία τῆς
παραφυλακῆς, καὶ τῆς ἐπιμελείας. ὅση δέ ἐστιν ἐκ τῆς πρὸς τοὺς ἁμαρτάνοντας κοινωνίας
» ἡ βλάβη, παρίστησιν ὁ αὐτὸς ἀπόστολος ἐπὶ τοιαύτης ὑποθέσεως, εἰπών. μικρὰ ζύμη
» ὅλον τὸ φύραμα ζυμοῖ. εἰ δὲ ἐπὶ τοῖς ἠθικοῖς σφαλλομένων τοσαύτη ἐστὶν ἡ βλάβη, τί
χρὴ λέγειν περὶ τῶν περὶ θεοῦ κακοδοξούντων, οὓς ἡ κακοδοξία οὐδὲ ἐν τοῖς ἄλλοις ὑγιαί-
νειν ἐᾷ· παραδιδομένους ἅπαξ δι' αὐτὴν τοῖς τῆς ἀτιμίας πάθεσιν, ὡς πολλαχόθεν δείκνυ-
» ται καὶ ἐκ τῶν ἐν τῇ πρὸς ῥωμαίους εἰρημένων περί τινων οὕτως. καὶ καθὼς οὐκ ἐδοκί-
» μασαν τὸν θῦ ἔχειν ἐν ἐπιγνώσει παρέδωκεν αὐτοὺς ὁ θς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ κα-
» θήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ, μεστοὺς φθόνου, φόνου,
» ἔριδος, δόλου, κακοηθείας, ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους,
» ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόν-
» δους, ἀνελεήμονας. οἵτινες τὸ δικαίωμα τοῦ θῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες
» ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσιν.

Ἐρώτησις, κα.

Πόθεν ὁ μετεωρισμός, καὶ οἱ διαλογισμοί, καὶ πῶς αὐτοὺς διορθωσόμεθα;

Ἀπόκρισις.

Γίνεται ὁ μετεωρισμὸς ἀπὸ ἀργίας τοῦ νοῦ μὴ ἀσχολουμένου περὶ τὰ ἀναγκαῖα. ἀργεῖ δὲ
ὁ νοῦς

μάλιστα δὲ ἐκ τῆς παραβολῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς περὶ τοῦ υἱοῦ τοῦ λαβόντος τὴν τοῦ πατρὸς οὐσίαν, καὶ καταναλώσαντος εἰς ἁμαρτήματα, οὗ ἡ μετάνοια οἵα καὶ ὅσης ἑορτῆς ἀξία γέγονεν, ἐξ αὐτῶν τῶν ῥημάτων τοῦ κυρίου μανθάνομεν. καὶ διὰ Ἡσαΐου δέ φησιν ὁ θεός· ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. ὅπερ ὀφείλομεν εἰδέναι ἀληθὲς μόνον ἐὰν ὁ τρόπος τῆς μετανοίας ἐκ διαθέσεως βδελυσσομένης τὴν ἁμαρτίαν ἀξιόλογος γένηται. καθὼς γέγραπται ἔν τε παλαιᾷ καὶ καινῇ διαθήκῃ· καὶ ὁ καρπὸς ἄξιος, καθὼς εἴρηται ἐν τῷ περὶ τούτου ἐπερωτήματι.

Ἐρώτησις. ιδʹ.

Ἐκ ποίων καρπῶν ὀφείλει δοκιμάζεσθαι ἡ ἀληθὴς μετάνοια τῶν μετανοούντων;

Ἀπόκρισις.

Ὁ τρόπος τῶν μετανοούντων, καὶ ἡ διάθεσις τῶν ἀναχωρούντων τοῦ ἁμαρτήματος, καὶ ἡ σπουδὴ τῶν ἀξίων καρπῶν τῆς μετανοίας, εἴρηται ἐν τοῖς ἰδίοις τόποις.

Ἐρώτησις. ιεʹ.

Τί ἐστι τό, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ. καὶ ἐπὶ ποίοις ἐμόν ἐστιν ἀφιέναι;

Ἀπόκρισις.

Ἡ ἐξουσία τοῦ ἀφιέναι, οὐκ ἀπολύτως δέδοται, ἀλλ' ἐν ὑπακοῇ τοῦ μετανοοῦντος, καὶ συμφωνίᾳ πρὸς τὸν ἐπιμελούμενον αὐτοῦ τῆς ψυχῆς. γέγραπται γὰρ περὶ τῶν τοιούτων· ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. τὸ δὲ ἐπὶ ποίοις, οὐδὲ ἐρωτᾶν δεῖ, τῆς καινῆς διαθήκης διαφορὰν ἡμῖν μηδεμίαν δηλωσάσης. πάσης δὲ ἁμαρτίας τὴν ἄφεσιν τοῖς ἀξιολόγως μετανοοῦσιν ἐπαγγελλομένης. καὶ μάλιστα τοῦ κυρίου διὰ ἰδίου προσώπου ἐπηγγελμένου περὶ παντὸς πράγματος.

Ἐρώτησις. ιϛʹ.

Διατί ποτὲ μὲν ἡ ψυχὴ καὶ μὴ σπουδάσασα αὐτομάτως σχεδόν, ὡς ἐμπεσόντος πόνου κατανύσσεται, ποτὲ δὲ ἄπονος οὕτως ἐστίν, ὡς βιαζομένη κατανυγῆναι μὴ δύνασθαι.

Ἀπόκρισις.

Ἡ μὲν τοιαύτη κατάνυξις θεοῦ ἐστι δῶρον, ἢ εἰς ἐρεθισμὸν τῆς ἐπιθυμίας, ἵνα γευσαμένη ἡ ψυχὴ τῆς γλυκύτητος τοῦ τοιούτου πόνου σπουδάσῃ τοῦτον ἐξομαλίσαι. ἢ εἰς ἀπόδειξιν τοῦ δύνασθαι τὴν ψυχὴν διὰ σπουδαιοτέρας ἐπιμελείας ἐν κατανύξει εἶναι πάντοτε. πρὸς τὸ ἀναπολόγητον τῶν διὰ ῥᾳθυμίας ταύτην ἀποβαλόντων. τὸ δὲ βιάζεσθαι καὶ μὴ δύνασθαι, ἅμα μὲν ἔλεγχος τῆς ἐν τῷ ἄλλῳ χρόνῳ ἀμελείας ἡμῶν. οὐ γὰρ δυνατὸν ἄνευ μελέτης καὶ συγγυμνασίας πλείονος καὶ συνεχοῦς, ἐξαίφνης ἐπί τι παρελθόντα περιγενέσθαι αὐτοῦ. ἅμα δὲ δείκνυσι τὴν ψυχὴν ὑφ' ἑτέρων παθῶν κυριευομένην, καὶ ὑπ' ἐκείνων οὐδὲ πρὸς ἃ βούλεται, ἐλευθεριάζειν ἐπιτρεπομένην, κατὰ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον θεώρημα, εἰπόντος· ἐγὼ δὲ σαρκικός εἰμι πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. καὶ πάλιν· νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. τοῦ θεοῦ καὶ τοῦτο συμβαίνειν ἡμῖν εἰς ἀγαθὸν συγχωρήσαντος. ἐὰν ἄρα δι' ὧν ἀκουσίως πάσχει ἡ ψυχή, εἰς αἴσθησιν ἔλθοι τοῦ κρατοῦντος. καὶ γνωρίσασα ἑαυτὴν ἐν οἷς ἀκουσίως δουλεύει τῇ ἁμαρτίᾳ, ἀνανήψῃ ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἕτοιμον εὑρίσκουσα τὸ ἔλεος τοῦ θεοῦ εἰς ἀντίληψιν τῶν γνησίως μετανοούντων.

Ἐρώτησις. ιζʹ.

Ἐάν τις κατὰ νοῦν μνημονεύσῃ τοῦ φαγεῖν, εἶτα καταγνῷ ἑαυτοῦ εἰ καὶ οὗτος ὡς μεμψιμοιρήσας ἐγκληθήσεται.

Ἀπόκρισις.

Εἰ μὲν τῆς φύσεως μὴ ἐνοχλούσης πρὸ καιροῦ τῆς πείνης ἡ μνήμη γένηται, πρόδηλος μὲν ὁ μετεωρισμὸς τῆς ψυχῆς, κατηγορῶν αὐτῆς τήν τε περὶ τὰ παρόντα προσπάθειαν, καὶ τὴν περὶ τὰ ἀρέσκοντα θεῷ ῥᾳθυμίαν. ἕτοιμον δὲ καὶ οὕτως τὸ τοῦ θεοῦ ἔλεος. καταγνοὺς γάρ τις ἑαυτοῦ τῷ λόγῳ τῆς μετανοίας, ἀπολέλυται τοῦ ἐγκλήματος.

Ἀπόκρισις.

Ὡς ὁ κύριος προσέταξεν εἰπών, ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. καὶ ὡς ὁ ἀπόστολος ἐδίδαξε, γράψας, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν.

Ἐρώτησις. ι

Ψυχὴ ἐν ἁμαρτίαις πολλαῖς ταλαιπωρήσασα, μετὰ ποταποῦ φόβου, καὶ ποταπῶν δακρύων ὀφείλει ἀναχωρῆσαι τῶν ἁμαρτημάτων; καὶ μετὰ ποίας ἐλπίδος καὶ διαθέσεως προσελθεῖν τῷ κυρίῳ.

Ἀπόκρισις.

Πρῶτον μὲν ὀφείλει μισῆσαι τὸν κατεγνωσμένον ἑαυτῆς πρότερον βίον. καὶ τὴν μνήμην αὐτὴν στυγνάζουσα καὶ βδελυσσομένη. γέγραπται γάρ. ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. ἔπειτα δὲ φόβου μὲν διδάσκαλον λαμβάνειν τὴν ἀπειλὴν τῆς αἰωνίου κρίσεως καὶ κολάσεως. δακρύων δὲ καιρὸν γνωρίζειν τὸν καιρὸν τῆς μετανοίας, ὡς ἐδίδαξεν ὁ Δαβὶδ ἐν τῷ ἕκτῳ ψαλμῷ. πληροφορηθεῖσα τὸν καθαρισμὸν τῶν ἁμαρτημάτων διὰ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν τῷ μεγέθει τοῦ ἐλέους, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν τοῦ θεοῦ, τοῦ εἰπόντος. ὅτι ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. τότε τὴν ἐξουσίαν καὶ τὴν δύναμιν λαβοῦσα τῆς πρὸς θεὸν εὐαρεστήσεως, λέγειν τό, ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί. διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου. καὶ οὕτω προσελθοῦσα ψάλλει τῷ θεῷ λέγουσα. ὑψώσω σε κύριε, ὅτι ὑπέλαβές με καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.

Ἐρώτ[illegible] ια'

Πῶς κατορθοῖ τις τὸ μῖσος πρὸς τὰ ἁμαρτήματα;

Ἀποκ[illegible]

Ἀεὶ ἐκ τῆς ἀηδοῦς καὶ λυπηροῦ ἀποτελέσματος τὸ μῖσος πρὸς τὰ αἴτια τῶν τοιούτων ἐγγίνεται. ἐὰν οὖν τις πληροφορηθῇ ὅσων καὶ ἡλίκων κακῶν γίνεται αἴτια τὰ ἁμαρτήματα, αὐτομάτως καὶ ἐνδιαθέτως πάσχει τὸ πρὸς αὐτὰ μῖσος. οἷον ἔλεγεν ὁ εἰπών, ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην.

Ἐ[illegible]

Πῶς πληροφορηθῇ ἡ ψυχή, ὅτι ἀφῆκεν αὐτῇ ὁ θεὸς τὰ ἁμαρτήματα;

Ἐὰν θεωρήσῃ αὐτὴν ἐν τῇ διαθέσει τοῦ εἰπόντος, ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην. ὁ γὰρ ὑπὲρ τῆς ἀφέσεως τῶν ἡμετέρων ἁμαρτημάτων καταπέμψας τὸν μονογενῆ αὐτοῦ υἱόν, τὸ ὅσον ἐφ' ἑαυτῷ προλαβὼν πᾶσιν ἀφῆκεν. ἐπειδὴ δὲ ἔλεον καὶ κρίσιν ᾄδει ὁ ἅγιος, καὶ μαρτυρεῖ, ὅτι ὁ θεὸς ἐλεήμων ἐστὶ, καὶ δίκαιος, ἀνάγκη τὰ εἰρημένα ὑπό τε τῶν προφητῶν καὶ τῶν ἀποστόλων εἰς τοὺς περὶ μετανοίας τόποις παρ' ἡμῶν γίνεσθαι. ἵνα τὰ κρίματα τῆς δικαιοσύνης τοῦ θεοῦ ἀναδεχθῇ. καὶ τὸ ἔλεος αὐτοῦ, εἰς ἄφεσιν τῶν ἁμαρτιῶν τελεσθῇ.

Ἐρώτησις. ι

Εἰ χρὴ τὸν μετὰ τὸ βάπτισμα ἐξαμαρτήσαντα ἀπογινώσκειν τῆς ἑαυτοῦ σωτηρίας ἐν πλήθει κακῶν ἁλισθέντα. ἢ ἕως ποίου μέτρου ἁμαρτιῶν ἐπελπίζειν χρὴ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ διὰ τῆς μετανοίας;

Ἀπόκρισις.

Εἰ πλῆθος οἰκτιρμῶν θεοῦ ἀριθμῆσαι, καὶ μέγεθος θεοῦ μετρῆσαι δυνατόν, ἐν συγκρίσει πλήθους καὶ μεγέθους ἁμαρτημάτων ἡ ἀπόγνωσις γινέσθω. εἰ δὲ ταῦτα μέν, ὡς εἰκός, καὶ μέτρον ὑποβάλλεσθαι, καὶ ἀριθμητὰ εἶναι συμβαίνει. θεοῦ δὲ ἔλεος μετρῆσαι καὶ οἰκτιρμοὺς ἀριθμῆσαι ἀδύνατον, οὐκ ἀπογνώσεως καιρός, ἀλλ' ἐπιγνώσεως ἐλέους καὶ καταγνώσεως ἁμαρτημάτων. ὧν ἡ ἄφεσις πρόκειται ἐν τῷ αἵματι τοῦ Χριστοῦ, καθὼς γέγραπται. ὅτι δὲ οὐ χρὴ ἀπογινώσκειν, διδασκόμεθα πολλαχοῦ μὲν πολυτρόπως.

Ἐρώτησις. λ´.

ἑαυτῆς καὶ εἰς τὰ μικρὰ ἁμαρτήματα συγχωρῇ τοὺς ἀδελφοὺς, λέγων, ὅτι ὀφείλετε μετανοῆσαι· μήποτε καὶ αὐτὸς ἄσπλαγχνός ἐστι, καὶ τὴν ἀγάπην καταλύει.

Ἀπόκρισις.

Τοῦ κυρίου διαβεβαιωσαμένου μὲν, ὅτι ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται· ἀποφηναμένου δὲ, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως· οὐδενὸς δεῖ καταφρονεῖν ὡς μικροῦ· ὁ γὰρ καταφρονῶν πράγματός φησι, καταφρονηθήσεται ὑπ᾽ αὐτοῦ. ἄλλως τε ποῖον ἁμάρτημα μικρὸν τολμήσει τις εἰπεῖν, τοῦ ἀποστόλου ἀποφηναμένου, ὅτι διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις. εἰ δὲ τὸ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία οὐχ ἥδε, ἢ ἥδε, ἀλλὰ τὸ ἀδιορίστως, δηλονότι πᾶσα ἁμαρτία· ἄσπλαγχνός ἐστιν ὁ ἐφησυχάζων, οὐχ ὁ ἐλέγχων· ὥσπερ ὁ τὸν ἰὸν ἐναφεὶς τῷ δηχθέντι ἀπὸ ἰοβόλου, οὐχ ὁ ἐξαίρων· καὶ τὴν ἀγάπην δὲ οὗτος καταλύει. γέγραπται γὰρ, ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν ἑαυτοῦ· ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει.

Ἐρώτησις.

Πῶς ὀφείλει τις μετανοῆσαι ἐφ᾽ ἑκάστῳ ἁμαρτήματι, καὶ ποίους ἐπιδείξασθαι καρποὺς ἀξίους τῆς μετανοίας;

Ἀπόκρισις.

Τὴν διάθεσιν ἀναλαβὼν τοῦ εἰπόντος, ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην. καὶ ποιήσας τὰ ἐν τῷ ἕκτῳ ψαλμῷ, καὶ πολλοῖς ἄλλοις εἰρημένα, καὶ τὰ ἀπὸ τοῦ ἀποστόλου ὑπὲρ ἄλλου ἡμαρτηκότος μεμαρτυρημένα τοῖς κατὰ θεὸν λυπηθεῖσιν· ἰδοὺ γάρ φησι τὸ κατὰ θεὸν λυπηθῆναι, πόσην κατειργάσατο ὑμῖν σπουδὴν, ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ἐκδίκησιν· ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι· καὶ πολυπλασιάσας τὸ ἀντίθετον κατόρθωμα, ὡς ὁ Ζακχαῖος.

Ὁ λόγῳ ὁμολογῶν μετανοεῖν, τὸ δὲ ἁμάρτημα μὴ διορθούμενος, τίς ἐστιν;

Ἀπόκρισις.

Περὶ τοῦ τοιούτου γεγράφθαι λογίζομαι· ἐὰν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς αὐτῷ, ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ. καὶ ἀλλαχοῦ, ὥσπερ, ὅταν κύων ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον, καὶ μισητὸς γένηται, οὕτως ἄνθρωπος τῇ ἰδίᾳ κακίᾳ ἐπιστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν.

Ἐρώτησις.

Τί τὸ κρίμα τῶν ἐκδικούντων τοὺς ἁμαρτάνοντας;

Ἀπόκρισις.

Βαρύτερον ἐκείνου οἶμαι, περὶ οὗ εἴρηται· ὅτι συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. οὐκέτι γὰρ τὴν ἐπιτίμησιν εἰς διόρθωσιν, ἀλλὰ τὴν ἐκδίκησιν εἰς βεβαίωσιν τοῦ ἁμαρτήματος, ὁ ἁμαρτήσας λαμβάνει· καὶ ἄλλους εἰς τὰ ὅμοια προτρέπει. ὡς ἐφαρμόσαι τῷ ἐκδικοῦντι, εἰ μὴ ἐπιδείξηται καρποὺς ἀξίους τῆς μετανοίας, τὸ ὑπὸ τοῦ κυρίου εἰρημένον· ὅτι ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι, ἵνα ἀπόληται ἓν τῶν μελῶν σου, καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν.

Ἐρώτησις.

Τὸν μετανοοῦντα γνησίως, πῶς ἔχειν χρή;

Ἀπόκρισις.

Ὡς ὁ τίς ἐδίδαξεν, εἰπὼν, ὅτι συγκαλεῖται τοὺς φίλους καὶ τοὺς γείτονας λέγων· συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου, τὸ ἀπολωλός.

Ἐρώτησις. ς´.

Πρὸς τοὺς ἀμετανοήτως ἁμαρτάνοντας, πῶς διατεθῶμεν;

σϟθ' Πῶς πληροφορηθῇ ψυχὴ ἀποστῆναι τῆς φιλοδοξίας.

τ' Τίς ὁ τρόπος τῆς ἐπιστροφῆς, ὅτι περὶ ἀοράτου ἐστὶν ὁ λόγος.

τα' Ἐὰν δὲ εἴπῃ, ὅτι οὐ καταγινώσκει τὸ συνειδός.

τβ' Εἰ χρὴ ἀπὸ τῆς οἰκονομίας διδόναι τοῖς ἐνδεέσι τῶν ἔξωθεν.

τγ' Εἰ χρὴ τοῖς παρὰ πάντων λεγομένοις ὑπακούειν ἐν ἀδελφότητι.

τδ' Εἰ ὑπὲρ τῶν παραδιδομένων τῇ ἀδελφότητι παρὰ τῶν οἰκείων θελόντων διδόναι τι χρὴ δέχεσθαι.

τε' Εἰ δεῖ λαμβάνειν παρὰ τῶν ἔξωθεν, ἤτοι κατὰ χάριν φιλίας, ἢ πρὸς καταλελειμμένης συγγενείας.

τϛ' Μετὰ ποίου τρόπου τὸ ἀμετεώριστον κατορθοῦται.

τζ' Εἰ χρὴ ἐξ ἐφημερίας ἀπάρχεσθαι τῆς ψαλμῳδίας ἢ τῆς προσευχῆς.

τη' Εἰ χρὴ τὸν διδόντα τι ἐν ἀδελφότητι ἀμείβεσθαι. καὶ εἰ κατ' ἀναλογίαν τοῦ δόματος ποιεῖσθαι τὴν ἀντίδοσιν.

τθ' Εἰ τῶν συνήθων καὶ κατὰ φύσιν γινομένων τινὶ, χρὴ τολμᾶν εἰς κοινωνίαν τοῖς ἁγίοις παρέρχεσθαι.

τι' Εἰ χρὴ εἰς κοινὸν οἶκον προσκομιδὴν γίνεσθαι.

τια' Εἰ χρὴ εἰς ἐπίσκεψιν ἀπέρχεσθαι, ἐπιζητουμένων τινῶν.

τιβ' Εἰ χρὴ τοὺς ἐπισκεπτομένους λαϊκοὺς προστρέπεσθαι εἰς εὐχήν.

τιγ' Εἰ χρὴ ἐργάζεσθαι ἐπισκεπτομένων τινῶν.

Προοίμιον τῶν κατ' ἐπιτομὴν ὅρων.

Ὁ φιλάνθρωπος θεὸς, ὁ διδάσκων ἄνθρωπον γνῶσιν, τοῖς μὲν τὸ διδασκαλικὸν πεπιστευμένοις χάρισμα, παραγγέλλει διὰ τοῦ ἀποστόλου ἐμμένειν τῇ διδασκαλίᾳ. τοῖς δὲ χρῄζουσι τῆς ἐκ τῶν θείων διδαγμάτων οἰκοδομῆς, διὰ Μωσέως παραινεῖ λέγων. ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. διόπερ ἀναγκαίως ἡμᾶς μὲν τοὺς τὴν διακονίαν τοῦ λόγου πεπιστευμένους, ἐν παντὶ καιρῷ προθύμους εἶναι πρὸς τὸν καταρτισμὸν τῶν ψυχῶν. καὶ τὰ μὲν, ἐν κοινῷ τῇ ἐκκλησίᾳ πάσῃ διαμαρτύρεσθαι. τὰ δὲ, ἰδίᾳ ἑκάστῳ τῶν προσιόντων παρέχειν ἑαυτοὺς κατ' ἐξουσίαν ἐπερωτᾶν. τά τε πρὸς ὑγείαν τῆς πίστεως, καὶ ἀλήθειαν τῆς κατὰ τὸ εὐαγγέλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πολιτείας. ἐξ ὧν ἀμφοτέρων ὁ τοῦ θεοῦ ἄνθρωπος βεβαίως τελειοῦται. ὑμᾶς δὲ μηδὲν ἄκαρπον παριέναι, μηδὲν ἀργὸν ἑαυτοῖς. ἀλλὰ πρὸς οἷς ἐν τῷ κοινῷ μανθάνετε, καὶ ἰδίᾳ περὶ τῶν συμφερόντων ἐπερωτᾶν, καὶ πᾶσαν σχολὴν τοῦ βίου πρὸς τὸ χρήσιμον διατίθεσθαι. ἐπεὶ οὖν εἰς τοῦτο συνήγαγεν ἡμᾶς ὁ θεὸς, καὶ ἡσυχία πολλὴ ἀπὸ τῶν ἔξωθεν θορύβων ἐστὶ, μήτε πρὸς ἑτέραν τινὰ ἐργασίαν τρεπώμεθα. μήτε ὕπνῳ πάλιν παραδῶμεν τὰ σώματα, ἀλλ' ἐν τῇ μερίμνῃ καὶ ἐξετάσει τῶν ἀναγκαίων τὸ λειπόμενον μέρος τῆς νυκτὸς διενέγκωμεν, πληροῦντες τὸ εἰρημένον ὑπὸ τοῦ μακαρίου Δαβὶδ, ὅτι ἐν νόμῳ κυρίου μελετήσει ἡμέρας καὶ νυκτός.

σλβʹ Εἴ τις ἀδικηθεὶς ὑπό τινος μηδενὶ ἀνάθηται λόγῳ μακροθυμίας καὶ ἀνεξικακίας. δόξῃ δὲ τῷ θεῷ ἀποδιδόναι τὸ κρίμα, εἰ κατὰ κύριον ποιεῖ.
σλγʹ Ἐκ πάντων τῶν κατορθωμάτων, ἐὰν ἓν λείπῃ τινί, εἰ δεῖ τοῦτον σώζεσθαι.
σλδʹ Πῶς τὸν θάνατόν τις τοῦ κυρίου καταγγέλλει.
σλεʹ Εἰ συμφέρει πολλὰ ἐκμανθάνειν παρὰ τῶν γραφῶν.
σλϛʹ Οἱ καταξιωθέντες τὰ τέσσαρα εὐαγγέλια ἐκμαθεῖν, πῶς ὀφείλουσι τὴν χάριν δέξασθαι.
σλζʹ Πότε ἡ ψυχὴ κατευθύνεται πρὸς τὸ θέλημα τοῦ θεοῦ.
σληʹ Εἰ δυνατόν ἐστι τὸ ἀδιαλείπτως ψάλλειν, ἢ ἀναγινώσκειν, ἢ σπουδαιολογεῖσθαι περὶ τῶν ῥημάτων τοῦ θεοῦ, καὶ διάστημα μὴ γίνεσθαι καθόλου, διά τε τὴν ἐπισυμβαίνουσαν ποσὴν ἀνάγκην τῶν ῥυπαρωτέρων τοῦ σώματος χρειῶν.
σλθʹ Τίς ὁ θησαυρὸς ὁ ἀγαθός, καὶ τίς ὁ πονηρός.
σμʹ Κατὰ τί πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς εἴρηται ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν.
σμαʹ Πῶς στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ πῶς δι' αὐτῆς τις εἰσέρχεται.
σμβʹ Τί ἐστι τό, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι.
σμγʹ Τί βούλεται λέγων ὁ ἀπόστολος· ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. καί τοιγε ἀλλαχοῦ εἰπών. πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργή, ἀρθήτω ἀφ' ὑμῶν.
σμδʹ Τί ἐστι τό, δότε τόπον τῇ ὀργῇ.
σμεʹ Τί ἐστι τό, φρόνιμος ὡς ὁ ὄφις, καὶ ἀκέραιος ὡς ἡ περιστερά.
σμϛʹ Τί ἐστιν ἡ ἀγάπη ἡ οὐκ ἀσχημονεῖ.
σμζʹ Τί ἐστιν ἡ ἐν κυρίῳ καύχησις, καὶ τίς ἡ ἀπηγορευμένη.
σμηʹ Εἰ ὁ κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. καὶ εἰ διὰ τοῦ πνεύματος. ᾧ μὲν δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως. πῶς ἐγκαλεῖ τοῖς μαθηταῖς ὁ κύριος, ὅτι ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε. καὶ ὁ ἀπόστολος αἰτιᾶταί τινας, ὡς ἀσυνέτους.
σμθʹ Τί ἐστι τὸ ὅσιον, καὶ τί ἐστι τὸ δίκαιον.
σνʹ Πῶς δίδωσί τις τὸ ἅγιον τοῖς κυσίν. ἢ βάλλει τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. ἢ πῶς συμβαίνει τὸ ἐπιφερόμενον. μήποτε καταπατήσωσιν αὐτοὺς τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.
σναʹ Πῶς ποτὲ μὲν ἀπαγορεύει ὁ κύριος βαστάζειν βαλάντιον καὶ πήραν εἰς ὁδόν. ποτὲ δὲ λέγει. ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω ὁμοίως καὶ πήραν. καὶ ὁ μὴ ἔχων πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.
σνβʹ Τίς ἐστιν ὁ ἄρτος ὁ ἐπιούσιος, ὃν δίδοσθαι ἡμῖν καθ' ἡμέραν προσεύχεσθαι ἐδιδάχθημεν.
σνγʹ Τί ἐστι τὸ τάλαντον, καὶ πῶς αὐτὸ πολυπλασιάσομεν.
σνδʹ Τίς ἐστιν ἡ τράπεζα, ἐφ' ἣν ἔδει, φησὶν ὁ κύριος, βαλεῖν τὸ ἀργύριον.
σνεʹ Ποῦ ἀπελθεῖν προσετάχθη ὁ ἀκούσας, ἆρον τὸ σὸν καὶ ὕπαγε.
σνϛʹ Τίς ἐστιν ὁ μισθὸς ὃν λαμβάνουσι καὶ οὗτοι ὁμοίως τοῖς ἐσχάτοις.
σνζʹ Τίνες εἰσὶν ἄχυρον κατακαιόμενον πυρὶ ἀσβέστῳ.
σνηʹ Τίς ἐστιν ὁ κατὰ τὸν τοῦ ἀποστόλου καταγινωσκόμενος, ὅτι θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ, καὶ τὰ ἑξῆς.
σνθʹ Τίς ἐστιν ὁ ζέων τῷ πνεύματι.
σξʹ Τοῦ ἀποστόλου λέγοντος, ποτὲ μὲν μὴ γίνεσθε ἄφρονες. ποτὲ δὲ μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. εἰ δυνατὸν μὴ εἶναι φρόνιμον παρ' ἑαυτῷ τὸν μὴ ἄφρονα.
σξαʹ Πῶς αἰτήσαντές τινα καὶ αὐτοὶ οἱ ἅγιοι, οὐκ ἔλαβον παρὰ τοῦ κυρίου.
σξβʹ Τίς ἐστιν ἡ διαφορὰ πτωχείας καὶ πενίας. καὶ πῶς ἀληθεύει ὁ Δαβὶδ λέγων. ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης.
σξγʹ Τί βούλεται διδάξαι ὁ κύριος διὰ τῶν ὑποδειγμάτων, οἷς ἐπιφέρει τό, οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι

εἰ ἀκίνδυνόν ἐστι τὸ τοιοῦτον.

ρνε΄ Πῶς δεῖ προσφέρεσθαι τοῖς ἐν τῷ ξενοδοχείῳ ἀρρώστοις.

ρνϛ΄ Τὸν πεπιστευμένον φροντίδα ἤτοι κελλαρείου, ἢ ἄλλου τινὸς τοιούτου. εἰ δεῖ πάντοτε ἔχειν τὴν φροντίδα, ἢ καὶ ἐναλλάσσεσθαι.

ρνζ΄ Ποταπῇ διαθέσει ὀφείλει δουλεύειν θεῷ τις.

ρνη΄ Ποταπῇ διαθέσει ὀφείλει δέχεσθαί τις τὸ ἐπιτίμιον.

ρνθ΄ Ὁ λυπούμενος κατὰ τοῦ ἐπιτιμήσαντος αὐτῷ ποταπός ἐστιν.

ρξ΄ Μετὰ ποίας διαθέσεως ὀφείλομεν ὑπηρετεῖν τοῖς ἀδελφοῖς.

ρξα΄ Μετὰ ποταπῆς ταπεινώσεως ὀφείλει τις δέχεσθαι τὴν ὑπηρεσίαν παρὰ τοῦ ἀδελφοῦ.

ρξβ΄ Ποταπὴν ἐν ἀλλήλοις ἔχειν δεῖ τὴν ἀγάπην.

ρξγ΄ Ποίῳ τρόπῳ δυνηθῇ τις κατορθῶσαι τὴν πρὸς τὸν πλησίον ἀγάπην.

ρξδ΄ Τί ἐστι τὸ μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε.

ρξε΄ Πῶς γνωρίσει τις εἰ ζήλῳ θῦ κινεῖται κατὰ τοῦ ἁμαρτάνοντος ἀδελφοῦ, ἢ ὀργίζεται.

ρξϛ΄ Μετὰ ποίας διαθέσεως ὑπακούειν δεῖ, τῷ εἰς ἔργον τῆς ἐντολῆς κατεπείγοντι.

ρξζ΄ Ποταπὴ ὀφείλει εἶναι ψυχὴ, ὅτι ἔλεος κατηξιώθη ἐν τῷ ἔργῳ τοῦ θῦ καταληφθῆναι.

ρξη΄ Μετὰ ποταπῆς διαθέσεως δεῖ λαμβάνειν ἱμάτιον ἢ ὑπόδημα, οἷον ἂν ᾖ.

ρξθ΄ Ἐὰν ἀδελφὸς νεώτερος ἐπιταχθῇ διδάξαι τι τὸν πρεσβύτερον καθ' ἡλικίαν, πῶς αὐτῷ προσενεχθήσεται.

ρο΄ Εἰ δεῖ ἴσως προσέχειν τῷ πλεῖον κατορθοῦντι, καὶ ἔλαττον.

ροα΄ Ἐὰν δὲ λυπῆται ὁ ἐλάττων, προτιμωμένου τοῦ εὐλαβεστέρου.

ροβ΄ Ποταπῷ φόβῳ, ἢ ποίᾳ πληροφορίᾳ, ἢ ποίᾳ διαθέσει μεταλάβωμεν τοῦ σώματος τοῦ χῦ.

ρογ΄ Εἰ δεῖ ἐν τῇ ὥρᾳ τῆς κατ' οἶκον ψαλμῳδίας λαλιάν τινα γίνεσθαι.

ροδ΄ Πῶς δυνηθῇ τις ἐν διαθέσει, καὶ μετὰ προθυμίας ποιεῖν τὰς ἐντολὰς τοῦ κῦ.

ροε΄ Πῶς φαίνεται ὁ ἀγαπῶν τὸν ἀδελφὸν, κατὰ τὴν ἐντολὴν τοῦ κῦ.

ροϛ΄ Τίνες εἰσὶν οἱ ἐχθροὶ, οὓς ἀγαπᾶν προστετάγμεθα.

ροζ΄ Πῶς ὀφείλουσιν οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν.

ροη΄ Τί ἐστιν ἀλλήλων τὰ βάρη βαστάζειν.

ροθ΄ Πῶς δύναταί τις ἄνευ ἀγάπης πίστιν κτήσασθαι τοσαύτην ὥστε ὄρη μεθιστάνειν· ἢ τὰ ὑπάρχοντα πάντα δοῦναι πτωχοῖς· ἢ παραδοῦναι τὸ ἑαυτοῦ σῶμα ἵνα καυθῇ.

ρπ΄ Μετὰ ποταπῆς διαθέσεως καὶ προσοχῆς ὀφείλομεν ἀκούειν τῶν ἐν τῷ καιρῷ τῆς μεταλήψεως παραναγινωσκομένων ἡμῖν.

ρπα΄ Ἐὰν ὦσιν ἀδελφότητες πλησίον ἀλλήλων, καὶ ἡ μὲν πτωχεύει, ἡ δὲ ἑτέρα περὶ τὴν κοινωνίαν δυσχερεστέρα ᾖ, πῶς δεῖ τὴν πτωχεύουσαν πρὸς τὴν μεταδιδοῦσαν διατίθεσθαι.

ρπβ΄ Ἐκ ποίων καρπῶν δοκιμάζεσθαι ὀφείλει ὁ συμπαθῶς ἐλέγχων τὸν ἁμαρτάνοντα.

ρπγ΄ Ἐὰν συμβῇ τινὰς ἐν ἀδελφότητι ζῶντας διαφωνῆσαι πρὸς ἀλλήλους, ἢ ἀκίνδυνόν ἐστιν ἀγάπης οὕνεκεν, συμπεριφέρεσθαι τοῖς τοιούτοις.

ρπδ΄ Πῶς δύναται τις καὶ ὅτε παρακαλεῖ, καὶ ὅτε ἐλέγχει, μὴ μόνον σπουδάζειν εὐσχημόνως λαλῆσαι, ἀλλὰ καὶ τὴν διάθεσιν τὴν ὀφειλομένην σώζειν πρός τε τὸν θῦ, καὶ πρὸς ἐκείνους οἷς λαλεῖ.

ρπε΄ Ἐάν τις ἐν διαλέξει συνδιατιθεμένους ὁρῶν τοὺς ἀκούοντας χαίρῃ, πῶς γνωρίσει ἑαυτὸν, εἰ διαθέσει ἀγαθῇ χαίρει, ἢ πάθει τινὶ ἰδίῳ.

ρπϛ΄ Ὑπὲρ ποταπῶν φίλων τιθέναι τὴν ψυχὴν ὀφείλομεν.

ρπζ΄ Εἰ χρὴ παρὰ τῶν κατὰ σάρκα οἰκείων δέχεσθαί τι ἕκαστον.

ρπη΄ Πῶς ἴδωμεν τούς ποτε συνοίκους ἡμῶν ἢ συγγενεῖς ἐρχομένους.

ρπθ΄ Ἐὰν δὲ καὶ παρακαλῶσιν ἡμᾶς θέλοντες ἀγαγεῖν εἰς τὰ ἴδια.

ρϙ΄ Εἰ δεῖ ἐλεεῖν τοὺς κατὰ σάρκα οἰκείους, ἐπιθυμοῦντας τὴν σωτηρίαν αὐτῶν.

ρϙα΄ Τίς ἐστιν ὁ πραΰς.

ρϙβ΄ Τίς ἐστιν ἡ λύπη ἡ κατὰ θῦ, καὶ τίς ἡ τοῦ κόσμου.

ρϙγ΄ Ποία ἡ ἐν κῷ χαρά.

ρκβʹ Εἴ τις ἐπιτιμηθεὶς ἀλογίαν μὴ λαβὼν λέγει· ὅτι ἐὰν μὴ λάβω ἀλογίαν οὐκ ἐσθίω, εἰ δεῖ αὐτὸν ἀνέχεσθαι.

ρκγʹ Εἴ τις λυπεῖται μὴ ἐπιτρεπόμενος ποιεῖν ὃ μὴ δύναται ἐπιτηδείως ποιεῖν· εἰ χρὴ αὐτοῦ ἀνέχεσθαι.

ρκδʹ Εἰ δεῖ μετὰ αἱρετικῶν ἢ μετὰ ἑλλήνων ἀφειδοῦντά που συνεσθίειν αὐτοῖς ἢ ἀσπάζεσθαι αὐτοῖς.

ρκεʹ Τὸν πιστευόμενον ἔργον καὶ ποιοῦντά τι χωρὶς ὑπομνήσεως παρὰ τὸ διατεταγμένον αὐτῷ, εἰ δεῖ ἔχειν τὸ ἔργον.

ρκϛʹ Πῶς ἂν μὴ ἡττηθείη τις ἐν βρώμασι φιληδονίᾳ.

ρκζʹ Λέγουσί τινες ὅτι ἀδύνατόν ἐστι μὴ ὀργισθῆναι ἄνθρωπον.

ρκηʹ Τῷ θέλοντι ἐγκρατεύεσθαι ὑπὲρ δύναμιν, ὥστε καὶ εἰς τὴν προκειμένην ἐντολὴν ἐμποδίζεσθαι, εἰ δεῖ συγχωρεῖν.

ρκθʹ Περὶ τοῦ πολλὰ νηστεύοντος· ἐν δὲ τῇ μεταλήψει μὴ δυναμένου ἀνέχεσθαι τοῦ βρώματος.

ρλʹ Πῶς χρὴ νηστεύειν, ὅταν χρεία γένηται νηστείας.

ρλαʹ Ὁ μὴ μεταλαμβάνων ὅσον οἱ ἀδελφοὶ ἐσθίουσιν, ἀλλ' ἕτερον ἐπιζητῶν, εἰ καλῶς ποιεῖ.

ρλβʹ Ὁ λέγων ὅτι βλάπτει με τοῦτο καὶ λυποῦμαι, ἐὰν ἄλλο μὴ δοθῇ τι ἐμοί.

ρλγʹ Ἐὰν δὲ καὶ γογγύσῃ διὰ βρῶμα.

ρλδʹ Ἐὰν δὲ καὶ ὀργισθεὶς παραιτῆται λαβεῖν τὰ πρὸς τὴν χρείαν.

ρλεʹ Εἰ χρὴ τὸν κάμνοντα αὐτὸν ἐπιζητῆσαι πλέον τι τῆς συνηθείας.

ρλϛʹ Εἰ ἀναγκαῖον πάντας συνάγεσθαι ἐν τῇ ὥρᾳ τοῦ ἀρίστου, καὶ τὸν ἀπολιμπανόμενον καὶ μηδὲ τὸ ἄριστον ἐρχόμενον πῶς παρέλθωμεν.

ρλζʹ Εἰ καλόν ἐστι τὸ κρῖναι, ἐπὶ τοσόνδε εἰ τύχοι χρόνον ἀπέχεσθαι τοῦ δεῖνος τοῦ βρώματος ἢ τοῦ πόματος.

ρληʹ Εἰ χρὴ ἐν ἀδελφότητι τινὰ πλέον τῶν ἄλλων νηστεύειν.

ρλθʹ Τῆς νηστείας ἐπιτεινομένης ἀτονώτεροι γινόμεθα εἰς τὸ ἔργον· τί οὖν χρὴ μᾶλλον ἐμποδίζειν τῷ ἔργῳ διὰ νηστείαν, ἢ παρορᾶν ἐκείνην διὰ τὸ ἔργον.

ρμʹ Εἴ τις μὴ ἐγκρατεύηται περὶ τὰ βλαβερὰ τῶν βρωμάτων· μεταλαμβάνων δὲ ἀφειδῶς, κακώσει περιπέσῃ· εἰ χρὴ ἐπιμέλειαν αὐτοῦ ποιεῖσθαι.

ρμαʹ Εἰ δεῖ ξένους [illegible] τοῖς ἐργαστηρίοις.

ρμβʹ Εἰ χρὴ τοὺς τεχνίτας δέχεσθαι παρά τινος ἔργον, ἄνευ γνώμης τοῦ προεστῶτος.

ρμγʹ Πῶς ὀφείλουσιν ἐπιμελεῖσθαι οἱ ἐργαζόμενοι, τῶν πεπιστευμένων αὐτοῖς σκευῶν.

ρμδʹ Ἐὰν δέ τις ἐξ ἀμελείας ἀπολέσῃ τι ἢ ἐκ καταφρονήσεως παραχρήσηται.

ρμεʹ Ἐὰν δὲ ἀφ' ἑαυτοῦ χρήσῃ τινὶ ἢ λάβῃ.

ρμϛʹ Ἐὰν δὲ καὶ συνεχούσης χρείας, ὁ προεστὼς ἐπιζητήσῃ παρ' αὐτοῦ σκεῦος καὶ ἀντείπῃ.

ρμζʹ Ὁ περὶ τὸ ἔργον τοῦ κελλαρείου, ἢ τοῦ μαγειρείου, ἢ περί τι ἄλλο τοιοῦτον ἀσχολούμενος· ἐὰν μὴ φθάσῃ παρεῖναι τῷ κανόνι τῆς ψαλμῳδίας καὶ τῆς προσευχῆς, εἰ μηδὲν ζημιοῦται τὴν ψυχήν.

ρμηʹ Ποῖον μέτρον ἐξουσίας ἔχει ἐν τῇ οἰκονομίᾳ, ὁ πιστευθεὶς τὴν φροντίδα τοῦ κελλαρείου.

ρμθʹ Τί τὸ κρίμα τοῦ οἰκονομοῦντος, ἐάν τι κατὰ προσωποληψίαν ἢ φιλονεικίαν ποιήσῃ.

ρνʹ Ἐὰν δὲ ἀμελήσας μὴ δῷ τῷ ἀδελφῷ τὰ πρὸς τὴν χρείαν.

ρναʹ Εἰ ἔξεστι τῷ ὑπηρετοῦντι, μηδὲ μείζονος φωνῆς λαλεῖν.

ρνβʹ Περὶ τοῦ ὑπὲρ δύναμιν κάμνοντος ἐν τῇ ὑπηρεσίᾳ.

ρνγʹ Ἡ τὰ ἔρια πιστευθεῖσα, πῶς αὐτὰ ὀφείλει ἔχειν.

ρνδʹ Ἐὰν συμβῇ ὀλίγους ὄντας ἀδελφούς, καὶ πλείοσιν ἀδελφοῖς ἐξυπηρετουμένους, εἰς ἀνάγκην ἐμπίπτειν τοῦ διΐστασθαι ἀπ' ἀλλήλων διαμειβομένους πρὸς τὰ ἔργα.

πϛʹ Ἐὰν δὲ λέγῃ τίς, ὅτι οὔτε λαμβάνω παρὰ τῆς ἀδελφότητος οὔτε δίδωμι, ἀλλὰ τοῖς ἐμοῖς ἀρκοῦμαι, τί δεῖ πρὸς τὸν τοιοῦτον παραφυλάξαι.

πζʹ Εἰ ἔξεστιν ἑκάστῳ τὸ παλαιὸν αὐτοῦ ἱμάτιον δοῦναι ὅπου ἐὰν θέλῃ εἰς ἐντολήν.

πηʹ Τίς ἐστιν ἡ μέριμνα ἡ βιωτική.

πθʹ Ἐπειδὴ γέγραπται λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος· ἡμῖν δὲ οὐ προσεχώρησε τοῦτο, τί ποιήσωμεν.

ϙʹ Εἰ ἔξεστι νυκτερινὸν ἱμάτιον ἔχειν, εἴτε τρίχινον, εἴτε ἀλλοῖον.

ϙαʹ Ἐὰν ἀδελφὸς ἴδιον ἔχων οὐδὲν, αἰτηθῇ παρά τινος αὐτὸ ὃ φορεῖ, τί ὀφείλει ποιῆσαι; μάλιστα ἐὰν γυμνὸς ᾖ ὁ αἰτήσας.

ϙβʹ Τοῦ κυρίου προστάσσοντος πωλεῖν τὰ ὑπάρχοντα, τί διανοούμενον χρὴ τοῦτο ποιεῖν.

ϙγʹ Τὸν ἅπαξ ἀποταξάμενον, καὶ ἴδιον μηδὲν ἔχειν ἐπαγγειλάμενον, ποίᾳ διανοίᾳ κεχρῆσθαι δεῖ τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις, οἷον ἐσθῆτι καὶ τροφῇ.

ϙδʹ Περὶ τοῦ καταλιπόντος φόρους, καὶ ἀδελφότητι προσελθόντος.

ϙεʹ Εἰ συμφέρει τοῖς ἄρτι προσερχομένοις, εὐθὺς τὰ ἀπὸ τῶν γραφῶν ἐκμανθάνειν.

ϙϛʹ Εἰ δεῖ παντὶ τῷ βουλομένῳ ἐπιτρέπειν γράμματα μανθάνειν, ἢ ἀναγνώσμασι προσέχειν.

ϙζʹ Ἐὰν λέγῃ τίς, ὅτι θέλω παρ' ὑμῖν ὀλίγον χρόνον ὠφεληθῆναι, εἰ δεῖ αὐτὸν προσδέχεσθαι.

ϙηʹ Ποταπὸν φρόνημα ὀφείλει ἔχειν ὁ προεστὼς ἐν οἷς ἐπιτάσσει, ἢ διατάσσεται.

ϙθʹ Ποταπῇ διαθέσει δεῖ ἐπιτιμᾶν τὸ ἐπιτίμιον.

ρʹ Τοὺς ἔξωθεν ἐρχομένους καὶ προσαιτοῦντας, πῶς ἀπολύσωμαι.

ραʹ Περὶ τοῦ ἐγχειριζομένου τὴν οἰκονομίαν, καὶ περὶ τῶν προσαιτούντων.

ρβʹ Περὶ τοῦ διερχομένου ἀπὸ ἀδελφότητος καθ' ὃν δήποτε λόγον.

ργʹ Ἐπειδὴ συμβαίνει ἔστιν ὅτε καὶ αὐτὸν ὀλισθαίνειν τὸν πρεσβύτερον, εἰ δεῖ αὐτὸν ἐλέγχεσθαι.

ρδʹ Πῶς χρὴ τὰς φροντίδας ἐγχειρίζειν τοῖς ἀδελφοῖς.

ρεʹ Εἰ χρὴ τοὺς εἰσερχομένους εἰς ἀδελφότητα, εὐθέως τέχνας μανθάνειν.

ρϛʹ Ποίοις ἐπιτιμίοις κεχρῆσθαι δεῖ ἐν ἀδελφότητι.

ρζʹ Περὶ τοῦ λέγοντος ἐπιθυμίαν ἔχειν συζῆν τῇ ἀδελφότητι.

ρηʹ Εἰ χρὴ τὸν προεστῶτα ἐκτὸς τῆς προεστώσης λαλεῖν ἀδελφῇ τινι, τὰ πρὸς οἰκοδομὴν τῆς πίστεως.

ρθʹ Εἰ χρὴ τὸν προεστῶτα μετὰ τῆς προεστώσης πυκνῶς διαλέγεσθαι.

ριʹ Εἰ χρὴ ἐξομολογουμένης ἀδελφῆς τῷ πρεσβυτέρῳ, καὶ τὴν πρεσβυτέραν παρεῖναι.

ριαʹ Εἰ τοῦ πρεσβυτέρου γενέσθαι τι προστάξαντος ἐν ταῖς ἀδελφαῖς παρὰ γνῶσιν τῆς πρεσβυτέρας, εὐλόγως ἀγανακτεῖ ἡ πρεσβυτέρα.

ριβʹ Ἐάν τις προσέλθῃ τῷ κατὰ θεὸν βίῳ, εἰ ἀκόλουθόν ἐστι τὸν προεστῶτα ἄνευ γνώμης τῶν ἀδελφῶν, τὸν τοιοῦτον προσδέχεσθαι.

ριγʹ Εἰ δύναταί τις ψυχῶν φροντίδα ἐγκεχειρισμένος φυλάξαι τό, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία.

ριδʹ Εἰ δεῖ παντὶ τῷ ἐπιτάσσοντι, καὶ τῷ δὲ ποταπῷ ὑπακούειν.

ριεʹ Πῶς ὑπακούειν ἀλλήλοις χρή.

ριϛʹ Μέχρι πόσου ὑπακούειν χρή.

ριζʹ Ὁ μὴ πληροφορούμενος ἐν τοῖς καθ' ἡμέραν πρὸς τὴν προκειμένην ἐντολὴν ἐπιτάγμασι· τέχνην δὲ μαθεῖν ἐπιζητῶν, ποῖον πάθος νοσεῖ· καὶ εἰ χρὴ αὐτοῦ ἀνέχεσθαι.

ριηʹ Ὁ σπουδαῖος εἰς τὴν ἐντολὴν καὶ ἐργαζόμενος οὐχ ὃ ἐπιτάσσεται, ἀλλ' ὃ αὐτὸς θέλει, ποῖον μισθὸν ἔχει.

ριθʹ Εἰ ἔξεστιν ἑκάστῳ παραιτεῖσθαι τὸ ἐγχειρισθὲν ἔργον, καὶ ἄλλο ἐπιζητεῖν.

ρκʹ Εἰ δεῖ ἀπιέναι που χωρὶς ὑπομνήσεως τοῦ προεστῶτος.

ρκαʹ Εἰ ἔξεστι παραιτεῖσθαι τὰ βαρύτερα τῶν ἔργων.

θʹ Περὶ τὸν ἁμαρτανόντα καὶ ἁμαρτάνοντα, πῶς δεῖ τιθῶμεν.

ιʹ Ψυχὴ ἐν ἁμαρτίαις πολλαῖς ταλαιπωρήσασα, μετὰ ποταποῦ δακρύου καὶ ποταποῦ φόβου ὀφείλει ἀναχωρῆσαι τῶν ἁμαρτημάτων.

ιαʹ Πῶς κατορθοῖ τις τὸ μῖσος πρὸς τὰ ἁμαρτήματα.

ιβʹ Πῶς πληροφορεῖται ψυχή, ὅτι ἀφῆκεν αὐτῇ ὁ θεὸς τὰ ἁμαρτήματα.

ιγʹ Εἰ χρὴ τὸν μετὰ τὸ βάπτισμα ἐξαμαρτήσαντα ἀπογινώσκειν τῆς σωτηρίας, ἐν πλήθει κακῶν εὑρεθέντα.

ιδʹ Ἐκ ποίων καρπῶν ὀφείλει δοκιμάζεσθαι ἡ ἀληθὴς μετάνοια.

ιεʹ Τί ἐστι τό, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ.

ιςʹ Διὰ τί ποτὲ μὲν ἡ ψυχὴ καὶ μὴ σπουδάζουσα, αὐτομάτως σχεδὸν ἐμπεσόντος πόνου κατανύσσεται· ποτὲ δὲ ἄπονος οὕτως ἐστίν, ὡς καὶ βιαζομένη κατανυγῆναι μὴ δύνασθαι.

ιζʹ Ἐάν τις κατὰ νοῦν μνημονεύσῃ τοῦ φαγεῖν, εἶτα καταγνῷ ἑαυτοῦ, εἰ καὶ οὕτως ὡς ἁμαρτήσας ἐγκληθήσεται.

ιηʹ Εἰ χρὴ ἐν ἀδελφότητι τῷ ἐξαμαρτήσαντι ποτὲ φροντίδα ἐγχειρίζειν μηδὲ πολλὴν ἄσκησιν. καὶ εἰ χρὴ ποίαν ταύτην.

ιθʹ Ἐάν τις ἀποπλάζηται τῷ ἁμαρτήματι, προφανῶς δὲ τοῦτο μὴ ποιῇ, εἰ δεῖ αὐτὸν ἐπιτηρεῖν ἵνα καὶ ἐφωραθῇ, ὃ ἀποπλάζεται.

κʹ Εἰ χρὴ τὸν ἐν ἁμαρτίαις ἐξεταζόμενον φεύγειν τὴν πρὸς τοὺς ἑτεροδόξους κοινωνίαν· ἢ καὶ πρὸς τοὺς κακῶς ζῶντας διακρίνεσθαι.

καʹ Πόθεν ὁ μετεωρισμὸς καὶ οἱ διαλογισμοί, καὶ πῶς αὐτοὺς διορθωσόμεθα.

κβʹ Πόθεν αἱ νυκτεριναὶ φαντασίαι αἱ ἀπρεπεῖς γίνονται.

κγʹ Ἕως ποίων ῥημάτων ἡ ἀργολογία κρίνεται.

κδʹ Τί ἐστι λοιδορία.

κεʹ Τί ἐστι καταλαλιά.

κςʹ Ὁ καταλαλῶν ἀδελφοῦ, ἢ ἀκούων καταλαλοῦντος καὶ ἀνεχόμενος τίνος ἐστὶν ἄξιος;

κζʹ Ἐὰν δὲ τοῦ προεστῶτος καταλαλήσῃ, πῶς αὐτῷ προσέξομεν.

κηʹ Περὶ τοῦ θρασυτέρᾳ φωνῇ καὶ ῥήμασι θρασέσιν ἀποκρινομένου.

κθʹ Ποίῳ τρόπῳ δύναταί τις μὴ ὀργίζεσθαι.

λʹ Πῶς ἐκκόψομεν τὸ πάθος τῆς ἐπιθυμίας τῆς κακῆς.

λαʹ Εἰ καθόλου γελᾶν οὐκ ἔξεστιν.

λβʹ Ὁ ἄκαιρος καὶ ἄμετρος νυσταγμός, πόθεν καὶ πῶς αὐτὸν ἀπωσόμεθα.

λγʹ Πῶς ἐλέγχεται ὁ ἀνθρωπάρεσκος.

λδʹ Πῶς φύγῃ τις τὸ πάθος τῆς ἀνθρωπαρεσκίας.

λεʹ Πῶς γνωρίζεται ὁ ὑπερήφανος, ἢ πῶς θεραπεύεται.

λςʹ Εἰ χρὴ τιμὴν ἐπιζητεῖν.

λζʹ Ὁ ὀκνηρὸς πρὸς τὴν ἐντολήν, ποίῳ τρόπῳ σπουδὴν δύναται ἀναλαβεῖν.

ληʹ Ἐὰν ἐπιταχθῇ ἀδελφὸς καὶ ἀντείπῃ· ὕστερον δὲ ἀφ' ἑαυτοῦ ἀπέλθῃ.

λθʹ Ἐὰν δὲ ὑπακούσας τις γογγύσῃ.

μʹ Ἐὰν δὲ ἀδελφὸς ἀδελφὸν λυπήσῃ, πῶς ὀφείλει διορθώσασθαι.

μαʹ Ἐὰν δὲ μὴ ἀνέχηται ἀπολογήσασθαι.

μβʹ Ἐὰν δὲ ἀπολογουμένου τοῦ λυπήσαντος μὴ θέλῃ διαλλαγῆναι ὁ λυπηθείς.

μγʹ Πῶς ὀφείλει τις προσέχειν τῷ εἰς προσευχὴν ἐξυπνίζοντι.

μδʹ Ἐὰν δὲ συγνάσῃ ὁ ἐξυπνισθείς, ἢ καὶ ὀργισθῇ τίνος ἐστὶν ἄξιος.

μεʹ Περὶ τοῦ ἀμελοῦντος τῆς γνώσεως τῶν τοῦ θεοῦ θελημάτων, ἵνα μὴ πλέον κολασθῇ ὡς γνοὺς καὶ μὴ ποιήσας.

μςʹ Ὁ ἑτέρου ἀνεχόμενος εἰς τὸ ποιῆσαι ἁμαρτίαν, εἰ ἔνοχός ἐστι τῆς ἁμαρτίας.

μζʹ Εἰ δεῖ τοῖς ἁμαρτάνουσιν ἐφησυχάζειν.

μηʹ Ἡ πλεονεξία μέχρι τίνος κρίνεται.

μθʹ Τί ἐστι τὸ περπερεύεσθαι.

σαρκὶ κατασκευάσῃ ἔχειν τι πρόσθετον, ὥσπερ οἱ λιχνεύοντες τρίμματα καὶ τοιούτους προσάγοντες
τοὺς εἰς παράστασιν τῆς ἀνθρωπίνης φύσεως τῇ ἀρρωστίᾳ συνῶν διαρκῶς. τί ἂν οὖν τοῖς
τοιούτοις παρὰ τῆς ἰατρικῆς γένοιτο κέρδος, καὶ οὐχὶ μᾶλλον κίνδυνος, μετεωριζομένοις
ἀπὸ τοῦ ὀρθοῦ λόγου εἰς τὴν τοῦ σώματος ἐπιμέλειαν; τοῖς γε μὴν ἐκ πονηρᾶς διαίτης τὴν
ἀρρωστίαν ἑαυτοῖς συναθροίσασιν, οἷον τύπῳ τινὶ καὶ ὑπογραμμῷ χρηστέον τῇ τοῦ σώ-
ματος θεραπείᾳ, πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν, καθὰ προείρηται. ἡ γὰρ ἀπο
χὴ τῶν βλαπτόντων κατὰ τὸν ἰατρικὸν λόγον καὶ ἡμῖν ἐστιν ὠφέλιμος. ἡ ἐκλογὴ τῶν χρη
σίμων, ἡ φυλακὴ τῶν παραγγελμάτων. καὶ αὐτὴ δὲ ἡ τῆς σαρκὸς ἀπὸ ἀρρωστίας πρὸς
εὐεξίαν μεταβολὴ παραμυθία γινέσθω πρὸς τὸ μὴ ἀπογινώσκειν ἡμᾶς τῆς ψυχῆς. ὡς οὐ
δυναμένης ἐκ τῶν ἁμαρτημάτων πρὸς τὴν οἰκείαν πάλιν ὁλοκληρίαν διὰ τῆς μετανοίας
ἐπανελθεῖν. οὔτε οὖν φευκτέον πάντη τὴν τέχνην, οὔτε ἐπ' αὐτῇ πάσας τὰς ἐλπίδας
ἔχειν ἀκόλουθον. ἀλλ' ὡς κεχρήμεθα μὲν τῇ γεωργικῇ, αἰτούμεθα δὲ παρὰ θεοῦ τοὺς καρ
πούς, καὶ τῷ κυβερνήτῃ δὲ τὸ πηδάλιον ἐπιτρέπομεν, τῷ θεῷ δὲ προσευχόμεθα ἐκ-
τοῦ πελάγους ἀποσωθῆναι, οὕτω καὶ ἰατρὸν εἰσάγοντες, ὅτε λόγος συγχωρεῖ, τῆς πρὸς
αὐτὸν ἐλπίδος οὐκ ἀφιστάμεθα. ἐμοὶ δὲ καὶ πρὸς ἐγκράτειαν οὐ μικρὸν συντελεῖν ἡ τέ-
χνη φαίνεται. ὁρῶ γὰρ ὅτι καὶ τρυφὰς ἀποκόπτει, καὶ πλησμονὴν διαβάλλει, καὶ ποικι
λίαν διαίτης. καὶ περίεργον ἀρτυμάτων ἐπίνοιαν, ὡς ἀσύμφορον ἀποπέμπε-
ται, καὶ τὸ σύμπαν, τὴν ἔνδειαν μητέρα τῆς ὑγείας ἀποκαλεῖ. ὥστε καὶ κα-
τὰ τοῦτο, οὐκ ἄχρηστος ἡμῖν ἡ παρ' αὐτῆς συμβουλή. εἴτε οὖν χρώ-
μεθά ποτε τοῖς τῆς ἰατρικῆς παραγγέλμασιν, εἴτε παραιτού-
μεθα κατά τινα τῶν προαποδεδομένων λόγων, ὁ σκοπὸς
τῆς πρὸς θεὸν ἀρεσκείας σωζέσθω. καὶ ἡ ὠφέλεια
τῆς ψυχῆς οἰκονομείσθω, καὶ τὸ πρόσταγμα τοῦ
ἀποστόλου πληρούσθω, εἰπόντος. εἴτε οὖν
ἐσθίετε, εἴτε πίνετε, εἴτέ τι ποιεῖ-
τε, πάντα εἰς δόξαν θεοῦ
ποιεῖτε.

Κεφάλαια τῶν ὅρων τῶν κατ' ἐπιτομήν.

δὲ παθῶν διὰ μακροῦ χρόνου, καὶ διὰ βοηθημάτων ἀλγεινῶν τε ὁμοῦ καὶ ποικίλων τὴν
ἴασιν ἀναμένειν, ὑπόδειγμά ἐστι τοῦ καὶ τὰ τῆς ψυχῆς ἁμαρτήματα διὰ φιλοπόνου δεή-
σεως καὶ πολυχρονίου μετανοίας καὶ ἀγῶνος ἐπιπόνου. ἣν ἂν ὁ λόγος ἡμῖν αὐτάρκη πρὸς
ἴασιν ὑποβάλλῃ, ὀφείλειν ἡμᾶς ἐπανορθοῦσθαι. οὐ τοίνυν, ἐπειδή τινες οὐ καλῶς
χρῶνται τῇ τέχνῃ τῇ ἰατρικῇ, φευκτέον ἡμῖν πᾶσαν τὴν ἀπ' αὐτῆς ὠφέλειαν. οὐδὲ γὰρ
ἐπειδὴ μαγειρικῇ πρὸς τρυφῆς ἐπίνοιαν οἱ περὶ τὰς ἡδονὰς ἀκόλαστοι κέχρηνται, ἢ τῇ
ἀρτοποιΐᾳ, ἢ τῇ ὑφαντικῇ, ὑπερβαίνοντες τὸν ὅρον τῶν ἀναγκαίων, ἤδη ἡμᾶς πάσας
ὁμοῦ χρὴ παραιτεῖσθαι τὰς τέχνας. τὸ ἐναντίον μὲν οὖν ἐκ τῆς ὀρθῆς αὐτῶν χρήσεως, τὸ
ὑπ' ἐκείνων παραφθειρόμενον διελέγχειν. οὕτω δὲ καὶ ἐπὶ τῆς ἰατρικῆς τὴν παρὰ τοῦ θεοῦ
χάριν πονηρᾷ διαβάλλειν χρήσει οὐκ ἄλογον. τότε γὰρ ἐν ταῖς χερσὶ τῶν ἰατρῶν τὴν ἐλ-
πίδα ἔχειν τῆς ἑαυτῶν ὑγείας, κτηνῶδες. ὅπερ πάσχοντάς τινας τῶν ἀθλίων ὁρῶμεν,
οἳ καὶ σωτῆρας αὐτοὺς ὀνομάζειν οὐ παραιτοῦνται. τότε πάντῃ τὰς ἐπ' αὐτῆς ὠφελείας
ἀποφεύγειν, φιλόνεικον. ἀλλ' ὥσπερ ὁ ἐζεκίας τὴν παλάθην τῶν σύκων οὐχὶ πρῶτον
αἴτιον ὑγείας ἡγεῖτο, οὐδὲ τούτῳ τὴν αἰτίαν τοῦ σώματος ἐλογίζετο τῆς ἰάσεως, προσε-
τίθει δὲ τῇ δόξῃ τοῦ θεοῦ καὶ τὴν ἐπὶ τῇ κτίσει τῶν σύκων εὐχαριστίαν, οὕτω καὶ ἡμεῖς παρὰ
τοῦ ἀγαθῶς καὶ φρονίμως οἰκονομοῦντος τὴν ζωὴν ἡμῶν θεοῦ, δεχόμενοι τὰς πληγὰς πα-
ρ' αὐτοῦ. πρῶτον μὲν αἰτοῦμεν τὴν γνῶσιν τοῦ λόγου, καθ' ὃν ἐπάγει τὰς μάστιγας, ἔπει-
τα δὲ τήν τε ἀπαλλαγὴν τῶν ὀδυνηρῶν, καὶ τὴν ὑπομονήν, πρὸς τὸ σὺν τῷ πειρασμῷ
παρασχεῖν καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. δοθείσης δὲ ἡμῖν τῆς ἰάσεως
τὴν χάριν, ἢ διὰ τοῦ οἰνελαίου, ὡς ἐπὶ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς, ἢ διὰ τῶν σύκων, ὡς
ἐπὶ τοῦ ἐζεκίου, εὐχαρίστως ἀποδεχώμεθα. καὶ οὐδὲν διοισόμεθα, εἴτε ἐκ τοῦ ἀφανοῦς
γένοιτο ἡμῖν ἡ ἐπιμέλεια τοῦ θεοῦ, εἴτε καὶ διά τινος τῶν σωματικῶν. ἃ πολλάκις ἐναρ-
γέστερον ἡμᾶς ἄγει εἰς συναίσθησιν τῆς παρὰ τοῦ κυρίου χάριτος. πολλάκις δὲ καὶ πρὸς παι-
δείαν περιπεσόντες ταῖς νόσοις, μέρος τῆς παιδεύσεως καὶ τὴν διὰ τῶν ἐπιπόνων
θεραπείαν ὑποστῆναι κατεδικάσθημεν. οὔτε οὖν τομάς, οὔτε καύσεις, οὐ τὰ διὰ τῶν
δριμέων καὶ ἐπιπόνων φαρμάκων ἀλγήματα, οὔτε ἀσιτίας, οὔτε διαίτης ἀκριβῆ μέ-
τρα, οὔτε ἀποχὴν τῶν φθειρόντων παραιτεῖσθαι ἡμᾶς ὁ ὀρθὸς λόγος ὑπαγορεύει. στο-
χαζομένου πάλιν λέγω τοῦ σκοποῦ τῆς κατὰ ψυχὴν ὠφελείας, ὡς ἐν ὑποδείγματος λό-
γῳ τὴν ἑαυτῆς ἐπιμέλειαν παιδευομένης. κίνδυνος δὲ οὐχ ὁ τυχὼν εἰς μετεωρισμὸν τὴν
διάνοιαν ἐκπεσεῖν, ὡς παντὸς πάθους τῶν ἐξ ἰατρικῆς βοηθημάτων προσδεομένου. οὐ
γὰρ πάντα φύσεως εἰσὶν ἀρρωστήματα, οὐδὲ ἐκ πλημμελοῦς διαίτης ἡμῖν, ἤ τινων ἄλλων
σωματικῶν ἀρχῶν προσγινόμενα. πρὸς ἅπερ ἐνίοτε ὁρῶμεν τὴν ἰατρικὴν χρησιμεύου-
σαν. πολλάκις γὰρ καὶ μάστιγες ἁμαρτημάτων εἰσὶ τὰ ἀρρωστήματα εἰς ἐπιστροφὴν προ-
» σαγόμενα. ὃν γάρ φησιν ἀγαπᾷ κύριος παιδεύει. καὶ διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ
» ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. κρινό-
» μενοι δὲ ὑπὸ κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. τοὺς οὖν τοιού-
τους ἡσυχάζοντας καὶ ἀφεμένους τῶν ἰατρικῶν ἐπιτηδευμάτων, ὑπομένειν χρὴ τὰ
» ἐπαγόμενα, ὅταν γνωρίσωμεν ἑαυτῶν τὰ πλημμελήματα, κατὰ τὸν εἰπόντα. ὀργὴν
» κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ. καὶ τὴν διόρθωσιν ἐπιδείκνυσθαι, διὰ τοῦ ποιεῖν καρ-
» ποὺς ἀξίους τῆς μετανοίας, καὶ μεμνῆσθαι τοῦ κυρίου εἰπόντος. ἴδε, ὑγιὴς γέγονας, μηκέ-
» τι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοι γένηται. γίνεται δέ ποτε καὶ κατὰ ἐξαίτησιν τοῦ πο-
νηροῦ. ὥσπερ ἀγωνιστὴν μέγαν συγκαθιέντος αὐτῷ εἰς τὸν ἀγῶνα τοῦ φιλανθρώπου δε-
σπότου, καὶ τὴν μεγαλαυχίαν αὐτοῦ διὰ τῆς εἰς ἄκρον ὑπομονῆς τῶν δούλων ἑαυτοῦ
καθαιροῦντος. ὅπερ ἐπὶ τοῦ ἰὼβ γενόμενον μεμαθήκαμεν. ἢ καὶ εἰς ὑπόδειγμα τοῖς
ἀφερεπόνοις παράγονται ὑπὸ τοῦ θεοῦ οἱ δυνάμενοι μέχρι θανάτου ἐγκαρτερῆσαι τοῖς
ἀλγεινοῖς, ὡς ὁ λάζαρος, ὃς τοσούτοις ἕλκεσι συνεχόμενος οὐδαμοῦ γέγραπται. οὔτε
αἰτήσας τι τὸν πλούσιον, οὔτε δυσαρεστηθεὶς τοῖς παροῦσι. διὸ καὶ ἔτυχε τῆς ἐν τῷ κόλπῳ
τοῦ ἀβραὰμ ἀναπαύσεως, ὡς ἀπολαβὼν τὰ κακὰ ἐν τῇ ζωῇ αὐτοῦ. εὕρομεν δὲ καὶ ἄλ-
λην αἰτίαν ἀρρωστημάτων τοῖς ἁγίοις συμβαίνουσαν, ὡς ἐπὶ τοῦ ἀποστόλου. ἵνα γὰρ μὴ
δόξῃ ὑπερβαίνειν τὸν ὅρον τῆς ἀνθρωπίνης φύσεως, καὶ μή τις αὐτὸν λογίσηται ἐν τῇ φυ-

Ἐρώτησις. νε΄.

Εἰ τοῖς ἐκ τῆς ἰατρικῆς κεχρῆσθαι κατὰ σκοπόν ἐστι τῆς εὐσεβείας.

Ἀπόκρισις.

Ὥσπερ ἑκάστη τῶν τεχνῶν βοήθεια ἡμῖν πρὸς τὸ τῆς φύσεως ἀσθενὲς ὑπὸ τοῦ Θεοῦ κεχάρι-
σται, οἷον γεωργία μὲν, ἐπειδὴ οὐκ ἐξαρκεῖ τὰ αὐτομάτως ἐκ τῆς γῆς φυόμενα πρὸς τὴν
τῶν χρειῶν παραμυθίαν· ὑφαντικὴ δὲ, ἐπειδὴ ἀναγκαία ἡ τῶν σκεπασμάτων χρεία,
πρός τε τὸ εὔσχημον, καὶ τὰς ἀπὸ τοῦ ἀέρος βλάβας, καὶ οἰκοδομικὴ ὁμοίως, οὕτω καὶ
ἰατρική· ἐπειδὴ τὸ ἐμπαθὲς ἡμῶν σῶμα ποικίλαις βλάβαις ταῖς ἔξωθεν προσπιπτού-
σαις, καὶ ταῖς ἔνδοθεν ἀπὸ τροφῶν συνισταμέναις ὑπόκειται, καὶ πλεονασμοῖς, καὶ ἐλ-
λείψεσι καταπονεῖται, ἡ ἰατρικὴ τέχνη εἰς τύπον τῆς κατὰ ψυχὴν θεραπείας τὴν ἀπό-
θεσιν τοῦ περιττοῦ, καὶ τὴν τοῦ λείποντος πρόσθεσιν ὑποδεδειγμένη ὑπὸ τοῦ πᾶσαν ἡ-
μῶν τὴν ζωὴν οἰκονομοῦντος Θεοῦ συγκεχώρηται. ὥσπερ γὰρ, εἰ ἦμεν ἐν τῷ παραδείσῳ
τῆς τρυφῆς, οὐδὲν ἂν ἐπενδύσεως καὶ μόχθου γεωργικοῦ ἐπεδεήθημεν, οὕτω, καὶ εἰ ἐν ἀπα-
θείᾳ ἦμεν κατὰ τὸ πρὸ τοῦ παραπτώματος ἐν τῇ δημιουργίᾳ χάρισμα, οὐδενὸς ἂν τῶν διὰ
ἰατρικῆς πρὸς παραμυθίαν ἐχρῄζομεν. ἀλλ᾽ ὥσπερ μετὰ τὸ ἐξορισθῆναι εἰς τὸν τόπον τοῦ-
τον, καὶ ἀκοῦσαι τὸ, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, τότε τῇ μακρᾷ
πείρᾳ, καὶ τῇ περὶ τὴν γῆν ταλαιπωρίᾳ τῆς γεωργίας τὴν τέχνην συνεστησάμεθα εἰς
παραμυθίαν τῶν ἐκ τῆς κατάρας λυπηρῶν, τὴν σύνεσιν ἡμῖν, καὶ κατάληψιν τῆς τέ-
χνης ταύτης τοῦ Θεοῦ χαρισαμένου, οὕτω καὶ ἐπειδὴ ἐκελεύσθημεν εἰς τὴν γῆν πάλιν
ἀποστραφῆναι ἀφ᾽ ἧς ἐλήφθημεν, καὶ ὀδυνηρᾷ σαρκὶ συνεζεύχθημεν εἰς φθορὰν κατα-
δεδικασμένῃ διὰ τὴν ἁμαρτίαν, καὶ διὰ τοῦτο τοῖς πάθεσι τούτοις ὑποβληθείσῃ, παρε-
σχέθη ἡμῖν καὶ ἡ ἐκ τῆς ἰατρικῆς προσαγομένη τοῖς κάμνουσι κατὰ τὸ ποσὸν γοῦν ἐπικου-
ρία. οὔτε γὰρ αὐτομάτως ἐκ τῆς γῆς ἐβλάστησαν αἱ βοτάναι, αἱ πρὸς ἕκαστον τῶν πα-
θῶν οἰκείως ἔχουσαι, ἀλλὰ δηλονότι τῷ βουλήματι τοῦ δημιουργοῦ πρὸς τὸν τῆς ἡμετέ-
ρας ὠφελείας σκοπὸν δηλαδὴ ἔχουσαι. ἡ μὲν οὖν ἐν ταῖς ῥίζαις, καὶ τοῖς ἄνθεσιν ἢ φύλ-
λοις, ἢ καρποῖς, ἢ ὀποῖς φύσις, ἢ ὅσα ἀπὸ μετάλλων, ἢ ὅσα ἐκ θαλάσσης πρὸς τὴν
τῆς σαρκὸς ὠφέλειαν οἰκείως ἔχειν εὕρηται, ὅμοιά ἐστι τῆς τῶν ἐσθιομένων καὶ πινομέ-
νων αἱρέσεως. τὸ δὲ περιεννοημένον καὶ περίεργον, καὶ ἀσχολίαν πολλὴν ἐμποιοῦν, καὶ
οἱονεὶ πᾶσαν ἡμῶν τὴν ζωὴν εἰς τὴν τῆς σαρκὸς ἐπιμέλειαν περιφέρον παραιτητέον
χριστιανοῖς. καὶ σπουδαστέον οὕτω κεχρῆσθαι τῇ τέχνῃ, εἴποτε δέοι, ὡς μὴ ἐν αὐτῇ τὴν
πᾶσαν αἰτίαν τοῦ ὑγιαίνειν, ἢ νοσεῖν τίθεσθαι. ἀλλ᾽ ὡς εἰς δόξαν Θεοῦ καὶ τύπον τῆς τῶν
ψυχῶν ἐπιμελείας τὴν χρῆσιν τῶν ἀπ᾽ αὐτῆς παραλαμβάνειν. ἐν ἐρημίᾳ δὲ, τῶν διὰ ἰα-
τρικῆς βοηθημάτων μὴ πᾶσαν ἔχειν τὴν ἐλπίδα πρὸς τὴν τῶν λυπηρῶν παραμυθίαν,
ἐν τῇ τέχνῃ ταύτῃ, ἀλλ᾽ εἰδέναι, ὅτι, ἢ οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα
ὑπενεγκεῖν, ἢ ὥσπερ τότε ὁ Κύριος, ποτὲ μὲν πηλὸν ποιῶν ἐπέχριε, καὶ νίψασθαι προσέ-
ταττεν εἰς τὸν σιλωὰμ, ποτὲ δὲ ἠρκεῖτο τῷ βουλήματι μόνῳ, λέγων, θέλω καθαρίσθη-
τι. τινὰς δὲ καὶ ἐναθλεῖν τοῖς ἐπιπόνοις ἀφῆκε· δοκιμωτέρους αὐτοὺς διὰ τῆς πείρας πα-
ρασκευάζων. οὕτω καὶ ἐφ᾽ ἡμῶν, ὁτὲ μὲν ἀοράτως ἐκ τοῦ ἀφανοῦς ἐφαπτόμενος, ὅταν
τοῦτο συμφέρειν ταῖς ψυχαῖς ἡμῶν καταμάθῃ, ὁτὲ δὲ καὶ ὑλικαῖς κεχρῆσθαι βοηθείαις
ἐπὶ τῶν παθῶν ἡμῶν ἐνδοκεῖ· τῇ παρατάσει τῆς θεραπείας, ἔμμονον τὴν μνήμην τῆς
χάριτος ἐμποιῶν. ἢ καὶ τύπον τινὰ πρὸς τὴν ἐπιμέλειαν, ὡς εἶπον, τῆς ψυχῆς παρεχό-
μενος. ὡς γὰρ ἐπὶ τῆς σαρκὸς, ἥ τε τοῦ ἀλλοτρίου ἀπόθεσις ἀναγκαία, καὶ ἡ πρόσθεσις
τοῦ ἐνδέοντος, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ἡμῶν, ἀποικονομεῖσθαι μὲν τὸ ἀλλότριον, προσ-
λαμβάνειν δὲ τὸ κατὰ φύσιν προσῆκον, ὅτι ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ. καὶ ἔκ-
τισεν ἡμᾶς ἐπὶ ἔργοις ἀγαθοῖς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. καὶ ὥσπερ ἐκ τῶν τομῶν καὶ
καύσεων, καὶ πικρῶν φαρμάκων μεταλήψεως ὑπὲρ τῆς τοῦ σώματος θεραπείας ἀνε-
χόμεθα, οὕτω καὶ ἐνταῦθα τὰ τμητικὰ τοῦ ἐλεγκτικοῦ λόγου, καὶ τὰ πικρὰ τῶν ἐπι-
τιμήσεων φάρμακα ὑπὲρ τῆς κατὰ ψυχὴν θεραπείας καταδέχεσθαι χρή. ὅπερ τοῖς
μὴ παιδευθεῖσιν, ὁ προφητικὸς λόγος ἐπονειδίζων φησί· μὴ ῥητίνη οὐκ ἔστιν ἐν γαλαάδ;
ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; διὰ τί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου; καὶ τὸ ἐπὶ τῶν χρονίων

δὲ παθῶν

τοῦ ἁμαρτήματος, ὡς κατὰ ἁμαρτήματος κινεῖσθαι, καὶ τῇ σφοδρότητι τῆς ἐκδικήσεως δεικνύειν τὸ διάπυρον τῆς διαθέσεως.

Ἐρώτησις. να΄.

Ποίῳ τρόπῳ δεῖ διορθοῦσθαι τὸ πλημμέλημα τοῦ ἡμαρτηκότος.

Ἀπόκρισις.

Καὶ τὰς διορθώσεις δὲ κατὰ τὸν τῆς ἰατρείας λόγον προσακτέον τοῖς ἐμπαθέσι, μὴ ὀργιζόμενος τοῖς ἀσθενοῦσιν, ἀλλὰ τῇ νόσῳ μαχόμενος, καὶ ἀπεναντίον μὲν ἱστάμενος πρὸς τὰ πάθη· δι᾽ ἐπιπονωτέρας δὲ, εἰ δέοι διαγωγῆς ἰώμενος τὸ ἀῤῥώστημα τῆς ψυχῆς· οἷον τὴν κενοδοξίαν τῇ ἐπιτάσει τῶν τῆς ταπεινοφροσύνης ἐπιτηδευμάτων· τὴν ἀργολογίαν τῇ σιωπῇ, ὕπνον ἄμετρον διὰ τῆς ἐν προσευχαῖς ἀγρυπνίας· ἀργίαν σώματος, διὰ τῶν κόπων· βρῶσιν ἀπρεπῆ, διὰ τῆς ἀσιτίας· γογγυσμὸν, διὰ τοῦ ἀφορισμοῦ· ὥστε μήτε συνεργάζεσθαι αὐτῷ τινὰ τῶν ἀδελφῶν ἐθέλειν, μήτε τὸ παρ᾽ αὐτοῦ ἔργον ἀναμιγνύναι τοῖς ἄλλων καθὰ προείρηται· πλὴν εἰ μὴ ἄρα διὰ τῆς ἀνεπαισχύντου μετανοίας ἀπαλλαγεὶς τοῦ πάθους φανείη· καὶ τότε τὴν ἐν τῷ γογγυσμῷ γενομένην ἐργασίαν προσδέχεσθαι, μὴ δὲ οὕτως εἰς ὑπηρεσίαν τῆς τῶν ἀδελφῶν χρήσεως, ἀλλ᾽ εἰς ἑτέραν χρείαν οἰκονομουμένης. καὶ τούτου ὁ λόγος ἀρκούντως προαποδέδεικται.

Ἐρώτησις. νβ΄.

Μετὰ ποίας διαθέσεως καταδέχεσθαι δεῖ τὰ ἐπιτίμια.

Ἀπόκρισις.

Ὥσπερ δὲ τὸν προεστῶτα ἀπομένειν χρὴ ἀπαθῶς προσάγειν τὰς θεραπείας τοῖς ἀσθενοῦσιν, οὕτω πάλιν χρὴ τοὺς θεραπευομένους μὴ πρὸς ἔχθραν δέχεσθαι τὰ ἐπιτίμια· μηδὲ τυραννίδα νομίζειν τὴν ἀπὸ εὐσπλαγχνίας ἐπὶ σωτηρίᾳ τῆς ψυχῆς προσαγομένην αὐτῷ ἐπιμέλειαν. αἰσχρὸν γὰρ τοὺς μὲν τὰ σώματα νοσοῦντας τοσοῦτον τοῖς ἰατροῖς καταπιστεύειν, ὥστε καὶ τέμνουσι, καὶ καίουσι, καὶ πικροῖς τοῖς φαρμάκοις ἀνιῶσιν, εὐεργέτας λογίζεσθαι, ἡμᾶς δὲ πρὸς τοὺς τῶν ψυχῶν ἡμῶν θεραπευτὰς, ὅταν δι᾽ ἐπιπόνου ἀγωγῆς τὴν σωτηρίαν ἡμῖν κατεργάζονται, μὴ τὴν αὐτὴν ἔχειν διάθεσιν. τοῦ ἀποστόλου λέγοντος, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; καὶ πάλιν, ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν. ὥστε πρὸς τὸ τέλος ἀποβλέποντα, εὐεργέτην προσήκει κρίνειν τὸν τὴν κατὰ θεὸν λύπην ἡμῖν ἐμποιοῦντα.

Ἐρώτησις. νγ΄.

Πῶς οἱ τῶν τεχνῶν διδάσκαλοι διορθώσονται τοὺς παῖδας πταίοντας.

Ἀπόκρισις.

Δεῖ μέν τοι καὶ τοὺς τὰς τέχνας διδάσκοντας, ὅσα τὴν εἰς αὐτὴν τὴν τέχνην ἐξαμαρτάνουσιν οἱ μανθάνοντες, ἐφ᾽ ἑαυτῶν ἐλέγχειν τὸ πλημμέλημα, καὶ ἐπανορθοῦσθαι τὰ σφάλματα. ὅσα δὲ τῶν ἁμαρτημάτων τῆς τοῦ ἤθους διαφορᾶς ἐστι κατηγορήματα, οἷον ἀπείθειαν καὶ ἀντιλογίαν, καὶ ῥᾳθυμίαν περὶ τὰ ἔργα, ἢ ἀργολογία, ἢ ψεῦδος, ἢ ἄλλο τι τῶν τοιούτων ἀπειρημένων τοῖς εὐσεβέσιν ἐπὶ τὸν ἔφορον τῆς κοινῆς εὐταξίας ἄγοντας δεῖ ἐλέγχειν· ὥστε παρ᾽ αὐτοῦ καὶ τὸ μέτρον, καὶ τὸν τρόπον τῆς ἰάσεως τῶν ἁμαρτημάτων ἐπινοεῖσθαι. εἰ γὰρ ἰατρεία ψυχῆς ἐστιν ἡ ἐπιτίμησις, οὐ παντός ἐστιν ἐπιτιμᾶν, ὡς οὐδὲ τὸ ἰατρεύειν· πλὴν ἐὰν μή τινι αὐτὸς ὁ προεστὼς ἐπιτρέψῃ μετὰ δοκιμασίας πλείονος.

Ἐρώτησις. νδ΄.

Περὶ τοῦ τοὺς προεστῶτας τῆς ἀδελφότητος ἀλλήλοις τὰ καθ᾽ ἑαυτοὺς ἀνατίθεσθαι.

Ἀπόκρισις.

Ἀγαθὸν δέ ποτε καὶ συνέδριον κατά τινας ὡρισμένους καιροὺς καὶ τόπους τῶν ἐπιτεταγμένων ταῖς ἀδελφότησι γίνεσθαι. καθ᾽ ὃν τά τε παρὰ λόγον ἀπαντήσαντα πράγματα, καὶ τῶν ἠθῶν τὰ δυσμεταχείριστα, καὶ ὅπως διέθηκαν ἕκαστον, ἀναθήσονται ἀλλήλοις. ὥστε καὶ τὸ ἐσφαλμένως ποτὲ γενόμενόν τινι τῇ κρίσει τῶν πολλῶν ἀξιοπίστως ἀποκαλυφθῆναι. καὶ τὸ κατορθωθὲν τῇ μαρτυρίᾳ τῶν πλειόνων βεβαιωθῆναι.

» φότητος. ἔκβαλλε γάρ φησι λοιμὸν ἐκ συνεδρίου, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος. καὶ
» πάλιν. ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν, διότι μικρὰ ζύμη, ὅλον τὸ φύραμα ζυμοῖ.

Ἐρώτησις. μη'.

Ὅτι οὐ δεῖ περιεργάζεσθαι τὰς οἰκονομίας τοῦ προεστῶτος, τῷ δὲ ἰδίῳ προσέχειν ἔργῳ.

Ἀπόκρισις.

Ὑπὲρ δὲ τοῦ μὴ ῥᾳδίως τῷ τοιούτῳ πάθει τῆς διακρίσεως εἰς βλάβην ἑαυτοῦ καὶ τῶν ἑτέρων περιπίπτειν, ἐκεῖνο καθόλου παραφυλακτέον ἐν ἀδελφότητι, τὸ τὴν ἀρχὴν μηδένα τὰς τοῦ προεστῶτος οἰκονομίας περιεργάζεσθαι, μηδὲ πολυπραγμονεῖν τὰ γινόμενα ἐκ τῆς τῶν ἐγγυτέρων τοῦ προεστῶτος, καὶ βαθμῷ καὶ συνέσει. ὧν καὶ εἰς τὴν περὶ τῶν κοινῶν βουλήν τε καὶ σκέψιν ἀναγκαίως παραλήψεται. πειθόμενος τῇ παραινέσει τοῦ εἰπόντος. » μετὰ βουλῆς πάντα ποίει. εἰ γὰρ τῶν ψυχῶν ἡμῶν ἐπιτρέψαμεν αὐτῷ τὴν οἰκονομίαν, ὡς θεῷ τὸν λόγον δώσοντι, ἀλόγιστον παντελῶς περὶ τῶν ἀτελεστάτων ἀπιστεῖν, καὶ ὑποψίαν ἄτοπον κατὰ τοῦ ἀδελφοῦ, αὐτόν τε πληροῦσθαι, καὶ τοῖς ἄλλοις ἀφορμὴν παρέχειν. διόπερ, ἵνα μὴ τοῦτο συμβαίνῃ, ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω. καὶ τῇ φροντίδι τῶν αὐτῷ ἐπιβαλλόντων ὅλον ἑαυτὸν ἀποδούς, μηδὲν τὰς ἄλλας οἰκονομίας περιεργαζέσθω. μιμούμενος τοὺς ἁγίους μαθητὰς τοῦ κυρίου, ἐφ᾽ ὧν καίτοι τοῦ πράγματος τοῦ κατὰ τὴν σαμαρεῖτιν εἰς ὑποψίαν ἀγαγεῖν δυναμένου, ὅμως οὐδεὶς φησὶν εἶπε, τί ζητεῖς, ἢ τί λαλεῖς μετ᾽ αὐτῆς.

Ἐρώτησις. μθ'.

Περὶ τῶν ἀμφισβητουμένων ἐν τῇ ἀδελφότητι.

Ἀπόκρισις.

Περὶ δὲ τῶν ἀμφισβητουμένων ἐν τῇ ἀδελφότητι, ὅταν ἀσύμφωνοί τινες ὦσι περί τινος πράγματος, οὐ χρὴ φιλονείκως ἀλλήλοις ἀντιτείνειν, ἀλλὰ ταμιεύεσθαι τοῖς δυνατωτέροις τὴν ἐπίκρισιν. ὥστε δὲ μήτε τὴν τάξιν συγχεῖσθαι πάντων ἐπερωτώντων, καὶ πάντοτε, μήτε ἀφορμὴν ἐρεσχελίας καὶ φλυαρίας ἐγγίνεσθαι, ἕνα τινὰ εἶναι χρὴ τὸν δοκιμασθέντα δυνατῶς ἔχειν. ἢ εἰς κοινὴν ἐπίσκεψιν προσπεσούσης τῇ ἀδελφότητι τὰ περὶ ἑαυτῶν ἀμφιβαλλόμενα, ἢ τῷ προέχοντι ἀνατίθεσθαι. ἀκολουθοτέρα γὰρ καὶ ἐπιστημονικωτέρα ἡ διάσκεψις οὕτω τῶν ζητουμένων γενήσεται. εἰ γὰρ ἑκάστῳ πράγματι ἐπιστήμης καὶ ἐμπειρίας χρεία, πολλῷ πλέον ἐν τοῖς τοιούτοις. καὶ εἰ ἐργαλείων χρῆσιν οὐκ αὖ τις ἐπιτρέψειεν ἀπείροις, πολλῷ μᾶλλον χρὴ τὴν τῶν λόγων μεταχείρισιν τοῖς δυνατοῖς συγχωρεῖν, οἳ καὶ τόπον καὶ καιρόν, καὶ τρόπον τῶν ἐπερωτήσεων ἱκανοὶ ἔσονται διαγινώσκειν, ἀφιλονείκως τε, καὶ φρονίμως ἀντιτιθέντας, καὶ συνετῶς ἀκούοντας, ἀκριβῶς φυλάσσειν τῶν ἐπιζητηθέντων τὰς λύσεις πρὸς οἰκοδομὴν τοῦ κοινοῦ.

Ἐρώτησις. ν'.

Πῶς χρὴ ἐπιτιμᾶν τὸν προεστῶτα.

Ἀπόκρισις.

Ἀλλὰ καὶ τὰς ἐπιτιμήσεις μὴ ἐμπαθῶς τοῖς ἡμαρτηκόσιν ὁ προεστὼς προσαγέτω. τὸ γὰρ μετὰ θυμοῦ καὶ ὀργῆς ἐλέγχειν τὸν ἀδελφόν, οὐχ ἐκεῖνον τῆς ἁμαρτίας ἐλευθεροῦσαι, ἀλλ᾽ ἑαυτὸν περιβαλεῖν πλημμελήμασι. διόπερ φησίν, ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μὴ δὲ ἐν οἷς μὲν ἂν αὐτὸς παροφθῇ, σφοδρὸν εἶναι. ἐν οἷς δὲ αὖ ἄλλον καταφρονούμενον ἴδῃ, τὴν πρὸς τὸν ἡμαρτηκότα χρηστότητα ἐπιδείκνυσθαι. ἀλλὰ καὶ μᾶλλον δυσχεραίνειν ἐπὶ τῷ κοινῷ τότε. οὕτω γὰρ τῆς τε φιλαυτίας τὴν ὑποψίαν ἐκφεύξεται, καὶ ἀπόδειξιν δώσει, τοῦ μὴ τὸν ἡμαρτηκότα μισεῖν, ἀλλὰ τὴν ἁμαρτίαν ἀποστρέφεσθαι, τῇ διαφορᾷ τῇ ἑαυτοῦ πρὸς τὸν ἕτερον. διαφορὰν δὲ ἀγανακτήσεως ποιούμενος μὴ τὴν εἰρημένην, ἀλλὰ τὴν ἐναντίαν, φανερός ἐστιν ὅτι οὔτε διὰ τὸν θεόν, οὔτε διὰ τὸν κίνδυνον τοῦ ἡμαρτηκότος, ἀλλὰ διὰ τὴν ἑαυτοῦ φιλοδοξίαν ἢ φιλαρχίαν ἀγανακτεῖ. χρὴ γὰρ ζῆλον μὲν ὑπὲρ τῆς τοῦ θεοῦ δόξης ἀτιμαζομένου ἐν τῇ τῆς ἐντολῆς παραβάσει ἐπιδεικνύμενον. εὐσπλαγχνίαν δὲ φιλαδελφίας ὑπὲρ τῆς τοῦ ἀδελφοῦ σωτηρίας ἔχοντα κινδυνεύοντος ἐν τῇ ἁμαρτίᾳ. ὅτι ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται. ἀλλὰ πως

συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες λαλῶσι γλώσσαις, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν, ὅτι μαίνεσθε; καὶ ἐὰν ὑπὸ ἀγνοίας δὲ ἄλλῳ προσαγάγῃ τὰς ἐπερωτήσεις ἐξ ὧν, καὶ ἔχῃ ἀποκρίνεσθαι τὸ αἰνουδεὶς ὁ παρὰ πρόσωπον ἐπερωτηθεὶς, ὅμως τῆς ἀταξίας οὕνεκεν αὐτὸς μὲν σιωπάτω· ὑποδεικνύτω δὲ τὸν τὸ μέρος τοῦτο πεπιστευμένον, ὡς ἐποίησαν οἱ ἀπόστολοι ἐπὶ τοῦ κυρίου· ὥστε ἄτακτον, καὶ ἀσχήμονα τὴν χρῆσιν τοῦ λόγου γίνεσθαι. εἰ γὰρ ἐπὶ τῆς τῶν σωμάτων θεραπείας, οὔτε φαρμάκῳ οὔτε σιδήρῳ παντὸς ἐστὶ χρήσασθαι ἐπὶ τῶν ἀσθενούντων, ἀλλὰ τοῦ τὴν τέχνην ἀνειληφότος, καὶ χρόνῳ μακρῷ, καὶ πείρᾳ, καὶ μελέτῃ τῶν ἔργων, καὶ διδασκαλίᾳ τῶν ἐπιστημόνων, τίνα ἔχει λόγον, τῇ δὲ τοῦ λόγου θεραπείᾳ τοὺς τυχόντας ἐπιπηδᾶν; ἐν ᾧ καὶ τὸ μικρότατον παροφθὲν μεγίστην φέρει τὴν ζημίαν. παρ' οἷς γὰρ οὐδὲ ἄρτου μεταδόσεις τοῖς τυχοῦσιν ἐφίεται. ἀλλ' οὐ προσήκει ἡ τοιαύτη διακονία, τῷ μὴ δοκιμασίας πεπιστευμένῳ παρὰ τούτοις, πῶς οὐχὶ πολὺ πλέον τὴν πνευματικὴν τροφὴν δοκιμασμένως, καὶ παρατετηρημένως ὑφ' ἑνὸς τῶν δυνατωτέρων προσάγεσθαι χρὴ τοῖς αἰτοῦσιν; ὥστε οὐ τῆς τυχούσης αὐθαδείας τὸν ἐπερωτηθέντα κρίμα θεοῦ, ἀδεῶς οὕτω, καὶ ὡς ἔτυχε καταπολμᾶν τῆς ἀποκρίσεως. ἀλλὰ μὴ ὑποδεικνύειν τὸν ἐγκεχειρισμένον τὴν τοῦ λόγου οἰκονομίαν. ὃς δεῖ τὸ πιστὸς εἶναι πάντως, καὶ φρόνιμος οἰκονόμος ἐπιλέγηται, εἰς τὸ δεῖ διδόναι μὲν ἐν καιρῷ τὴν πνευματικὴν τροφὴν, οἰκονομεῖν δὲ τοὺς λόγους αὐτοῦ ἐν κρίσει καθὼς γέγραπται. καὶ διαφαίνηται δέ τι τὸν ὀφείλοντα ἀποκρίνεσθαι, καὶ ἄλλος ὑποβάλῃ, μὴ τῷ ἐλέγχῳ εὐθὺς ἐπιπηδάτω, ἀλλὰ ἰδίᾳ ὑποβαλλέτω τὸ παρεαθέν. ἐπάρσεως γὰρ ἀφορμὴ ἐκ τούτου, κατὰ τῶν προεχόντων τοῖς ὑποδεεστέροις γίνεται. ὥστε καὶ χρησίμως ἀποκριθῇ τις, μὴ καθηκόντως δὲ, ὑπεύθυνος ἐστὶ τοῖς τῆς ἀταξίας ἐπιτιμίοις.

Ἐρώτησις. μϛ'.

Περὶ τοῦ μὴ συγκρύπτειν ἁμαρτήματα ἀδελφοῦ ἢ ἑαυτοῦ.

Ἀπόκρισις.

Πᾶν δὲ ἁμάρτημα ἀναφέρεσθαι δεῖ τῷ προεστῶτι, ἢ παρ' αὐτοῦ τοῦ ἡμαρτηκότος, ἢ παρὰ τῶν συνεγνωκότων, ἐὰν αὐτοὶ θεραπεῦσαι μὴ δυνηθῶσι, κατὰ τὸ ὑπὸ τοῦ κυρίου προστεταγμένον. κακία γὰρ σιωπηθεῖσα, νόσος ὕπουλός ἐστιν ἐν τῇ ψυχῇ. ὡς οὖν οὐκ ἂν εἴποιμεν εὐεργέτην τὸν ἐγκατακλείοντα τῷ σώματι τὰ ὀλέθρια, ἀλλὰ μᾶλλον τὸν δεῖ ὀδύνης καὶ ἀμύξεως εἰς τὸ φανερὸν ἕλκοντα, ὥστε ἢ δεῖ ἐμέτου ἀπορρίψαι τὸ βλάπτον, ἢ καθόλου δεῖ τῆς τοῦ πάθους φανερώσεως ἄγνωστον ὑπογράψαι τὸν τρόπον τῆς θεραπείας, οὕτω δηλονότι καὶ τὸ κρύπτειν ἁμαρτίαν, συγκατασκευάζειν ἐστὶ τῷ νοσοῦντι τὸν θάνατον. κεντροῦν γάρ φησι τοῦ θανάτου ἡ ἁμαρτία. κρείσσους δὲ ἔλεγχοι μετὰ παρρησίας κρυπτομένης φιλίας. μήτε οὖν ἄλλος ἄλλῳ συγκρυπτέτω, ἵνα μὴ ἀδελφοκτόνος ἀντὶ φιλαδέλφου γένηται. μήτε αὐτὸς ἑαυτῷ. ὁ γὰρ μὴ ἰώμενος φησὶν ἑαυτὸν ἐν τοῖς ἔργοις αὐτοῦ ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν.

Ἐρώτησις. μζ'.

Περὶ τῶν μὴ καταδεχομένων τὰ παρὰ τοῦ προεστῶτος τυπούμενα.

Ἀπόκρισις.

Τὸν δὲ μὴ καταδεχόμενον τὰ παρὰ τοῦ προεστῶτος διατεταγμένα, χρὴ φανερῶς ἢ ἰδίᾳ αὐτῷ ἀντιλέγειν. εἴ τινα ἔχει λόγον ἰσχυρὸν κατὰ βούλημα τῶν γραφῶν, ἢ σιωπήσαντα τὸ προστεταγμένον ποιεῖν. εἰ δὲ αὐτὸς αἰσχύνοιτο ἄλλοις τισὶ μεσίταις πρὸς τοῦτο χρησάσθω. ἵνα εἰ μὲν παρὰ τὴν γραφὴν εἴη ἡ διαταγὴ, ὠφέληται καὶ αὐτὸς ἑαυτὸν, καὶ τοὺς ἀδελφοὺς ἀβλαβεῖς. εἰ δὲ δειχθείη κατὰ λόγον τὸν προσήκοντα γενομένη, καὶ ἑαυτοὺς διακρίσεως ματαίας καὶ ἐπικινδύνου ἐλευθερώσῃ. ὁ γὰρ διακρινόμενος φησὶν, ἐὰν φάγῃ κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως. καὶ τοῖς ἁπλουστέροις μηδεμίαν δυσπειθείας ὑπόθεσιν ἐμποιήσῃ. συμφέρει γάρ φησιν ὁ κύριος, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. ἐὰν δέ τινες ἐπιμένωσι τῇ ἀπειθείᾳ, λάθρα μὲν καταμεμφόμενοι, μὴ δημοσιεύοντες δὲ τὴν λύπην, ὡς καὶ διακρίσεως αἴτιοι τῇ ἀδελφότητι, καὶ τὴν πρὸς τὰς ἐντολὰς πληροφορίαν διασαλεύοντες, καὶ δυσπειθείας, καὶ παρακοῆς διδάσκαλοι, ἐκβαλλέσθωσαν τῆς ἀδελ-

τὴν προστασίαν τῶν ἐν ταῖς ἄλλαις ἀδελφότησι προεχόντων, καὶ ἱκανὴν πεῖραν τοῦ τρόπου ἐν τῷ παρελθόντι βίῳ δεδωκότα. καὶ οὗτοι γάρ φησι δοκιμαζέσθωσαν, πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες. οὕτω καὶ ὁ τοιοῦτος ἐπιτρεπέσθω τὴν προστασίαν, καὶ τὴν εὐταξίαν ὁριζέτω τῇ ἀδελφότητι, τὴν διανομὴν τῶν ἔργων, καθ᾽ ὃ ἕκαστος ἐπιτηδείως ἔχει ποιούμενος.

Ἐρώτησις. μδ.

Εἰ δεῖ ἐπιτρέπειν χρὴ ταῖς ἀποδημίαις, καὶ πῶς ἐπανιόντας αὐτοὺς ἀνακρίνειν.

Ἀπόκρισις.

Τὴν μὲν ἀποδημίαν ἐπιτρεπτέον τῷ δυναμένῳ ἀβλαβῶς τῇ ἑαυτοῦ ψυχῇ, καὶ ὠφελίμως τοῖς συντυγχάνουσιν ἐκπλεῖν. ὡς ἐὰν μὴ παρῇ ὁ ἐπιτήδειος, βέλτιον ἐν ἐνδείᾳ τῶν ἀναγκαίων πᾶσαν θλῖψιν καὶ στενοχωρίαν μέχρι καὶ θανάτου ὑπενεγκεῖν, ἢ παραμυθίας ἕνεκεν σωματικῆς, βλάβην ψυχῆς ὁμολογουμένην προξενῆσαι. καλὸν γάρ μοι φησὶν ὁ ἀπόστολος, μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. καὶ τοῦτο ἐν τοῖς ἐπ᾽ ἐξουσίας. πόσῳ οὖν μᾶλλον ἐν τοῖς κατ᾽ ἐντολήν, καίτοιγε οὐδὲ τοῦτο ἀπαραμύθητον ὁ τῆς ἀγάπης νόμος ἀφίησιν. ἐὰν γὰρ συμβῇ μὴ παρεῖναι μιᾷ ἀδελφότητι τὸν ἐπιτηδείως ἀποστελλόμενον, οἱ σύνεγγυς τὸ λεῖπον ἀναπληρώσουσι. κοινὰς τὰς ἀποδημίας, καὶ ἀχωρίστους ἀλλήλων ποιούμενοι. ὡς τούς τε κατὰ ψυχὴν ἀσθενεῖς, ἢ καὶ κατὰ τὸ σῶμα σαθροὺς ἐν τῇ τοιαύτῃ κοινωνίᾳ τοῖς ἰσχυροτέροις συνδιασώζεσθαι. πορρωθεν καὶ τοῦτο τοῦ πεπιστευμένου προκαθισταμένου, ὡς μὴ παρ᾽ αὐτὰ ὑπὸ τῆς χρείας ἀπορεῖν ἐκ τοῦ καιροῦ τῆς στενοχωρίας τὴν παραμυθίαν ἀνευρίσκεσθαι. μετὰ δὲ τὴν ἐπάνοδον, ἀνακρινέτω τὸν ἀπόδημον, τίνες αἱ πράξεις, ποταπῶν ἀνδρῶν αἱ συντυχίαι αὐτῷ γεγόνασιν. οἱ λόγοι τίνες οὓς πρὸς αὐτοὺς ἐποιήσατο. ποῖα τὰ τῆς ψυχῆς αὐτοῦ διανοήματα. εἰ πᾶσαν ἡμέραν, καὶ πᾶσαν νύκτα τῷ φόβῳ τοῦ θεοῦ συζῶν διετέλεσεν, ἤπου παρετράπη, καὶ παρεκίνησέ τι τῶν δεδογμένων, ἢ ταῖς ἔξωθεν περιστάσεσιν ἐνδούς, ἢ τῇ οἰκείᾳ ῥαθυμίᾳ παραρρυείς. καὶ τὸ μὲν ὀρθῶς ἐπιτελεσθὲν, ἀποδοχῇ βεβαιούσθω, τὸ δὲ ἐσφαλμένον τῇ ἐπιμελείᾳ, καὶ ἐπιστήμονι διδασκαλίᾳ διορθούσθω. οὕτω γὰρ κεφαλαιότεροί τε οἱ ἀπιόντες ἔσονται τῇ φροντίδι τῆς ἀποδόσεως τοῦ λόγου, καὶ ἡμεῖς δόξομεν μή τε ἐν καιρῷ τοῦ χωρισμοῦ ἀμελεῖν αὐτῶν τῆς ζωῆς. καὶ ταῖς ἁγίαις δὲ τοῦτο συνήθης ἡ ἱστορία τῶν πράξεων παραδίδωσι. διδάσκουσα ἡμᾶς, ὅπως μὲν πέτρος τὸν λόγον τῆς τῶν ἐθνῶν κοινωνίας ἐπανελθὼν εἰς τὰ ἱεροσόλυμα τοῖς ἐκεῖ ἀποδίδωσιν. ὅπως δὲ παῦλος καὶ βαρνάβας παραγενόμενοι, καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγελλον ὅσα ὁ θεὸς ἐποίησε μετ᾽ αὐτῶν. καὶ πάλιν ὅτι ἐσιώπησεν ἅπαν τὸ πλῆθος, καὶ ἤκουον βαρνάβα καὶ παύλου ἐξηγουμένων ὅσα ἐποίησε δι᾽ αὐτῶν ὁ θεός. ἐκεῖνο μέντοι εἰδέναι χρή, ὅτι τὰ κατὰ τὴν κοσμικὴν καρδίαν παντὶ τρόπῳ φευκτέον ταῖς ἀδελφότησιν.

Ἐρώτησις. με.

Ὅτι χρὴ μετὰ τὸν προεστῶτα καὶ ἄλλον εἶναί τινα τὸν δυνάμενον ἐν ἀπουσίᾳ ἢ ἀσχολίᾳ ἐκείνου τῶν ἀδελφῶν ἐπιμελεῖσθαι.

Ἀπόκρισις.

Ἐπειδὴ συμβαίνει πολλάκις, ἢ δι᾽ ἀσθένειαν σώματος, ἢ ἀποδημίας ἀνάγκην, ἢ κατά τινα ἄλλην περίστασιν χωρίζεσθαι τῆς ἀδελφότητος τὸν προεστῶτα, ἔστω τις καὶ ἕτερος μετὰ δοκιμασίας αὐτοῦ τε καὶ ἄλλων τῶν ἱκανῶν δοκιμάζειν, εἰς τοῦτο ἐκλελεγμένος εἰς τὸ, ἀπόντος ἐκείνου διαδέχεσθαι τὴν ἐπιμέλειαν τῶν ἀδελφῶν. ὥς τε καὶ τοῖς παροῦσι παρ᾽ οὐδὲν γίνεσθαι τὰς παρακλήσεις τοῦ λόγου. ἀλλὰ μὴ ἐν τῇ ἀποδημίᾳ τοῦ προεστῶτος δημοκρατικόν τι σχῆμα μεταλαμβάνειν τὴν ἀδελφότητα, ἐπὶ διαλύσει τοῦ κανόνος καὶ τῆς παραδεδομένης εὐταξίας. φυλάττεσθαι δέ τι μετὰ δοκιμασίας ἐγκρίνοντα εἰς δόξαν θεοῦ. καὶ τοῖς ἐπιδημοῦσι δὲ τῶν ξένων εἶναι τὸν ἀποκρινόμενον συνετῶς, ἵνα οἵ τε τὸν λόγον ἐπιζητοῦντες οἰκοδομῶνται τῆς ἀποδεχθείσης εὐταξίας, καὶ τὸ κοινὸν τῆς ἀδελφότητος μὴ καταισχύνηται. τὸ γὰρ πάντας ὁμοίως ἐπιπηδᾶν τῷ λόγῳ, θορύβου αἴτιον, καὶ ἀταξίας σημεῖον. τοῦ ἀποστόλου μὴ δὲ τοὺς κατηξιωμένους τοῦ χαρίσματος τῆς διδασκαλίας πλείους ἐπὶ τὸ αὐτὸ λαλεῖν συγχωρήσαντος. δι᾽ ὧν φησιν, ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ, ὁ πρῶτος σιγάτω. καὶ πάλιν τὸ ἄτοπον τῆς τοιαύτης ἀταξίας διελέγχοντος ἐν τῷ λέγειν, ἐὰν οὖν

τοῦτο γὰρ πρὸς τοὺς ἀτάκτους καὶ ἀργοὺς εἶναι εἴρηται· ὡς αἱρετώτερον τῆς ἐν ἀργίᾳ ζωῆς, τὸ ἑαυτὸν γοῦν ὑπηρετεῖν ἕκαστον, καὶ μὴ ἄλλοις ἐπιβαρύνεσθαι. ἀκούομεν γάρ φησι τινὰς ἀτάκτως περιπατοῦντας ἐν ὑμῖν μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. τοῖς οὖν τοιούτοις φησὶ παραγγέλλομεν, καὶ παρακαλοῦμεν, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι. καὶ τό, νύκτα δὲ καὶ ἡμέραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα, εἰς τὸν αὐτὸν φέρει νοῦν. τοῦ ἀποστόλου διὰ φιλαδελφίαν εἰς ἐκκοπὴν τῶν ἀτάκτων ἑαυτὸν τοῖς ὑπὲρ τὸ διατεταγμένον αὐτῷ πόνοις ὑποβάλλοντος. τοῦ δὲ πρὸς τὴν τελείωσιν σπεύδοντος ἐστὶ νυκτὸς καὶ ἡμέρας ἐργάζεσθαι, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. ἐπεὶ ὅ γε ἑαυτῷ, καὶ τῷ τὴν φροντίδα τῶν χρειῶν ἀναδεδειγμένῳ ἐλπίζων, καὶ ἢ τὴν οἰκείαν, ἢ τὴν τοῦ συνόντος ἐργασίαν ἱκανὴν ἀφορμὴν πρὸς τὸ ζῆν πεπεισμένος, καθ' ὅσον ἐπ' ἄνθρωπον τὴν ἐλπίδα ἔθετο, κίνδυνον ἔχει, ὑποπεσεῖν τῇ κατάρᾳ τῇ λεγούσῃ· ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον. καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ ψυχὴ αὐτοῦ. τοῦ λόγου διὰ μὲν τοῦ, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, τῷ ἑτέρῳ ἐπελπίζειν. διὰ δὲ τοῦ καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ, τὸ ἐφ' ἑαυτῷ πεποιθέναι ἀπαγορεύοντος· ἑκάτερον δὲ αὐτῶν ἀποστασίαν ἀπὸ Κυρίου ὀνομάζοντος, ὅτι ἔσται ὡς ἡ ἀγριομυρίκη ἡ ἐν τῇ ἐρήμῳ· καὶ οὐκ ὄψεται ὅταν ἔλθῃ τὰ ἀγαθά· δεικνύντος τοῦ λόγου, ὅτι τό, ἑαυτῷ καὶ ἄλλῳ τινὶ ἐπελπίζειν, ἀποστῆναι ἐστὶν ἀπὸ Κυρίου.

Ἐρώτησις. μγʹ.

Ὁ μὲν περὶ τῶν ἐργασιῶν τρόπος ἀρκούντως ἡμῖν παραδέδοται. πλήν, ἐὰν μή τι ὑπὲρ αὐτῶν τῶν πραγμάτων προσεξεργᾶν διδαχθῶμεν. τοὺς δὲ προεστῶτας τῆς ἀδελφότητος ὁποίους εἶναι χρή, ἢ πῶς ἄγειν τοὺς συνόντας, τοῦτο διὰ κεφαλαίων διδαχθῆναι δεόμεθα.

Ἀπόκρισις.

Εἴρηται μὲν ὡς ἐν κεφαλαίῳ καὶ περὶ τοῦ μέρους τούτου. πλὴν ἐπειδὴ καλῶς ποιοῦντες ἐπιπλεῖον τρανωθῆναι τὸ μέρος τοῦτο βούλεσθε. διότι οἷον ἐὰν ᾖ τὸ ἐπιστατοῦν καὶ ἄρχον, τοιοῦτον ὡς τὰ πολλὰ γίνεσθαι ὀφείλει τὸ ἀρχόμενον, ἀναγκαῖον μὴ πάρεργον αὐτὸ παρελθεῖν. χρὴ τοίνυν τὸν προεστῶτα μεμνημένον τῆς τοῦ ἀποστόλου παραγγελίας λέγοντος· τύπος γίνου τῶν πιστῶν, πάσης ἐντολῆς τοῦ Κυρίου ἐναργὲς ὑπόδειγμα τὸν ἑαυτοῦ βίον παρέχειν. ὡς μηδεμίαν τοῖς διδασκομένοις ἀφορμὴν καταλιμπάνειν πρὸς τὸ ἀδύνατον, ἢ εὐκαταφρόνητον ἡγεῖσθαι τὴν ἐντολὴν τοῦ Κυρίου. πρῶτον μὲν οὖν, ὃ πρῶτόν ἐστιν, ἐν ἀγάπῃ Χριστοῦ τὴν ταπεινοφροσύνην οὕτω χρὴ παρ' αὐτῷ κατορθοῦσθαι, ὡς καὶ σιωπῶντος αὐτοῦ τὸ ἐκ τῶν ἔργων ὑπόδειγμα παντὸς λόγου ἰσχυρότερον εἰς διδασκαλίαν προκεῖσθαι. εἰ γὰρ οὗτος ὅρος χριστιανισμοῦ, μίμησις Χριστοῦ ἐν τῷ μέτρῳ τῆς ἐνανθρωπήσεως, κατὰ τὸ ἐπιβάλλον τῇ ἑκάστου κλήσει, οἱ τὴν ὁδηγίαν τῶν πολλῶν πεπιστευμένοι, τοὺς ἔτι ἀσθενεστέρους διὰ τῆς ἑαυτῶν μεσιτείας προσβιβάζειν ὀφείλουσι τῇ τοῦ Χριστοῦ ὁμοιώσει, κατὰ τὸν μακάριον Παῦλον λέγοντα, μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. πρῶτους οὖν αὐτοὺς τὸ παράδειγμα τῆς ταπεινοφροσύνης μάθοντας παρὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατορθοῦντας ὑπογραμμὸν ἀκριβῆ προσήκει γίνεσθαι. μάθετε γάρ φησιν ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. πρᾳότης οὖν τρόπου, καὶ καρδίας ταπείνωσις χαρακτηριζέτω τὸν προεστῶτα. εἰ γὰρ ὁ Κύριος τὴν διακονίαν τῶν ἰδίων δούλων οὐκ ἐπαισχύνθη, ἀλλὰ κατεδέξατο ὑπηρέτης εἶναι τῆς γῆς, καὶ τοῦ πηλοῦ, ὃν αὐτὸς ἔπλασε, καὶ εἰς ἄνθρωπον διεμόρφωσεν. ἐγὼ γάρ εἰμί φησιν ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν, τί χρὴ ποιοῦντας ἡμᾶς τοῖς ὁμοτίμοις, νομίζειν αὐτοῦ τῆς μιμήσεως ἐφικνεῖσθαι; ἓν μὲν δὴ τοῦτο, ὅπερ τοσοῦτον ὑπάρχειν δεῖ τῷ προεστῶτι. ἔπειτα εὔσπλαγχνον, καὶ μακροθύμως ἀνεχόμενον τῶν δι' ἀπειρίαν ἐλλιμπανόντων τῶν καθηκόντων. οὐχ ὑποσιωπῶντα τοῖς ἁμαρτήμασιν, ἀλλὰ πρᾴως ἀνεχόμενον τῶν ἀφηνιαζόντων, καὶ τὰς ἰατρείας αὐτοῖς ἐν πάσῃ εὐσπλαγχνίᾳ καὶ συμμετρίᾳ προσάγοντα. ἱκανὸν δὲ τρόπον τῆς θεραπείας, τῷ πάθει οἰκεῖον ἐξευρεῖν, οὐ μετ' αὐθαδείας ἐπιτιμῶντα, ἀλλ' ἐν πρᾳότητι νουθετοῦντα καὶ παιδεύοντα, καθὼς γέγραπται, νηφάλιον ἐν τοῖς παροῦσι, προορατικὸν τῶν μελλόντων, ἱκανὸν μὲν τοῖς ἰσχυροῖς συναθλῶν· τῶν δὲ ἀδυνάτων βαστάζειν τὰ ἀσθενήματα. καὶ πάντα ποιεῖν καὶ λέγειν δυνάμενον πρὸς καταρτισμὸν τῶν συνόντων, μὴ ἑαυτῷ λαμβάνοντα

κόπον μὴ ὑπομένων, ἀλλὰ καὶ αὐθαδείας ἔλεγχον καθ' ἑαυτοῦ ἐκφέρει· ἀκριβέστερον οἰόμενος εἶναι τὴν ἰδίαν ἑαυτοῦ κρίσιν τῆς τῶν πλειόνων δοκιμασίας. ἔτι οὖν ἔχει τις τέχνην μὴ κατεγνωσμένην ὑπὸ τοῦ κοινοῦ, ἀποπηδᾶν αὐτῆς οὐκ ὀφείλει· ἀστάτου γὰρ γνώμης, καὶ προαιρέσεως ἀβεβαίου ἐξουθενεῖν τὰ παρόντα. ἔτι μὴ ἔχει, μὴ ἑαυτῷ λαμβανέτω, ἀλλὰ τὸ παρὰ τῶν μειζόνων δοκιμασθὲν ὑποδεχέσθω· ἵνα ἐν παντὶ τὸ εὐπειθὲς διασώζῃ. ὡς δὲ τὸ ἑαυτοῖς ἐπιτρέπειν ἀπρεπὲς ἐλέγχει, οὕτω καὶ τὸ παρ' ἑτέρων ἐγκελευσθὲν μὴ καταδέχεσθαι, κατεγνωσμένον ἐστίν. ἀλλὰ καὶ ἐὰν ἔχῃ τις τέχνην, μὴ ἀρέσκῃ δὲ αὐτῆς ἡ χρῆσις, τῇ ἀδελφότητι ἑτοίμως αὐτὴν ἀπορριπτέτω· δεικνύς, ὅτι πρὸς οὐδὲν τῶν ἐν κόσμῳ ἐμπαθῶς διάκειται. διότι τὸ μὲν ποιεῖν τὰ θελήματα τῶν διανοιῶν τοῦ μὴ ἔχοντος ἐστὶν ἐλπίδα· κατὰ τὸν λόγον τοῦ ἀποστόλου. τὸ δὲ ἐν παντὶ εὐπειθές, ἀποδοχῆς ἄξιον, τοῦ αὐτοῦ ἀποστόλου ἐπαινοῦντος τινάς, ὅτι ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ κυρίῳ, ἔπειτα καὶ ἡμῖν διὰ θελήματος θεοῦ. ἕκαστον μέντοι χρὴ τῇ ἰδίᾳ ἐργασίᾳ προσέχειν, καὶ ταύτης ἐπιθυμητικῶς φροντίζειν, καὶ ὡς θεοῦ ἐφορῶντος, ἐν σπουδῇ ἀόκνῳ, καὶ ἐπιμελείᾳ προσεχεστέρᾳ ἀμέμπτως ἀποπληροῦν, ἵνα ἔχῃ παρρησίαν λέγειν ἀεί, τό, ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν. καὶ μὴ ἄλλοτε εἰς ἄλλο ἀποπηδᾶν. οὐδὲ γὰρ ἡ φύσις ἡμῶν πολλὰ ὁμοῦ κατορθοῦν ἐπιτηδεύματα δύναται. καὶ τὸ μίαν φιλοπόνως ἐκτελεῖν, τοῦ πολλῶν ἀτελῶς ἐφάπτεσθαι χρησιμώτερον. ὁ γὰρ εἰς πλείονα μερισμός, καὶ ἡ ἄλλης τε ἐπ' ἄλλο μετάβασις πρὸς τὸ μηδὲν τελεοῦν τῶν ἔργων, ἔτι καὶ ἦθος ἐλαφρείας, ἢ προϋπάρχουσαν ἐλέγχει, ἢ καὶ μὴ οὖσαν ἐμποιεῖ. ἐὰν δέ ποτε χρεία καταλάβῃ, ἐπιβοηθεῖν καὶ ἄλλαις τέχναις τὸν ἐπιτηδείως ἔχοντα ἀκόλουθον. καὶ οὐδὲ τοῦτο ἀφ' ἑαυτοῦ. ἀλλ' εἴποτε προσκληθείη, οὐ προηγουμένως ἡμῶν ποιούντων τοῦτο, ἀλλὰ κατὰ περίστασιν, ὡς καὶ ἐπὶ τῶν μελῶν τοῦ σώματος, ὅταν ὀκλάσαντος τοῦ ποδός, ἐπιστηριζόμεθα τῇ χειρί. καὶ πάλιν, ὥσπερ τὸ ἑαυτῷ ἐπιτηδεύειν, ἀσύμφορον, οὕτω τὸ προσταχθὲν μὴ καταδέχεσθαι, κατηγορίας ἄξιον, ἵνα μήτε πάθος αὐθαδείας τρέφηται, μήτε ὁ τῆς ὑπακοῆς καὶ εὐπειθείας ὅρος διαλύηται. καὶ ἡ τῶν ἐργαλείων δὲ φροντίς, διαφέρει μὲν προηγουμένως τῷ ἑκάστης ἐργασίας τεχνίτῃ. ἐὰν δὲ ἄρα ποτὲ παροφθῆναι συμβαίνῃ τι ὡς κοινὸν πάντων κτῆμα, οὕτω τῆς προσηκούσης προνοίας ἀξιούσθω ὑπὸ τῶν πρώτως θεασαμένων. οὐ γὰρ καὶ ἡ χρῆσις αὐτῶν ἰδιάζουσα, ἀλλὰ τὸ δι' αὐτῶν χρήσιμον κοινόν. τὸ γὰρ ὡς οὐδὲν προσηκόντων τῶν ἐκ τῆς ἄλλης τέχνης καταφρονεῖν, ἀλλοτριώσεως ἀπόδειξιν ἔχει. οὐ μὴν οὐδὲ τοὺς μεταχειριζομένους τὰς τέχνας δεσποτείαν ἐκδικεῖν τῶν ἐργαλείων προσήκει. ὡς ἢ τῷ προεστῶτι τῆς ἀδελφότητος μὴ συγχωρεῖν αὐτοῖς κεχρῆσθαι πρὸς ὅπερ ἂν θέλῃ, ἢ ἑαυτοῖς ἐπιτρέπειν πωλεῖν αὐτὰ ἢ διαμείβειν, ἢ κατὰ ἄλλον τινὰ τρόπον περιϊέναι, ἢ καὶ προσκτᾶσθαι τοῖς οὖσιν ἕτερα. ὁ γὰρ ἅπαξ κρίνας, μηδὲ τῶν χειρῶν εἶναι τῶν ἑαυτοῦ κύριος, ἀλλ' ἑτέρῳ τὴν ἐνέργειαν αὐτῶν οἰκονομεῖν ἐπιτρέψας, πῶς ἂν ὁ τοιοῦτος ἀκόλουθα πράξαι, τοῖς ἐργαλείοις τῆς τέχνης ἐναυθεντῶν, καὶ δεσποτείας ἀξιώματι ἐπ' αὐτῶν κεχρημένος·

Ἐρώτησις. μβ'

Ποίῳ σκοπῷ, καὶ ποίᾳ διαθέσει ἐργάζεσθαι δεῖ τοὺς ἐργαζομένους·

Ἀπόκρισις

Ἐκεῖνο μέντοι εἰδέναι χρή, ὅτι ὁ ἐργαζόμενος, οὐχ ἵνα ταῖς ἑαυτοῦ χρείαις ὑπηρετῇ διὰ τῶν ἔργων, ἐργάζεσθαι ὀφείλει, ἀλλ' ἵνα τὴν ἐντολὴν τοῦ κυρίου πληρώσῃ, τοῦ εἰπόντος. ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν, καὶ τὰ ἑξῆς. τὸ γὰρ ὑπὲρ ἑαυτοῦ μεριμνᾶν, παντάπασιν ἐστὶν ὑπὸ τοῦ κυρίου κεκωλυμένον, εἰπόντος. μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι, τί ἐνδύσησθε. καὶ ἐπενεγκόντος, ταῦτα γὰρ πάντα, τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. σκοπὸς οὖν ἑκάστῳ προκεῖσθαι ὀφείλει ἐν τῷ ἔργῳ ἡ ὑπηρεσία τῶν δεομένων, οὐχ ἡ ἰδία αὐτοῦ χρεία. οὕτω γὰρ καὶ τῆς φιλαυτίας τὸ ἔγκλημα φεύξεται, καὶ τῆς φιλαδελφίας τὴν εὐλογίαν παρὰ τοῦ κυρίου λήψεται, λέγοντος. ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. καὶ μηδεὶς τὸ τοῦ ἀποστόλου ἐναντιοῦσθαι ἡμῶν τῷ λόγῳ νομιζέτω, εἰπόντος· ἵνα ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι·

Ἀπόκ[illegible]

Χρὴ δὲ σπουδάζειν καὶ τὰ ἐκ τῶν ἐργασιῶν μὴ μακράν που διατίθεσθαι, μήτε δημοσιεύειν ἑαυτοὺς τῆς πράσεως ἕνεκεν. εὐπρεπεστέρα γὰρ ἡ ἐφ' ἑνὸς τόπου διαγωγὴ, καὶ ὠφελιμωτέρα πρός τε τὴν οἰκοδομὴν ἀλλήλων, καὶ ἀκριβῆ συντήρησιν τοῦ καθ' ἡμέραν βίου, ὥστε αἱρεῖσθαι μᾶλλον καὶ ὑφαιρεῖν τῆς ἀξίας, ἢ ὑπὲρ ὀλίγου κέρδους ὑποβαίνειν ἀποδημεῖν. ἐὰν δὲ τοῦτο ἀδύνατον ἡ πεῖρα δείξῃ, ἐκλέγεσθαι καὶ τόπους καὶ πόλεις ἀνδρῶν εὐλαβῶν, ὡς μὴ ἄκαρπον ἡμῖν τὴν ἀποδημίαν γίνεσθαι, καὶ ἐν ταῖς ἀποδεδειγμέναις πανηγύρεσι πλείονας ὁμοῦ συνδραμεῖν τῶν ἀδελφῶν, ἕκαστον τὰ ἐκ τῆς οἰκείας ἐργασίας ἐπιφερόμενον. καὶ κοινὴν μὲν τὴν ἀποδημίαν στέλλεσθαι, ὡς καὶ τὴν ὁδὸν μετὰ ψαλμῶν καὶ προσευχῶν καὶ τῆς ἐν ἄλλοις οἰκοδομῆς ἐκτελεῖν. καὶ ἐπὶ τὸν τόπον δὲ γενομένους, τὰς αὐτὰς αἱρεῖσθαι καταγωγάς. τῆς τε ἀλλήλων φυλακῆς ἕνεκεν, καὶ τοῦ μηδένα καιρὸν προσευχῆς, μήτε ἡμερινὸν, μήτε νυκτερινὸν ἡμᾶς διαφεύγειν. καὶ τὰς τῶν δυσσυναλλάκτων, καὶ πλεονεκτικῶν συντυχίας ἀβλαβέστερον διαβιῶναι μετὰ πλειόνων ὄντα ἢ καθ' ἑαυτόν. παραιτοῦνται γὰρ πολλοὺς ἔχειν τῆς ἀδικίας μάρτυρας καὶ οἱ βιαιότατοι.

Ἐρώτησις. μ.

Περὶ τῶν ἐν συνόδοις πραγματειῶν.

Ἀπόκρισις.

Ἀλλ' οὐδὲ τὰς ἐν τοῖς μαρτυρείοις γινομένας ἀγορασίας οἰκείας ἡμῖν ὁ λόγος δείκνυσιν. οὐ γὰρ ἄλλου τινὸς ἕνεκεν ἐν τοῖς μαρτυρείοις, ἢ ἐν τοῖς περὶ αὐτὰ τόποις φαίνεσθαι ἐπιβάλλει χριστιανοῖς, ἢ προσευχῆς ἕνεκεν. καὶ τοῦ εἰς ὑπόμνησιν ἐλθόντας τῆς τῶν ἁγίων ὑπὲρ εὐσεβείας μέχρι θανάτου ἐνστάσεως πρὸς τὸν ζῆλον τὸν ὅμοιον προτραπῆναι, μεμνημένους τῆς φοβερωτάτης ὀργῆς τοῦ κυρίου, ὅτι καὶ πάντοτε, καὶ πανταχοῦ πρᾶος ὢν, καὶ ταπεινὸς τῇ καρδίᾳ, καθὼς γέγραπται, μόνοις τοῖς περὶ τὸ ἱερὸν πωλοῦσι καὶ ἀγοράζουσι, τὴν μάστιγα ἐπανετείνετο. ὡς τῆς ἐμπορίας τὸν οἶκον τῆς προσευχῆς μεταποιούσης εἰς σπήλαιον λῃστῶν. οὐ μὴν, ἐπειδὴ ἕτεροι προλαβόντες παρέφθειραν τὴν κεκρατηκυῖαν ἐπὶ τῶν ἁγίων συνήθειαν, καὶ ἀντὶ τοῦ προσεύχεσθαι ὑπὲρ ἀλλήλων, καὶ μετὰ πλειόνων προσκυνεῖν καὶ προσκλαίειν τῷ θεῷ, καὶ ἐξιλάσκεσθαι μὲν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν, εὐχαριστεῖν δὲ ὑπὲρ τῶν εὐεργεσιῶν, οἰκοδομεῖν δὲ διὰ τοῦ λόγου τῆς παρακλήσεως, ὅπερ ἔτι καὶ ἐπὶ τῆς ἡμετέρας μνήμης τηρούμενον ἔγνωμεν, ἀντὶ τούτου ἀγορὰν καὶ πανήγυριν, καὶ κοινὸν ἐμπόριον τόν τε καιρὸν καὶ τὸν τόπον ποιοῦνται. ἤδη καὶ ἡμᾶς ἀκολουθεῖν αὐτοῖς προσήκει, καὶ βεβαιοῦν τὰ ἄτοπα τῇ κοινωνίᾳ τοῦ πράγματος. ἀλλὰ μιμεῖσθαι τὰς ἐπὶ τοῦ κυρίου ἡμῶν ἐν τοῖς εὐαγγελίοις ἱστορουμένας συνόδους, καὶ πληροῦν τὰ ὑπὸ τοῦ ἀποστόλου ὡς συντελοῦντα τῷ τοιούτῳ τύπῳ διατεταγμένα. γράφει δὲ οὕτως. ὅταν συνέρχησθε ἕκαστος ὑμῶν, ψαλμὸν ἔχει, διδαχὴν ἔχει, ἀποκάλυψιν ἔχει, γλῶσσαν ἔχει, ἑρμηνείαν ἔχει, πάντα πρὸς οἰκοδομὴν γινέσθω.

Ἐρώτησις. μα΄.

Περὶ αὐθεντίας καὶ ὑπακοῆς.

Ἀπόκρισις.

Ἐν αὐταῖς μέντοι ταῖς συγκεχωρημέναις τέχναις, οὐχ ἣν ἕκαστον ἣν αὐτὸς βούλεται μαθεῖν, ἐπιτρέπεσθαι χρή. ἀλλ' εἰς ἣν ἂν δοκιμασθῇ ἐπιτήδειος εἶναι. ὁ γὰρ ἀρνησάμενος ἑαυτὸν, καὶ πάντα τὰ ἑαυτοῦ θελήματα ἀποθέμενος, οὐχ ὃ βούλεται ποιεῖ, ἀλλ' ὃ διδάσκεται. οὐ μὴν οὐδὲ ἀφ' ἑαυτοῦ ἐκλέγεσθαι τὸ συμφέρον συγχωρεῖ ὁ λόγος τῷ ἅπαξ τὴν ἑαυτοῦ οἰκονομίαν ἐπιτρέψαντι ἑτέροις. οἳ πρὸς ὅπερ ἂν καταμάθωσιν ἐν ὀνόματι κυρίου ἐπιτήδειον, εἰς ἐκεῖνο αὐτὸν τάξουσιν. ἐπεὶ ὅγε κατ' ἰδίαν ἐπιθυμίαν ἐκλεγόμενος ἔργον, κατηγορίαν ἑαυτοῦ ἐκφέρει. πρῶτον μὲν αὐταρεσκείας, ἔπειτα, ὅτι ἢ διὰ δόξαν κοσμικὴν, ἢ διὰ κέρδους ἐλπίδα, ἢ διά τι τοιοῦτον προσπέπονθε τῷ ἐπιτηδεύματι, ἢ δι' ὄκνον καὶ ῥᾳθυμίαν προτιμᾷ τὸ κουφότερον. τὸ δὲ ἐν τούτοις εἶναι, ἀπόδειξίς ἐστι τοῦ μὴ ἀπηλλάχθαι τῆς τῶν παθῶν κακίας. οὔτε δὲ ἠρνήσατο ἑαυτὸν ὁ ἰδίας ὁρμὰς ἐκτελεῖν θέλων. οὔτε ἀπετάξατο τοῖς τοῦ κόσμου πράγμασιν, ὅπερ ἔτι πρὸς κέρδος, καὶ πρὸς δόξαν ἐπτόηται. οὐδὲ μὴν ἐνέκρωσεν αὐτοῦ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, ὁ τὸν ἐν τοῖς ἔργοις

ἐν αὐτῇ δεδομένων ἡμῖν ἢ κατορθωμένων, καὶ τῶν παρειθέντων ἡ ἐξαγόρευσις, εἴτε ἑκούσιον, εἴτε ἀκούσιον, εἴτε που καὶ λανθάνον πλημμέλημα γέγονεν, ἢ ἐν ῥήμασιν, ἢ ἐν ἔργοις, ἢ κατ' αὐτὴν τὴν καρδίαν, περὶ πάντων ἐξιλεουμένων ἡμῶν διὰ τῆς προσευχῆς τὸν θεόν· μέγα γὰρ ὄφελος ἡ ἐπίσκεψις τῶν παρελθόντων πρὸς τὸ μὴ τοῖς ὁμοίοις αὖθις περιπεσεῖν. διό φησιν, ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. καὶ πάλιν τῆς νυκτὸς ἀρχομένης, ἡ αἴτησις τοῦ ἀπρόσκοπον ἡμῖν καὶ φαντασιῶν ἐλευθέραν ὑπάρξαι τὴν ἀνάπαυσιν· λεγομένου καὶ ἐν ταύτῃ τῇ ὥρᾳ ἀναγκαίως τοῦ ἐνενηκοστοῦ ψαλμοῦ. τὸ δὲ μεσονύκτιον, παῦλος καὶ σίλας ἡμῖν ἀναγκαῖον εἰς προσευχὴν παραδεδώκασιν, ὡς ἡ τῶν πράξεων ἱστορία παρίστησι λέγουσα· κατὰ δὲ τὸ μεσονύκτιον παῦλος καὶ σίλας ὕμνουν τὸν θεόν, καὶ ὁ ψαλμῳδὸς λέγων, μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. καὶ πάλιν χρὴ προφθάσαντας τὸν ὄρθρον, εἰς τὴν προσευχὴν διανίστασθαι· ὡς μὴ ἐν ὕπνῳ καὶ κοίτῃ ὑπὸ τῆς ἡμέρας καταληφθῆναι· κατὰ τὸν εἰπόντα, προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾷν τὰ λόγιά σου, ὧν οὐδένα χρὴ καιρὸν τοῖς ἐπιτετηρημένοις εἰς δόξαν θεοῦ καὶ τοῦ χριστοῦ αὐτοῦ προαιρουμένοις ζῆν, παρορᾶσθαι. χρήσιμα δὲ λογίζομαι τὴν ἐν ταῖς προσευχαῖς καὶ ψαλμῳδίαις κατὰ τὰς ἐπιτετηρημένας ὥρας διαφορὰν τε καὶ ποικιλίαν, καὶ κατ' ἐκεῖνο, ὅτι ἐν μὲν τῇ ὁμαλότητι πολλάκις που καὶ ἀκηδιᾷ ἡ ψυχὴ, καὶ ἀπομετεωρίζεται· ἐν δὲ τῇ ἐναλλαγῇ καὶ τῷ ποικίλῳ τῆς ψαλμῳδίας καὶ τοῦ περὶ ἑκάστης ὥρας λόγου νεαροποιεῖται αὐτῆς ἡ ἐπιθυμία, καὶ ἀνακαινίζεται τὸ νηφάλιον.

ἐρώτησις. λη'.

Δείξαντος ἱκανῶς τοῦ λόγου καὶ τὴν προσευχὴν ἀπαραίτητον, καὶ τὸ ἐργάζεσθαι ἀναγκαῖον, ἀκόλουθον διδαχθῆναι ἡμᾶς ποῖαι τέχναι τῷ ἐπαγγέλματι ἡμῶν ἁρμόζουσιν.

Ἀπόκρισις.

Ἰδικῶς μὲν ἀφορίσαι τέχνας τινὰς οὐκ εὔκολον, διὰ τὸ ἄλλας παρ' ἄλλοις ἐπιζητεῖσθαι κατὰ τὴν ἐπιτηδειότητα τῶν ἐν ἑκάστῃ χώρᾳ πραγματειῶν· κοινῷ δὲ λόγῳ τὴν ἐκλογὴν τούτων ὑποτυπώσασθαι δυνατὸν, ὅσαι τὸ εἰρηνικὸν καὶ τὸ ἀθόρυβον τῆς ζωῆς ἡμῶν συντηροῦσι· μήτε πολλῆς πραγματείας εἰς τὸν πορισμὸν τῆς οἰκείας ὕλης δεόμεναι· μήτε πολλοῦ τοῦ ἀγῶνος πρὸς τὴν τῶν ἀπεργασθέντων διάπρασιν· μήτε ὅσαι συντυχίας ἡμῖν ἀνδρῶν, ἢ γυναικῶν ἀπρεπεῖς, ἢ βλαβερὰς προξενοῦσιν. ἀλλ' ἐν παντὶ σκοπὸν οἰκεῖον ἡμῖν προκεῖσθαι νομίζειν χρὴ, τὴν λιτότητα, καὶ τὴν εὐτέλειαν φεύγοντας τὸ ὑπηρετεῖν ἐπιθυμίαις ἀνθρώπων ἀνοήτοις καὶ βλαβεραῖς, διὰ τοῦ τὰ ἐπιζητούμενα παρ' αὐτῶν ἐξεργάζεσθαι. ἀλλ' ἐν μὲν τῇ ὑφαντικῇ, τὸ ἐμπολιτευόμενον τῇ συνηθείᾳ τοῦ βίου, οὐ τὸ πρὸς ἄγραν καὶ παγίδα τῶν νέων ὑπὸ τῶν ἀκολάστων ἡμῖν παραδεκτέον ἐπινοούμενον. ὁμοίως δὲ καὶ ἐπὶ σκυτοτομικῆς τοῖς τὰ ἀναγκαῖα τῆς χρείας ἐπιζητοῦσι, διὰ τῆς τέχνης ὑπηρετήσωμεν. οἰκοδομική τε, καὶ τεκτονικὴ, καὶ χαλκευτικὴ, καὶ γεωργία. αὐταὶ μὲν καθ' ἑαυτὰς ἀναγκαῖαι τῷ βίῳ, καὶ πολὺ τὸ χρήσιμον παρεχόμεναι. καὶ τῷ οἰκείῳ λόγῳ οὐκ ἀπόβλητοι ἡμῖν. πλὴν ὅταν ποτὲ ἢ θορύβους ἡμῖν ἐμποιῶσιν, ἢ τὸ ἡνωμένον τῆς ζωῆς τῶν ἀδελφῶν διασπῶσι, τότε αὐτὰς ἐξ ἀνάγκης ἐκκλίνομεν προτιμῶντες τὰς τέχνας τὰς διατηρούσας ἡμῖν τὴν ἀπερίσπαστον ζωὴν καὶ εὐπάρεδρον τῷ κυρίῳ. καὶ μήτε καιροῦ ψαλμῳδίας, μήτε προσευχῆς, μήτε τῆς λοιπῆς εὐταξίας ἀφελκούσας, τοὺς τῇ ἀσκήσει τῆς εὐσεβείας προσκαρτεροῦντας. ἐπεὶ ὅταν γε μηδὲν ὑπάρχῃ παρ' αὐτῶν εἰς τὴν προηγουμένην ζωὴν καταβλάπτεσθαι, πολλῶν εἰσὶ προτιμότεραι, καὶ μάλιστα ἡ γεωργία, αὐτόθεν ἔχουσα τῶν ἀναγκαίων τὸν πορισμὸν, καὶ τῆς ἐπὶ πολὺ πλάνης, καὶ ἄνω καὶ κάτω διαδρομῆς ῥυομένη τοὺς γεωργοῦντας μόνον, εἰ καθ' ὃν ἔπομον τρόπον, μήτε ἀπὸ γειτόνων, μήτε ἀπὸ συνοίκων θορύβους ἡμῖν ἐπάγει, καὶ ταραχάς.

ἐρώτησις. λθ'.

Πῶς χρὴ ποιεῖσθαι τῶν ἐκ τῆς ἐργασίας τὴν διάπρασιν, καὶ πῶς ἀποδημεῖν.

χρὴ δὲ

κύριος δὲ τὴν ὀκνηρίαν τῇ πονηρίᾳ συνῆψεν εἰπών, πονηρὲ δοῦλε, καὶ ὀκνηρέ. ἀλ-
λὰ καὶ ὁ σοφὸς σολομῶν, οὐ μόνον ἐπαινεῖ τὸν ἐργαζόμενον διὰ τῶν μνημονευθέντων,
» ἀλλὰ καὶ ἐλέγχει τὸν ὀκνηρὸν συγκρίσει τῶν μικροτάτων ζώων λέγων. ἴθι πρὸς τὸν μύρ
» μηκα ὦ ὀκνηρέ. ὥστε φοβεῖσθαι χρή, μήποτε ἡμῖν τοῦτο καὶ ἐν ἡμέρᾳ κρίσεως προσενε-
χθῇ τοῦ δεδωκότος ἡμῖν τὴν πρὸς τὸ ἐργάζεσθαι δύναμιν, ἀναλογοῦσαν τῇ δυνάμει τὴν
ἐργασίαν ἐπιζητοῦντος. διότι ᾧ παρέθεντο πολύ, περισσότερον ἀπαιτήσουσιν αὐτόν.
ἐπεὶ δέ τινες προφάσει τῶν εὐχῶν καὶ τῆς ψαλμῳδίας παραιτοῦνται τὰ ἔργα, εἰδέναι
δεῖ, ὅτι ἐπὶ μὲν ἄλλων τινῶν ἑκάστου καιρός ἐστιν ἴδιος, κατὰ τὸν ἐκκλησιαστὴν εἰπόντα,
» καιρὸς τῷ παντὶ πράγματι, προσευχῆς δὲ καὶ ψαλμῳδίας. ὥσπερ οὖν καὶ ἑτέρων πλειό-
νων πᾶς καιρὸς ἐπιτήδειος, ὥς τε μεταξὺ τὰς χεῖρας κινοῦντας πρὸς τὰ ἔργα, ποτὲ μὲν
καὶ τῇ γλώσσῃ, ὅταν τοῦτο ᾖ δυνατόν, μᾶλλον δὲ χρήσιμον πρὸς οἰκοδομὴν τῆς πίστεως.
εἰ δὲ μή γε, τῇ καρδίᾳ ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς τὸν θεὸν ἀνυμνεῖν, κα-
θὼς γέγραπται, καὶ τὴν προσευχὴν μεταξὺ τοῦ ἔργου πληροῦν. εὐχαριστοῦντας μὲν
τῷ δεδωκότι καὶ δύναμιν χειρῶν πρὸς ἔργα, καὶ σοφίαν διανοίας πρὸς ἀνάληψιν τῆς
ἐπιστήμης καὶ τὴν ὕλην χαρισαμένῳ. τήν τε ἐν τοῖς ἐργαλείοις, καὶ τὴν ὑποκειμένην ταῖς
τέχναις, ἅσπερ ἂν τύχωμεν ἐργαζόμενοι. προσευχομένους δὲ κατευθυνθῆναι τὰ ἔργα
τῶν χειρῶν ἡμῶν πρὸς τὸν σκοπὸν τῆς πρὸς θεὸν εὐαρεστήσεως. οὕτω καὶ τὸ ἀμετεώριστον
τῇ ψυχῇ κατορθοῦμεν, ὅταν ἐφ᾽ ἑκάστῃ ἐνεργείᾳ τήν τε εὐοδίαν τῆς ἐργασίας παρὰ θεοῦ
αἰτῶμεν, καὶ τὴν εὐχαριστίαν τῷ δεδωκότι τὸ ἐνεργεῖν ἀποπληρῶμεν, καὶ τὸν σκοπὸν
τῆς πρὸς αὐτὸν εὐαρεστήσεως φυλάσσωμεν, καθὰ προείρηται. ἐπεί, εἰ μὴ ταῦτα τοῦ-
τον ἔχει τὸν τρόπον, πῶς δύναται συμβαίνειν ἀλλήλοις τὰ ὑπὸ τοῦ ἀποστόλου εἰρημέ-
να, τό, τε ἀδιαλείπτως προσεύχεσθαι, καὶ τό, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι; οὐ μὴν ἐ-
πειδὴ ἐν παντὶ καιρῷ εὐχαριστία καὶ νόμῳ προστέτακται, καὶ ἀναγκαία ἡμῶν τῇ ζωῇ
δέδεικται, κατά τε φύσιν καὶ λόγον, παρορᾶσθαι δεῖ τοὺς διατετυπωμένους καιροὺς τῶν
προσευχῶν ἐν ταῖς ἀδελφότησιν, οὓς ἀναγκαίως ἐξελεξάμεθα, ἑκάστου ἰδίαν τινὰ ὑπό-
μνησιν τῶν παρὰ τοῦ θεοῦ ἀγαθῶν ἔχοντος. τὸν μὲν ὄρθρον, ὥστε τὰ πρῶτα κινήμα-
τα τῆς ψυχῆς καὶ τοῦ νοῦ, ἀναθήματα εἶναι θεοῦ. καὶ μηδὲν ἕτερον ἀναλαμβάνειν εἰς
» φροντίδα, πρὶν ἢ τῇ περὶ θεοῦ ἐννοίᾳ εὐφρανθῆναι καθὼς γέγραπται. ἐμνήσθην τοῦ
» θεοῦ καὶ ηὐφράνθην, μηδὲ τὸ σῶμα κινῆσαι πρὸς ἐργασίαν, πρὶν ποιῆσαι τὸ εἰρημένον.
» ὅτι πρὸς σὲ προσεύξομαι κύριε. τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. τὸ πρωῒ παραστήσο-
» μαί σοι. πάλιν δὲ κατὰ τὴν τρίτην ὥραν εἰς τὴν προσευχὴν ἀνίστασθαι, καὶ ἐπισυνά-
γειν τὴν ἀδελφότητα, κἂν τύχωσιν ἄλλοι πρὸς ἄλλα ἔργα μεμερισμένοι. καὶ ὑπομνη-
σθέντας τῆς τοῦ πνεύματος δωρεᾶς, τῆς κατὰ τὴν τρίτην ὥραν τοῖς ἀποστόλοις δεδομέ-
νης, προσκυνῆσαι πάντας ὁμοθυμαδὸν εἰς τὸ ἀξίους γενέσθαι καὶ αὐτοὺς τῆς ὑποδοχῆς τοῦ
ἁγιασμοῦ, καὶ αἰτοῦντας τὴν παρ᾽ αὐτοῦ ὁδηγίαν καὶ διδασκαλίαν πρὸς τὸ συμφέρον,
» κατὰ τὸν εἰπόντα. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνι-
» σον ἐν τοῖς ἐγκάτοις μου. μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά
» σου τὸ ἅγιον, μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου,
» καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. καὶ ἀλλαχοῦ. τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγή-
» σει με ἐν γῇ εὐθείᾳ. οὕτω πάλιν τῶν ἔργων ἔχεσθαι, κἂν πορρωτέρω δέ που διὰ τὴν τῶν
ἔργων, ἢ τῶν τόπων φύσιν διάγοντες καταλειφθῶσι, πληροῦν ἀναγκαίως ὀφείλουσιν
» ἐκεῖ ἕκαστα τὰ κοινῇ δόξαντα, μηδὲν διακρινόμενοι. ὅτι ὅπου ἐὰν ὦσι δύο ἢ τρεῖς συ-
» νηγμένοι, φησὶν ὁ κύριος, εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. ἐν δὲ τῇ ἕκτῃ ὥρᾳ κα-
τὰ μίμησιν τῶν ἁγίων ἀναγκαίαν εἶναι τὴν προσευχὴν ἐκρίναμεν τῶν λεγόντων.
» ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ, καὶ εἰσακούσε-
» ται τῆς φωνῆς μου. καὶ ὥς τε ῥυσθῆναι ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημ-
» βρινοῦ, ἅμα καὶ τοῦ ψαλμοῦ τοῦ ἐνενηκοστοῦ λεγομένου. ἡ δὲ ἐννάτη παρ᾽ αὐ-
τῶν ἡμῖν τῶν ἀποστόλων ἐν ταῖς πράξεσιν ἀναγκαία εἰς προσευχὴν παραδέδοται
» ἱστορούσαις. ὅτι πέτρος καὶ ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς
» προσευχῆς τὴν ἐννάτην. συμπληρωθείσης δὲ τῆς ἡμέρας ἡ εὐχαριστία ὑπὲρ τῶν

ἐρώτησις. λϛ.

Περὶ τῶν ἀναχωρούντων ἀπὸ ἀδελφότητος.

ἀπόκρισις.

Τούς γε μὴν ἅπαξ καθομολογησαμένους ἀλλήλοις τὴν ἐπὶ τὸ αὐτὸ ζωήν, ἀδιαφόρως ἀνα-
χωρεῖν οὐχ οἷόν τε. διότι τὸ μὴ ἐπιμένειν τοῖς διαζευγνῦσι δύο αἰτίας ἔχει, ἢ τὴν ἐκ τῆς
συνοικήσεως βλάβην, ἢ τὸ ἄστατον τῆς γνώμης τοῦ μεταβαλλομένου. ὁ μὲν οὖν διὰ τὸ
βλάπτεσθαι ἀποσπώμενος ἀδελφῶν μὴ κρυπτέτω καθ' ἑαυτὸν τὴν αἰτίαν, ἀλλ' ἐλεγχέτω
» τὴν βλάβην κατὰ τὸν τρόπον τὸν παραδοθέντα παρὰ τοῦ κυρίου, εἰπόντος, ἐὰν ἁμάρτῃ ὁ
» ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, καὶ τὰ ἑξῆς. καὶ ἐὰν
μὲν διορθωθῇ τὸ ἐπιζητούμενον παρ' αὐτοῦ, τοὺς τε ἀδελφοὺς ἐκέρδησε, καὶ τὴν κοινω-
νίαν αὐτῶν οὐκ ἀτιμάζει. ἐὰν δὲ ἐπιμένοντας αὐτοὺς τῷ κακῷ, καὶ μὴ καταδεχομένους
τὴν διόρθωσιν ἴδῃ, τοῖς τὰ τοιαῦτα κρίνειν ἱκανοῖς ἐπιδειξάτω. καὶ μετὰ τὴν τῶν πλειό-
νων μαρτυρίαν τότε χωριζέσθω. χωρισθήσεται δὲ οὐκέτι ἀδελφῶν, ἀλλὰ ἀλλοτρίων.
» τοῦ κυρίου τὸν ἐπιμένοντα τῷ κακῷ ἐθνικῷ καὶ τελώνῃ συγκρίνοντος. ἔστω γάρ σοι φησὶν ὁ τοιοῦ-
» τος ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. εἰ δὲ διὰ ἰδίαν κουφότητα ἀποπηδᾷ τῆς συμφω-
νίας τῶν ἀδελφῶν, τὸ ἑαυτοῦ ἀσθενὲς θεραπευσάτω, ἢ μὴ καταδεξάμενος ἀπρόσδεκτος
ἔστω ταῖς ἀδελφότησιν. ἐὰν δὲ διὰ ἐντολὴν τοῦ κυρίου ἄλλος ἀλλαχοῦ ἕλκηται, οὐ χωρίζον-
ται οἱ τοιοῦτοι, ἀλλ' οἰκονομίαν πληροῦσιν. ἄλλην δὲ αἰτίαν χωρισμοῦ ἀδελφῶν ὁ λόγος
οὐ καταδέχεται. πρῶτον μέν, ὅτι τὸ συναγαγὸν ὄνομα τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἀτιμάζει. ἔπει-
τα δέ, ὅτι οὐδὲ ἡ συνείδησις ἑκάστου πρὸς τὸν ἕτερον καθαρεύειν δύναται, ἀλλὰ δι' ὑπο-
ψίας ἀλλήλοις ἔσονται. τοῦτο δὲ ἐναντιοῦται σαφῶς τῷ προστάγματι τοῦ κυρίου εἰπόντος.
» ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει
» τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλ-
λάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.

ἐρώτησις. λζ.

Εἰ δεῖ προφάσει τῶν προσευχῶν καὶ τῆς ψαλμῳδίας ἀμελεῖν τῶν ἔργων, καὶ ποῖοι
καιροὶ τῆς προσευχῆς ἐπιτήδειοι, καὶ πρῶτον, εἰ χρὴ ἐργάζεσθαι.

ἀπόκρισις.

Τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ λέγοντος, ἄξιος οὐχ ἁπλῶς ἕκαστος, οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ὁ ἐργάτης
τῆς τροφῆς αὐτοῦ ἐστι. καὶ τοῦ ἀποστόλου κελεύοντος κοπιᾷν καὶ ἐργάζεσθαι ταῖς ἰδίαις
χερσὶ τὸ ἀγαθόν, ἵνα ἔχητε μεταδιδόναι τῷ χρείαν ἔχοντι. τὸ μέν, ὅτι χρὴ ἐργάζεσθαι
σπουδαίως, δῆλον ἐστὶν αὐτόθεν. οὐ γὰρ πρόφασιν ἀργίας, οὐδὲ ἀποφυγὴν πόνου τὸν σκοπὸν
τῆς εὐσεβείας σκοπὸν ἡγεῖσθαι χρή, ἀλλὰ ὑπόθεσιν ἀθλήσεως, καὶ πόνων περισσοτέ-
» ρων, καὶ ὑπομονῆς τῆς ἐν θλίψεσι, ἵνα καὶ ἡμῖν ἐξῇ λέγειν, ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυ-
» πνίαις πλειοτέροις, ἐν λιμῷ καὶ δίψει. οὐ μόνον διὰ τὸν ὑπωπιασμὸν τοῦ σώματος
χρησίμου οὔσης ἡμῖν τῆς τοιαύτης ἀγωγῆς, ἀλλὰ καὶ διὰ τὴν εἰς τὸν πλησίον ἀγάπην,
ἵνα καὶ τοῖς ἀσθενοῦσι τῶν ἀδελφῶν δι' ἡμῶν ὁ θεὸς τὴν αὐτάρκειαν παρέχῃ, κατὰ τὸν
» ἐν ταῖς πράξεσιν ὑπὸ τοῦ ἀποστόλου δεδομένον τύπον, εἰπόντος, πάντα ὑπέδειξα ὑμῖν,
» ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. καὶ πάλιν. ἵνα ἔχητε μεταδ-
» ιδόναι τῷ χρείαν ἔχοντι, ὅπως καταξιωθῶμεν ἀκοῦσαι. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου,
» κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ,
» καὶ ἐδώκατέ μοι φαγεῖν. καὶ ὅσον μὲν κακόν ἐστι τὸ τῆς ἀργίας, τί χρὴ λέγειν; τοῦ ἀποστόλου φα-
νερῶς παραγγέλλοντος, τὸν μὴ ἐργαζόμενον μηδὲ ἐσθίειν. ὡς οὖν ἀναγκαῖον ἑκάστῳ ἡ καθη-
μερινὴ τροφή, οὕτω ἀναγκαῖον καὶ τὸ κατὰ δύναμιν ἔργον. οὐ γὰρ μάτην ὁ σολομὼν ἐν ἐπαί-
» νῳ ἔγραψε τό, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. καὶ πάλιν περὶ ἑαυτοῦ ὁ ἀπόστολος. ὅτι οὔ-
» τε δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ, καὶ μόχθῳ, νυκτὸς καὶ ἡμέρας ἐργαζό-
» μενοι. καίτοι ἔχων ἐξουσίαν τὸ εὐαγγέλιον καταγγέλλων ἐκ τοῦ εὐαγγελίου ζῆν. καὶ ὁ

κς, δὲ

συμβαίνει γίνεσθαι καὶ δυσκολίαν αὐτὴ ἀναπαύσεως μερίζομένοις τὸν λογισμὸν πρὸς τί-
νας χρὴ καταχθῆναι. ἥτε γὰρ περιστίμησις λυπηρά, καὶ τὸ ἀμφοτέρους πληροφορῆσαι ἀ-
δύνατον, καὶ μάλιστα ὅταν ἐπειγόμενοι τυγχάνωσι. τοῖς δὲ ἐξ ἀρχῆς προσιοῦσιν εἰς τὸ
συζῆν, πολλὴν ἀδημονίαν παρέχουσι, τίνας δεῖ προεστῶτας τῆς ἑαυτῶν ζωῆς ἑλέσθαι,
καὶ πάντως ἐκ τοῦ τίνας αἱρεῖσθαι, τοὺς λοιποὺς ἀποδοκιμάζειν. ἔπειθ' οὖν αὐτοὺς
ἀπὸ τῆς πρώτης εἰσόδου συμβαίνει βλάπτεσθαι, οὐχὶ ταπεινοῦντας ἑαυτοὺς εἰς μά-
θησιν, ἀλλ' ἐθιζομένους κριτὰς καὶ δοκιμαστὰς τῆς ἀδελφότητος γίνεσθαι. ὁπότε τοί-
νυν ἀγαθὸν μὲν οὐδὲν ὁμολογούμενόν ἐστιν ἐν τῇ διαιρέσει τῶν οἰκήσεων, τὰ δὲ ὑπεναν-
τία τοσαῦτα, τὸ χωρίζεσθαι ἀπ' ἀλλήλων παντελῶς ἀσύμφορον. εἰ δὲ προληφθῆναί
τινα συμβαίη, ἐπείγεσθαι χρὴ πρὸς τὴν διόρθωσιν, καὶ μάλιστα μετὰ τὴν πεῖραν τῶν
βλαβερῶν. τὸ δὲ ἐπιμένειν τῇ κρίσει φιλονεικία σαφής. εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι,
φησὶν ὁ ἀπόστολος, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ.
τίνος γὰρ οὕνεκα φήσουσιν εἰς τὴν συνάφειαν κωλύεσθαι; πότερον χρειῶν; ἀλλὰ πολλῷ εὐ-
πορώτεραι εἰσὶν ἐν τῇ κοινωνίᾳ. οἷος λύχνου καὶ μιᾶς ἑστίας, καὶ πάντων τῶν τοιούτων
τοῖς πᾶσιν ἐπαρκέσαι δυναμένων. χρὴ γὰρ εἴπερ τι ἕτερον, καὶ τὴν ἐν τούτοις ἀχρ-
ρείαν μεταδιώκειν ἐκ παντὸς τρόπου ἐπὶ τὸ ἔλαττον, τὰς κτήσεις τῶν ἀναγκαίων συ-
στέλλοντας. ἔπειτα καὶ τῶν ἔξωθεν τὰς χρείας ἐπεισαγόντων τῇ ἀδελφότητι, ἐν μὲν
τῇ διαιρέσει πλειόνων χρεία, ἐν δὲ τῇ συνοικήσει τῶν ἡμίσεων. ὅπως δὲ δύσκολόν ἐστιν
εὑρεθῆναι ἄνδρα μὴ καταισχύνοντα τὸ ὄνομα τοῦ χριστοῦ, ἀλλ' ἀξίαν τοῦ ἐπαγγέλματος τὴν
τῶν ἔξωθεν συντυχίαν ἐν ταῖς ἀποδημίαις ποιούμενον γινώσκομεν ἡμῖν περὶ τῶν ἐμῶν λό-
γων. εἶτα οἱ ἐπιμένοντες τῇ διαστάσει, πῶς δύνανται τὸν ἐν τῷ κοινοβίῳ οἰκοδομεῖν; ἢ
πρὸς εἰρήνην συνελαύνοντες, εἴποτε δέοι, ἢ πρὸς τὰς ἄλλας ἐντολὰς παρακαλοῦν-
τες, ἀπόνοιαν πονηρὰς ἐκ τοῦ μὴ ἑνοῦσθαι καθ' ἑαυτῶν παρεχόμενοι; καὶ πρὸς τού-
τοις ἀκούομεν τοῦ ἀποστόλου γράφοντος φιλιππησίοις. ὅτι, πληρώσατέ μου τὴν χαράν,
ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες. σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν
κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας
ἑαυτῶν. μὴ τὰ ἑαυτῶν σκοποῦντες, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστοι. τίς οὖν μείζων ἀ-
πόδειξις ταπεινοφροσύνης, τοῦ ἀλλήλοις ὑποτάσσεσθαι τοὺς προεστῶτας τῆς ἀδελφότη-
τος. εἴτε γὰρ ἴσοι εἰσὶν ἐν τοῖς πνευματικοῖς χαρίσμασι, κάλλιον ἐστὶν ἡ συνάθλησις. ὥσ-
περ οὖν ὑπέδειξεν ἡμῖν αὐτὸς ὁ κύριος, ἀνὰ δύο δύο ἀποστείλας, καὶ ὁ ἕτερος αὐτῶν αἱρήσεται
πάντως μετὰ χαρᾶς ὑποτάσσεσθαι τῷ ἑτέρῳ, μεμνημένος τοῦ κυρίου λέγοντος, ὅτι ὁ ταπει-
νῶν ἑαυτὸν, ὑψωθήσεται. εἰ δὲ τὸν μὲν ἐλαττοῦσθαι, τὸν δὲ ὑπερέχειν συμβαίνει, ὠφελι-
μώτερόν ἐστι περιληφθῆναι ὑπὸ τοῦ ἰσχυροτέρου τὸν ἀσθενέστερον. πῶς δὲ καὶ οὐχὶ
φανερὰ παρακοή ἐστι τοῦ ἀποστολικοῦ παραγγέλματος, τοῦ λέγοντος, μὴ τὰ ἑαυτῶν
ἕκαστοι σκοποῦντες, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστοι. λογίζομαι γὰρ μὴ εἶναι δυνατὸν ἐν τῇ
διαιρέσει τοῦτο κατορθωθῆναι, ἑκάστου τάγματος τὴν μὲν ὑπὲρ τῶν συνόντων μέριμ-
ναν ἰδιοποιησαμένου, τῆς δὲ ὑπὲρ τῶν ἄλλων φροντίδος ἀλλοτριωμένου, ὅπερ, ὡς εἶπον,
σαφῶς ἐναντιοῦται τῷ ἀποστολικῷ παραγγέλματι. καὶ τῶν ἐν ταῖς πράξεσιν ἁγίων
πολλάκις μαρτυρουμένων, δι' ὧν γέγραπται, ποτὲ μὲν ὅτι τοῦ πλήθους τῶν πιστευσάν-
των ἦν καρδία καὶ ψυχὴ μία. ποτὲ δὲ ὅτι πάντες οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ
εἶχον ἅπαντα κοινά, πρόδηλον, ὅτι οὐδεμία διάστασις ἦν ἐν τοῖς πᾶσιν, οὔτε ἐν ἐξουσίᾳ
ἑαυτοῦ διῆγεν ἕκαστος, ἀλλὰ ὑπὸ μίαν καὶ τὴν αὐτὴν οἱ πάντες οἰκονομοῦντο φροντί-
δα. καὶ ταῦτα ἐν ὅλοις πεντακισχιλίοις τὸν ἀριθμόν. ἐφ' ὧν ἴσως οὐκ ὀλίγα ἦν τὰ κα-
τὰ τὸν ἀνθρώπινον λογισμὸν, ἐμποδίζειν δοκοῦντα τῇ συναφείᾳ. ὅπου δὲ τοσοῦτον ἐ-
λαττοῦνται οἱ καθ' ἑκάστην κώμην ἀριθμούμενοι, τίς ἐπιτρέπει λόγος διεστάναι αὐτοὺς ἀ-
π' ἀλλήλων; εἰ δὲ ἦν δυνατὸν μὴ μόνον τοὺς ἐν τῇ αὐτῇ κώμῃ ἐπὶ τὸ αὐτὸ συνηγμένους
οὕτως εἶναι, ἀλλὰ καὶ πλείους ἀδελφότητας ἐν διαφόροις καθεστώσας τόποις, ὑπὸ
μιᾷ φροντίδι τῶν δυναμένων ἀπροσκλίτως καὶ σοφῶς οἰκονομεῖν τὰ πάντων ἐν τῇ ἑνό-
τητι τοῦ πνεύματος, καὶ τῷ συνδέσμῳ τῆς εἰρήνης οἰκοδομεῖσθαι.

σίν γε μὴν τοιαύτην ἑαυτοῖς συνειδέναι ὀφείλουσι, καὶ σπουδὴν τοσαύτην ἐπιδείκνυσθαι αὐτοί τε καὶ οἱ τὴν ἄλλην ἐργασίαν πρὸς τὴν τῶν ἀδελφῶν ὑπηρεσίαν ἐκτελοῦντες, ὡς οὐκ αὐτοῖς, ἀλλ' αὐτῷ τῷ Κυρίῳ ἐξυπηρετούμενοι, τῷ διὰ πολλὴν ἀγαθότητα εἰς ἑαυτὸν λογιζομένῳ τὴν εἰς τοὺς ἀνακειμένους αὐτῷ τιμήν τε καὶ σπουδήν· καὶ βασιλείας οὐρανῶν κληρονομίαν ὑπὲρ τούτων ἐπαγγελλομένῳ. Δεῦτε γάρ φησιν οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ὅτι ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Καὶ ἐκ τοῦ ἐναντίου τῆς ἀμελείας γνωρίζειν τὸν κίνδυνον, μεμνημένους τοῦ εἰπόντος, Ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα Κυρίου ἀμελῶς· ὅτι οὐ μόνον τῆς βασιλείας ἐκβάλλονται, ἀλλὰ καὶ τὴν φρικώδη καὶ φοβερὰν ἐκείνην ἐκδέχονται κατὰ τῶν τοιούτων ἀπόφασιν· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Εἰ δὲ οἱ τὴν ἐπιμέλειαν καὶ τὴν ὑπηρεσίαν προσάγοντες τοσοῦτον μὲν τῆς σπουδῆς τὸ κέρδος εὑρίσκουσι, τοσοῦτον δὲ τῆς ἀμελείας τὸ κρίμα ἐκδέχονται, πόσου ἀγῶνος χρεία τοῖς ὑποδεχομένοις τὴν ὑπηρεσίαν πρὸς τὸ ἀξίους ἑαυτοὺς ἀποδεῖξαι τῆς τῶν ἀδελφῶν τοῦ Κυρίου προσηγορίας; διὰ τῆς τοῦ Κυρίου διδασκαλίας εἰπόντος· Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου καὶ ἀδελφὸς, καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. Ἐπεὶ ὅ γε μὴ τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν τὸν τοῦ βίου σκοπὸν προθέμενος, ὥστε καὶ ἐν ὑγιείᾳ τὸν κόπον τῆς ἀγάπης διὰ τῆς σπουδῆς τῶν τοῦ Κυρίου ἔργων ἐνδείκνυσθαι, καὶ ἐν ἀρρωστίᾳ πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς ἐπιδείκνυσθαι, κίνδυνον ἔχει· πρῶτον μὲν καὶ μέγιστον, ὅτι τοῦ Κυρίου ἀπαλλοτριοῦται, καὶ τῆς τῶν ἀδελφῶν αὐτοῦ μερίδος, διὰ τὸ μὴ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, ἑαυτὸν ἀποσχίσας· δεύτερον δὲ, ὅτι ἀναξίως μετέχειν τολμᾷ τῶν τοῖς ἀξίοις ἡτοιμασμένων. Διόπερ ἀναγκαῖον καὶ ἐν τούτῳ μεμνῆσθαι τοῦ Ἀποστόλου εἰπόντος· Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. Καὶ τοὺς εἰς τὸ τῶν ἀδελφῶν τοῦ Κυρίου κληθέντας μὴ καθυβρίσαι τὴν τοιαύτην τοῦ Θεοῦ χάριν, μηδὲ προδοῦναι τὸ τοσοῦτον ἀξίωμα διὰ τῆς ἀμελείας τῶν τοῦ Θεοῦ θελημάτων· ὑπακοῦσαι δὲ μᾶλλον τῷ αὐτῷ Ἀποστόλῳ λέγοντι, Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε.

Ἐρώτησις, λε΄.

Εἰ χρὴ ἐν τῇ αὐτῇ κώμῃ πλείονας ἀδελφότητας συγκροτεῖσθαι.

Ἀπόκρισις.

Τὸ ὑπόδειγμα τῶν μελῶν ἐπὶ πολλὰ ἀγόμενον χρησίμως ἡμῖν διαρθροῖ τὸ προκείμενον. Ἐπεὶ οὖν ἔδειξεν ὁ λόγος, ὅτι τῷ μέλλοντι σώματι καλῶς, καὶ κατὰ λόγον πρὸς πᾶσαν ἐνέργειαν συνηρμόσθαι, χρεία ὀφθαλμῶν καὶ γλώσσης, καὶ τῶν λοιπῶν, ὅσα ἀναγκαῖα καὶ κυριώτατα, χαλεπὸν δὲ καὶ δυσεύρετον ψυχὴν δυναμένην εἶναι ὀφθαλμῶν πλειόνων. Εἰ γὰρ καὶ προορατικὸν καὶ ἐν λόγῳ τὸ αὔταρκες ἔχοντα, καὶ νηφάλεον, καὶ εὔσπλαγχνον, καὶ ἐν τελείᾳ καρδίᾳ ἐκζητοῦντα τὰ δικαιώματα τοῦ Θεοῦ, τὸν προεστῶτα τῆς ἀδελφότητος ἐπιζητεῖ ἡ ἀκρίβεια, πῶς δυνατὸν ἐν τῇ αὐτῇ κώμῃ τοιούτοις πλείοσιν ἐπιτυχεῖν; εἰ δὲ καὶ συμβαίη ποτὲ ἀριθμῆσαι δύο ἢ τρεῖς, ὅπερ οὐκ εὔκολον, οὐδὲ ἐγνωσμένον ποτὲ, πολλῷ βέλτιον κοινωνεῖν ἀλλήλοις τοῦ φροντίσματος τούτους, καὶ ἐπικουφίζειν τὸν πόνον, ὡς ἐν τῇ τοῦ ἄλλου ἀποδημίᾳ, ἢ ἀσχολίᾳ, ἢ ἐν ἄλλαις τισὶ περιστάσεσι, καθὼς χωρίζεσθαι συμβαίνει τῆς ἀδελφότητος τὸν ἕνα, εἶναι τὸν ἕτερον εἰς παραμυθίαν τῆς ἀπολείψεως. Ἢ εἰ μὴ τοῦτο, ἀπιέναι εἰς ἄλλην ἀδελφότητα δεομένην τοῦ ὁδηγήσοντος. Πολλὰ δὲ καὶ ἡ τῶν ἔξωθεν πραγμάτων πεῖρα εἰς τὸν προκείμενον σκοπὸν ὠφελεῖν ἡμᾶς δύναται. Ὡς οὖν καὶ οἱ τῶν κοινῶν τεχνῶν ἔμπειροι ζηλοτύπως ἔχουσι πρὸς τοὺς ἀντιτέχνους αὐτοῦ τοῦ πράγματος, κατὰ τὸ λανθάνον τοῖς φιλονεικίας ἐμποιεῖν πεφυκότος, οὕτω καὶ ἐπὶ τῆς τοιαύτης ζωῆς ὡς τὰ πολλὰ συμβαίνει γίνεσθαι. Ἀρχόμενοι γὰρ ἀπὸ τοῦ διαμιλλᾶσθαι εἰς τὸ καλὸν καὶ σπουδάζειν ἀλλήλους ὑπερβαλέσθαι, ἢ ἐν τῇ ξενοδοχίᾳ, ἢ ἐν τῇ αὐξήσει τοῦ ἀριθμοῦ τῶν συνασκουμένων, ἢ ἐν ἄλλοις τισὶ τοιούτοις ἔργοις προϊόντες, εἰς ἐριθείας ἐκπίπτουσιν. Εἶτα τοῖς μὲν ἐπιδημοῦσι τῶν ἀδελφῶν πολλὴν ἀμφιβολίαν

Ἐρώτησις. λγ'.

Τίς ὁ τρόπος τῆς πρὸς τὰς ἀδελφὰς συντυχίας.

Ἀπόκρισις.

Ὁ τὸν πρὸς γάμον ἀπαρνησάμενος, ἀπαρνήσεται δηλονότι πολὺ πρότερον τὰς μερίμνας, ἃς φησὶν ὁ ἀπόστολος μεριμνᾷν τὸν γεγαμηκότα πῶς ἀρέσῃ τῇ γυναικὶ αὐτοῦ, καὶ καθαρεύσει ἑαυτὸν παντάπασι πάσης μερίμνης τῆς πρὸς ἀρέσκειαν γυναικὸς γινομένης, φοβούμενος τὸ κρίμα τοῦ εἰπόντος, ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· ὥστε πρὸς ἀρέσκειαν μὲν, οὐδὲ ἀνδρὶ συντυχεῖν ἀνέξεται· ἕνεκεν δὲ τῆς κατ' ἐντολὴν θεοῦ ὀφειλομένης ἑκάστῳ παρὰ τοῦ πλησίον σπουδῆς τῆς χρείας ἀπαιτούσης, ἀλλὰ τὴν συντυχίαν ἐλάσεται· οὐ μὴν οὐδὲ τοῖς βουλομένοις ἁπλῶς ἐφίεσθαι χρὴ τὴν συντυχίαν, οὐδὲ καιρὸς πρὸς ταύτην, οὐδὲ τόπος πᾶς ἐπιτήδειος· ἀλλ' εἴγε μέλλοιμεν κατὰ τὸ πρόσταγμα τοῦ ἀποστόλου ἀπρόσκοποι γίνεσθαι, καὶ ἰουδαίοις, καὶ ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, πάντα δὲ εὐσχημόνως, καὶ κατὰ τάξιν, καὶ πάντα πρὸς οἰκοδομὴν ποιεῖν, ἀνάγκη καὶ πρόσωπον, καὶ καιρὸν καὶ χρείαν, καὶ τόπον κατ' ἐκλογὴν ἀφορίζεσθαι πρεπόντως· δι' ὧν ἁπάντων ὑπόνοια μὲν πονηρᾶς καὶ σκιὰ πᾶσα ἐξελαθήσεται· σεμνότητος δὲ καὶ σωφροσύνης ἀπόδειξις ἐν παντὶ τρόπῳ ἐπιφανήσεται· τοῖς δοκιμασθεῖσιν ὁρᾶν ἀλλήλους, καὶ βουλεύεσθαι περὶ τῶν ἀρεσκόντων θεῷ κατά τε τὴν σωματικὴν χρείαν, καὶ τὴν τῶν ψυχῶν ἐπιμέλειαν· ἔστωσαν δὲ μὴ ἐλάττους τῶν δύο ἐξ ἑκάστου μέρους· τὸ γὰρ ἓν πρόσωπον εὐεπηρέαστον εἰς ὑποψίαν, ἵνα μὴ πλείονι λέγω καὶ ἀσθενέστερον πρὸς τὴν τῶν λεγομένων βεβαίωσιν· σαφῶς τῆς γραφῆς διαγορευούσης, ἐπὶ δύο καὶ τριῶν ἵστασθαι πᾶν ῥῆμα· μήτε τῶν τριῶν πλείους, ὥστε μὴ τὴν σπουδὴν τῆς φιλεργίας τῆς διὰ τὴν ἐντολὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ γινομένης ἐμποδίζεσθαι· εἰ δέ τινας τῶν ἄλλων τῶν ἐν τῇ ἀδελφότητι χρεία γένοιτο εἰπεῖν, ἢ καὶ ἀκοῦσαι ἰδίᾳ τινὶ διαφέρον, μὴ αὐτοὶ ἐκεῖνοι εἰς ὁμιλίαν ἐρχέσθωσαν ἀλλήλοις· οἱ δὲ ἐπιλεγέντες πρεσβύτεροι ταῖς ἐπιλεγείσαις πρεσβυτέραις τὰ παρ' αὐτῶν διακονείτωσαν, καὶ οὕτω διὰ τῆς τούτων μεσιτείας ἡ τοῦ λόγου χρεία πληρούσθω· αὗται μὲν οὖν ἔστωσαν μετὰ τῆς ἄλλης ἐν πᾶσιν εὐλαβείας τε καὶ σεμνότητος, καὶ συνετοὶ πρός τε ἐπερώτησιν καὶ ἀπόκρισιν, πιστοί τε καὶ φρόνιμοι πρὸς τὴν τῶν λεγομένων οἰκονομίαν, ὥστε καὶ τοῖς ἐμπιστεύουσιν αὐτοῖς ὁμοῦ τήν τε χρείαν πληροῦσθαι, καὶ τὴν πληροφορίαν ὑπάρχειν περὶ τῶν κινουμένων ἐν αὐτοῖς· ὑπηρετείτωσαν δὲ καὶ ταῖς χρείαις τοῦ σώματος ἄλλοι τινὲς καὶ αὐτοὶ μετὰ δοκιμασίας τήν τε ἡλικίαν προήκοντες, καὶ τὸ σχῆμα καὶ τὸ ἦθος σεμνοὶ πρὸς τὸ μὴ πλῆξαι τινὸς συνείδος εἰς ὑποψίαν κακήν· ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως·

Ἐρώτησις. λδ'.

Ποταποὺς χρὴ εἶναι τοὺς τὰ πρὸς τὴν χρείαν οἰκονομοῦντας ἐν τῇ ἀδελφότητι.

Ἀπόκρισις.

Καὶ τῶν ἔσω δὲ τὰ πρὸς τὴν χρείαν ἐπινεμόντων ἐν ἑκάστῳ τάγματι πάντως ἔστωσαν τινὲς οἱ δυνάμενοι μιμεῖσθαι τοὺς ἐν ταῖς πράξεσι ποιοῦντας τὸ εἰρημένον, ὅτι διεδίδοτο ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχε· πρόνοιαν ποιούμενοι πολλὴν τοῦ τε εὐσπλάγχνου καὶ μακροθύμου πρὸς πάντας· καὶ τοῦ μήτε ὑποψίαν δοῦναι τινὶ προσπαθείας, ἢ προσκλίσεως πρὸς τινας κατὰ τὸ παράγγελμα τοῦ ἀποστόλου εἰπόντος· μηδὲν ποιῶν κατὰ πρόσκλισιν, ἢ πάλιν φιλονεικίαν· τὴν ὡς ἀνοίκειον χριστιανοῖς ὁ αὐτὸς ἀποπέμπεται εἰπών, εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ, ὡς διὰ τούτων τῶν μὲν ὑφαιρεῖσθαι τὴν χρείαν πρὸς οὓς ἂν φιλονείκως ἔχωσι· τῶν δὲ ὑπερβάλλειν, οἷς ἂν προσκεκλιμένοι τυγχάνωσιν· ἔστι δὲ τὸ μὲν μισαδελφίας, τὸ δὲ προσπαθείας, τῆς μάλιστα διαβεβλημένης, ἐξ ὧν ἡμῖν ἡ ἐξ ἀγάπης σύμπνοια τῆς ἀδελφότητος διασπᾶται· ὑποψίαι δὲ πονηραὶ καὶ ζῆλοι, καὶ ἔριδες, καὶ ὄκνοι πρὸς τὰς ἐργασίας αὐτοῖς ἐπέρχονται· προσπαθείας μὲν οὖν καὶ φιλονεικίας διά τε τὰ εἰρημένα καὶ ἄλλα πολλὰ τοιαῦτα ἐπισυμβαίνοντα καθαρεύειν εἰς ἄκρον ἀναγκαῖον τοὺς τὰ πρὸς τὴν χρείαν ἐπινέμοντας τῇ ἀδελφότητι· διάθε-

Ἐρώτησις. λα'.

Ὅτι δεῖ καταδέχεσθαι τὴν παρὰ τοῦ προεστῶτος ὑπηρεσίαν;

Ἀπόκρισις.

Χρὴ μέντοι καὶ τὴν σωματικὴν ὑπηρεσίαν παρὰ τῶν προέχειν δοκούντων ἐν τῇ ἀδελφότητι προσαγομένην τοὺς πολλοὺς καταδέχεσθαι. ὁ γὰρ τῆς ταπεινοφροσύνης λόγος, καὶ τῷ μείζονι τὸ ὑπηρετεῖν ἐπιβάλλει, καὶ τῷ ἐλάττονι, τὸ ὑπηρετεῖσθαι, οὐκ ἀφαρμόζον δείκνυσι. τὸ γὰρ ὑπόδειγμα τοῦ κυρίου πρὸς τοῦτο ὑμᾶς ὁδηγεῖ, τοῦ μὲν νίψαι τοὺς πόδας τῶν ἑαυτοῦ μαθητῶν μὴ ἀπαξιώσαντος, τῶν δὲ πρὸς τοῦτο μὴ τολμησάντων ἀντιτεῖναι. ἀλλὰ καὶ ὁ διὰ πολλὴν εὐλάβειαν τὰ πρῶτα μὴ καταδεξάμενος Πέτρος, ταχέως ἑαυτὸν πρὸς τὴν ὑπακοὴν μετέβαλε, τὸν ἐπὶ τῆς ἀπειθείας κίνδυνον διδαχθείς. οὐκ ἔστι οὖν φόβος τῷ ὑπηκόῳ, μὴ λυθῇ αὐτῷ τῆς ταπεινοφροσύνης σκοπὸς, ὑπηρετουμένῳ ποτὲ παρὰ τοῦ μείζονος. διδασκαλίαν γὰρ αὐτῷ οἴκοθεν, καὶ ὑποδείγματος ἐναργοῦς μᾶλλον, ἢ καὶ χρείας πολλάκις ἀναγκαίας ἡ ὑπηρεσία προσάγεται. ἐν οὖν τῇ ὑπακοῇ, καὶ τῇ μιμήσει τὸ ταπεινὸν ἐπιδείκνυσθω. καὶ μὴ ἀντιδιατιθέμενος σχήματι ταπεινοφροσύνης, ὑπερηφανίας ἔργον, καὶ ἀλαζονείας ποιείτω. ἡ γὰρ ἀντιλογία τὸ αὐτοκρατορικὸν, καὶ ἀνυπότακτον δείκνυσι. φιλονεικίας οὖν μᾶλλον, καὶ καταφρονήσεως ἀπόδειξιν ἔχει, ἀλλ᾽ οὐχὶ ταπεινότητος. καὶ τῆς ἐν πᾶσιν ὑπακοῆς. διόπερ ἀναγκαῖον πείθεσθαι τῷ εἰπόντι, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ.

Ἐρώτησις. λβ'.

Πῶς δεῖ πρὸς τοὺς κατὰ σάρκα οἰκείους διακεῖσθαι;

Ἀπόκρισις.

Χρὴ μέντοι τοὺς ἅπαξ παραδεχθέντας εἰς τὴν ἀδελφότητα μὴ ἐπιτρέπεσθαι παρὰ τοῦ προεστῶτος πρὸς μηδὲν ἀπομετεωρίζεσθαι. μηδὲ προφάσει οἰκείων ἐπισκέψεως ἀναχωρεῖν τῶν ἀδελφῶν καὶ ἀμάρτυρον ζωὴν διάγειν, μήτε φροντίδας συγχωρεῖσθαι ἔχειν ἐν τῇ προστασίᾳ τῶν συγγενῶν κατὰ σάρκα. ὅλως μὲν γὰρ ἀποδοκιμάζει ὁ λόγος, τὸ ἐμὸν καὶ τὸ σὸν ἐν ἀδελφότητι λέγεσθαι. ἦν γάρ φησι πάντων τῶν πιστευσάντων καρδία καὶ ψυχὴ μία. καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι. οἱ οὖν κατὰ σάρκα τινὸς γονεῖς, ἢ ἀδελφοὶ, εἰ μὲν κατὰ θεὸν ζῶσιν, ὑπὸ πάντων τῶν ἐν τῇ ἀδελφότητι ὡς κοινοὶ πατέρες ἢ οἰκεῖοι θεραπευέσθωσαν. ὅστις γὰρ ἂν ποιῇ φησὶν ὁ κύριος τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, οὗτος ἀδελφός μου, καὶ ἀδελφὴ, καὶ μήτηρ ἐστί. καὶ τούτων δὲ τὴν ἐπιμέλειαν διαφέρειν δοκιμάζομεν τῷ προεστῶτι τῆς ἀδελφότητος. εἰ δὲ ἐμπεπλεγμένοι εἰσὶ τῷ κοινῷ βίῳ, οὐδεὶς ἡμῖν κοινὸς πρὸς αὐτοὺς λόγος τοῖς τὸ εὐσχήμονας καὶ εὐπάρεδρον τῷ κυρίῳ ἀπερισπάστως κατορθοῦν ἐσπουδακόσι. πρὸς γὰρ τῷ ἐκείνοις μηδὲν παρέχειν ὄφελος, ἔτι καὶ τὴν ἑαυτῶν ζωὴν θορύβων καὶ ταραχῆς πληροῦμεν, καὶ ἁμαρτιῶν ἀφορμὰς ἐπισπώμεθα. ἀλλ᾽ οὐδὲ ἐρχομένους εἰς ἐπίσκεψιν τῶν ποτὲ οἰκείων, τοὺς καταφρονοῦντας τῶν ἐντολῶν τοῦ θεοῦ, καὶ τὸ ἔργον τῆς εὐσεβείας ὀλιγωροῦντας, ἀκόλουθον παραδέχεσθαι ὡς οὐκ ἀγαπῶντας τὸν κύριον τὸν εἰπόντα, ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ. τίς δὲ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ, ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου, καὶ ὅτι μάλιστα δεῖ παντὶ τρόπῳ σπουδάζειν περιαιρεῖν τῶν ἔτι ἐν γυμνασίᾳ τῶν κατορθωμάτων τὰς πρὸς τὸ ἁμαρτάνειν ἀφορμάς. ὧν μεγίστη ἐστὶν ἡ μνήμη τοῦ προτέρου βίου, μήποτε πάθωσι τὸ εἰρημένον, ὅτι ἐστράφησαν ταῖς καρδίαις αὐτῶν εἰς αἴγυπτον, ὅπερ ἐν τῇ συνεχῇ ὁμιλίᾳ τῶν κατὰ σάρκα οἰκείων ὡς τὰ πολλὰ γίνεται. καθόλου δὲ οὔτε οἰκεῖον, οὔτε ξένον ἐπιτρέπειν χρὴ λόγους τινὰς προσάγειν τοῖς ἀδελφοῖς, ἐὰν μὴ πεισθῶμεν περὶ αὐτῶν, ὅτι πρὸς οἰκοδομὴν καὶ καταρτισμὸν τῶν ψυχῶν ποιοῦνται τὰς διαλέξεις. εἰ δὲ χρεία γένοιτο λόγου πρὸς τοὺς ἅπαξ συνεμπεσόντας, παρὰ τῶν πεπιστευμένων τὸ τοῦ λόγου χάρισμα γινέσθω. ὡς ἐχόντων δύναμιν μετ᾽ ἐπιστήμης εἰπεῖν καὶ ἀκοῦσαι πρὸς οἰκοδομὴν τῆς πίστεως. σαφῶς τοῦ ἀποστόλου διδάσκοντος, μὴ πᾶσι παρεῖναι τὴν τοῦ λόγου δύναμιν, ἀλλ᾽ ὀλίγοις ὑπάρχειν τὸ χάρισμα. δι᾽ ὧν φησίν. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως. καὶ ἀλλαχοῦ, ἵνα δυνατὸς ᾖ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

ζητῶν ἐπιγράφεται; καταδεξάμενος δὲ ἅπαξ, ἐγκαταλεγῆναι τῷ σώματι τῆς ἀδελφότητος, ἐὰν κριθῇ μέλος γενέσθαι ἀπονεγκικόν· καὶ ὑπὲρ δύναμιν τὸ ἐπίταγμα εἶναι δοκῇ, ἐπιρρίψας τὸ κρίμα τῷ παρὰ δύναμιν ἐπιτάσσοντι, τὸ εὐπειθὲς καὶ ὑπήκοον ἄχρι θανάτου ἐπιδεικνύσθω, μεμνημένος τοῦ κυρίου, ὅτι ἐγένετο ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. τὸ δὲ ἀφηνιάζειν καὶ ἀντιλέγειν, πολλῶν κακῶν ἀπόδειξιν ἔχει, πίστεως νόσον, ἐλπίδος ἐνδοιασμὸν, ὄγκον τε, καὶ ὑπερηφανίαν ἤθους. οὔτε γὰρ ἀπειθεῖ τις μὴ πρότερον καταγνοὺς τοῦ συμβουλεύσαντος. οὔτε μὴν ὁ πιστεύων τοῖς ἐπαγγελίαις τοῦ θεοῦ, καὶ βεβαίαν ἔχων ἐπ' αὐταῖς τὴν ἐλπίδα, κἂν ἐπίπονα ᾖ τὰ προστεταγμένα, ἀποκνήσει ποτὲ πρὸς αὐτά. εἰδὼς, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι. καὶ ὁ πεπεισμένος ὅτι ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, πλείονα προθυμίαν ἐπιδείκνυται τῆς τοῦ ἐπιτάξαντος προσδοκίας. εἰδὼς ὅτι τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται.

Περὶ τοῦ μετὰ ἐπάρσεως ἢ γογγυσμοῦ ἐργαζομένου. κθ΄.

Τοῦ μέντοι γογγύζοντος, ἢ ἐν ἐπάρσει ἐφαρμόζοντος δεῖ τὴν ἐργασίαν μὴ καταμίγνυσθαι τῇ παρὰ τῶν ταπεινῶν τῇ καρδίᾳ, καὶ συντετριμμένων τῷ πνεύματι γινομένῃ ἐργασίᾳ, καὶ ὅλως μὴ ἀναλίσκεσθαι παρὰ τοῖς εὐλαβέσι. διότι τὸ ὑψηλὸν ἐν ἀνθρώποις, βδέλυγμα ἐστὶν ἐνώπιον τοῦ θεοῦ. καὶ ἄλλο παράγγελμα τοῦ ἀποστόλου λέγοντος, μηδὲ γογγύζετε καθάπερ τινὲς αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. καὶ τὸ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης. ἀπρόσδεκτον οὖν τὸ τῶν τοιούτων ἔργον, ὡς θυσία ἐπίμωμος. ὅπερ ἐγκαταμιγνύναι τῇ τῶν λοιπῶν ἐργασίᾳ οὐκ εὐαγές. εἰ γὰρ οἱ πῦρ ἀλλότριον προσάγοντες τῷ θυσιαστηρίῳ, τοσαύτης ὀργῆς ἐπειράθησαν, πῶς οὐκ ἐπικίνδυνον ἀπὸ ἐχθρᾶς τῷ θεῷ διαθέσεως, ἔργον εἰς τὴν οἰκονομίαν τῶν ἐντολῶν παραδέχεσθαι; τίς γὰρ μετοχὴ φωτὶ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; διόπερ φησὶν ὁ νόμος, ὁ θύων μοι μόσχον, ὡς ὁ ἀποκτείνων κύνα. καὶ ὁ προσφέρων σεμίδαλιν ὡς αἷμα ὕειον. ὅθεν ἀναγκαίως τὰ τοῦ ὀκνηροῦ καὶ ἀντιλόγου ἔργα ἀλλοτριωτέον τῆς ἀδελφότητος. καὶ τούτου τοῦ μέρους ἀκριβῶς ἐπιμελεῖσθαι δεῖ τοὺς προεστῶτας, ἵνα μήτε αὐτοὶ παραφθείρωσι τὸ δόγμα τοῦ εἰπόντος. πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν, μήτε τὸν τῇ ἐντολῇ τὴν ἁμαρτίαν ἐπιμιγνύντα, καὶ μολύνοντα τὴν ἐργασίαν ῥαθυμίᾳ τοῦ κόπου. ἢ ἐπάρσει τοῦ πλεονεκτήματος, οἰκοδομῶσιν ἐπιμένειν τῇ διαστροφῇ δι' ὧν αὐτοὶ προσδέχονται, οὐκ ἐῶντες αὐτὸν εἰς συναίσθησιν τῶν οἰκείων κακῶν ἐρχεσθαι. χρὴ οὖν καὶ τὸν προεστῶτα πεπεῖσθαι, ὅτι τὸ μὴ κατὰ λόγον προστῆναι τοῦ ἀδελφοῦ, βαρεῖαν αὐτῷ, καὶ ἀπαραίτητον τὴν ὀργὴν ἐπάγει. τὸ γὰρ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητηθήσεται. καὶ τὸν ὑπήκοον οὕτω παρασκευάζεσθαι, ὡς πρὸς μηδὲν ἐπίταγμα μηδὲ τὸ χαλεπώτατον ἀποκνεῖν, πεπεισμένον, ὅτι ὁ μισθὸς πολὺς ἐν τοῖς οὐρανοῖς. τὸν μὲν οὖν ὑπακούοντα εὐφραινέτω ἡ ἐλπὶς τῆς δόξης, ἵνα ἐν πάσῃ χαρᾷ καὶ ὑπομονῇ τὸ ἔργον τοῦ κυρίου γίνηται.

Ἐρώτησις. λ΄.

Ποταπῇ διαθέσει χρὴ τῶν ἀδελφῶν ἐπιμελεῖσθαι τοὺς προεστῶτας.

Ἀπόκρισις.

Τὸν δὲ προεστῶτα μὴ ἐπαιρέτω τὸ ἀξίωμα, ἵνα μὴ καὶ αὐτὸς ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινοφροσύνης, ἢ καὶ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου. ἀλλ' ἐκεῖνο πεπείσθω, ὅτι ἡ τῶν πλειόνων ἐπιμέλεια, πλειόνων ἐστὶν ὑπηρεσία. ὡς οὖν ὁ πολλοῖς ὑπηρετῶν τετραυματισμένοις, καὶ ἀποξύων μὲν τοὺς ἰχῶρας ἑκάστου τραύματος, προσάγων δὲ τὰ βοηθήματα κατὰ τὰ ἰδιώματα τῆς ὑποκειμένης κακώσεως, οὐχὶ ἐπάρσεως ἀφορμὴν τὴν ὑπηρεσίαν λαμβάνει, ἀλλὰ μᾶλλον ταπεινώσεως, ἀγωνίας τε καὶ ἀγῶνος. οὕτω πολὺ πλέον ὁ τὰ ἀσθενήματα ἰᾶσθαι τῆς ἀδελφότητος πιστευθείς. ὡς πάντων ὑπηρέτης, καὶ ὑπὲρ πάντων λόγον δώσων, διανοεῖσθαι καὶ ἀγωνιᾶν ὀφείλει. τούτῳ γὰρ τῷ τρόπῳ κατορθωθήσεται αὐτῷ ὁ σκοπός. τοῦ κυρίου εἰπόντος, ὅ τις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος, καὶ πάντων διάκονος.

πάντως τῆς ἀγάπης τοῦ Χριστοῦ λόγον, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ, ἀλλὰ κατὰ τὸν ἴδιον τοῦ εἰπόντος, ἱμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς.

Ὅτι δεῖ πάντα καὶ τὰ κρυπτὰ τῆς καρδίας ἀνατίθεσθαι τῷ προεστῶτι. κϛ'.

Δεῖ καὶ τῶν ὑποτεταγμένων ἕκαστον, εἴγε μέλλοι ἀξιόλογον προκοπὴν ἐπιδείκνυσθαι, καὶ ἐν ἕξει τῆς κατὰ τὰ προστάγματα τοῦ Χριστοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ζωῆς γενέσθαι, μηδὲν μὲν ψυχῆς κίνημα ἀπόκρυφον φυλάσσειν παρ' ἑαυτῷ, μηδένα δὲ λόγον ἀβασανίστως προΐεσθαι, ἀλλ' ἀπογυμνοῦν τὰ κρυπτὰ τῆς καρδίας τοῖς πεπιστευμένοις τῶν ἀδελφῶν εὐσπλάγχνως καὶ συμπαθῶς ἐπιμελεῖσθαι τῶν ἀσθενούντων. οὕτω γὰρ τὸ μὲν ἐπαινετὸν βεβαιοῦται, τὸ δὲ ἀδόκιμον τῆς προσηκούσης θεραπείας ἀξιωθήσεται. ἔκ τε τῆς τοιαύτης συνασκήσεως διὰ τῆς κατὰ μικρὸν προσθήκης ἡ τελείωσις ἡμῖν περιγένηται.

Ἐρώτησις. κζ'.

Ὅτι δεῖ καὶ τὸν προεστῶτα ὑπομιμνήσκεσθαι παρὰ τῶν προεχόντων ἐν τῇ ἀδελφότητι, εἴποτε σφαλῇ.

Ἀπόκρισις.

Ὥσπερ δὲ ὁ προεστὼς ὑπεύθυνός ἐστιν ὁ ἄγων εἰς πάντα τὴν ἀδελφότητα, οὕτω πάλιν καὶ τοῖς λοιποῖς ἐπιβάλλει, εἴ ποτε ὑποπτευθῇ τι περὶ τὸν προεστῶτα πλημμέλημα, ὑπομιμνήσκειν αὐτόν. ὥστε δὲ μὴ λυθῆναι τὴν εὐταξίαν τοῖς προέχουσι τήν τε ἡλικίαν καὶ τὴν σύνεσιν, ἐπιτρέπειν χρὴ τὴν ὑπόμνησιν. ἐὰν μὲν οὖν ᾖ τι διορθώσεως ἄξιον, τόν τε ἀδελφὸν ὠφελήσαμεν, καὶ ἑαυτοὺς δι' ἐκείνου, τὸν οἱονεὶ κανόνα τοῦ ἡμετέρου βίου, καὶ τῇ ἑαυτοῦ ὀρθότητι τὸ ἐνδιάστροφον ἡμῶν διελέγχειν ὀφείλοντα πρὸς τὸ εὐθὺ καταρτίσαντες. ἐὰν δὲ μάτην τινὲς ἐπ' αὐτῷ ταραχθῶσι, πληροφορηθέντες διὰ τῆς φανερώσεως τῶν οὐ μετὰ ἀληθείας ὑποπτευθέντων, τῆς ἐπ' αὐτῷ διακρίσεως ἀπαλλάσσονται.

Ἐρώτησις. κη'.

Πῶς χρὴ διακεῖσθαι πάντας περὶ τὸν ἀπειθῆ.

Ἀπόκρισις.

Τῷ μέντοι ὀκνηρῶς διακειμένῳ πρὸς τὴν ὑπακοὴν τῶν ἐντολῶν τοῦ Χριστοῦ, πρῶτον μὲν συμπάσχειν πάντας χρὴ ὡς νενοσηκότι μέλει, καὶ τοὺς ἰδίους παραινέσεσι τὸν προεστῶτα πειρᾶσθαι αὐτοῦ τὴν ἀρρωστίαν ἐπανορθοῦσθαι. ἐπιμένοντα δὲ τῇ ἀπειθείᾳ, καὶ τὴν διόρθωσιν μὴ δεχόμενον, ἐμβριθέστερον ἐλέγχειν ἐπὶ πάσης τῆς ἀδελφότητος, καὶ μετὰ πάσης παρακλήσεως προσάγειν αὐτῷ τὰς ἰατρείας. μὴ ἐντρεπόμενον δὲ μετὰ πολλὴν νουθεσίαν, μηδὲ ἰώμενον ἑαυτὸν ἐν τοῖς ἔργοις, ὡς αὐτὸν ἑαυτοῦ λυμεῶνα κατὰ τὴν παροιμίαν, μετὰ πολλῶν μὲν δακρύων καὶ θρήνων, ὅμως δ' οὖν ὡς διεφθαρμένον μέλος καὶ παντελῶς ἄχρηστον, κατὰ τὴν τῶν ἰατρῶν μίμησιν τοῦ κοινοῦ σώματος ἀποκόπτειν. καὶ γὰρ κἀκεῖνοι, ὅταν εὕρωσι τῶν μελῶν ἀνιάτῳ πάθει προειλημμένον, ὡς μὴ ἐπὶ πολὺ χυθεῖσαν τὴν βλάβην κατὰ τὸ συνεχὲς τὰ παρακείμενα διαφθείρουσαν, τομαῖς, καὶ καύσεσιν ἐξαιρεῖν εἰώθασιν. ὅπερ καὶ ἡμῖν ἐπὶ τῶν ἐχθραινόντων ἢ ἐμποδιζόντων ταῖς ἐντολαῖς τοῦ Χριστοῦ ἐξ ἀνάγκης ἐστὶ ποιεῖν, κατὰ τὸ πρόσταγμα αὐτοῦ τοῦ Χριστοῦ εἰπόντος, ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτόν, καὶ βάλε ἀπὸ σοῦ. ἡ γὰρ ἐπὶ τῶν τοιούτων φιλανθρωπία παραπλησία ἐστὶ τῇ ἀπαιδεύτῳ χρηστότητι τοῦ Ἠλεί. ἥπερ ἐπὶ τῶν υἱῶν παρὰ τὸ ἀρέσκον θεῷ χρησάμενος ἐλέγχεται. προδοσία οὖν ἐστι τῆς ἀληθείας, καὶ ἐπιβουλὴ τοῦ κοινοῦ, καὶ ἐθισμὸς πρὸς ἀδιαφορίαν κακῶν ἡ πρὸς τοὺς πονηρευομένους ἐσχηματισμένη χρηστότης. μηκέτι μὲν γινομένου τοῦ γεγραμμένου, ὅτι, οὐχὶ μᾶλλον ἐπενθήσατε ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. συμβαίνοντος δὲ ἐξ ἀνάγκης τοῦ ἐπιφερομένου, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. τοὺς δὲ ἁμαρτάνοντας φησὶν ὁ ἀπόστολος, ἐνώπιον πάντων ἔλεγχε. καὶ τὴν αἰτίαν εὐθὺς ἐπήγαγε, λέγων. ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. ὅλως δέ, ὁ μὴ καταδεχόμενος τὴν παρὰ τοῦ ἀδελφοῦ θεραπείαν προσαγομένην αὐτῷ, ἀσύμφωνός ἐστι καὶ αὐτὸς ἑαυτῷ. εἰ γὰρ ὑποταγῆναι οὐ καταδέχεται, καὶ τὸ ἑαυτοῦ θέλημα ἐκδικεῖ, τί καὶ ἔστι μετ' αὐτοῦ; τί καὶ προστάτην αὐτὸν τῆς ἑαυτοῦ

ζωῆς

ἐρώτησις. κδ΄

Τούτων ἱκανῶς ἡμῖν παραδεδομένων, ἀκόλουθον ἂν εἴη μα-
θεῖν ἡμᾶς, περὶ τοῦ τρόπου τῆς μετ' ἀλλήλων διαγωγῆς.

ἀπόκρισις.

Τοῦ ἀποστόλου λέγοντος, πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω, ἐκείνην λογιζόμε-
θα εὐσχήμονα εἶναι διαγωγὴν καὶ εὔτακτον ἐν τῇ συναφείᾳ τῶν πιστῶν, ἐν ᾗ ὁ τῶν μελῶν
τοῦ σώματος διασώζεται λόγος. ὥστε τὸν μέν τινα ὀφθαλμοῦ ἐπέχειν δύναμιν, τὴν ἐπιμέ-
λειαν τὴν κοινὴν πεπιστευμένον, ὅν τε τῇ δοκιμασίᾳ τῶν γεγενημένων, καὶ ἐν τῇ προθεω-
ρίᾳ καὶ διασκέψει τῶν γενησομένων. τὸν δὲ ἀκοῆς ἢ χειρὸς οὔτε τῇ ἀκροάσει, καὶ ἐν τῇ
ἐνεργείᾳ τῶν ἐπιβαλλόντων, καὶ καθεξῆς ἕκαστον ἑκάστου. εἰδέναι οὖν χρή, ὅτι ὥσπερ ἐν
τοῖς μέλεσιν οὐκ ἀκίνδυνόν ἐστιν ἑκάστῳ μέλει τὸ τῶν ἐπιβαλλόντων ἀμελεῖν, ἢ τὸ μὴ κε-
χρῆσθαι τῷ ἑτέρῳ πρὸς ὃ γέγονεν ὑπὸ τοῦ δημιουργήσαντος θεοῦ. εἴτε γὰρ ἡ χείρ, ἢ ὁ πούς
μὴ πείθοιτο τῇ ὁδηγίᾳ τοῦ ὀφθαλμοῦ, ἡ μὲν ὀλεθρίαν τὴν διαφθορὰν τοῦ παντὸς ἐξ ἀνάγ-
κης ἐφάψεται. ὁ δὲ προσκόψει, ἢ καὶ κατὰ κρημνοὺς ἐνεχθήσεται. εἴτε ὁ ὀφθαλμὸς καμ-
μύσειεν, ὥστε μὴ βλέπειν, ἀνάγκη καὶ αὐτὸν συνδιαφθείρεσθαι τοῖς ἄλλοις μέλεσι πά-
σχουσι τὰ εἰρημένα. οὕτως οὐδὲ τῷ ἐφεστῶτι ἀκίνδυνος ἡ ἀμέλεια ὑπὲρ πάντων κρινομέ-
νῳ, οὔτε τῷ ὑπακούοντι τὸ δυσπειθές, ἀβλαβές, καὶ ἀζήμιον. περισσοτέρως δὲ ἐπικίν-
δυνον καὶ ἑτέρους σκανδαλίζοντι. ἀλλ' ἕκαστος οὖν ἐν τῷ ἰδίῳ τόπῳ τῆς σπουδῆς τὸ ἄο-
» κνον ἐπιδεικνύμενος, καὶ πληρῶν τὸ τοῦ ἀποστόλου παράγγελμα λέγοντος. τῇ σπουδῇ
» μὴ ὀκνηροί. τῆς προθυμίας ἕξει τὸν ἔπαινον. τῷ δὲ τῇ ἀμελείᾳ τὰ ἐναντία, δηλονότι τὸν
» ταλανισμόν, καὶ τὸ οὐαί. ἐπικατάρατος γάρ φησι πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς.

ὅτι φοβερὸν τὸ κρίμα τῷ προεστῶτι μὴ ἐλέγχοντι τοὺς ἁμαρτάνοντας. κε΄.

Διόπερ ὁ τὴν κοινὴν φροντίδα πεπιστευμένος, ὡς ὀφείλων λόγον δοῦναι περὶ ἑκάστου, οὕ-
τω διακείσθω. εἰδώς, ὅτι ἐὰν ἐμπέσῃ εἰς ἁμαρτίαν εἷς τῶν ἀδελφῶν μὴ προειπόντος αὐ-
τῷ τὸ δικαίωμα τοῦ θεοῦ, ἢ ἐμπεσὼν ἐπιμένῃ, μὴ διδαχθεὶς τὸν τρόπον τῆς διορθώσεως, τὸ
αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητηθήσεται καθὼς γέγραπται. καὶ μάλιστα, ἐὰν μὴ
δι' ἄγνοιαν παρίδῃ τι τῶν ἀρεσκόντων θεῷ. ἀλλὰ διὰ κολακείαν συμπεριφερόμενος τοῖς
» ἑκάστου κακοῖς, τὴν ἀκρίβειαν τῆς πολιτείας ἐκλύσῃ. οἱ γὰρ μακαρίζοντες ὑμᾶς φησι,
» πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν. ὁ δὲ ταράσσων ὑμᾶς,
» βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. διόπερ, ἵνα μὴ τοῦτο πάθωμεν, ἀκολουθητέον ἡμῖν τῷ
» ἀποστολικῷ κανόνι ἐπὶ τῆς πρὸς τοὺς ἀδελφοὺς ὁμιλίας. οὔτε γάρ ποτε φησὶν ἐν λόγῳ
» κολακείας ἐγενήθημεν καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς. οὔτε
» ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων. ὁ τοίνυν τούτων τῶν
παθῶν καθαρεύων, τάχ' ἂν τὴν ὁδηγίαν ἀπλανῆ ἑαυτῷ τε ἔμμισθον, καὶ τοῖς ἑπομένοις
σωτήριον ἐκτελέσειεν. ὁ γὰρ μὴ διά τινας τιμὰς ἀνθρωπίνας μήτε τὸ ἀπρόσκρουστον τοῖς ἁ-
μαρτάνουσιν ὑπὲρ τοῦ ἡδὺς αὐτοῖς εἶναι, καὶ κεχαρισμένος, ἐπιτηδεύων, ὄντως ἐν ἀγά-
πῃ, μετὰ παρρησίας πρεσβεύσει τὸν λόγον ἀκαπήλευτον καὶ εἰλικρινῶς, μὴ αἱρούμε-
» νος ἐν μηδενὶ δολοῦν τὴν ἀλήθειαν. ὥστε ἁρμόσαι αὐτῷ, καὶ τὰ ἑξῆς εἰρημένα. ἀλλ' ἐ-
» γενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ἱμειρό-
» μενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ
» τὰς ἑαυτῶν ψυχάς. ὁ δὲ μὴ οὕτως ἔχων, ὁδηγός ἐστι τυφλός, ἑαυτόν τε κατακρημνί-
ζων καὶ τοὺς ἑπομένους συνεπαγόμενος. ὅσον μὲν οὖν ἐστι κακόν, αὐτὸν ὁδηγίας πλάνης αἴ-
τιον τῷ ἀδελφῷ γενέσθαι συνορᾶν ἔξεστιν ἐκ τῶν εἰρημένων σημείων. σημεῖον δέ ἐστι τοῦ-
το, τοῦ καὶ τὴν ἐντολὴν τῆς ἀγάπης ἀκατόρθωτον εἶναι. οὐδεὶς γὰρ πατὴρ περιορᾷ τὸ ἑαυ-
τοῦ τέκνον, μᾶλλον καταπίπτειν εἰς βόθυνον, ἢ ἐμπεσὸν ἐναφίησι τῷ πτώματι. πόσον δὲ
δεινότερον ψυχὴν εἰς βάθος κακῶν ἐμπίπτουσαν ἐναφιέναι τῇ ἀπωλείᾳ. τί δεῖ καὶ λέ-
γειν, ὑπεύθυνος οὖν ἐστι τῇ ἀδελφότητι ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν αὐτῶν, καὶ μεριμνᾶν
τὰ πρὸς σωτηρίαν ἑκάστου, ὡς λόγον ἀποδώσων, καὶ μεριμνᾶν ἐπὶ τοσοῦτον, ὡς καὶ
μέχρι θανάτου τὴν ὑπὲρ αὐτῶν σπουδὴν ἐπιδείκνυσθαι. οὐ μόνον κατὰ τὸν κοινὸν πρὸς

πρὸς τὴν τῶν ἀέρων βλάβην. Ἐπεὶ μέντοι καὶ ἐν αὐτοῖς τούτοις τὰ μὲν ἐπὶ πολὺ χρήσιμα, τὰ δὲ ἥττονα, ἀκόλουθον προτιμᾶν ὅσα ἐπὶ πλείονας ἕλκεσθαι χρείας δύναται· ὥστε μηδὲ τὸν τῆς ἀκτημοσύνης παραβλέπεσθαι λόγον· καὶ μὴ ἄλλα μὲν εἶναι τὰ πρὸς ἐπίδειξιν ἡμῖν παρεσκευασμένα, ἄλλα δὲ πρὸς τὴν κατ' οἶκον χρείαν· καὶ ταῦτα πάλιν ἕτερα μὲν τὰ μεθημερινά, ἕτερα δὲ τὰ ἐν τῇ νυκτὶ ἐπιβλήματα. Ἀλλ' ἐπινοεῖν ὡς ἐκ τοιούτου τὴν κτῆσιν, ὃ πρὸς πάντα ἡμῖν ἐξαρκεῖν δύναται, πρός τε τὴν εὐσχήμονα μεθ' ἡμέραν περιβολήν, καὶ πρὸς τὴν ἀναγκαίαν ἐν τῇ νυκτί. Ἐκ δὲ τούτου, συμβαίνει ἡμᾶς καὶ τῷ σχήματι κοινωνεῖν ἀλλήλοις· καὶ οἱονεὶ χαρακτῆρά τινα ἰδιάζοντα, καὶ ἐκ τοῦ ἐνδύματος τῷ χριστιανῷ ἐπικεῖσθαι. Τὰ γὰρ πρὸς ἕνα σκοπὸν συντείνοντα, πολλὰ ταῦτα ἔχειν ἐν ἀλλήλοις. Χρήσιμον δὲ, καὶ τὸ ἐκ τῆς ἐσθῆτος ἰδίωμα προκηρυττούσης ἕκαστον, καὶ προδιαμαρτυρομένης τὸ ἐπάγγελμα τῆς κατὰ θεὸν ζωῆς· ὥστε ἀκόλουθον καὶ τὴν πρᾶξιν παρὰ τῶν συντυγχανόντων ἡμῖν ἀπαιτεῖσθαι. Οὐ γὰρ ὁμοίως τὸ ἀπρεπὲς καὶ ἄσχημον ἐν τοῖς τυχοῦσι, καὶ ἐν τοῖς μεγάλα ὑπισχνουμένοις διαφαίνεται. Δημότην μὲν γὰρ, ἤ τινα τῶν τυχόντων διδόντα πληγὰς ἢ λαμβάνοντα δημοσίᾳ, καὶ φωνὰς ἀπρεπεῖς ἀφιέντα, καὶ ἐν καπηλείοις διαιτώμενον, καὶ ἄλλα παραπλήσια τούτοις ἀσχημονοῦντα, οὐκ ἄν τις ῥᾳδίως οὐδὲ παρατηρήσειεν, ἀκόλουθα εἶναι τῇ ὅλῃ προαιρέσει τοῦ βίου καταδεχόμενος τὰ γινόμενα· τὸν δὲ ἐν ἐπαγγέλματι ἀκριβείας, καὶ τὸ τυχὸν παριδόντα τῶν καθηκόντων, πάντες ἐπιτηροῦσι, καὶ ἀντ' ὀνείδους αὐτῷ προφέρουσι, πληροῦντες τὸ εἰρημένον, ὅτι στραφέντες ῥήξουσιν ὑμᾶς. Ὥστε οἱονεὶ παιδαγωγία τίς ἐστι τοῖς ἀσθενεστέροις, πρὸς τὸ καὶ ἄκοντας αὐτοὺς ἀπὸ τῶν φαύλων εἴργεσθαι, ἡ διὰ τοῦ σχήματος ἐπαγγελία. Ὡς οὖν ἐστί τι στρατιώτου ἴδιον ἐν τῷ ἐνδύματι, καὶ ἄλλο τοῦ συγκλητικοῦ, καὶ ἄλλο ἄλλου, ἀφ' ὧν εἰκάζεται αὐτῶν ὡς ἐπὶ τὸ πλεῖστον τὰ ἀξιώματα, οὕτως εἶναι τινὰ καὶ χριστιανοῦ ἰδιότητα καὶ ἀπὸ τῆς ἐσθῆτος εὐπρεπὲς καὶ ἀκόλουθον σώζουσαν τὴν ὑπὸ τοῦ ἀποστόλου παραδεδομένην κοσμιότητα· ποτὲ μὲν τὸν ἐπίσκοπον κόσμιον εἶναι διοριζομένου, ποτὲ δὲ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ εἶναι διατασσομένου, τοῦ κοσμίου δηλονότι κατὰ τὸν ἴδιον τοῦ χριστιανοῦ σκοπὸν νοουμένου. Ὁ αὐτὸς δέ μοι λόγος καὶ περὶ ὑποδημάτων ἐστίν· ὥστε τὸ ἀπερίεργον καὶ εὐποριστότερον, καὶ πρὸς τὸν σκοπὸν τῆς χρείας ἀρκοῦν, τοῦτο αἱρετὸν εἶναι ἐν ἑκάστῳ καιρῷ.

κγ

Περὶ τῆς ζώνης.

Τὴν δὲ τῆς ζώνης χρείαν δηλοῦσιν ἀναγκαίαν οὖσαν καὶ οἱ προλαβόντες ἅγιοι· Ἰωάννης μὲν δερματίνῃ ζώνῃ περισφίγγων ἑαυτοῦ τὴν ὀσφὺν, καὶ Ἠλίας ἔτι πρότερον. Γέγραπται γὰρ, ὥσπερ ἰδίωμά τι τοῦ ἀνδρὸς, τὸ ἀνὴρ δασὺς, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. Καὶ Πέτρος δὲ ζώνῃ κεχρημένος δείκνυται, ὡς δῆλον ἐκ τῶν τοῦ ἀγγέλου ῥημάτων πρὸς αὐτὸν λέγοντος, ζῶσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Καὶ ὁ μακάριος Παῦλος ἐκ τῆς τοῦ Ἄγαβου προφητείας τῆς εἰς αὐτὸν, φαίνεται κεχρημένος ζώνῃ· τὸν γὰρ ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσι φησὶν ἐν Ἱεροσολύμοις. Καὶ ὁ Ἰὼβ δὲ παρὰ τοῦ κυρίου ζώσασθαι προστάσσεται, ὡς γὰρ ἀνδρείας τινὸς, καὶ τῆς πρὸς τὰ ἔργα ἑτοιμασίας σύμβολον· ζῶσαι φησὶν ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. Καὶ δῆλον ὅτι πᾶσι τοῖς μαθηταῖς τοῦ κυρίου συνήθης ἦν ἡ τῆς ζώνης χρῆσις, οἷς ἀπηγόρευτο μὴ ἔχειν χαλκὸν εἰς τὰς ζώνας. Ἄλλως τε καὶ τὸν μέλλοντα αὐτουργήσειν ἀνάγκη εὐσταλῆ καὶ ἀνεμπόδιστον εἶναι πρὸς τὰς κινήσεις· ὥστε καὶ ζώνης αὐτῷ χρεία, δι' ἧς προσσταλήσεται τῷ σώματι ὁ χιτὼν, καὶ μᾶλλόν γε αὐτὸν θάλψει περιπτυσσόμενος πανταχόθεν, καὶ τὸ ἀκώλυτον αὐτῷ πρὸς τὰς κινήσεις παρασκευάσει. Ἐπεὶ καὶ ὁ κύριος, ὅτε εἰς τὴν διακονίαν τῶν μαθητῶν παρεσκευάζετο, λαβὼν λέντιον, διέζωσεν ἑαυτόν. Περί γε μὴν τοῦ πλήθους τῶν ἐνδυμάτων οὐδὲν δεόμεθα λέγειν, ἱκανῶς ἡμῖν ἐν τῷ περὶ ἀκτημοσύνης λόγῳ προεξητασμένου τούτου. Εἰ γὰρ ὁ ἔχων δύο χιτῶνας, προστάσσεται μεταδοῦναι τῷ μὴ ἔχοντι, δηλονότι ἡ τῶν πλειόνων ἑαυτοῦ οὕνεκεν κτῆσις ἀπηγορευμένη ἐστίν. Οἷς οὖν τὸ ἔχειν δύο χιτῶνας ἀπαγορεύεται, τούτοις περὶ τῆς χρήσεως τί προσήκει νομοθετεῖν;

νοῦντος τὰς ἐκ τῆς ἐνδείας θλίψεις, κἀκείνοις τὰς βλάβας τὰς ἐκ τοῦ κόρου·

Ἐπειδὴ πρόσταγμα ἐστὶ τοῦ Κυρίου πανταχοῦ πρὸς τὴν ταπείνωσιν ἐθίζοντος ἡμᾶς, τὸ, καὶ ἐν τοῖς ἀρίστοις κατακλινομένους, τὸν ἔσχατον τόπον προκαταλαμβάνειν, ἀνάγκη τὸν πάντα κατ᾽ ἐντολὴν ποιεῖν ἐσπουδακότα, μηδὲ τοῦτο παρορᾶν τὸ πρόσταγμα. ἂν μὲν οὖν κοσμικοί τινες ἡμῖν συγκατακλίνωνται, ὑπόδειγμα αὐτοῖς πρὸς τὸ μὴ ὑπεραίρεσθαι, μηδὲ τὸ φιλόπρωτον ἐπιζητεῖν. καὶ ἐκ τούτου τοῦ μέρους γίνεσθαι ἡμᾶς προσήκει. ὅπου δὲ πάντες κατὰ τὸν ἴσον σκοπὸν συνέρχονται, ὥστε ἐν παντὶ καιρῷ τὴν δοκιμὴν τῆς ταπεινοφροσύνης ἑαυτῶν διδόναι, τὸ μὲν προκαταλαμβάνειν τὸν ἔσχατον τόπον κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου ἑκάστῳ ἐπιβάλλον. τό γε μὴν πάλιν φιλονείκως περὶ τούτου συμπλέκεσθαι ἀδόκιμον, ὡς ἀναιρετικὸν τῆς εὐταξίας, καὶ θορύβου αἴτιον. καὶ τὸ πρὸς ἀλλήλους δὲ ἀνενδότως ἔχειν, καὶ ἡ περὶ τούτου μάχη, ὁμοίους ἡμᾶς ποιήσει τοῖς περὶ πρωτείων φιλονεικοῦσι. διόπερ χρὴ καὶ ἐνταῦθα τὸ πρέπον ἡμῖν περιεσκεμμένως γνωρίζοντας, καὶ σπουδάζοντας ἐπιτρέπειν τῷ ὑποδεχομένῳ καὶ τὴν τῆς κατακλίσεως τάξιν, καθὰ καὶ ὁ Κύριος ὑπέθετο, τῷ οἰκοδεσπότῃ προσήκειν εἰπὼν τὴν περὶ τούτων διαταγήν. οὕτω γὰρ καὶ ἀνεξόμεθα ἀλλήλων ἐν ἀγάπῃ, πάντα εὐσχημόνως, καὶ κατὰ τάξιν ποιοῦντες. καὶ οὐ πρὸς ἐνδειξιν τῶν πολλῶν, οὔτε δημοκοπικῶς τὴν ταπεινοφροσύνην ἐπιτηδεύειν διὰ τῆς ἀνενδότου καὶ σφοδρᾶς ἀντιλογίας δόξομεν. μᾶλλον δὲ διὰ τῆς ἀπειθείας τὸ ταπεινὸν καταρθώσομεν. πλείω γὰρ ἐκ τῆς ἀντιλογίας ἡ τῆς ὑπερηφανίας ἔμφασις, ἢ ἐκ τῆς πρωτοκλισίας, ὅταν ἐκ προστάγματος αὐτὴν καταδεχώμεθα·

εἰ τὸ πρέπον ἔνδυμα χριστιανῷ·

Προλαβὼν ὁ λόγος τήν τε ταπεινοφροσύνην ἀναγκαίαν ἔδειξε, καὶ τὴν λιτότητα, καὶ τὸ ἐν πᾶσιν εὐτελὲς, καὶ ὀλιγοδάπανον, ὡς ὀλίγας ἐκ τῶν σωματικῶν χρειῶν τὰς ἀφορμὰς τῶν περισπασμῶν ἐγγίνεσθαι ἡμῖν. ἐκείνοις οὖν τοῖς σκοποῖς ἕπεσθαι χρὴ καὶ τὸν περὶ ἐνδύματος λόγον. εἰ γὰρ πάντων προσήκει ἡμᾶς σπουδάζειν ἐσχάτους εἶναι, καὶ ἐν τούτῳ δηλονότι τὸ ἔσχατον προτιμητέον. ὥσπερ γὰρ οἱ φιλόδοξοι καὶ ἐκ τῆς περιβολῆς τῶν ἐνδυμάτων τὴν δόξαν ἑαυτοῖς θηρῶνται, ἀποβλέπεσθαι καὶ ζηλοῦσθαι ἐπὶ τῇ πολυτελείᾳ τῆς ἐσθῆτος φιλοτιμούμενοι, οὕτω δηλονότι τὸν εἰς ἔσχατον αὐτοῦ τὴν ζωὴν διὰ τῆς ταπεινώσεως καταβαλόντα αἱρεῖσθαι προσήκει καὶ ἐν τούτοις τὸ πάντων ἔσχατον. ὥσπερ γὰρ ἐν τῷ δημοσίῳ δείπνῳ ἐγκαλοῦνται Κορίνθιοι, ὡς τῇ ἑαυτῶν πολυτελείᾳ καταισχύνοντες τοὺς μὴ ἔχοντας, οὕτω δηλονότι καὶ ἐν τῇ κοινῇ καὶ προφανεῖ τῶν ἐνδυμάτων χρήσει, ὁ ὑπὲρ τοὺς πολλοὺς σχηματισμὸς οἱονεὶ διὰ τῆς συγκρίσεως καταισχύνει τὸν πένητα. τοῦ δὲ ἀποστόλου λέγοντος, μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. ἐξεταζέτω ἕκαστος ἑαυτὸν, ἡ πρὸς τίνα ὁμοίωσις ἁρμοδιωτέρα ἐστὶ χριστιανοῖς, τοὺς ἐν τοῖς βασιλείοις οἰκοῦντας, καὶ τὰ μαλακὰ ἠμφιεσμένους, ἢ ἡ πρὸς τὸν ἄγγελον καὶ κήρυκα τῆς τοῦ Κυρίου ἐπιδημίας, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται. Ἰωάννην λέγω, τὸν τοῦ Ζαχαρίου, οὗ τὸ ἔνδυμα ἦν ἐκ τριχῶν καμήλου. καὶ οἱ πάλαι δὲ ἅγιοι περιῆλθον ἐν μηλωταῖς ἐν αἰγείοις δέρμασι. τὸν δὲ σκοπὸν τῆς χρήσεως ὑπέβαλον ὁ ἀπόστολος, διὰ μιᾶς λέξεως εἰπών. ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. ὡς τῆς σκέπης ἡμῶν προσδεομένων μόνης. οὐκέτι μέντοι καὶ τῆς ποικιλίας, καὶ τοῦ ἀπ᾽ αὐτῆς καλλωπισμοῦ εἰς τὴν ἀπηγορευμένην περπερείαν ἐκπιπτόντων. ἵνα μήτε χεῖρον λέγω. ταῦτα γὰρ ὕστερον ἐπεισῆχθη διὰ τῆς περιέργου ματαιοτεχνίας τῷ βίῳ. δήλη δὲ καὶ ἡ πρώτη τῶν σκεπασμάτων χρῆσις ἣν αὐτὸς ὁ Θεὸς τοῖς ἐπιδεηθεῖσιν ἔδωκεν. ἐποίησε γὰρ αὐτοῖς φησὶν ὁ Θεὸς χιτῶνας δερματίνους. πρὸς γὰρ τὴν τῶν ἀσχημόνων ἐπικάλυψιν, ἐξήρκει καὶ ἡ τοιαύτη τῶν χιτώνων χρῆσις. ἐπειδὴ δὲ καὶ ἕτερος σκοπὸς συνέρχεται, ὁ τοῦ θάλπεσθαι διὰ τῶν σκεπασμάτων, ἀνάγκη ἀμφοτέρων ἐστοχασμένην εἶναι τὴν χρῆσιν τοῦ περιστέλλειν ἡμῶν τὰ ἀσχήμονα, καὶ τοῦ ἀλεξήματα εἶναι

οὐδὲν γὰρ τῶν κατεγνωσμένων δύναται εἶναι πρὸς καιρὸν ἐπιτήδειον. οἱ σπαταλῶντες, καὶ τὰ πρῶτα μύρα χριόμενοι, καὶ τὸν διϋλισμένον οἶνον πίνοντες, κατηγοροῦνται ὑπὸ τῆς γραφῆς. καὶ διὰ τὴν σπατάλην ἡ χήρα ζῶσα, τεθνηκέναι λέγεται. ὁ πλούσιος ἀπηγορεύθη τοῦ παραδείσου διὰ τὴν ἐνταῦθα τρυφήν. τί οὖν ἡμῖν καὶ τοῖς πολυτελέσιν ἐπιδήμησέ τις τῶν ξένων; εἰ μὲν ἀδελφὸς, καὶ τὸν αὐτὸν σκοπὸν ἔχων τοῦ βίου τὴν οἰκείαν τράπεζαν ἐπιγνώσεται. ἃ γὰρ κατέλιπεν οἴκοι, ταῦτα εὑρήσει παρ' ἡμῖν. ἀλλὰ κέκμηκεν ἐκ τῆς ὁδοιπορίας; τοσοῦτον αὐτῷ προστίθεμεν, ὅσον τὸν κόπον παραμυθήσασθαι. ἄλλος ἐλήλυθεν ἐκ τοῦ ἔξωθεν βίου; μαθέτω διὰ τῶν ἔργων, ὅσα οἱ λόγοι αὐτὸν οὐκ ἔπεισε. καὶ λαβέτω τύπον καὶ ὑπογραμμὸν τῆς ἐν τροφαῖς αὐταρκείας. ἐναπομαξάτω αὐτῷ ὑπομνήματα χριστιανῶν τραπέζης, καὶ αὖ τοῦ τυχόντος διὰ τῆς παχείας. εἰ δὲ οὐ προσέχει, ἀλλὰ καταγελάσει, διὰ τοῦτο ἡμῖν οὐκ ἐνοχλήσει. ἡμεῖς δὲ, ὅταν τινὰς τῶν πλουσίων ἴδωμεν, οἱ τὴν ἀπόλαυσιν τῶν ἡδέων ἐν τοῖς πρώτοις τῶν ἀγαθῶν τίθενται, μέγα στενάζομεν ἐπ' αὐτοῖς, ὅτι τῇ ματαιότητι πάντα τὸν βίον προσαναλίσκοντες, καὶ ἰδιοποιήσαντες ἑαυτῶν τὰς ἡδονὰς, ἐν τῇ ζωῇ ταύτῃ τῶν ἀγαθῶν τὸ μέρος ἀπολαμβάνοντες οὐκ αἰσθάνονται, διὰ τῆς ἐνταῦθα τρυφῆς ἐφ' ἕτοιμον τὸ πῦρ, καὶ τὸν ἐν αὐτῷ καύσωνα προσδεόμενοι. καὶ καιροῦ ποτε τύχωμεν, οὐδὲ πρὸς αὐτοὺς ἐκείνους ταῦτα διεξελθεῖν ὀκνοῦμεν. εἰ δὲ μέλλοιμεν καὶ αὐτοὶ τοῖς αὐτοῖς ἐνέχεσθαι, καὶ κατὰ τὴν ὑπάρχουσαν ἡμῖν δύναμιν, καὶ τὰ πρὸς ἡδονὴν ἐπιζητεῖν, καὶ πρὸς ἐπίδειξιν παρασκευάζεσθαι, φοβοῦμαι, μὴ ἃ καταλύομεν, ταῦτα φανῶμεν οἰκοδομοῦντες. καὶ δι' ὧν ἑτέρους κρίνομεν, ἐσχηματισμένως τῷ βίῳ κεχρημένοι, καὶ ἄλλοτε ἄλλως μεταμορφούμενοι. εἰ μὴ ἄρα καὶ τὰς ἐσθῆτας ἡμῶν διαμείψωμεν, ὅταν τοῖς ὑπερηφάνοις περιτυγχάνωμεν. εἰ δὲ τοῦτο αἰσχρὸν, πολλῷ αἰσχρότερον διὰ τοὺς τρυφῶντας τὴν τράπεζαν ἡμῶν μετασκευάζεσθαι. μονότροπός ἐστιν ὁ τοῦ χριστιανοῦ βίος, ἕνα σκοπὸν ἔχων τὴν δόξαν τοῦ θεοῦ.
» εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε φησὶν ὁ ἐν χριστῷ λαλῶν παῦλος. πολύτροπος δὲ καὶ ποικίλος ὁ τῶν ἔξωθεν βίος, ἄλλοτε ἄλλως πρὸς τὴν ἀρέσκειαν τῶν ἐντυγχανόντων μεταπλαττόμενος. ὥστε καὶ σὺ πλήθει βρωμάτων, καὶ περιεργίᾳ πρὸς ἡδονὴν μετασκευάζων τοῦ ἀδελφοῦ σου τὴν τράπεζαν, κατηγορεῖς αὐτοῦ φιληδονίαν, καὶ καταχέεις αὐτοῦ γαστριμαργίας ὄνειδος δι' ὧν παρασκευάζῃ, ἐλέγχων αὐτοῦ τὴν περὶ ταῦτα ἡδυπάθειαν. ἢ, οὐχὶ πολλάκις τὸ εἶδος καὶ τὸν τρόπον τῆς παρασκευῆς θεωρήσαντες, ἐστοχασάμεθα τοῦ προσδεχομένου, ὅστις ἐστὶν, ἢ ὅπερ ἐστί. οὐκ ἐπῄνεσε τὴν μάρθαν εἰς πολλὴν διακονίαν περισπωμένην ὁ κύριος, ἀλλὰ μεριμνᾷς, καὶ τυρβάζῃ φησὶ περὶ πολλά. ὀλίγων δέ ἐστι χρεία, ἢ ἑνός. ὀλίγων μὲν, δηλονότι τῶν πρὸς παρασκευὴν, ἑνὸς δὲ τοῦ σκοποῦ, ὥστε τὴν χρείαν ἐκπληρωθῆναι. αὐτὸς δὲ ὁ κύριος, ὁποίαν παρέθηκε
» τοῖς πεντακισχιλίοις τροφὴν, οὐκ ἀγνοεῖς. ἡ δὲ εὐχὴ τοῦ ἰακὼβ πρὸς τὸν θεὸν, ἐὰν δῷς
» μοι φησὶν ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι, οὐκ ἐὰν τρυφὴν δῷς μοι καὶ πολυ-
» τέλειαν. τί δὲ ὁ σοφώτατος σολομῶν. πλοῦτον δὲ καὶ πενίαν φησὶ μή μοι δῷς, σύντα-
» ξον δέ μοι τὰ δέοντα αὐτάρκη, ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι, καὶ εἴπω, τίς με ὁρᾷ;
» ἢ πενόμενος κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ θεοῦ μου. πλοῦτον μὲν εἶναι τὴν πλησμονὴν ὁριζόμενος, πενίαν δὲ τὴν παντελῆ ἀπορίαν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. διὰ δὲ τῆς αὐταρκείας τὸ ἀνενδεὲς ὁμοῦ, καὶ ἀπερίττον τῶν πρὸς τὴν χρείαν δηλῶν. αὐτάρκεια δὲ ἄλλη ἄλλῳ κατὰ τὴν τοῦ σώματος ἕξιν, καὶ τὴν πρὸς τὸ προκείμενον χρείαν. τῷ μὲν γὰρ πλείονος τροφῆς καὶ ἰσχυροτέρας χρεία διὰ τὸν κόπον, τῷ δὲ λεπτοτέρας, καὶ κουφοτέρας. καὶ κατάλληλον τὰ πάντα διὰ τὴν ἀσθένειαν. κοινῇ δὲ πᾶσιν εὐτελεστέρας, καὶ εὐπορωτέρας. ἐν παντὶ μέντοι τὸ ἐπιμελὲς καὶ εὐτράπεζον ἀναγκαῖον. μηδαμοῦ τῶν ὅρους ἡμῶν τῆς χρείας ὑπερβαινόντων. ἀλλὰ τοῦτο ἔστω τῆς δεξιώσεως πέρας, τὸ παρὰ
» τῆς ἑκάστου χρείας τῶν ἐπιδημούντων ἐπιζητούμενον. ὡς χρώμενοι γάρ φησι τῷ κόσμῳ τούτῳ, καὶ μὴ παραχρώμενοι. παράχρησις δέ ἐστιν ἡ ὑπὲρ τὴν χρείαν δαπάνη. οὐκ ἔχομεν χρήματα; μὴ δὲ ἔχοιμεν. οὐ γέμουσιν ἡμῶν αἱ ἀποθῆκαι; ἐφήμερος γὰρ ἡμῖν ἡ τροφή. διὰ χειρῶν ὁ βίος. τί οὖν τὴν δεδομένην παρὰ θεοῦ τροφὴν τοῖς πεινῶσιν, εἰς ἡδονὰς τρυφώντων προσαναλίσκομεν, ἀμφοτέρων ἁμαρτάνοντες, καὶ τούτοις ἐπιτεί-

— vide Crets. gramm. pag. mihi 32. in Annot.

ρασκευαζομένου πρὸς κάματον, οἷον ὁδοιπορίαν, ἤ τι ἄλλο τῶν ἐπιπόνων· οἱ ἐφεστῶτες πρὸς λόγον ἀεὶ τῆς χρείας οἰκονομήσουσιν· ἑπόμενοι τῷ εἰπόντι, ὅτι διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν. οὔτε οὖν καιρὸν τροφῆς τὸν αὐτὸν πᾶσι νομοθετῆσαι δυνατὸν, οὔτε τὸν τρόπον, οὔτε τὸ μέτρον. ἀλλὰ σκοπὸς μὲν κοινὸς ἔστω ἡ τῆς χρείας ἐκπλήρωσις. τὸ γὰρ ὑπερεμπίπλασθαι τὴν γαστέρα, καὶ καταβαρύνεσθαι ταῖς τροφαῖς, κατάρας ἄξιον. τοῦ κυρίου εἰπόντος· οὐαὶ οἱ ἐμπεπλησμένοι νῦν, καὶ αὐτὸ δὲ τὸ σῶμα δύσχρηστον πρὸς τὰς ἐνεργείας παρασκευάζει, καὶ πρὸς ὕπνους εὐκατάφορον, καὶ ἑτοιμότερον πρὸς τὰς βλάβας. οὐ μὴν οὐδὲ τὸ ἡδὺ τέλος ποιεῖσθαι τῆς βρώσεως χρή· ἀλλὰ τὴν πρὸς τὸ ζῆν χρείαν, παραιτουμένους τῆς ἡδονῆς τὸ ἀκόλαστον. τὸ γὰρ δουλεύειν ταῖς ἡδοναῖς, οὐδὲν ἕτερόν ἐστιν, ἢ θεὸν αὐτοῦ τὴν κοιλίαν ποιεῖν. ἐπειδὴ γὰρ τὸ σῶμα ἡμῶν ἀεὶ κενούμενον καὶ ἀπορρέον τῆς πληρώσεως ἐπιδεῖται, διὸ καὶ φυσικαί εἰσιν αἱ τῆς τροφῆς ὀρέξεις, ὁ ὀρθὸς λόγος τῆς τῶν βρωμάτων χρήσεως τὴν πλήρωσιν τοῦ κενωθέντος πρὸς τὴν τοῦ ζώου σύστασιν ὑπαγορεύει, εἴτε ξηρᾶς, εἴτε ὑγρᾶς τροφῆς ἡ ἔνδεια γένοιτο. ὅπερ ἂν οὖν μέλλῃ ἀπεργότερον ἡμᾶς ἀπαλλάσσειν τῆς χρείας, τοῦτο προσοιστέον. δηλοῖ δὲ τοῦτο αὐτὸς ὁ κύριος ἐν οἷς ἐδεξιοῦτο τὰ κεκμηκότα πλήθη πρὸς τὸ μὴ ἐκλυθῆναι ἐν τῇ ὁδῷ, ὡς γέγραπται. δυνάμενος γὰρ ἐπιτεῖναι τὸ θαυμάσιον ἐν τῇ ἐρήμῳ τῇ ἐπινοίᾳ τῆς πολυτελείας, οὕτω λιτὴν καὶ ἀπέριττον τὴν τροφὴν αὐτοῖς παρεσκεύασεν, ὥστε ἄρτους μὲν κριθίνους εἶναι, καὶ ἰχθύος δὲ μέρος ἐπὶ τῷ ἄρτῳ. περὶ δὲ ποτοῦ οὐδὲ ἐμνημόνευσεν, ὡς αὐτοφυοῦς πᾶσι καὶ ἀρκοῦντος ταῖς χρείαις τοῦ ὕδατος προκειμένου. πλὴν μή τινι δι' ἀρρωστίαν βλαβερὸν εἴη, τὸ τοιοῦτον ποτὸν, ὡς παραιτητέον κατὰ τὴν συμβουλὴν παύλου τὴν πρὸς τιμόθεον. καὶ πάντα δὲ ὅσα προφανῆ τὴν βλάβην ἔχει, παραιτητέα. ἀνακόλουθον γὰρ διὰ μὲν τὴν σύστασιν τοῦ σώματος τὰς τροφὰς αἱρεῖσθαι. δι' αὐτῶν δὲ πάλιν τῶν τροφῶν προσπολεμεῖν τῷ σώματι, καὶ ἐμποδίζειν αὐτῷ πρὸς τὴν τῆς ἐντολῆς ὑπηρεσίαν. τὸ αὐτὸ δὲ τοῦτο καὶ ὑπόδειγμα ἡμῖν ἐπὶ τοῦ τὴν ψυχὴν ἡμῶν ἐθίζειν, φεύγειν τὰ βλαβερὰ κἂν ἡδονὴν ἔχῃ. χρὴ μέντοι ἐκ παντὸς τρόπου τὸ εὐπορώτερον προτιμᾶν, ὥστε μὴ προφάσει ἐγκρατείας περιεργάζεσθαι ἡμᾶς τὰ τιμιώτερα καὶ πολυδάπανα παραρτύοντας διὰ τῶν πολυτιμήτων ἡδυσμάτων τὰ βρώματα. ἀλλὰ τὸ ἐν ἑκάστῃ χώρᾳ εὔληπτον καὶ εὐτελὲς καὶ τοῖς πολλοῖς εἰς χρῆσιν ἕτοιμον τοῦτο αἱρεῖσθαι. τῶν ἐπισάκτων μόνοις τοῖς ἀναγκαιοτάτοις πρὸς τὴν ζωὴν κεχρημένους, οἷον ἐλαίῳ, καὶ τοῖς τοιούτοις, καὶ ἔτι πρὸς τὴν ἀναγκαίαν τῶν ἀσθενούντων παραμυθίαν ἐπιτήδειον. καὶ τοῦτο ἐὰν ὑπάρχῃ ἄνευ πολυπραγμοσύνης καὶ θορύβων καὶ περισπασμῶν, περιγενέσθαι.

ἐρώτησις. κ.

τίς ὁ τρόπος τῆς ἐν βρώμασι δεξιώσεως.

ἀπόκρισις.

Ἡ κενοδοξία, καὶ ἡ ἀνθρωπαρέσκεια, καὶ τὸ πρὸς ἐπίδειξίν τι ποιεῖν, ὅλως ἐπὶ παντὸς πράγματος χριστιανοῖς ἀπηγόρευται, ὅπου γε καὶ αὐτὴν τὴν ἐντολὴν ὁ πρὸς τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων καὶ δοξασθῆναι ποιῶν, τὸν ἐπ' αὐτῇ μισθὸν ἀπόλλυσι. τοῖς δὲ πᾶν εἶδος ταπεινώσεως διὰ τὴν ἐντολὴν τοῦ κυρίου καταδεξαμένοις μεθ' ὑπερβολῆς φευκτέος πᾶς κενοδοξίας τρόπος. ἐπεὶ δὲ τοὺς ἔξωθεν ὁρῶμεν τὸ ταπεινὸν τῆς πενίας αἰσχυνομένους καὶ ἐπιτηδεύοντας πᾶσαν ἀφθονίαν βρωμάτων καὶ πολυτέλειαν, ὅταν τινὰ τῶν ξένων δέχωνται, φοβοῦμαι μὴ καὶ ἡμῶν κατὰ τὸ λανθάνον τὸ αὐτὸ πάθος ἅψηται, καὶ ἐλεγχθῶμεν ἐπαισχυνόμενοι τὴν ὑπὸ τοῦ κυρίου μακαριζομένην πτωχείαν. ὥσπερ οὖν σκεύη ἀργυρᾶ, ἢ καταπετάσματα περιπόρφυρα, ἢ στρωμνὴν μαλακὴν, ἢ ἐπιβλήματα διαφανῆ συμπορίζεσθαι ἔξωθεν οὐκ εὐπρεπὲς ἡμῖν, οὕτως οὐδὲ βρώματα περινοεῖν παραπολὺ τῆς ἡμετέρας διαίτης ἐξηλλαγμένα. τὸ γὰρ περιτρέχειν ἡμᾶς διερευνωμένους τὰ μὴ πρὸς τὸ ἀναγκαῖον τῆς χρείας ἐπιζητούμενα, ἀλλὰ πρὸς τὴν ἀθλίαν ἡδονὴν καὶ ὀλεθρίαν κενοδοξίαν περινοούμενα. οὐ μόνον αἰσχρὸν καὶ ἀσύμφωνον τῷ προκειμένῳ ἡμῖν σκοπῷ, ἀλλὰ καὶ βλάβην ἔχον οὐ τὴν τυχοῦσαν. ὅταν οἱ τρυφῶντες καὶ ταῖς ἡδοναῖς τῆς γαστρὸς τὴν μακαριότητα ὁριζόμενοι, περὶ τὰς αὐτὰς φροντίδας ὁρῶσι καὶ ἡμᾶς φερομένους, περὶ ἃς ἐκεῖνοι ἐπτόηνται. εἰ γὰρ πονηρὸν ἡ τρυφὴ καὶ φανερὸν, οὐδέποτε ἡμῖν αἱρετή.

ὁ τοιοῦτος· ὥσπερ καὶ ὁ ὑφ' οὐδενὸς πάθους σωματικοῦ ἐνοχλούμενος, οὐχ ὑγιὴς καὶ ὑφ' ἑνὸς, καὶ τοῦ τυχόντος κυριευόμενος, οὐκ ἐλεύθερος. αἱ μὲν οὖν λοιπαὶ ἀρεταὶ ἐν τῷ κρυπτῷ κατορθούμεναι, ὀλιγάκις διαφαίνονται τοῖς ἄλλοις, ἡ δὲ ἐγκράτεια ἀπ' αὐτῆς τῆς συντυχίας γνώριμον ποιεῖ τὸν ἔχοντα. ὡς γὰρ τὸν ἀθλητὴν ἡ πολυσαρκία καὶ ἡ εὔχροια χαρακτηρίζει, οὕτω τὸν χριστιανὸν τὸ κατεσκληκὸς τοῦ σώματος, καὶ ἡ ἐκ τῆς ἐγκρατείας ἐπανθοῦσα χροιὰ, δείκνυσιν ὅτι ἀθλητής ὄντως ἐστὶ τῶν ἐντολῶν τοῦ Χριστοῦ ἐν τῇ ἀσθενείᾳ τοῦ σώματος καταπαλαίων ἑαυτοῦ τὸν ἐχθρόν· καὶ τὸ δυνατὸν ἐν τοῖς τῆς εὐσεβείας ἄθλοις ἐπιδεικνύμενος, κατὰ τὸ εἰρημένον, ὅτι ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι. ὅσον τὸ κέρδος ὀφθῆναι μόνον τὸν ἐγκρατῆ, μόλις καὶ κατὰ μικρὸν τῶν ἀναγκαίων ἁπτόμενον· καὶ ὡς λειτουργίαν ἐπαχθῆ ἀποτελοῦντα τῇ φύσει, καὶ δυσχεραίνοντα μὲν τῷ καιρῷ τῆς περὶ ταῦτα διατριβῆς· ταχὺ δὲ τῆς τραπέζης ἀποπηδῶντα πρὸς τὴν τῶν ἔργων σπουδήν. οἶμαι γὰρ αὖ καὶ τοῦ ἀκολάστου περὶ γαστέρα μηδένα λόγον τοσοῦτον τῆς ψυχῆς καθάψασθαι, καὶ πρὸς μεταβολὴν ἐναγαγεῖν, ὅσον καὶ μόνην τὴν συντυχίαν τοῦ ἐγκρατοῦς. καὶ τοῦτο ἐστὶν ὡς ἔοικε, τὸ εἰς δόξαν θεοῦ ἐσθίειν καὶ πίνειν. ὥστε καὶ ἐπὶ τραπέζης λάμπειν τὰ καλὰ ἡμῶν ἔργα πρὸς τὸ δοξασθῆναι τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ἐρώτησις. ιη'.

Ὅτι δεῖ πάντων τῶν παρατιθεμένων ἡμῖν ἀπογεύεσθαι.

Ἀπόκρισις.

Ἀναγκαῖον μέντοι κἀκεῖνο προσδιορίσασθαι, ὅτι πρὸς τὸν ὑπωπιασμὸν τοῦ σώματος ἀπαραίτητον τοῖς τῆς εὐσεβείας ἀγωνισταῖς ἡ ἐγκράτεια· πᾶς γὰρ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. πρὸς δὲ τὸ μὴ συνεμπίπτειν τοῖς ἐχθροῖς τοῦ θεοῦ τοῖς κεκαυτηριασμένοις τὴν ἰδίαν συνείδησιν, καὶ διὰ τοῦτο ἀπεχομένοις βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετ' εὐχαριστίας τοῖς πιστοῖς, ἅπτεσθαι μὲν ἑκάστου χρὴ, καιροῦ ποτὲ συνεμπεσόντος, ὅσον ἐνδείκνυσθαι τοῖς ὁρῶσιν· ὅτι πάντα καθαρὰ τοῖς καθαροῖς, καὶ ὅτι πᾶν κτίσμα θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως. φυλάττειν δὲ καὶ οὕτω τὸν τῆς ἐγκρατείας σκοπόν· τοῖς μὲν εὐτελεστέροις καὶ ἀναγκαίοις πρὸς τὸ ζῆν μέχρι τῆς χρείας προσδιατρίβοντα· καὶ ἐν τούτοις τοῦ κόρου τὸ βλαβερὸν ἐκκλίνοντα, τῶν δὲ πρὸς ἡδονὴν καθόλου ἀπεχόμενον. οὕτω γὰρ καὶ τῶν φιληδόνων τὸ πάθος ἐκκόψομεν· καὶ τοὺς κεκαυτηριασμένους τὴν ἰδίαν συνείδησιν, τό γε ἐφ' ἡμῖν, θεραπεύσομεν· καὶ ἑαυτοὺς δὲ τῆς ἐξ ἑκατέρας ὑπονοίας ἐλευθερώσομεν. ἵνα τί γάρ φησιν ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; ἐγκράτεια δείκνυσι τὸν συναποθανόντα Χριστῷ, καὶ νεκρώσαντα ἑαυτοῦ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. ταύτην οἴδαμεν σωφροσύνης μητέρα, ὑγείας πρόξενον, τῆς τῶν ἀγαθῶν ἐν Χριστῷ καρποφορίας ἱκανῶς ὑπεξαιροῦσαν τὰ ἐμπόδια· εἴπερ κατὰ τὴν τοῦ κυρίου φωνὴν, αἱ μέριμναι τοῦ αἰῶνος τούτου, καὶ αἱ ἡδοναὶ τοῦ βίου, καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. ταύτην καὶ δαίμονες ἀποφεύγουσιν, αὐτοῦ τοῦ κυρίου διδάξαντος ἡμᾶς, ὅτι τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Ἐρώτησις. ιθ'.

Τί τὸ μέτρον τῆς ἐγκρατείας.

Ἀπόκρισις.

Ἐπὶ μὲν τῶν τῆς ψυχῆς παθῶν οὐ μέτρον ἐγκρατείας ἡ παντελὴς ἀπαλλοτρίωσις τῶν πρὸς τὴν ὀλεθρίαν ἡδονὴν φερόντων. ἐπὶ δὲ τῶν βρωμάτων ὥσπερ αἱ χρεῖαι ἄλλαι ἄλλων εἰσὶ κατά τε ἡλικίας καὶ ἐπιτηδεύματα, καὶ πρὸς τὴν τοῦ σώματος ἕξιν οἰκείως διαιρούμεναι· οὕτω δὴ καὶ τὸ μέτρον τῆς χρήσεως διάφορον, καὶ ὁ τρόπος. ὥστε ἑνὶ μὲν κανόνι πάντας περιλαμβάνεσθαι τοὺς ἐν τῇ γυμνασίᾳ τῆς εὐσεβείας ἀδύνατον. ἀφορίσαντας δὲ τὸ περὶ τοὺς ὑγιαίνοντας τῶν ἀσκουμένων μέτρον, ἀπὸ τούτου τὴν παραλλαγὴν πρὸς τὰ ἑκάστῳ συμπίπτοντα στοχασμὸν γίνεσθαι παρὰ τῶν ἐπιτεταγμένων τὴν οἰκονομίαν ἀφίεμεν. οὐδὲ γὰρ τὰ καθ' ἕκαστον τῷ λόγῳ περιλαμβάνειν δυνατὸν, ἀλλ' ὅσα τῆς κοινῆς καὶ καθόλου διδασκαλίας ἤρτηται. τὴν γὰρ τῶν ἀῤῥώστων παραμυθίαν ἐκ τῶν βρωμάτων, ἢ τὴν τοῦ ἄλλως κεκμηκότος ἐπὶ συντόνοις ἔργοις, ἢ καὶ τὴν τοῦ πα-

ἐγκρατείας ἤρτηται· ἀπὸ ταύτης, καὶ ὁ Χριστὸς τῆς φανερώσεως αὐτοῦ ἤρξατο. ἐγκράτειαν δὲ λέγομεν οὐ πάντως τὴν εἰς τὸ παντελὲς ἀποχὴν τῶν βρωμάτων, τοῦτο γὰρ βιαία τίς ἐστι διάλυσις τῆς ζωῆς, ἀλλὰ τὴν ἐπὶ καθαιρέσει τοῦ φρονήματος τῆς σαρκὸς πρὸς τὸν τῆς εὐσεβείας σκοπὸν ἐπιτετηδευμένην ἀποχὴν τῶν ἡδέων. καὶ ἁπαξαπλῶς, ὧν αἱ ἀπολαύσεις ἐπιθυμητοί τοῖς κατὰ πάθος ζῶσι. τούτων ἡ ἐγκράτεια ἀναγκαία τοῖς ῥυθμιζομένοις πρὸς τὴν εὐσέβειαν. οὐ μὴν περὶ τὴν ἡδονὴν τῶν βρωμάτων μόνην ἡ τῆς ἐγκρατείας ἄσκησις κατορθοῦται, ἀλλὰ διατείνει καὶ ἐπὶ πᾶσαν τοῦ ἐμποδίζοντος ἀποχήν. ὥστε ὁ ἀκριβῶς ἐγκρατὴς, οὐ γαστρὸς μὲν κρατήσει, δόξῃ δὲ ἀνθρωπίνῃ ἡττηθήσεται· οὐκ ἐπιθυμίας μὲν αἰσχρᾶς περιγενήσεται, πλούτου δὲ οὐκέτι, οὐδὲ ἄλλης τινὸς ἀγεννοῦς διαθέσεως, οἷον ὀργῆς ἢ λύπης, ἢ τῶν, ὅσα τὰς ἀπαιδεύτους ψυχὰς καταδουλοῦσθαι πέφυκε. σχεδὸν γὰρ, ὃ ἐπὶ πασῶν θεωροῦμεν τῶν ἐντολῶν, ὅτι ἀλλήλων ἔχονται, καὶ ἀπηρτισμένως ἄλλην ἀπ' ἄλλης κατορθοῦσθαι ἀμήχανον, τοῦτο μάλιστα περὶ τὴν ἐγκράτειαν θεωρεῖται. ταπεινόφρων τε γάρ ἐστιν, ὁ περὶ δόξαν ἐγκρατής. καὶ τῆς ἀκτημοσύνης τὸ εὐαγγελικὸν ἐκπληροῖ μέτρον ὁ περὶ χρήματα ἐγκρατῶς διακείμενος. καὶ ἀόργητος, ὁ θυμοῦ καὶ ὀργῆς ἐπικρατῶν. καὶ γλώσσης δὲ μέτρα, καὶ ὀφθαλμοῖς ὅρους, καὶ ὠσὶν ἀπερίεργον ἀκοὴν, ὁ ἀκριβὴς τῆς ἐγκρατείας ὁρίζει λόγος. οἷς ὁ μὴ ἐμμένων, ἀκρατὴς καὶ ἀκόλαστος. ὁρᾷς πῶς περὶ μίαν ἐντολὴν ταύτην αἱ πᾶσαι ὡς ἐν χορῷ ἀλλήλων ἔχονται;

ὅτι δεῖ καὶ γέλωτος ἐγκρατῶς ἔχειν. ιζ΄.

Καὶ τὸ παρὰ τοῖς πολλοῖς δὲ παρορώμενον, οὐ μετρίας φυλακῆς τοῖς ἀσκουμένοις ἄξιον. τὸ γὰρ, γέλωτι ἀκρατεῖ καὶ ἀσχέτῳ κατέχεσθαι, ἀκρασίας σημεῖον, καὶ τοῦ μὴ κατεσταλμένα ἔχειν τὰ κινήματα. καὶ τοῦ μὴ ἀκριβεῖ λόγῳ τῆς ψυχῆς τὸ χαῦνον καταπιέζεσθαι. ἄχρι μὲν γὰρ μειδιάματος φαιδροῦ τὴν διάχυσιν τῆς ψυχῆς ἀποφαίνειν οὐκ ἀπρεπὲς, ὅσον δεῖξαι μόνον τὸ γεγραμμένον. καρδίας εὐφραινομένης, πρόσωπον θάλλει. ἐκκαχάζειν δὲ τῇ φωνῇ, καὶ ἀναβράζεσθαι τὸ σῶμα, οὐ τοῦ κατεσταλμένου τὴν ψυχὴν, οὐδὲ τοῦ δοκίμου, οὐδὲ τοῦ περικρατῶς ἔχοντος ἑαυτοῦ. βεβαιοῖ δὲ τὸν λόγον ὁ σοφώτατος Σολομῶν, φήσας· μωρὸς ἐν γέλωτι ἀνυψοῖ τὴν φωνὴν αὐτοῦ. ἀνὴρ δὲ σοφὸς, μόλις ἡσυχῇ μειδιάσει. τοῦτο τὸ εἶδος τοῦ γέλωτος καὶ ὁ Ἐκκλησιαστὴς παραιτούμενος, ὡς περιτρέπον μάλιστα τὸ σταθερὸν τῆς ψυχῆς, φησί· τῷ γέλωτι εἶπα περιφοράν. καὶ ὁ Παροιμιαστής· ὡς φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα, οὕτως ὁ γέλως τῶν ἀφρόνων. καὶ ὁ Κύριος τὰ μὲν ἀναγκαῖα πάθη τῆς σαρκὸς ὑπομείνας φαίνεται, καὶ ὅσα ἀρετῆς μαρτυρίαν φέρει. οἷον κόπον, καὶ τὸν ἐπὶ τοῖς θλιβομένοις ἔλεον. γέλωτα δὲ μηδαμοῦ παραδεξάμενος, ὅσον ἐκ τῆς τῶν εὐαγγελίων ἱστορίας. ἀλλὰ καὶ ταλανίζων τοὺς κατεχομένους ὑπ' αὐτοῦ. μὴ παρακρουέσθω δὲ ἡμᾶς ἡ ὁμωνυμία τοῦ γέλωτος, σύνηθες γὰρ τῇ γραφῇ πολλάκις τὴν χαρὰν τῆς ψυχῆς, καὶ τὴν φαιδρὰν ἐπὶ τοῖς ἀγαθοῖς διάθεσιν, γέλωτα ὀνομάζειν. ὡς ἡ Σάρρα φησί· γέλωτά μοι ἐποίησεν ὁ Θεός. καὶ τὸ, μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. καὶ τὸ ἐν τῷ Ἰὼβ δὲ κείμενον, ἀληθινὸν δὲ στόμα ἐμπλήσει γέλωτος. ταῦτα γὰρ πάντα αὐτὶ ἱλαρότητος ἐστὶ τῆς κατὰ ψυχὴν ἀγαλλιάσεως εἰλημμένα τὰ ὀνόματα. ὥστε ὁ παντὸς πάθους ἀνώτερος, καὶ μηδένα διὰ ἡδονῆς ἐρεθισμὸν προσιέμενος, ἀλλ' ἐγκρατῶς, καὶ ἀνενδότως πρὸς πᾶσαν ἀπόλαυσιν βλαβερὰν διακείμενος, οὗτος ἂν εἴη ἐγκρατής. ὁ δὲ τοιοῦτος δηλονότι καὶ πάσης ἀπήλλακται ἁμαρτίας. ἔστι δὲ ὅτε καὶ αὐτῶν τῶν συγκεχωρημένων καὶ ἀναγκαίων πρὸς τὸ ζῆν ἀφεκτέον, ὅταν ἐπ' ὠφελείᾳ τῶν ἀδελφῶν ἡμῶν ἡ ἀποχὴ οἰκονομῆται. ὡς ὁ Ἀπόστολος· εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου φησὶν, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. καὶ ἔχων ἐξουσίαν ἐκ τοῦ εὐαγγελίου ζῆν, οὐκ ἐχρήσατο τῇ ἐξουσίᾳ, ἵνα μὴ ἐγκοπήν τινα δῷ τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. ἔστιν οὖν ἡ ἐγκράτεια, ἁμαρτίας ἀναίρεσις, παθῶν ἀπαλλοτρίωσις, σώματος νέκρωσις μέχρι καὶ αὐτῶν τῶν φυσικῶν παθημάτων τε καὶ ἐπιθυμιῶν. ζωῆς πνευματικῆς ἀρχὴ, τῶν αἰωνίων ἀγαθῶν πρόξενος, ἐν ἑαυτῇ τὸ κέντρον τῆς ἡδονῆς ἀφανίζουσα. ἡδονὴ γάρ ἐστι τὸ μέγα τοῦ κακοῦ δέλεαρ, δι' ἣν δὴ εὐεμπτωτοι μάλιστα πρὸς ἁμαρτίαν ἐσμὲν οἱ ἄνθρωποι. ὑφ' ἧς πᾶσα ψυχὴ, ὡς ὑπ' ἀγκίστρου πρὸς τὸν θάνατον ἕλκεται. ὡς ὅγε μὴ ἐκθηλυνόμενος ὑπ' αὐτῆς διὰ τῆς ἐγκρατείας πᾶσαν φυγὴν ἁμαρτημάτων κατορθοῦται. εἰ δὲ τὰ μὲν πλεῖστα ἔφυγεν, ὑφ' ἑνὸς δὲ κρατεῖται, οὐκ ἐγκρατής

εὔπλαστον οὖν ἔτι οὖσαν καὶ ἁπαλὴν τὴν ψυχὴν, καὶ ὡς κηρὸν εὔδεκτον, ταῖς τῶν ἐπιβαλ-
λομένων μορφαῖς ῥαδίως ἐκτυπουμένην, πρὸς πᾶσαν ἀγαθῶν ἄσκησιν εὐθὺς καὶ ἐξ ἀρ-
χῆς ἐνάγεσθαι χρή· ὥστε τοῦ λόγου προσγινομένου, καὶ τῆς διακριτικῆς ἕξεως παρελ-
θούσης, δρόμον ὑπάρχειν ἐκ τῶν ἐξ ἀρχῆς στοιχείων, καὶ τῶν παραδοθέντων τῆς εὐσεβείας
τύπων· τοῦ μὲν λόγου τὸ χρήσιμον ὑποβάλλοντος, τοῦ δὲ ἔθους εὐμάρειαν πρὸς τὸ κατορ-
θοῦν ἐμποιοῦντος, τότε καὶ τὴν ὁμολογίαν τῆς παρθενίας προσίεσθαι δεῖ, ὡς ἤδη βε-
βαίαν, καὶ ἀπὸ γνώμης οἰκείας, καὶ κρίσεως γινομένην μετὰ τὴν τοῦ λόγου συμπλήρω-
σιν· μεθ' ἣν καὶ τιμαὶ, καὶ τιμωρίαι τοῖς ἁμαρτάνουσιν, ἢ τοῖς κατορθοῦσι παρὰ τοῦ δικαίου
κριτοῦ κατὰ τὴν τῶν ἔργων ἀξίαν δίδονται. Μάρτυρας δὲ τῆς γνώμης τοὺς προεστῶτας
τῶν ἐκκλησιῶν παραλαμβάνειν. ὥστε δι' αὐτῶν καὶ τὸν ἁγιασμὸν τοῦ σώματος, ὥσπερ
τι ἀνάθημα τῷ θεῷ καθιεροῦσθαι καὶ βεβαίωσιν εἶναι τοῦ γινομένου διὰ τῆς μαρτυρίας.
» ἐπὶ στόματος γάρ φησι δύο, ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. οὕτω γὰρ καὶ ἡ σπου-
δὴ τῶν ἀδελφῶν τὸ ἀβλασφήμητον ἕξει, καὶ τοῖς ἑαυτοὺς καθομολογησαμένοις θεῷ, εἴ τι
ἀθετεῖν ἐπιχειροῦσιν, ἀφορμὴ πρὸς ἀναισχυντίαν οὐχ ὑπολειφθήσεται. ὁ δὲ μὴ κατα-
δεχόμενος τὸν ἐν παρθενίᾳ βίον, ὡς οὐ δυνάμενος μεριμνᾶν τὰ τοῦ κυρίου, ἐπὶ τῶν αὐτῶν μαρ-
τύρων ἀπολυέσθω. τόνγε μὴν καθομολογησάμενον μετὰ πολλὴν ἀνάκρισιν, καὶ ἐπίσκε-
ψιν, ἣν ἐν πλείοσιν ἡμέραις ἐπιτρέπειν αὐτῷ ποιῆσαι καθ' ἑαυτὸν προσήκει, ὡς μὴ δόξαι τι
καθ' ὑφαρπαγὴν παρ' ἡμῶν γίνεσθαι, οὕτως ἤδη παραδέχεσθαι δεῖ, καὶ ἐναρίθμιον ποιεῖ-
σθαι τῇ ἀδελφότητι. καὶ οἴκου καὶ διαίτης τῆς αὐτῆς τοῖς τελειοτέροις μεθέξοντα.
Ὃ δὲ παρέλαθεν ἡμᾶς εἰπεῖν, οὐδὲ νῦν προσθεῖναι ἄκαιρον. ὅτι διὰ τὸ τινὰς τῶν τεχνῶν
εὐθὺς ἐκ νηπίου ἐπιτηδεύεσθαι δεῖν· ἐπειδὰν ἤδη τινὲς τῶν παίδων ἐπιτηδείως ἔχοντες
φανῶσι πρὸς τὴν μάθησιν, τὸ μὲν συνδιημερεύειν αὐτοὺς τοῖς διδασκάλοις τῆς τέχνης οὐκ ἀπα-
γορεύομεν. νύκτωρ δὲ ἀναγκαίως πρὸς τοὺς ὁμήλικας μεθιστῶμεν. μεθ' ὧν καὶ τῆς τρο-
φῆς αὐτοῖς ἀναγκαῖον μεταλαμβάνειν.

ἐρώτησις, ιϛ΄.

Εἰ ἀναγκαῖον τῷ μέλλοντι εὐσεβῶς ζῆν, τὸ ἐγκρατεύεσθαι.

ἀπόκρισις.

Ὅτι μὲν ἀναγκαῖος ὁ τῆς ἐγκρατείας λόγος, δῆλον. πρῶτον μὲν ἐκ τοῦ τὸν ἀπόστολον ἐν
τοῖς καρποῖς τοῦ πνεύματος τὴν ἐγκράτειαν ἀριθμῆσαι, ἔπειτα δὲ ἐκ τοῦ, τὸ ἄμωμον
» τῆς διακονίας, καὶ ἐκ ταύτης εἰπεῖν κατορθοῦσθαι. ἐν οἷς φησιν, ἐν κόποις, ἐν ἀγρυ-
» πνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι. καὶ ἑτέρωθι· ἐν κόπῳ, καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολ-
» λάκις. καὶ πάλιν· πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. καὶ ὁ ὑπωπιασμὸς δὲ
τοῦ σώματος, καὶ ἡ δουλαγωγία, ὑπ' οὐδενὸς ἄλλου τοσοῦτον, ὡς ἀπὸ τῆς ἐγκρατείας
κατορθοῦται. τὸ γὰρ βράζον τῆς νεότητος, καὶ πρὸς τὰς ὁρμὰς δυσκάθεκτον, οἷον χαλι-
νῷ τινι τῇ ἐγκρατείᾳ καθείργεται. οὐ γὰρ συμφέρει ἄφρονι τρυφὴ κατὰ τὸν σολομῶντα.
τί δὲ σαρκὸς εὐπαθούσης, καὶ νεότητι περιφερομένης ἀφρονέστερον; διό φησιν ὁ ἀπόστο-
» λος, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. καὶ ἡ σπαταλῶσα ζῶσα τέθνη-
κεν. καὶ τὸ ὑπόδειγμα δὲ τῆς τοῦ πλουσίου τρυφῆς ἀναγκαίαν ἡμῖν τὴν ἐγκράτειαν παρί-
στησιν, μήποτε ἀκούσωμεν, ὃ ἤκουσεν ὁ πλούσιος· ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου.
ὅπως δὲ φοβερὸν ἡ ἀκρασία, καὶ ὁ ἀπόστολος ἔδειξεν ἐν τοῖς ἰδιώμασι τῆς ἀποστασίας
» καταριθμήσας αὐτὴν, καὶ εἰπών· ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. ἔ-
» σονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι. καὶ πλείονα ἀπαριθμησάμενος τῆς κακίας εἴδη, ἐπήγα-
» γεν· διάβολοι, ἀκρατεῖς. καὶ ὁ ἡσαῦ δὲ τὸ μέγιστον τῶν κακῶν τὴν ἀκρασίαν κατηγο-
ρήθη· ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια. καὶ ἡ πρώτη παρακοὴ δι' ἀκρα-
σίας συνέπεσε τῷ ἀνθρώπῳ. ἐν ἐγκρατείᾳ δὲ, οἱ ἅγιοι πάντες ἐμαρτυρήθησαν. καὶ πᾶσα
δὲ ἡ τῶν ἁγίων καὶ μακαρίων ζωὴ καὶ τὸ παρ' αὐτοῦ τοῦ κυρίου ἐν τῇ ἐπιδημίᾳ τῆς σαρκὸς ὑπό-
δειγμα πρὸς τοῦτο ἡμᾶς ὠφελήσει. ὁ μωσῆς διὰ τῆς μακρᾶς ἐν νηστείᾳ, καὶ προσευχῇ προ-
σεδρίας, τὸν νόμον ἔλαβεν, καὶ θεοῦ λόγων ἤκουσεν, ὡς ἄν τις λαλήσει φησὶ τῷ ἑαυ-
τοῦ φίλῳ. ὁ ἠλίας τότε τῆς ὀπτασίας τοῦ θεοῦ κατηξιώθη, ὅτε καὶ αὐτὸς ἐν τῷ ἴσῳ μέ-
τρῳ τῆς ἐγκρατείας γέγονε. τί δὲ ὁ δανιὴλ, πῶς ἐν τῇ ὀπτασίᾳ τῶν παραδόξων ἐγένε-
το; οὐ μετὰ τὴν εἰκοσιν τῆς νηστείας ἡμέραν; πῶς δὲ οἱ τρεῖς παῖδες τὴν δύναμιν ἔσβε-
σαν τοῦ πυρὸς; οὐ διὰ τῆς ἐγκρατείας; καὶ ἰωάννου δὲ ἡ πᾶσα τοῦ βίου σύστασις ἀπὸ τῆς

ἐγκρατείας

ἡλικίας δεκτὸν εἶναι πρὸς τὴν τῶν προσιόντων παραδοχὴν δοκιμάζομεν· τὰ μὲν ὀρφανὰ γονέων ἀφ' ἑαυτῶν προσλαμβανόμενοι· ὥστε γενέσθαι κατὰ τὸν ζῆλον τοῦ Ἰὼβ ὀρφανῶν πατέρας· τὰ δὲ ὑπὸ γονεῦσιν ὄντα, παρ' αὐτῶν ἐκείνων προσαγόμενα, ἐπὶ πολλῶν μαρτύρων δεχόμενοι, ὥστε μὴ δοῦναι ἀφορμὴν τοῖς θέλουσιν ἀφορμήν· ἀλλὰ πᾶν ἄδικον στόμα τῶν λαλούντων καθ' ἡμῶν βλασφημίαν ἐπιχαλινῶσαι. δέχεσθαι μὲν οὖν χρὴ κατὰ τοῦτον τὸν λόγον, οὐ μὴν εὐθὺς αὐτὰ, καὶ συναριθμεῖσθαι καὶ συγκαταλέγεσθαι τῷ σώματι πρὸς σκηνῇ τῶν ἀδελφῶν· ὥστε μὴ τὰ ἐκ τῆς ἀποτυχίας αὐτῶν ὀνείδη ἐπὶ τὸν βίον τὸν κατ' εὐσέβειαν ἀναφέρεσθαι, ἀλλ' ἐκτρέφεσθαι μὲν αὐτὰ ἐν πάσῃ ἀγάπῃ, ὡς κοινὰ τέκνα τῆς ἀδελφότητος. ἀφωρίσθαι δὲ καὶ οἴκους, καὶ διαίτας τοῖς τε ἄρσεσι τῶν παίδων, καὶ ταῖς θηλείαις· ὡς μήτε παῤῥησίαν, μήτε θάρσος ἄμετρον πρὸς τοὺς πρεσβυτέρους αὐτοῖς ἐγγίνεσθαι, τῷ δὲ σπανίῳ τῆς συντυχίας τὸ πρὸς τοὺς προάγοντας αἰδέσιμον σώζεσθαι· μήτε ἐκ τῆς ἐπιτιμίας τῆς προσαγομένης τοῖς τελειοτέροις ἐν τοῖς παραπτώμασι τῶν καθηκόντων, εἴποτε ἄρα μετεωρισθῆναι συμβαίη, ἀχρείαν αὐτοῖς τῶν ἁμαρτημάτων, ἢ ἔπαρσιν πολλάκις κατὰ τὸ λεληθὸς ἐντίκτεσθαι· ὅταν ἐν οἷς αὐτοὶ κατορθοῦσι, πολλάκις τοὺς πρεσβυτέρους ἴδωσι διαπίπτοντας. διαφέρει γὰρ οὐδὲν τοῦ νηπίου καθ' ἡλικίαν, ὁ ταῖς φρεσὶ νηπιάζων· ὥστε οὐδὲν θαυμαστὸν, καὶ τὰ αὐτὰ πάθη πολλάκις ἐν ἀμφοτέροις εὑρίσκεσθαι. μήτε μὴν ἐν οἷς διὰ τὴν ἡλικίαν τὸ πρέπον τοῖς πρεσβυτέροις σώζεται, πρὸς ταῦτα τοὺς νέους διὰ τῆς συναναστροφῆς πρὸ καιροῦ ἀπρεπῶς προπετεύεσθαι. τούτου τε οὖν τῆς οἰκονομίας ἕνεκεν καὶ τῆς λοιπῆς σεμνότητος, διαιρεῖσθαι χρὴ τῶν παίδων, καὶ τῶν τελειοτέρων τὴν οἴκησιν· καὶ ἅμα οὐδὲ θόρυβον ἕξει ὁ οἶκος τῶν ἀσκητῶν ἐν τῇ μελέτῃ τῶν διδαγμάτων ἀναγκαίᾳ οὔσῃ τοῖς νέοις. ἀλλὰ προσευχαὶ μὲν κοιναὶ καὶ παισὶ, καὶ πρεσβυτέροις ἔστωσαν, αἱ κατὰ τὴν ἡμέραν διατετυπωμέναι. τοῖς τε γὰρ παισὶν ὁ ἐθισμὸς ἐκ τοῦ ζήλου τῶν τελειοτέρων πρὸς κατάνυξιν, καὶ τοῖς προάγουσιν οὐ μικρὰ ἐν προσευχαῖς ἡ παρὰ νηπίων βοήθεια. μελέται δὲ ἰδιάζουσαι, καὶ δίαιται κατά τε ὕπνον καὶ ἐγρήγορσιν, καὶ τροφῆς καιρόν· καὶ μέτρον καὶ ποιότητα παισὶ πρεπόντως ἀφωρίσθω. ἐπιτετάχθω δὲ τοῖς τοιούτοις ὁ καθ' ἡλικίαν προήκων, καὶ τὴν ἐμπειρίαν ὑπὲρ τοὺς ἄλλους ὢν, καὶ μαρτυρίαν ἔχων ἐπὶ μακροθυμίᾳ· ὥστε πατρικῇ μὲν εὐσπλαγχνίᾳ, λόγῳ δὲ ἐπιστημονικῷ τὰ ἁμαρτήματα τῶν νέων ἐπανορθοῦσθαι, οἰκείας ἑκάστῳ πταίσματι τὰς θεραπείας προσάγοντα· ὥστε τὸ αὐτὸ καὶ ἐπιτίμησιν ἔχειν τοῦ ἁμαρτήματος, καὶ γυμνάσιον ἀπαθείας τῇ ψυχῇ γίνεσθαι. οἷον, ὠργίσθη πρὸς τὸν ὁμήλικα, τοῦτον θεραπεῦσαι, καὶ ὑπηρετῆσαι αὐτῷ κατὰ ἀναλογίαν τοῦ τολμήματος ἀναγκασθήτω. ὁ γὰρ πρὸς τὴν ταπείνωσιν ἐθισμὸς, οἷον ἐκτέμνει τῆς ψυχῆς τὸ θυμούμενον, τῆς ἐπάρσεως πολλάκις ἡμῖν τὴν ὀργὴν ἐμποιούσης. ἥψατο βρωμάτων παρὰ καιρόν; ἐπὶ πλεῖστον τῆς ἡμέρας ἀπόσιτος ἔστω. ἀμέτρως ἢ ἀσχημόνως σιτούμενος κατεγνώσθη; κατὰ τὸν καιρὸν τῆς τροφῆς εἰργόμενος τῶν σιτίων, ὁρᾶν τοὺς ἄλλους κατ' ἐπιστήμην ἐσθίοντας ἀναγκαζέσθω· ὥστε καὶ κολάζεσθαι τῇ ἀποχῇ, καὶ διδάσκεσθαι τὴν σεμνότητα. λόγον ἀφῆκεν ἀργόν; ὕβριν εἰς τὸν πλησίον; ψεῦδος; ἄλλο τι τῶν ἀπηγορευμένων; τῇ τε γαστρὶ, καὶ τῇ σιωπῇ σωφρονιζέσθω. δεῖ δὲ καὶ τὴν τῶν γραμμάτων μελέτην οἰκείαν εἶναι τῷ σκοπῷ· ὥστε καὶ ὀνόμασιν αὐτοὺς τοῖς ἐκ τῶν γραφῶν κεχρῆσθαι· καὶ ἀντὶ μύθων, τὰς τῶν παραδόξων ἔργων ἱστορίας αὐτοῖς διηγεῖσθαι, καὶ γνώμαις παιδεύειν ταῖς ἐκ τῶν παροιμιῶν. καὶ ἆθλα μνήμης ὀνομάτων τε καὶ πραγμάτων αὐτοῖς προτιθέναι· ὥστε μετὰ τερπνότητος καὶ ἀνέσεως ἀλύπως αὐτοῖς, καὶ ἀπροσκόπως τὸν σκοπὸν διανύεσθαι. καὶ ἡ προσοχὴ δὲ τῆς διανοίας, καὶ ὁ τοῦ μὴ μετεωρίζεσθαι ἐθισμὸς, εὐκόλως ἂν διὰ τῆς ὀρθῆς ἀγωγῆς τοῖς τοιούτοις ἐγγένοιτο, εἰ παρὰ τῶν ἐπιστατούντων συνεχῶς ἀνακρίνοιντο. ποῦ ἔχουσι τὴν διάνοιαν, καὶ τί στρέφουσιν ἐν τοῖς λογισμοῖς. τὸ γὰρ ἁπλοῦν τῆς ἡλικίας καὶ ἄδολον, καὶ πρὸς τὸ ψεῦδος ἀνεπιτήδειον, ἐξαγορεύει μὲν εὐκόλως τὰ ἀπόῤῥητα τῆς ψυχῆς. ὑπὲρ δὲ τοῦ μὴ συνεχῶς ἐγκαταλαμβάνεσθαι τοῖς ἀπηγορευμένοις, ὁ τοιοῦτος φεύγοι ἂν τὰς τῶν ἀτόπων ἐννοίας, καὶ συνεχῶς ἑαυτὸν ἐκ τῶν ἀτόπων ἀνακαλέσεται, τὴν ἐκ τῶν ἐλέγχων αἰσχύνην φοβούμενος.

θεῷ. κατορθοῦται δὲ ὁ ἀγὼν, ἢ ἐν τῷ τὸν δοῦλον καρτερηθῆναι πρὸς ὑπομονὴν τῶν ἐπιφερομένων αὐτῷ παθημάτων, ὑπὲρ τοῦ πειθαρχεῖσθαι θεῷ μᾶλλον ἢ ἀνθρώποις, καθὼς γέγραπται. ἢ ἐν τῷ τοὺς ὑποδεξαμένους ἀναδέξασθαι ὡς ἀρέσκει θεῷ, τοὺς ὑπὲρ αὐτοῦ ἐπαγομένους αὐτοῖς πειρασμούς.

Ἐρώτησις. ιβ'.

Ὅπως χρὴ τοὺς ἐν συζυγίᾳ προσδέχεσθαι.

Ἀπόκρισις.

Καὶ τοὺς ἐν συζυγίᾳ δὲ γάμου τοιούτῳ βίῳ προσερχομένους ἀνακρίνεσθαι δεῖ, εἰ ἐκ συμφώνου τοῦτο ποιοῦσι κατὰ τὴν διαταγὴν τοῦ ἀποστόλου. τοῦ γὰρ ἰδίου σώματος φησὶν οὐκ ἐξουσιάζει. καὶ οὕτως ἐπὶ πλειόνων μαρτύρων δέχεσθαι τὸν προσερχόμενον. τῆς γὰρ πρὸς θεὸν ὑπακοῆς οὐδὲν προτιμότερον. εἰ δὲ διαστασιάζοι τὸ ἕτερον μέρος, καὶ διαμάχοιτο, ἔλαττον φροντίζον τῆς πρὸς θεὸν εὐαρεστήσεως, μνημονευέσθω ὁ ἀπόστολος λέγων. ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. καὶ πληρούσθω τὸ πρόσταγμα τοῦ κυρίου εἰπόντος.
» εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ
» τὰ τέκνα, καὶ τὰ λοιπὰ, οὐ δύναταί μου εἶναι μαθητής. τῆς γὰρ πρὸς θεὸν ὑπακοῆς οὐδὲν προτιμότερον. ἡμεῖς δὲ ἔγνωμεν ἐν πολλοῖς, πολλάκις καὶ διὰ συντόνου προσευχῆς, καὶ νηστείας ἀνενδότου τὸν σκοπὸν τῆς ἐν ἁγνείᾳ ζωῆς περιγινόμενον. τοῦ κυρίου τοὺς μέχρι παντὸς ἀπειθοῦντας, καὶ δι' ἀνάγκης πολλάκις σωματικῆς τῇ συγκαταθέσει τῆς ὀρθῆς κρίσεως ὑπάγοντος.

Ἐρώτησις, ιγ'.

Ὅτι χρήσιμον τοῖς εἰσαγομένοις καὶ τὸ διὰ σιωπῆς γυμνάσιον.

Ἀπόκρισις.

Ἀγαθὸν δὲ τοῖς εἰσαγομένοις καὶ τὸ διὰ σιωπῆς γυμνάσιον. ὁμοῦ τε γὰρ ἀπόδειξιν τῆς ἐγκρατείας ἱκανὴν παρέξονται γλώσσης κρατοῦντες, καὶ ἐν ἡσυχίᾳ συντόνως καὶ ἀμετεωρίστως μαθήσονται παρὰ τῶν ἐπιστημόνως κεχρημένων τῷ λόγῳ, πῶς δεῖ καὶ ἐρωτᾶν, καὶ τὶ ἑκάστῳ ἀποκρίνεσθαι. ἔστι γὰρ καὶ τόνος φωνῆς, καὶ συμμετρία λόγου, καὶ καιροῦ ἐπιτηδειότης, καὶ ῥημάτων ἰδιότης, οἰκεία καὶ διαφέρουσα τοῖς εὐσεβέσιν, ἣν οὐχ οἷόν τε διδαχθῆναι, μὴ τὰ ἐκ τῆς συνηθείας ἀπομαθόντα. τῆς σιωπῆς ὁμοῦ τε λήθην τῶν προτέρων διὰ τῆς ἀργίας ἐμποιούσης, καὶ σχολὴν πρὸς τὴν τῶν ἀγαθῶν μάθησιν παρεχομένης. ὥστε, ἐὰν μή τις ἡ οἰκεία χρεία πρός τε τὴν ἐπιμέλειαν τῆς ἑαυτοῦ ψυχῆς, καὶ πρὸς τὴν ἀπαραίτητον τοῦ ἐν χερσὶν ἔργου ἀνάγκην, ἢ ἐπερώτημά τι τοιοῦτον προσαγόμενον κατεπείγῃ, ἐν σιωπῇ διάγειν, ἐκτὸς δηλονότι ψαλμῳδίας.

Ἐρώτησις, ιδ'.

Περὶ τῶν ἑαυτοὺς τῷ θεῷ καθομολογησαμένων, εἶτα τὴν ὁμολογίαν ἀθετεῖν ἐπιχειρούντων.

Ἀπόκρισις

Παραδεχθέντα μέντοι εἰς τὴν ἀδελφότητα τούτων ἕκαστον, εἶτα τὴν ὁμολογίαν ἀθετήσαντα, οὕτω χρὴ ὁρᾶσθαι, ὡς εἰς θεὸν ἐξαμαρτόντα, ἐφ' οὗ, καὶ εἰς ὃν τὴν ὁμολογίαν τῶν συνθηκῶν κατέθετο. ἐὰν δὲ εἰς θεόν τις φησὶν ἁμάρτῃ, καὶ τίς προσεύξεται περὶ αὐτοῦ; ὁ γὰρ ἀναθεὶς ἑαυτὸν τῷ θεῷ, εἶτα πρὸς ἄλλον βίον ἀποπηδήσας, ἱερόσυλος γέγονεν. αὐτὸς ἑαυτὸν διακλέψας, καὶ ἀφελόμενος τοῦ θεοῦ τὸ ἀνάθημα. οἷς ἄλογον ἐστὶ, μηκέτι θύραν τῶν ἀδελφῶν ἀνοίγεσθαι. μηδὲ εἰ κατὰ ψιλὴν ποτε πάροδον σκέπης ἕνεκεν ἐπιδημήσειαν. ὁ γὰρ ἀποστολικὸς κανὼν φανερῶς κελεύων ἡμᾶς στέλλεσθαι ἀπὸ παντὸς ἀτάκτου, καὶ μὴ συναναμίγνυσθαι αὐτῷ, ἵνα ἐντραπῇ.

καταψιλὴν ποτὲ
πάροδον
in brevi q̄m transitu
Edit. Paris. et Basil.
κατὰ ψύχος ποτὲ
πάροδον – frigoris
tempore transeuntes

2. Thess. 3. 14.

Ἐρώτησις. ιε'.

Ἀπὸ ποίας ἡλικίας ἐπιτρέπειν χρὴ καθομολογεῖν ἑαυτοὺς τῷ θεῷ,
καὶ τὴν τῆς παρθενίας ὁμολογίαν πότε βεβαίαν ἡγεῖσθαι.

Ἀπόκρισις.

Τοῦ κυρίου λέγοντος, ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με. καὶ τοῦ ἀποστόλου ἐπαινοῦντος, τὸν ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα μεμαθηκότα, καὶ πάλιν παραγγέλλοντος ἐκτρέφειν τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου πάντα καιρὸν, καὶ τὸν τῆς πρώτης

Ἐρώτησις ι'.

Πότερον χρὴ πάντας τοὺς προσιόντας δέχεσθαι, ἢ τίνας, καὶ εὐθὺς αὐτοὺς προσίεσθαι, ἢ μετὰ δοκιμασίας, καὶ ποίας ταύτης.

Ἀπόκρισις.

Τοῦ φιλανθρώπου θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ κηρύσσοντος, καὶ λέγοντος, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, οὐκ ἀκίνδυνον ἀπωθεῖσθαι τοὺς τῷ κυρίῳ δι' ἡμῶν προσιόντας, καὶ ὑπελθεῖν αὐτοῦ τὸν χρηστὸν ζυγὸν, καὶ τὸ τῶν ἐντολῶν φορτίον, τὸ πρὸς οὐρανὸν ἡμᾶς ἀνακουφίζον βουλομένους. οὐ μὴν οὐδὲ ἀνίπτοις ποσὶν ἐπιτρέπειν χρὴ τῆς σεμνότητος ἐπιβαίνειν τῶν διδαγμάτων. ἀλλ' ὥσπερ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς τὸν προσελθόντα νεανίσκον ἐπηρώτησε περὶ τοῦ προτέρου βίου, καὶ μαθὼν, ὅτι κατώρθωται, τὸ πρὸς τὴν τελείωσιν ἐλλεῖπον ἔτι πληρῶσαι προσέταξε. καὶ τότε ἐπέτρεψεν ἀκολουθεῖν, οὕτω δηλονότι καὶ ἡμᾶς προσήκει τὸν παρελθόντα βίον τῶν προσιόντων καταμανθάνειν. καὶ οἷς μὲν ἤδη τι προκατώρθωται, τὰ τελεώτερα τῶν διδαγμάτων παραδιδόναι. τοὺς δὲ ἢ ἐκ βίου πονηροῦ μετατιθεμένους, ἢ ἐκ τῆς ἀδοξοφρείας πρὸς τὸν ἀκριβῆ βίον τῆς θεογνωσίας ὁρμήσαντας, ἀνακρίνειν χρὴ, ὁποῖοι τὸ ἦθος εἰσί. μὴ ἄστατοι, καὶ πρὸς τὰς κρίσεις εὐκίνητοι. ὕποπτον γὰρ τῶν τοιούτων τὸ εὐμετάθετον. οἳ πρὸς τῷ μηδὲν ἑαυτοὺς ὠφελῆσαι, ἔτι καὶ ἑτέροις αἴτιοι βλάβης γίνονται. ὀνείδη καὶ ψόγους, καὶ βλασφημίας πονηρὰς τοῦ ἔργου ἡμῶν καταχέοντες. ἐπεὶ δὲ πάντα ἐπιμελείᾳ κατορθοῦται, καὶ φόβος θεοῦ παντοίων ἐλαττωμάτων ψυχῆς περιγίνεται, οὐδὲ τούτων ἀπογνωστέον εὐθὺς, ἀλλὰ ἄγειν αὐτοὺς εἰς τὰ προσήκοντα γυμνάσια δεῖ. χρόνῳ καὶ ἐπιπόνοις ἀγωνίσμασι, πεῖραν τῆς κρίσεως αὐτῶν λαμβάνοντας. ὡς εἴ τι βέβαιον περὶ αὐτοὺς εὕροιμεν, ἀκινδύνως αὐτοὺς προσίεσθαι. εἰ δὲ μὴ, ἔξω ὄντας ἀποπέμπεσθαι. ὥστε ἀζήμιον τὴν πεῖραν τῇ ἀδελφότητι γίνεσθαι. δοκιμάζειν δὲ χρὴ, καὶ εἴ τις ἐν ἁμαρτήμασι προληφθεὶς, ἀνεπαισχύντως ἐξαγορεύει τὰ κρυπτὰ τῆς αἰσχύνης, καὶ κατήγορος ἑαυτοῦ γίνεται. ὁμοῦ τε καταισχύνων καὶ ἀποποιούμενος τοὺς τῶν πονηρῶν ἔργων αὐτοῦ συνεργοὺς, κατὰ τὸν εἰπόντα. ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. καὶ ἀσφάλειαν ἑαυτῷ εἰς τὸν ἑξῆς βίον κτώμενος, πρὸς τὸ μηκέτι τοῖς ὁμοίοις πάθεσι περιπεσεῖν. κοινὸς δὲ ἐπὶ πάντων δοκιμασίας τρόπος, εἰ πρὸς πᾶσαν ταπεινοφροσύνην ἀνεπαισχύντως διάκειται. ὡς καὶ τὰς εὐτελεστάτας δέχεσθαι τέχνας, ἐὰν τὴν ἐκείνων ἐργασίαν χρήσιμον εἶναι ὁ λόγος ἐγκρίνῃ. καὶ ἐπειδὰν διὰ πάσης ἐξετάσεως ἕκαστος παρὰ τῶν ἐπισημόνως ἐρευνᾶν τὰ τοιαῦτα δυναμένων, ὥσπερ τι σκεῦος εὔχρηστον τῷ δεσπότῃ, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἕτοιμον ἀποδειχθῇ, συναριθμεῖσθαι τοῖς ἀνατεθεικόσιν ἑαυτοὺς τῷ κυρίῳ. μάλιστα δὲ τῷ ἀπό τινος περιφανεστέρου βίου πρὸς τὴν καθ' ὁμοίωσιν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ταπεινοφροσύνην ἐπειγομένῳ, ὁρίζειν χρή τινα τῶν ἐπονειδίστων εἶναι δοκούντων παρὰ τοῖς ἔξωθεν. καὶ ἐπιτηρεῖν, εἰ μετὰ πάσης πληροφορίας ἐργάτην ἀνεπαίσχυντον τῷ θεῷ ἑαυτὸν παρίστησιν.

Περὶ δούλων. ια'.

Ὅσοι δὲ ὑπὸ ζυγὸν ὄντες δοῦλοι, ταῖς ἀδελφότησι προσφεύγουσι, νουθετηθέντας αὐτοὺς, βελτιωθέντας ἀποπέμπεσθαι χρὴ τοῖς δεσπόταις, καθ' ὁμοίωσιν τοῦ μακαρίου παύλου, ὃς τὸν ὀνήσιμον γεννήσας διὰ τοῦ εὐαγγελίου, ἀνέπεμψε τῷ φιλήμονι. τὸν μὲν πληροφορήσας, ὅτι ὁ ζυγὸς τῆς δουλείας εὐαρέστως τῷ κυρίῳ κατορθούμενος βασιλείας οὐρανῶν ἄξιον συνίστησι. τὸν δὲ παρακαλέσας, οὐ μόνον ἀνεῖναι τὴν κατ' αὐτοῦ ἀπειλὴν μεμνημένον τοῦ ἀληθινοῦ θεοῦ εἰπόντος, ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν. ἀλλὰ καὶ χρηστοτέραν ἔχειν πρὸς αὐτὸν τὴν διάθεσιν, τῷ γράψαι. τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς. οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον. ἀδελφὸν ἀγαπητόν. εἰ μέντοι κακὸς ὁ δεσπότης τύχοι παράνομά τινα ἐπιτάττων, καὶ πρὸς παράβασιν ἐντολῆς τοῦ ἀληθινοῦ δεσπότου τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τὸν δοῦλον βιαζόμενος, ἀγωνίζεσθαι χρὴ, ὅπως μὴ τὸ ὄνομα τοῦ θεοῦ βλασφημηθῇ διὰ τὸν δοῦλον ἐκεῖνον ποιήσαντά τι, ὃ μὴ ἀρέσκει

οὐρανοῖς ὑπάρχει. καὶ τὸ μέγιστον, ἀρχὴ τῆς πρὸς Χριστὸν ὁμοιώσεως, ὃς δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν, ἣν εἰ μὴ προκατορθώσαιμεν, ἀδύνατον ἡμᾶς τῆς κατὰ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ πολιτείας ἐφάψασθαι. ποτὲ γὰρ ἡ καρδίας συντριμμός, ἢ ταπείνωσις φρονήματος, ἢ θυμοῦ, καὶ λύπης, καὶ φροντίδων, καὶ συνελόντα εἰπεῖν, τῶν ὀλεθρίων παθῶν τῆς ψυχῆς ἀπαλλαγή, ἐν πλούτῳ, καὶ μερίμναις βιωτικαῖς προσπαθείᾳ τε, καὶ συνηθείᾳ τῶν ἄλλων κατορθωθῆναι δύναται. ὅλως δέ, ᾧ μηδὲ περὶ αὐτῶν τῶν ἀναγκαίων μεριμνᾶν συγχωρεῖται, οἷον τροφῆς, καὶ ἐνδύματος, τούτῳ τίς ἔτι πρέπει λόγος. οἷον ἀκάνθαις συνέχεσθαι πονηραῖς ταῖς μερίμναις τοῦ πλούτου, τῆς παρὰ τοῦ γεωργοῦ τῶν ψυχῶν ἡμῶν ἐγκαταβαλλομένης σπορᾶς, τὴν καρποφορίαν ἐμποδιζούσαις. τοῦ κυρίου ἡμῶν εἰπόντος· οὗτοι δέ εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπαρέντες, οἱ ὑπὸ μεριμνῶν καὶ πλούτου, καὶ ἡδονῶν τοῦ βίου συμπνίγονται, καὶ οὐ τελεσφοροῦσιν.

Εἰ χρὴ τὸν συναπτόμενον τοῖς τῷ κυρίῳ ἀνακειμένοις προσαφιοῦσθαι ἀδιαφόρως τοῖς ἀγνώμοσι τῶν οἰκείων τὰ αὐτῷ διαφέροντα.

Τοῦ κυρίου εἰπόντος, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. καὶ πάλιν, πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. λογίζομαι, ὅτι τὸν ἐξερχόμενον ἀπὸ τῶν ἰδίων σκοπῷ τοιούτῳ οὐ χρὴ καταφρονητικῶς περὶ τῶν διαφερόντων αὐτῷ διακεῖσθαι, ἀλλὰ πειρᾶσθαι πάντα μετὰ ἀκριβείας λαβόντα, ὡς τῷ κυρίῳ λοιπὸν ἀφιερωμένα, μετὰ πάσης εὐλαβείας οἰκονομεῖν, ἢ δι' ἑαυτοῦ, ἐὰν δυνατῶς καὶ ἐμπείρως ἔχῃ, ἢ διὰ τῶν μετὰ δοκιμασίας πολλῆς ἐπιλεχθέντων, καὶ ἀπόδειξιν δεδωκότων τοῦ δύνασθαι πιστῶς καὶ φρονίμως οἰκονομεῖν. εἰδότα, ὅτι οὐκ ἀκίνδυνόν ἐστιν, οὔτε τὸ προσαφιοῦσθαι τοῖς οἰκείοις, οὔτε τὸ διὰ τοῦ τυχόντος οἰκονομῆσαι. εἰ γὰρ ὁ φροντίδα βασιλικῶν κτημάτων ἐγχειρισθείς, καὶ μὴ νοσφίσηται πολλάκις ἐκ τῶν ἑτοίμων, ἀμελείᾳ δέ τινι καταπροδῷ τὰ προσκτηθῆναι δυνάμενα, οὐκ ἀπολύεται τοῦ ἐγκλήματος. τίνα χρὴ προσδοκᾶν ἐπὶ τῶν ἤδη κατονομασθέντων τῷ κυρίῳ τὴν κατάκρισιν ἀποσείσασθαι; χαύνως καὶ ἠμελημένως διαπεσόντας περὶ τὴν ἐκδίκησιν, καὶ οὐκ ἀποδίκους εἶναι τοῦ κρίματος τῶν ἀμελούντων κατὰ τὸ γεγραμμένον· ἐπικατάρατος πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς. πανταχοῦ δὲ φυλακτέον ἡμῖν, μὴ προφάσει μιᾶς ἐντολῆς, ἑτέραν φανῶμεν καταλύοντες. οὔτε γὰρ μάχεσθαι, οὔτε συνδιαπληκτίζεσθαι τοῖς ἀγνωμονοῦσιν εὐπρεπὲς ἡμῖν, ἐπείπερ δοῦλον κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλὰ τὸν ἀγνωμονούμενον παρὰ τῶν κατὰ σάρκα συγγενῶν μνημονεύειν χρὴ τοῦ κυρίου εἰπόντος· ὅτι οὐκ ἔστιν, ὅς τις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς οὐχ ἁπλῶς, ἀλλ' ἕνεκεν ἐμοῦ, καὶ τοῦ εὐαγγελίου, ὃς οὐ μὴ λάβῃ ἑκατονταπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. τοῖς γε μὴν ἀγνωμονοῦσι διαμαρτύρασθαι χρὴ τὴν τῆς ἱεροσυλίας ἁμαρτίαν, κατὰ τὴν ἐντολὴν τοῦ κυρίου εἰπόντος· ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτόν, καὶ τὰ ἑξῆς. δικάζεσθαι δὲ περὶ αὐτῶν ἐπὶ δικαστηρίων ἐξωτικῶν ἀπηγόρευσεν ὁ τῆς θεοσεβείας λόγος, δι' ὧν φησι, τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. καὶ ὅτι τολμᾷ τις ὑμῶν πρὸς τὸν ἕτερον πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; καὶ ἐπὶ τούτων δὲ εἰς κρίσιν προσκαλεσόμεθα πλείονα λόγον ἔχοντες τῆς τοῦ ἀδελφοῦ σωτηρίας, ἢ τῆς τῶν χρημάτων περιουσίας. καὶ γὰρ ὁ κύριος εἰπών, ἐάν σου ἀκούσῃ, ἐπήγαγεν· ἐκέρδησας, οὐχὶ τὰ χρήματα, ἀλλὰ τὸν ἀδελφόν σου. ἔστι δὲ ὅτε ὑπὲρ τοῦ φανερωθῆναι τὴν ἀλήθειαν, αὐτοῦ πολλάκις ἡμᾶς τῆς ἀγνωμοσύνης κατάρχοντος εἰς κοινὴν δίαιταν προκαλουμένου, συγκαταβαίνομεν πρὸς τὸν ἔλεγχον. οὐκ αὐτοὶ κατάρξαντες, ἀλλὰ τοῖς προσκαλεσαμένοις ἀκολουθοῦντες. οὐκ ἴδιον πάθος ὀργῆς, ἢ φιλονεικίας πληροφοροῦντες, ἀλλὰ τὴν ἀλήθειαν φανεροῦντες. οὕτω γὰρ κἀκεῖνον καὶ ἄκοντα τῶν κακῶν ἐξαιρήσομεν, καὶ αὐτοὶ τὰς ἐντολὰς οὐ παρελασόμεθα, ὡς θεοῦ διάκονοι ἄμαχοι καὶ ἀφιλάργυροι, τῇ φανερώσει τῆς ἀληθείας ἑαυτοὺς συνιστάμενοι, καὶ οὐδαμοῦ τὸ δεδομένον μέτρον τῆς σπουδῆς ὑπερβαίνοντες.

λωνίου ἐξουσίας καὶ ἀκολουθήσας τῷ κυρίῳ, οὐ τὰ κέρδη μόνον τὰ ἐν τῷ τελωνίῳ καταλι-
πὼν, ἀλλὰ καὶ τῶν κινδύνων ὑπεριδὼν, οἳ ἐπακολουθεῖν ἤμελλον αὐτῷ τε καὶ τοῖς οἰκείοις πα-
ρὰ τῶν ἐξουσιῶν, ἀτελεῖς τοὺς λόγους τοῦ τελωνίου καταλιμπάνοντι. Παύλῳ δὲ καὶ ὁ σύμπας κόσ-
μος ἐσταύρωτο, καὶ αὐτὸς τῷ κόσμῳ. οὕτως ὁ σφόδρα τῇ ἐπιθυμίᾳ τοῦ ἀκολουθεῖν χριστῷ κατε-
χόμενος, πρὸς οὐδὲν ἔτι τῆς ζωῆς ταύτης ἐπιστραφῆναι δύναται. οὐ πρὸς γονέων ἢ οἰκείων
φίλτρον, ὅταν ἐναντιούμενον ᾖ τοῖς τοῦ κυρίου προστάγμασι. τότε γὰρ καιρὸν ἔχει καὶ τὸ, εἴ τις ἔρ-
χεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ τὰ λοιπά, οὐ πρὸς ἀνθρώπινον φό-
βον, ὥστε δι' αὐτὸν ἀποσκλῖναί τι τοῦ συμφέροντος, ὅπερ κατώρθωσαν οἱ ἅγιοι, εἰπόντες,
πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. οὐ πρὸς τὸν ἐπὶ τοῖς καλοῖς παρὰ τῶν ἔξωθεν γέλωτα,
ὥστε τῷ φαυλισμῷ αὐτῶν ἡττηθῆναι. εἰ δέ τις βούλοιτο ἀκριβέστερον καὶ τρανότερον
γνωρίσαι τὸν συνεζαγμένον τόνον τῆς ἐπιθυμίας τῶν ἀκολουθούντων τῷ κυρίῳ, μνημονευσάτω
τοῦ ἀποστόλου διηγουμένου τὰ καθ' ἑαυτὸν, εἰς διδασκαλίαν ἡμετέραν καὶ λέγοντος.
εἴ τις δοκεῖ πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον, περιτομῇ ὀκταήμερος, ἐκ γένους ἰσραήλ. φυ-
λῆς βενιαμίν. ἑβραῖος ἐξ ἑβραίων, κατὰ νόμον φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν ἐκκλη-
σίαν. κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα
ἥγημαι διὰ τὸν χριστὸν ζημίαν. ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέ-
χον τῆς γνώσεως χριστοῦ ἰησοῦ τοῦ κυρίου ἡμῶν, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβα-
λα εἶναι, ἵνα χριστὸν κερδήσω. εἰ γὰρ, ἵνα τι καὶ εἴπω τολμηρὸν μὲν, ἀληθὲς δέ. εἰ τοῖς ἐκ-
βλητοτάτοις τοῦ σώματος, καὶ ἀποπτύστοις, καὶ ὧν μάλιστα πρὸς τὴν ἀλλοτρίωσιν ἐπει-
γόμεθα, τούτοις προσείκασεν αὐτὰ τὰ παρὰ θεοῦ πρὸς καιρὸν δεδόμενα νομικὰ προτε-
ρήματα ὡς ἐμπόδια τῆς τοῦ χριστοῦ γνώσεως, καὶ τῆς ἐν αὐτῷ δικαιοσύνης, καὶ τῆς πρὸς θάνατον
αὐτοῦ συμμορφώσεως. τί ἄν τις εἴποι περὶ τῶν ὑπ' ἀνθρώπων νενομισμένων; καὶ τί χρὴ λογισμοῖς ἡμε-
τέροις, καὶ τοῖς τῶν ἁγίων ὑποδείγμασι τὸν λόγον πιστοῦσθαι, ἐξὸν αὐτὰ παραθέσθαι τοῦ κυρίου
τὰ ῥήματα; καὶ δι' αὐτῶν τὴν ἔμφοβον ψυχὴν δυσωπῆσαι; σαφῶς καὶ ἀναντιῤῥήτως διαμαρ-
τυρομένου ἐν τῷ λέγειν. οὕτως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ
ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. καὶ ἀλλαχοῦ, μετὰ τὸ, εἰ θέλεις τέλειος εἶναι,
πρότερον εἰπόντος, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. καὶ τότε ἐπαγα-
γόντος τὸ, δεῦρο ἀκολούθει μοι. καὶ ἡ παραβολὴ δὲ τοῦ ἐμπόρου, ποιεῖ τι σαφὲς διὰ τῶν ἀ-
γωνιζομένων πρὸς τοῦτο φέρουσα. ὁμοία γάρ ἐστι φησὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμ-
πόρῳ ζητοῦντι καλοὺς μαργαρίτας, ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν ἐπώ-
λησε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν. δῆλον γὰρ, ὅτι ὁ πολύτιμος μαργαρίτης πρὸς τὴν
ὁμοίωσιν τῆς ἐπουρανίου βασιλείας παρείληπται, ἣν ἀδύνατον ἡμῖν περιγενέσθαι ὁ τοῦ κυρίου
δείκνυσι λόγος. μὴ πάντα ὁμοῦ τὰ προσόντα ἡμῖν, καὶ πλοῦτον, καὶ δόξαν, καὶ γένος, καὶ
εἴ τι ἄλλο τῶν τοῖς πολλοῖς περισπουδάστων πρὸς τὴν ἀνταλλαγὴν αὐτῆς προεμένοις.
εἶτα μέντοι καὶ ἀδύνατον πρὸς διαφόρους φροντίδας τοῦ νοῦ μεριζομένου κατορθοῦ-
σθαι τὸ σπουδαζόμενον ὁ κύριος ἀπεφήνατο, εἰπών. οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν.
καὶ πάλιν, οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. ἕνα οὖν θησαυρὸν τὸν ἐπουράνιον
ἡμῖν ἐκλεκτέον, ἵνα ἐν αὐτῷ ἔχωμεν τὴν καρδίαν. ὅπου γάρ φησιν ἐστὶν ὁ θησαυρός σου
ἐκεῖ καὶ ἡ καρδία σου ἔσται. ἐὰν οὖν τι ἀπολειπώμεθα ἑαυτοῖς κτῆμα γήϊνον καὶ
περιουσίαν τινὰ φθαρτὴν, ἐνταῦθα τοῦ νοῦ, οἷον ἔν τινι βορβόρῳ κατορυχθέντος,
ἀνάγκη τὴν ψυχὴν ἀθέατον εἶναι θεοῦ, καὶ πρὸς τὴν ἐπιθυμίαν τῶν ἐπουρα-
νίων καλῶν, καὶ τῶν ἀποκειμένων ἡμῖν ἀγαθῶν ἐν ἐπαγγελίαις ἀκίνητον, ὧν
τὴν κτῆσιν περιγενέσθαι ἡμῖν ἀμήχανον. μὴ ἀπερισπάστου καὶ σφοδροτέρου πό-
θου ἄγοντος ἡμᾶς πρὸς τὴν αὐτῶν αἴτησιν, καὶ τὸν ἐπ' αὐτοῖς πόνον ἐπικουφί-
ζοντος. ἔστιν οὖν ἡ ἀποταγὴ, ὡς ὁ λόγος ὑπέδειξε, λύσις μὲν τῶν δεσμῶν τῆς
ὑλικῆς ταύτης καὶ προσκαίρου ζωῆς. ἐλευθερία δὲ τῶν ἀνθρωπίνων καθηκόν-
των, ἐπιτηδειοτέρους κατασκευάζουσα πρὸς τὸ ἀπάρξασθαι τῆς πρὸς θεὸν ὁδοῦ.
τῆς τῶν πολυτιμήτων κτήσεώς τε καὶ χρήσεως ἀκώλυτος ἀφορμή. τῶν ὑπὲρ χρυ-
σὸν καὶ λίθον τίμιον πολύν. καὶ συνελόντα εἰπεῖν, καρδίας ἀνθρωπίνης πρὸς τὴν
ἐν οὐρανῷ πολιτείαν μετάθεσις. ὥστε δύνασθαι λέγειν, ἡμῶν γὰρ τὸ πολίτευμα ἐν

εἶτα ἀγύμναστον ἀεὶ τὴν ἕξιν καταλείψεις, οὔτε τὰ ὑστερήματα ἑαυτοῦ γνωρίζων, οὔτε τὴν ἐν τοῖς ἔργοις προκοπὴν ἐπιγινώσκων, τῷ πᾶσαν ὕλην τῆς ἐργασίας τῶν ἐντολῶν περιῃρηκέναι. ἐν τίνι γὰρ τὴν ταπεινοφροσύνην ἐπιδείξεται, μηδένα ἔχων, οὗ ταπεινότερον ἑαυτὸν ἀποδείξει; ἐν τίνι τὴν εὐσπλαγχνίαν, ἀποτετμημένος τῆς κοινωνίας τῶν πλειόνων; πρὸς μακροθυμίαν δὲ πῶς ἑαυτὸν γυμνάσει, μηδενὸς ἀνθισταμένου αὐτοῦ τοῖς θελήμασιν; εἰ δέ τις λέγει ἀρκεῖσθαι τῇ τῶν γραφῶν διδασκαλίᾳ πρὸς τὴν κατόρθωσιν τῶν ἠθῶν, ὅμοιον ποιεῖ τῷ μανθάνοντι μὲν τεκταίνειν, μηδέποτε δὲ τεκταίνοντι. καὶ διδασκομένῳ μὲν χαλκεύειν,
» εἰς ἔργον δὲ προάγειν τὰ διδάγματα μὴ αἱρουμένῳ. πρὸς ὃν εἴποι ἂν ὁ ἀπόστολος, οὐχ οἱ
» ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. ἰδοὺ γὰρ ὁ κύριος δι' ὑπερβολὴν φιλανθρωπίας οὐκ ἠρκέσθη τῇ ἐκ τοῦ λόγου διδασκαλίᾳ μόνον, ἀλλ' ὥστε ἀκριβῶς, καὶ ἐναργῶς ἡμῖν παραδοῦναι τὸ ὑπόδειγμα τῆς ταπεινοφροσύνης ἐν τῇ τελειότητι τῆς ἀγάπης, αὐτὸς περιζωσάμενος ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. τίνα οὖν ἀπονίψεις; τίνα θεραπεύσεις; τίνος ἔσχατος ἔσῃ, αὐτὸς καθ' ἑαυτὸν διάγων; τὸ δὲ καλὸν καὶ τερπνὸν, ἡ τῶν ἀδελφῶν ἐπὶ τὸ αὐτὸ κατοίκησις, ἣν μύρῳ τῷ τῆς ἀρχιερέως κεφαλῆς ἀποπνέοντι τὸ πνεῦμα τὸ ἅγιον παρεικάζει, πῶς ἐν τῇ καταμόνας οἰκήσει συμπληρωθήσεται; στάδιον οὖν ἀθλήσεως, καὶ προκοπῆς ὁδὸς, καὶ διηνεκὴς γυμνασία, καὶ μελέτη τῶν τοῦ κυρίου ἐντολῶν, ἡ ἐπὶ τὸ αὐτὸ κατοίκησίς ἐστι τῶν ἀδελφῶν· σκοπὸν μὲν ἔχουσα τὴν δόξαν τοῦ θεοῦ κατ' ἐντολὴν τοῦ κυρίου
» ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος, οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως
» ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. χα-
» ρακτῆρα δὲ σώζουσα τῶν ἐν ταῖς πράξεσιν ἱστορουμένων ἁγίων, περὶ ὧν γέγραπται. πάν-
» τες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά. καὶ πάλιν. τοῦ δὲ πλή-
» θους τῶν πιστευσάντων ἦν καρδία, καὶ ψυχὴ μία. καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ
» ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά.

Ἐρώτησις. η.

Εἰ χρὴ πρῶτον ἀποτάξασθαι πᾶσι, καὶ οὕτως προσιέναι τῇ κατὰ θεὸν πολιτείᾳ.

Ἀπόκρισις.

...rnius 106.

Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πολλῆς καὶ διὰ πλειόνων πραγμάτων ἰσχυρὰν ἀπόδειξιν λέγον-
» τος πρὸς πάντας. εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ
» ἀκολουθείτω μοι. καὶ πάλιν, οὕτως οὖν πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. ἡγούμεθα τὸ παράγγελμα ἐπὶ πλεῖονα διατείνειν, ὧν ἡ ἀλλοτρίωσις ἀναγκαία. καὶ γὰρ τῷ διαβόλῳ πρὸ πάντων ἀποτασσόμεθα, καὶ τοῖς πάθεσι τῆς σαρκὸς, οἱ ἀπειπάμενοι τὰ κρυπτὰ τῆς αἰσχύνης καὶ συγγενείας σωματικὰς καὶ ἑταιρείας ἀνθρώπων, καὶ ἔθει βίου μαχομένῳ πρὸς τὴν ἀκρίβειαν τοῦ εὐαγγελίου τῆς σωτηρίας. καὶ τὸ τούτων ἀναγκαιότερον, αὐτὸς ἑαυτῷ ἀποτάσσεται, ὁ ἀποδυσάμενος τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. ἀποτάσσεται δὲ καὶ πάσαις προσπαθείαις τοῦ κόσμου ἐμποδίζειν τῷ σκοπῷ τῆς εὐσεβείας δυναμέναις. γονεῖς μὲν οὖν ὁ τοιοῦτος τοὺς ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου γεννήσαντας αὐτὸν ἀληθινοὺς ἡγήσεται. ἀδελφοὺς δὲ, τοὺς τὸ αὐτὸ πνεῦμα τῆς υἱοθεσίας λαβόντας. κτήμασι δὲ πᾶσιν ὡς ἀλλοτρίοις, ὅπερ ἐστὶ, προσέξει. ὅλως δὲ λόγῳ, ᾧ διὰ Χριστὸν ὅλος ὁ κόσμος ἐσταύρωται, καὶ αὐτὸς τῷ κόσμῳ, πῶς ἔτι δύναται δοῦλος εἶναι τῶν μερίμνων τοῦ κόσμου; τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἄκρον προάγοντος τό, τε μῖσος τῆς ψυχῆς, καὶ τὴν ἑαυτοῦ ἄρνησιν. δι' ὧν φησιν,
» εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ τότε ἐπα-
» γαγόντος, καὶ ἀκολουθείτω μοι. καὶ πάλιν, εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα
» αὐτοῦ καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς ἀδελφὰς, ἔτι
» δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής. ὥστε ἡ μὲν τελεία ἀποταγή ἐστιν ἐν τῷ, τὸ ἀπροσπαθὲς κατορθῶσαι καὶ πρὸς αὐτὸ τὸ ζῆν, καὶ τὸ ἀπόκριμα τοῦ θανάτου ἔχειν. ὥστε μὴ ἐφ' ἑαυτῷ πεποιθέναι. ἄρχεται δὲ ἀπὸ τῆς τῶν ἔξωθεν ἀλλοτριώσεως, οἷον, κτημάτων, δόξης ματαίας, συνηθείας βίου, προσπαθείας τῶν ἀνωφελῶν, καθὰ καὶ οἱ ἅγιοι μαθηταὶ τοῦ κυρίου ὑπέδειξαν ἡμῖν. Ἰάκωβος μὲν καὶ Ἰωάννης καταλιπόντες τὸν πατέρα αὐτῶν Ζεβεδαῖον, καὶ αὐτὸ τὸ πλοῖον τὸ πᾶσαν ἀφορμὴν τοῦ βίου. Ματθαῖος δὲ ἀπ' αὐτοῦ τοῦ τε-

πλοις, ἵνα καὶ συναπτώμεθα ἀλλήλοις. αὐτὸ δὲ τοῦτο, καὶ ὁ τῆς ἀγάπης τοῦ χριστοῦ λόγος οὐκ
ἐπιτρέπει τὸ ἴδιον σκοπεῖν ἕκαστον. ἡ ἀγάπη γάρ φησιν οὐ ζητεῖ τὰ ἑαυτῆς. ὁ δὲ ἀφιδια-
στικὸς βίος ἕνα σκοπὸν ἔχει, τὴν οἰκείαν ἑκάστου τῶν χρειῶν θεραπείαν. τοῦτο δὲ περιφανῶς
μαχόμενόν ἐστι τῷ τῆς ἀγάπης νόμῳ, ὃν ὁ ἀπόστολος ἐπλήρου, μὴ ζητῶν τὸ ἑαυτοῦ συμφέ-
ρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. ἔπειτα ἐν τῷ κατὰ χωρισμὸν οὐδὲ τὸ ἐλάττωμα ῥα-
δίως ἕκαστος ἑαυτοῦ ἐπιγνώσεται, οὐκ ἔχων τὸν ἐλέγχοντα αὐτὸν, καὶ ἐν πρᾳότητι καὶ εὐσπλα-
γχνίᾳ ἐπανορθούμενον. ἔλεγχος μὲν γὰρ καὶ παρὰ ἐχθροῦ πολλάκις ἂν γένοιτο θεραπείας
ἐπιθυμίαν ἐμποιῶν τῷ εὐγνώμονι. θεραπεία δὲ ἁμαρτήματος ἐπιστημόνως παρὰ τοῦ
εἰλικρινῶς ἀγαπήσαντος κατορθοῦται. ὁ γὰρ ἀγαπῶν, φησιν, ἐπιμελῶς παιδεύει. ὃν ἐστι
τῆς μονώσεως εὑρεῖν ἄπορον, μὴ προενωθέντα κατὰ τὸν βίον. ὥστε συμβαίνειν αὐτῷ τὸ
εἰρημένον ἐκεῖνο. οὐαὶ τῷ ἑνὶ, ὅτι ἐὰν πέσῃ, οὐκ ἔστιν ὁ ἐγείρων αὐτόν. καὶ αἱ ἐντολαὶ δὲ,
ἀπὸ μὲν τῶν πλειόνων ἐπὶ τὸ αὐτὸ ῥᾳδίως γίνονται πλείους, ἀπὸ δὲ τοῦ ἑνὸς, οὐκέτι. ἐν γὰρ
τῇ ἐργασίᾳ τῆς μιᾶς, ἐμποδίζεται ἡ ἄλλη, οἷον ἐν τῇ ἐπισκέψει τοῦ ἀσθενοῦντος ἡ ἀποδο-
χὴ τοῦ ξένου. καὶ ἐν τῇ μεταδόσει καὶ κοινωνίᾳ τῶν χρειῶν, καὶ μάλιστα, ὅταν διὰ μακροῦ
αἱ διακονίαι γίνωνται, ἡ περὶ τὰ ἔργα σπουδή. ὥστε ἐκ τούτου τὴν μεγίστην καὶ συντο-
νον πρὸς σωτηρίαν ἐντολὴν ἐλλιμπάνεσθαι. μήτε τοῦ πεινῶντος τρεφομένου, μήτε τοῦ
γυμνοῦ περιβαλλομένου. τίς ἂν οὖν ἕλοιτο τὴν ἀργὴν καὶ ἄκαρπον ζωὴν, τῆς ἐγκάρ-
που καὶ κατ᾽ ἐντολὴν τοῦ κυρίου ἐπιτελουμένης προτιμήσας. εἰ δὲ καὶ πάντες οἱ ἐν μιᾷ ἐλ-
πίδι τῆς κλήσεως προσληφθέντες, ἓν σῶμά ἐσμεν, κεφαλὴν ἔχοντες τὸν χριστόν. ὁ δὲ καθεὶς
ἀλλήλων μέλη, ἐὰν μὴ ἐκ συμφωνίας πρὸς ἑνὸς σώματος ἁρμολογίαν ἐν πνεύματι ἁγίῳ συναρ-
μοσθῶμεν. ἕκαστος δὲ ἡμῶν τὴν μόνωσιν αἱρῆται μὴ κατὰ τὸ εὐάρεστον τῷ θεῷ πρὸς τὸ
κοινῇ συμφέρον τῇ οἰκονομίᾳ δουλεύων, ἀλλὰ τὸ ἴδιον τῆς αὐταρεσκείας πάθος πληροφο-
ρῶν. πῶς δυνάμεθα ἀπεσχισμένοι, καὶ διῃρημένοι σώζειν τὴν τῶν μελῶν πρὸς ἄλληλα
σχέσιν τε καὶ ὑπηρεσίαν, ἢ τὴν ὑποταγὴν πρὸς τὴν κεφαλὴν ἡμῶν, ἥτις ἐστὶν ὁ χριστός. οὔτε
γὰρ τῷ δοξαζομένῳ συγχαίρειν, οὔτε συμπάσχειν δυνατὸν τῷ πάσχοντι, ἐν τῇ διαστάσει τοῦ
βίου. οὐ δυναμένου κατὰ τὸ εἰκὸς ἑκάστου γινώσκειν τὰ τοῦ πλησίον. εἶτα καὶ εἷς μὴ ἐξαρ-
κοῦντος ὑποδέξασθαι πάντα τὰ πνευματικὰ χαρίσματα. ἀλλὰ κατὰ τὴν ἀναλογίαν
τῆς ἐν ἑκάστῳ πίστεως τῆς ἐπιχορηγίας τοῦ πνεύματος γινομένης ἐν τῇ τῆς ζωῆς κοινωνίᾳ
τὸ ἑκάστου ἴδιον χάρισμα, κοινὸν τῶν συμπολιτευομένων γίνεται. ᾧ μὲν γὰρ δίδοται
λόγος σοφίας, ἑτέρῳ δὲ λόγος γνώσεως. ἄλλῳ πίστις, ἄλλῳ προφητεία, ἄλλῳ χαρί-
σματα ἰαμάτων, καὶ τὰ ἑξῆς. ὧν ἕκαστον, οὐ μᾶλλον δι᾽ ἑαυτὸν, ἢ διὰ τοὺς ἄλλους ὁ λαμβά-
νων ἔχει. ὥστε ἀνάγκη ἐν τῷ κοινωνικῷ βίῳ τὴν ἐν τῷ ἑνὶ τοῦ ἁγίου πνεύματος ἐνέργειαν
εἰς πάντας ὁμοῦ διαβαίνειν. ὁ μὲν οὖν καθ᾽ ἑαυτὸν ζῶν, ὃ τυχὸν ἔχει χάρισμα, καὶ τοῦτο
ἄχρηστον ποιεῖ διὰ τῆς ἀργίας κατορύξας ἐν ἑαυτῷ, ὅπερ ἡλίκον ἔχει κίνδυνον, ἴστε πάν-
τως ἀναγνωκότες τὰ εὐαγγέλια. ἐν δὲ τῇ τῶν πλειόνων συμβιώσει καὶ τοῦ ἰδίου ἀπολαύει,
πολυπλασιάζων αὐτὸ τῇ μεταδόσει, καὶ τὰ τῶν ἄλλων ὡς ἑαυτοῦ καρποῦται. ἔχει δὲ, καὶ
πλείονα ἡ ἐπὶ τοσοῦτο ζωὴ ἀγαθὰ, ἅπερ οὐ ῥᾴδιον ἐξαριθμεῖσθαι πάντα. πρός τε γὰρ τὴν
τήρησιν τῶν δεδομένων ἡμῖν παρὰ τοῦ θεοῦ ἀγαθῶν, τῆς μονώσεως ἐστὶ χρησιμωτέρα. καὶ
πρὸς τὴν φυλακὴν τῆς ἔξωθεν ἐπιβουλῆς τοῦ ἐχθροῦ, ἀσφαλέστερος ὁ παρὰ τῶν ἐγρηγο-
ρότων ἐξυπνισμός. εἴποτε ἄρα τῷ ἑνὶ ἀπονυστάξαι συμβαίη ὕπνον ἐκεῖνον τὸν εἰς θάνα-
τον, ὃν ἐδιδάχθημεν παρὰ τοῦ δαβὶδ, ἀπεύχεσθαι ἡμῖν συμβῆναι, λέγοντος. φώτισον τοὺς
ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον. καὶ τῷ μὲν ἁμαρτάνοντι τῆς ἁμαρτίας
ἡ ἀναχώρησις ῥᾷον μᾶλλον ἐντρεπομένῳ τὴν παρὰ τῶν πλειόνων ἐν συμφωνίᾳ γινομέ-
νην κατάγνωσιν. ὥστε ἂν ἁρμόσαι αὐτῷ τὸ εἰρηκὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη, ἡ
ἀπὸ τῶν πλειόνων. τῷ δὲ κατορθοῦντι, ἡ πληροφορία πολλὴ ἐν τῇ τῶν πολλῶν δο-
κιμασίᾳ καὶ συγκαταθέσει τοῦ ἔργου. εἰ γὰρ ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθή-
σεται πᾶν ῥῆμα, πολλῷ δηλονότι παγιώτερον ὁ τὸ ἀγαθὸν ἔργον ἐπιτελῶν ἐν τῇ τῶν
πλειόνων μαρτυρίᾳ βεβαιωθήσεται. κίνδυνος δὲ παρέπεται τῇ μοναστικῇ ζωῇ πρὸς
τοῖς εἰρημένοις. πρῶτος μὲν καὶ μέγιστος, ὁ τῆς αὐταρεσκείας. οὐδένα γὰρ ἔχων, ὃς
δυνήσεται δοκιμάσαι αὐτοῦ τὸ ἔργον, εἰς τὸ τέλειον οἰήσεται τῆς ἐντολῆς ἐφθακέναι.

» καὶ πάλιν· καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην.

ὅτι ἀναγκαῖον τὸ ἰδιάζειν.

Συντελεῖ δὲ πρὸς τὸ ἀμετεώριστον τῇ ψυχῇ καὶ τὸ ἰδιάζειν κατὰ τὴν οἴκησιν. τὸ γὰρ ἀναμεμιγμένην ἔχειν τὴν* ζωὴν τοῖς ἀφόβως καὶ καταφρονητικῶς πρὸς τὴν ἀκριβῆ τήρησιν τῶν ἐντολῶν διακειμένοις, βλαβερόν. καὶ ὁ τοῦ σολομῶντος ἀποδείκνυσι λόγος, διδάσκοντος
» ἡμᾶς, ὅτι μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει· φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου, μήποτε μά-
» θῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχους τῇ σῇ ψυχῇ. καὶ τό, ἐξέλθετε ἐκ μέσου αὐτῶν,
» καὶ ἀφορίσθητε, λέγει κύριος. πρὸς τοῦτο αὐτὸ φέρει. οὐκοῦν ἵνα μήτε διὰ ὀφθαλμῶν, μήτε διὰ ὤτων ἐρεθισμοὺς εἰς ἁμαρτίαν δεχώμεθα. καὶ κατὰ τὸ λανθάνον προσεθισθῶμεν αὐτῇ. καὶ ὥσπερ τύποι τινές, καὶ χαρακτῆρες τῶν ὁρωμένων καὶ ἀκουομένων ἐναπομείνωσι τῇ ψυχῇ εἰς ὄλεθρον καὶ ἀπώλειαν. καὶ ἵνα δυνηθῶμεν ἐπιμένειν τῇ προσευχῇ, ἀφιδιάζωμεν πρῶτον κατὰ τὴν οἴκησιν. οὕτω γὰρ ἂν καὶ τοῦ προλαβόντος ἔθους περιγενοίμεθα, ἐν ᾧ ἀλλοτρίως ἐζήσαμεν τῶν ἐντολῶν τοῦ χριστοῦ. οὐ μικρὸς δὲ οὗτος ἀγὼν τῆς ἑαυτοῦ συνηθείας περιγενέσθαι. ἔθος γὰρ διὰ μακροῦ χρόνου βεβαιωθὲν, φύσεως ἰσχὺν λαμβάνει. καὶ τοὺς ἐξ ἁμαρτίας δὲ σπίλους ἐκτρίψαι δυνησόμεθα τῇ τε φιλοπόνῳ προσευχῇ, καὶ τῇ ἐπιμόνῳ μελέτῃ τῶν τοῦ θεοῦ θελημάτων, ἧς μελέτης καὶ προσευχῆς ἐν πολλοῖς τοῖς περιέλκουσι τὴν ψυχήν, καὶ ἀσχολίας βιωτικὰς ἐμποιοῦσι περιγε-
» νέσθαι ἀμήχανον. καὶ τό, εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, πότε αὖ τις ἐν τούτοις ὢν πληρῶσαι δυνηθείη. χρὴ γὰρ ἡμᾶς ἀπαρνησαμένους ἑαυτούς, καὶ ἄραντας τὸν σταυρὸν τοῦ χριστοῦ οὕτως ἀκολουθεῖν αὐτῷ. ἄρνησις δέ ἐστιν ἑαυτοῦ ἡ παντελὴς τῶν παρελθόντων λήθη, καὶ ἡ τῶν θελημάτων αὐτοῦ ἀναχώρησις, ἣν ἐν τῇ ἀδιαφόρῳ συνηθείᾳ ζῶντα κατορθῶσαι δυσκολώτατον. ἵνα μὴ λέγω, ὅτι παντελῶς ἀνεπίδεκτον. ἀλλὰ καὶ πρὸς τὸ ἆραι τὸν σταυρὸν ἑαυτοῦ, καὶ ἀκολουθεῖν τῷ χριστῷ, ἐμπόδιόν ἐστιν ἡ πρὸς τὸν τοιοῦτον βίον ἐπιμιξία. ἡ γὰρ ἑτοιμασία πρὸς τὸν ὑπὲρ χριστοῦ θάνατον, καὶ ἡ νέκρωσις τῶν μελῶν τῶν ἐπὶ τῆς γῆς, καὶ τὸ παρατεταγμένως πρὸς πάντα κίνδυνον τὸν ὑπὲρ τοῦ ὀνόματος τοῦ χριστοῦ ἐπερχόμενον ἡμῖν διακεῖσθαι, καὶ τὸ ἀπροσπαθῶς ἔχειν πρὸς τὴν παροῦσαν ζωήν, τοῦτό ἐστιν ἆραι τὸν σταυρὸν ἑαυτοῦ. πρὸς ὃ μεγάλα ὁρῶμεν τὰ ἐμπόδια ἀπὸ τῆς τοῦ κοινοῦ βίου συνηθείας ἡμῖν ἐγγινόμενα. καὶ πρὸς πᾶσι τοῖς ἄλλοις πολλοῖς οὖσιν, εἰς τὸ πλῆθος τῶν παρανομούντων ἀποβλέπουσα ψυχή. πρῶτον μὲν οὐκ ἄγει καιρὸν ἐπαισθάνεσθαι τῶν ἰδίων ἁμαρτημάτων, καὶ συντρῖψαι ἑαυτὴν διὰ τῆς μετανοίας ἐπὶ τοῖς πλημμελήμασιν. ἐν δὲ τῇ συγκρίσει τῶν χειρόνων καὶ κατορθώματός τινα φαντασίαν προσκτᾶται. εἶτα ὑπὸ τῶν θορύβων καὶ τῶν ἀσχολιῶν, ἃς ὁ κοινὸς βίος πέφυκεν ἐμποιεῖν, τῆς ἀξιολογωτέρας μνήμης τοῦ θεοῦ ἀποσπωμένη, οὐ μόνον τὸ ἐναγαλλιᾶσθαι καὶ εὐφραίνεσθαι τῷ θεῷ ζημιοῦται, καὶ κατατρυφᾶν τοῦ κυρίου, καὶ τὸ καταγλυκαίνεσθαι
» τοῖς ῥήμασιν αὐτοῦ. ὥστε δύνασθαι εἰπεῖν, ἐμνήσθην τοῦ θεοῦ, καὶ ηὐφράνθην. καί, ὡς
» γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. ἀλλὰ καὶ εἰς καταφρόνησιν καὶ λήθην τῶν κριμάτων αὐτοῦ παντελῆ συνεθίζεται, οὗ μεῖζον κακὸν οὐδὲν ἄν, οὐδὲ ὀλεθριώτερον πάθοι.

ἐρώτησις. ζ'

Ἐπεὶ οὖν ἐπληροφόρησεν ἡμᾶς ὁ λόγος, ἐπικίνδυνον εἶναι τὴν μετὰ τῶν καταφρονητικῶς ἐχόντων πρὸς τὰς ἐντολὰς τοῦ κυρίου ζωήν, ἀκολούθως μαθεῖν ἀξιοῦμεν, εἰ χρὴ τὸν ἀναχωρήσαντα τούτων, ἰδιάζειν καθ' ἑαυτόν, ἢ ὁμόφροσιν ἀδελφοῖς καὶ τὸν αὐτὸν σκοπὸν τῆς εὐσεβείας προειλομένοις συζῆν.

ἀπόκρισις.

Πρὸς πολλὰ χρησιμωτέραν καταμανθάνω τὴν ἐν ταὐτῷ τῶν πλειόνων διαγωγήν. πρῶτον μέν, ὅτι οὐδὲ πρὸς τὰς τοῦ σώματος χρείας ἕκαστος ἡμῶν ἑαυτῷ αὐτάρκης, ἀλλ' ἐν τῷ πορισμῷ τῶν ἀναγκαίων, ἀλλήλων χρῄζομεν. ὥσπερ γὰρ ὁ ποὺς τὴν μὲν ἔχει δύναμιν, τῆς δὲ ἐπιδεής ἐστι, καὶ ἄνευ τῆς τῶν λοιπῶν μελῶν συλλήψεως, οὔτε τὴν ἑαυτοῦ ἐνέργειαν δυνατήν, ἢ αὐτάρκη ἑαυτῷ πρὸς διαμονὴν εὑρίσκει, οὔτε παραμυθίαν ἔχει τοῦ λείποντος. οὕτω καὶ ἐν τῇ μονήρει ζωῇ, καὶ τὸ παρὸν ἡμῖν ἄχρηστον γίνεται, καὶ τὸ ἐλλεῖπον ἀπαραμύθητον. τοῦ δημιουργοῦ θεοῦ ὁρίσαντος χρῄζειν ἡμᾶς ἀλλήλων, καθὼς γέγρα-

πται ἵνα

*τὴν ψυχὴν

» τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει· ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως τοῦ κυρίου ὁριστικῶς εἰπόντος, ὅτι οὕτω πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν ἑαυτοῦ, οὐ δύναται εἶναί μου μαθητής. τοῦτο δὲ ποιήσαντας, πάσῃ φυλακῇ τηρεῖν προσήκει τὴν ἑαυτῶν καρδίαν, ὡς μήποτε τὴν περὶ Θεοῦ ἔννοιαν ἐκβαλεῖν, ἢ τὴν μνήμην τῶν θαυμασίων αὐτοῦ φαντασίαις τῶν ματαίων καταρυπαίνειν, ἀλλὰ διὰ τῆς διηνεκοῦς καὶ καθαρᾶς μνήμης ἐντετυπωμένην ταῖς ψυχαῖς ἡμῶν ὥσπερ σφραγῖδα ἀνεξάλειπτον, τὴν ὁσίαν τοῦ Θεοῦ ἔννοιαν περιφέρειν. οὕτω γὰρ ἡμῖν περιγίνεται ἡ πρὸς Θεὸν ἀγάπη· ἅμα τε διεγείρουσα πρὸς τὴν ἐργασίαν τῶν ἐντολῶν τοῦ κυρίου, καὶ ὑπ' αὐτῶν πάλιν αὐτὴ συντηρουμένη πρὸς τὸ διαρκὲς καὶ ἀδιάπτωτον. » καὶ τοῦτο δείκνυσιν ὁ κύριος, ποτὲ μὲν λέγων, ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε. » ποτὲ δέ, ὅτι ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου. καὶ ἔτι δυσωπητικώτερον· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ, ἐξ ὧν παιδεύει ἡμᾶς ἀεὶ τοῦ προκειμένου ἔργου τὸ θέλημα τοῦ προστάξαντος ὥσπερ σκοπὸν προτιθεμένους πρὸς αὐτὸν τὰ τῆς σπουδῆς κατευθύνειν, καθά, καὶ ἀλλαχοῦ » φησίν· ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. ὥσπερ γὰρ αἱ κατὰ τὸν βίον τέχναι σκοποὺς τινὰς οἰκείους ἑαυταῖς προστησάμεναι, ἀκολούθως ἐκείνοις τὰς κατὰ μέρος συναρμόζουσιν ἐνεργείας, οὕτω καὶ τοῖς ἡμετέροις ἔργοις ἑνὸς ὅρου καὶ κανόνος ἐπικειμένου τοῦ εὐαρέστως τῷ Θεῷ ποιῆσαι τὰς ἐντολάς, ἀδύνατον ἄλλως τὸ ἀκριβὲς τοῦ ἔργου κατορθωθῆναι μὴ κατὰ τὸ βούλημα τοῦ ἐκδεδωκότος ἐπιτελούμενον. ἐν δὲ τῇ ἀκριβεῖ πρὸς τὸ θέλημα τοῦ Θεοῦ περὶ τὸ ἔργον σπουδῇ συνάπτεσθαι τῷ Θεῷ διὰ τῆς μνήμης ὑπάρξει. ὥσπερ γὰρ ὁ χαλκεὺς ἐν τῇ ἐργασίᾳ εἰ τύχοι τῆς ἀξίνης, τοῦ ἐκδεδωκότος αὐτῷ μεμνημένος καὶ ἐν τῇ διανοίᾳ φέρων αὐτὸν καὶ σχῆμα ἐκεῖνο καὶ μέγεθος ἐννοεῖ, καὶ πρὸς τὸ βούλημα τοῦ ἀποθεμένου τὴν ἐργασίαν εὐθύνει. ἐὰν γὰρ ἐπιλάθηται ἄλλό τι, ἢ ἀλλοῖον ποιήσει παρ' ὃ προεθέτο, οὕτω καὶ χριστιανὸς πᾶσαν ἐνέργειαν καὶ μικρὰν καὶ μείζονα πρὸς τὸ βούλημα τοῦ Θεοῦ » κατευθύνων, ὁμοῦ τε τὴν πρᾶξιν τῇ ἀκριβείᾳ κατακοσμεῖ, καὶ τὴν τοῦ προστάξαντος » ἔννοιαν διασώζει, καὶ πληροῖ τὸ εἰρημένον· προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντός, ὅτι » ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ, καὶ κατορθοῖ τὸ προστεταγμένον ἐκεῖνο, εἴτε ἐσθίε» τε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. παραφθείρων δὲ ἐν τῇ ἐργα» σίᾳ τὴν ἀκρίβειαν τῆς ἐντολῆς, δῆλος ἐστὶ περὶ τὴν μνήμην τοῦ Θεοῦ ἀτονῶν. μεμνη» μένος οὖν τῆς φωνῆς τοῦ εἰπόντος, οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει κύριος. καὶ » τό, Θεὸς ἐγγίζων ἐγώ εἰμι. καί, οὐ Θεὸς πόρρωθεν. καὶ τό, ὅπου εἰσὶ δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. πᾶσαν ἐνέργειαν ὡς ὑπὸ τοῖς ὄψεσι τοῦ κυρίου γινομένην, καὶ πᾶσαν ἔννοιαν, ὡς παρ' αὐτοῦ ἐποπτευομένην ἐπιτελεῖν χρή. οὕτω γὰρ καὶ ὁ φόβος διαρκὴς ἐνυπάρξει· μισῶν ἀδικίαν κατὰ τὸ γεγραμμένον, ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονηρῶν, καὶ ἡ ἀγάπη τελειοῦται, πληροῦσα τὸ ὑπὸ τοῦ κυρίου εἰρημένον· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. ἐν πληροφορίᾳ διηνεκεῖ τῆς ψυχῆς οὔσης τοῦ καὶ τὰς ἀγαθὰς πράξεις ἀποδεκτὰς εἶναι τῷ κριτῇ καὶ ἀθλοθέτῃ τοῦ ἡμετέρου βίου, καὶ τὰς ἐναντίως ἐχούσας, αὐτόθεν δέχεσθαι τὴν κατάκρισιν. οἶμαι δὲ τούτῳ συγκατορθοῦσθαι, καὶ τὸ μηδὲ αὐτὰς τὰς ἐντολὰς τοῦ κυρίου πρὸς ἀνθρωπαρέσκειαν γίνεσθαι. οὐδεὶς γὰρ ἐν πληροφορίᾳ τῆς παρουσίας τοῦ κρείττονος πρὸς τὸν ἐλάττονα ἐπιστρέφεται. ἀλλὰ κἂν συμβῇ τὸ γινόμενον, τῷ μὲν ἐνδοξοτέρῳ προσώπῳ ἀποδεκτὸν καὶ εὐάρεστον εἶναι, τῷ δὲ ὑποδεεστέρῳ ἀβούλητον καὶ ψεκτὸν καταφαίνεσθαι, πλείονος ἀξίαν τιθέμενος τὴν τοῦ ὑπερέχοντος ἀποδοχήν, καταφρονεῖ τῆς τοῦ ἐλάττονος μέμψεως. εἰ δὲ ἐπ' ἀνθρώπων οὕτως, ἦ γε ὡς ἀληθῶς νήφουσα, καὶ ὑγιαίνουσα ψυχὴ ἐν πληροφορίᾳ τῆς τοῦ Θεοῦ παρουσίας πότε ἀφεμένη τοῦ πρὸς εὐαρέστησιν Θεοῦ ποιεῖν τι, πρὸς τὰς παρὰ τῶν ἀνθρώπων δόξας ἐπιστραφήσεται. πότε δὲ ἀμελήσασα τῶν τοῦ Θεοῦ προσταγμάτων, ἀνθρωπίνῳ ἔθει δουλεύσει. ἢ ὑπὸ κοινῆς » προλήψεως κρατηθήσεται. ἢ καὶ ὑπὸ ἀξιωμάτων δυσωπηθήσεται. τοιαύτη διάθε» σις ἦν τοῦ εἰπόντος, διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου κύ-

» ἀλλὰ τί φησιν; ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε
» ἐν ἀλλήλοις. καὶ οὕτω πανταχοῦ τὰς ἐντολὰς ταύτας συνάπτει, ὥστε τὴν εἰς τὸν πλη
» σίον εὐποιΐαν εἰς ἑαυτὸν μετατίθησιν. ἐπείνασα γάρ φησι, καὶ ἐδώκατέ μοι φαγεῖν, καὶ
» τὰ ἑξῆς. εἶτα ἐπάγει, ὅτι ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχί-
» στων, ἐμοὶ ἐποιήσατε. οὐκοῦν διὰ μὲν τῆς πρώτης ἔστι κατορθῶσαι καὶ τὴν δευτέραν.
διὰ δὲ τῆς δευτέρας ἐπανελθεῖν αὖθις ἐπὶ τὴν πρώτην. καὶ ἀγαπῶντα μὲν τὸν κύριον ἀγα
πᾶν ἀκολούθως καὶ τὸν πλησίον. ὁ γὰρ ἀγαπῶν με εἶπεν ὁ κύριος, τὰς ἐντολάς μου τηρήσει.
αὕτη δέ ἐστι φησὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς.
ἀγαπῶντα δὲ πάλιν τὸν πλησίον τὴν εἰς τὸν θεὸν ἀγάπην ἀποπληροῦν, αὐτοῦ εἰς ἑαυ-
τὸν ἀποδεχομένου τὴν χάριν. διόπερ ὁ μὲν πιστὸς θεράπων τοῦ θεοῦ μωσῆς τοσαύτην
ἐπεδείκνυτο τὴν εἰς τοὺς ἀδελφοὺς ἀγάπην, ὥστε καὶ ἐξαλειφθῆναι ᾑρεῖτο ἐκ τῆς βίβλου
τοῦ θεοῦ, εἰς ἣν ἐγέγραπτο, εἰ μὴ συγχωρηθείη τῷ λαῷ τὸ ἁμάρτημα. παῦλος δὲ, ἀνά-
θεμα εἶναι ἀπὸ χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ τῶν συγγενῶν κατὰ σάρκα ἀποτολμή-
σας εὔξασθαι τῆς πάντων σωτηρίας ἑαυτὸν ἀντάλλαγμα, κατὰ μίμησιν τοῦ κυρίου γενέσθαι
βουλόμενος. ἅμα δὲ καὶ εἰδὼς, ὅτι ἀμήχανον ἦν ἀλλοτριωθῆναι θεοῦ, τὸν διὰ τὴν εἰς αὐ
τὸν ἀγάπην ὑπὲρ τῆς μεγίστης τῶν ἐντολῶν τὴν παρὰ τοῦ θεοῦ χάριν προϊέμενον. καὶ
ὅτι διὰ τούτου πολυπλασίονα ἔμελλον ὧν ἐδίδου ἀντιλήψεσθαι. πλήν γε ὅτι μέχρι τού-
του τοῦ μέτρου, τῆς πρὸς τὸν πλησίον ἀγάπης ἔφθασαν οἱ ἅγιοι, ἱκανὴν ἀπόδειξιν
ἔχει τὰ εἰρημένα.

Περὶ φόβου θεοῦ. δ'.

Τοῖς μὲν οὖν ἄρτι εἰσαγομένοις εἰς τὴν εὐσέβειαν, ἡ διὰ τοῦ φόβου στοιχείωσις χρησιμωτέ-
ρα, κατὰ τὴν ὑποθήκην τοῦ σοφωτάτου σολομῶντος, εἰπόντος. ἀρχὴ σοφίας φόβος
» κυρίου. ὑμῖν δὲ ὡς διαβεβηκόσι τὴν ἐν χριστῷ νηπιότητα, οὐκέτι δεομένοις γάλακτος, ἀλλὰ δυ-
» ναμένοις τῇ στερεᾷ τῶν δογμάτων τροφῇ τὸν ἔσω ἄνθρωπον τελειοῦσθαι, τῶν κεφαλαιω-
δεστέρων ἐντολῶν χρεία, ἐν αἷς πᾶσα ἀλήθεια τῆς ἐν χριστῷ ἀγάπης κατορθοῦται, φυλασσο-
μένοις δηλονότι, μήποτε ἡ περιουσία τῶν δωρεῶν τοῦ θεοῦ βαρυτέρας αἰτία ὑμῖν κα-
τακρίσεως γένηται, ἀχαρίστως πρὸς τὸν εὐεργέτην διατεθεῖσιν. ᾧ γὰρ παρέθεντο φησὶ,
πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτόν.

Περὶ τοῦ κατὰ διάνοιαν ἀμετεωρίστου. ε'.

Ἐκεῖνο μέντοι γε γινώσκειν χρὴ, ὅτι οὔτε ἄλλης τινὸς ἐντολῆς τήρησιν, οὔτε αὐτὴν τὴν πρὸς
θεὸν ἀγάπην, οὔτε τὴν πρὸς τοὺς πλησίον δυνάμεθα κατορθῶσαι, ἄλλοτε πρὸς ἄλ-
λα ταῖς διανοίαις ἀποπλανώμενοι. οὔτε γὰρ τέχνην, ἢ ἐπιστήμην ἀκριβῶσαι δυνατὸν,
ἄλλοτε ἐπ' ἄλλην μεταβαίνοντα. μή τι γε μιᾶς περιγενέσθαι, μὴ τὰ οἰκεῖα τοῦ τέ-
λους γνωρίσαντα. δεῖ γὰρ ἀκολούθους εἶναι τῷ σκοπῷ τὰς πράξεις. ὡς οὐδενὸς τῶν κα-
τὰ λόγον διὰ τῶν ἀνοικείων κατορθουμένου. ἐπεὶ οὔτε τὸ χαλκευτικῆς τέλος διὰ τῶν ἔρ-
γων τῆς κεραμείας περιγενέσθαι πέφυκεν. οὔτε ἀθλητικοὶ στέφανοι ἐκ τῆς περὶ τὸ αὐλεῖν
σπουδῆς κατορθοῦνται. ἀλλὰ ἑκάστῳ τέλει οἰκεῖος ὁ πόνος καὶ συναρμόζων ἐπιζητεῖ-
ται. ὥστε καὶ ἡ ἄσκησις τῆς κατὰ τὸ εὐαγγέλιον τοῦ χριστοῦ πρὸς θεὸν εὐαρεστήσεως ἐν τῇ
ἀναχωρήσει τῶν μεριμνῶν τοῦ κόσμου, καὶ τῇ παντελεῖ ἀλλοτριώσει τῶν περισπασμῶν
ἡμῖν κατορθοῦται. διόπερ ὁ ἀπόστολος καίτοι συγκεχωρημένου τοῦ γάμου, καὶ εὐλο
γίας ἠξιωμένου τὰς ἀπ' αὐτοῦ ἀσχολίας ταῖς περὶ θεὸν μερίμναις ἀντέθηκεν. ὡς οὐ δυ
» ναμένων τούτων ἀλλήλοις συμβιῶναι, εἰπών. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει
» τῷ κυρίῳ. ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. οὕτω καὶ τοῖς μα
» θηταῖς ὁ κύριος μετὰ τὴν εἰλικρινῆ, καὶ ἀμετεώριστον διάθεσιν ἐμαρτύρει λέγων. ὑμεῖς οὐκ ἐστὲ
» ἐκ τοῦ κόσμου τούτου. καὶ ἀπὸ τοῦ ἐναντίου τὴν θεοῦ ἐπίγνωσιν τὸν κόσμον ἀδύνατον
» εἶναι δέξασθαι. μηδὲ τὸ πνεῦμα ἅγιον χωρῆσαι διεμαρτύρατο. πάτερ γάρ φησι δίκαιε, καὶ ὁ κό-
» σμός σε οὐκ ἔγνω, καὶ τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν. λυθῆναι οὖν
δεῖ τῶν δεσμῶν τῆς προσπαθείας τοῦ βίου, τόν γε ἀληθινῶς τῷ θεῷ ἀκολουθήσειν μέλ
λοντα. τοῦτο δὲ διὰ παντελοῦς ἀναχωρήσεως, καὶ λήθης τῶν παλαιῶν ἐθῶν κατορθοῦ
ται, ὡς εἰ μή γε ἀποξενώσαιμεν ἑαυτοὺς, καὶ συγγενείας σαρκικῆς, καὶ κοινωνίας βίου,
» οἱονεὶ πρὸς ἕτερον κόσμον διὰ τῆς σχέσεως μεταβαίνοντες, κατὰ τὸν εἰπόντα. ἡμῶν γὰρ

τὸν, καὶ σιωπῆσαι μὲν τὴν χάριν τῷ γε νοῦν ὑγιῆ, καὶ λόγον ἔχοντι παντελῶς ἀμήχανον· εἰπεῖν δέ τι πρὸς ἀξίαν πλέον, ἀδυνατώτερον. ὅτι κατ' εἰκόνα θεοῦ καὶ ὁμοίωσιν ποιήσας τὸν ἄνθρωπον ὁ θεὸς, καὶ τῆς ἑαυτοῦ γνώσεως ἀξιώσας, καὶ λόγῳ παρὰ πάντα τὰ ζῶα κατακοσμήσας, καὶ τοῖς ἀμηχάνοις τοῦ παραδείσου κάλλεσιν ἐντρυφᾷν παρασχόμενος, καὶ τῶν ἐπὶ γῆς ἁπάντων ἄρχοντα καταστήσας, εἶτα κατασοφισθέντα διὰ τοῦ ὄφεως, καὶ καταπεσόντα εἰς τὴν ἁμαρτίαν, καὶ διὰ τῆς ἁμαρτίας εἰς τὸν θάνατον, καὶ τὰ τούτου ἄξια οὐ περιεῖδεν· ἀλλὰ τὰ μὲν πρῶτα νόμον ἔδωκεν εἰς βοήθειαν, ἀγγέλους ἐπέστησεν εἰς φυλακὴν, καὶ ἐπιμέλειαν· προφήτας ἀπέστειλεν εἰς ἔλεγχον κακίας, καὶ διδασκαλίαν ἀρετῆς· τὰς ὁρμὰς τῆς κακίας ταῖς ἀπειλαῖς ἐνέκοψε· τῶν ἀγαθῶν τὴν προθυμίαν ἐπαγγελίαις διήγειρεν· τὸ πέρας ἑκατέρου, πολλάκις ἐν διαφόροις προσώποις εἰς νουθεσίαν τῶν ἄλλων, προλαβὼν ἐφανέρωσε· καὶ ἐπὶ τούτοις καὶ τοῖς τοιούτοις ἅπασιν ἐπιμένοντας τῇ ἀπειθείᾳ οὐκ ἀπεστράφη· οὐ γὰρ ἀφείθημεν ὑπὸ τῆς ἀγαθότητος τοῦ δεσπότου, οὐδὲ ἐνέκοψεν αὐτοῦ τὴν εἰς ἡμᾶς ἀγάπην, ἀναισθησίᾳ τῶν τιμῶν τὸν εὐεργέτην παρυβρίσαντες· ἀλλ' ἀνεκλήθημεν ἐκ τοῦ θανάτου, καὶ ἐζωοποιήθημεν πάλιν ὑπ' αὐτοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἐν ᾧ καὶ ὁ τρόπος τῆς εὐεργεσίας μεῖζον ἔχει τὸ θαῦμα· ἐν μορφῇ γὰρ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών· καὶ τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασε, καὶ ὑπὲρ ἡμῶν ἐτραυματίσθη, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν· καὶ τῆς κατάρας ἡμᾶς ἐξηγόρασε, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· καὶ τὸν ἀτιμότατον ὑπέστη θάνατον, ἵνα ἡμᾶς εἰς τὴν ἔνδοξον ζωὴν ἐπαναγάγῃ· καὶ οὐκ ἠρκέσθη μόνον νεκροὺς ὄντας ζωοποιῆσαι, ἀλλὰ καὶ θεότητος ἀξιώματι ἐχαρίσατο· καὶ ἀναπαύσεις ἡτοίμασεν αἰωνίους, πᾶσαν ἔννοιαν ἀνθρωπίνην τῷ μεγέθει τῆς εὐφροσύνης ὑπερβαινούσας· ὁ δὲ οὕτως ἐστὶν ἀγαθὸς, ὥστε οὔτε ἀντίδοσιν ἀπαιτεῖ, ἀλλ' ἀρκεῖται μόνον ἀγαπώμενος ἐφ' οἷς ἔδωκεν· ὧν ἁπάντων, ὅταν εἰς ἔννοιαν ἔλθω, ἵνα τὸ ἐμὸν πάθος εἴπω, εἰς φρίκην τινὰ καὶ ἔκστασιν φοβερὰν καταπίπτω, μή ποτε διὰ ἀπροσεξίαν τοῦ νοῦ, ἢ τὴν περὶ τὰ μάταια ἀσχολίαν, τῆς ἀγάπης τοῦ θεοῦ ἐκπεσὼν, ὄνειδος γένωμαι τῷ χριστῷ· ὁ γὰρ νῦν ἀπατῶν ἡμᾶς, καὶ διὰ τῶν κοσμικῶν δελεασμάτων λήθην ἐμποιεῖν ἡμῖν τοῦ εὐεργέτου μηχανῇ πάσῃ σπουδάζων, ἐπ' ὀλέθρῳ τῶν ψυχῶν ἡμῶν ἐναλλόμενος ἡμῖν, καὶ ἐπεμβαίνων εἰς ὀνειδισμὸν, τότε προσοίσει τῷ κυρίῳ τὴν ἡμετέραν καταφρόνησιν· καὶ ἐγκαυχήσεται τῇ ἀπειθείᾳ καὶ ἀποστασίᾳ ἡμῶν· ὥς γε οὔτε κτίσας ἡμᾶς, οὔτε ἀποθανὼν ὑπὲρ ἡμῶν, ὅμως ἔσχεν ἡμᾶς ἀκολουθοῦντας αὐτῷ ἐν τῇ ἀπειθείᾳ καὶ ἀμελείᾳ τῶν ἐντολῶν τοῦ θεοῦ· τοῦτο τὸ ὄνειδος, τὸ κατὰ τοῦ κυρίου, καὶ τοῦτο τὸ καύχημα τοῦ ἐχθροῦ, βαρύτερον ἐμοὶ τῶν ἐν τῇ γεέννῃ κολάσεων φαίνεται· τῷ ἐχθρῷ τοῦ χριστοῦ ὕλην γενέσθαι καυχήματος, καὶ ἀφορμὴν ἐπάρσεως κατ' αὐτοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ ἐγερθέντος, ᾧ καὶ διὰ τοῦτο περισσοτέρως ὀφειλέται ἐσμὲν, καθὼς γέγραπται· καὶ περὶ μὲν τῆς εἰς θεὸν ἀγάπης τοσαῦτα· σκοπὸς γὰρ ὡς προεῖπον, οὐχὶ πάντα εἰπεῖν, ἀδύνατον γάρ· ἀλλ' ἐπὶ κεφαλαίων σύντομον ὑπόμνησιν ἀνακινοῦσαν ἀεὶ τὸν θεῖον πόθον ταῖς ψυχαῖς ἐμποιῆσαι.

Περὶ τῆς εἰς τὸν πλησίον ἀγάπης. Ἐρώτησις, γ'.

Ἀκόλουθον δ' ἂν εἴη περὶ τῆς δευτέρας καὶ τάξει καὶ δυνάμει ἐντολῆς διαλαβεῖν;

Ἀπόκρισις.

Ὅτι μὲν οὖν ὁ νόμος τῶν σπερματικῶς ἐνυπαρχουσῶν ἡμῖν δυνάμεων γεωργός ἐστι καὶ τροφὸς, εἴρηται ἡμῖν ἐν τοῖς ἔμπροσθεν λόγοις· ἐπειδὴ δὲ ἀγαπᾶν προστετάγμεθα τὸν πλησίον ὡς ἑαυτοὺς, καταμάθωμεν, εἰ καὶ δύναμιν πρὸς τὴν ἐκπλήρωσιν τῆς ἐντολῆς ταύτης ἔχομεν παρὰ τοῦ θεοῦ· τίς οὖν οὐκ οἶδεν, ὅτι ἥμερον καὶ κοινωνικὸν ζῶον ὁ ἄνθρωπος, καὶ οὐχὶ μοναστικὸν, οὐδὲ ἄγριον· οὐδὲν γὰρ οὕτως ἴδιον τῆς φύσεως ἡμῶν, ὡς τὸ κοινωνεῖν ἀλλήλοις, καὶ χρῄζειν ἀλλήλων, καὶ ἀγαπᾶν τὸ ὁμόφυλον· ὧν οὖν αὐτὸς ἔδωκεν ὁ κύριος ἡμῖν προλαβὼν τὰ σπέρματα, τούτων ἀκολούθως καὶ τοὺς καρποὺς ἐπιζητεῖ, λέγων· ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καὶ πρὸς ταύτην τὴν ἐντολὴν διεγεῖραι βουλόμενος ἡμῶν τὴν ψυχὴν, ἀπόδειξιν τῶν αὐτοῦ μαθητῶν, οὐ σημεῖα καὶ δυνάμεις παραδόξους ἀπῄτησεν· καί τοι καὶ τούτων ἐν πνεύματι ἁγίῳ χαρισάμενος τὴν ἐνέργειαν·

Ἐρώτησις, α΄.

Ἐπειδὴ ἔδωκεν ἡμῖν ὁ λόγος ἐξουσίαν τοῦ ἐπερωτᾶν, πρῶτον πάντων διδαχθῆναι δεόμεθα, εἰ τάξις τίς ἐστι καὶ ἀκολουθία ἐν ταῖς ἐντολαῖς τοῦ θεοῦ, ὥστε τὴν μὲν εἶναι πρώτην, τὴν δὲ δευτέραν, καὶ καθεξῆς, ἢ πᾶσαι ἀλλήλων ἔχονται καὶ πᾶσαι ἀλλήλαις ὁμότιμοι πρὸς τὸ τῆς ἀρχῆς λόγον τυγχάνουσιν· ὡς ἄδειαν εἶναι τῷ βουλομένῳ καθάπερ ἐν κύκλῳ ἀρχὴν λαμβάνειν ὁπόθεν βούλεται.

Ἀπόκρισις.

Τὸ ἐρώτημα ὑμῶν ἀρχαῖόν ἐστι, καὶ πάλαι προενηνεγμένον ἐν τοῖς εὐαγγελίοις, ἡνίκα προσελθὼν τῷ κυρίῳ ὁ νομικὸς, διδάσκαλε, φησὶ, ποία πρώτη ἐν τῷ νόμῳ ἐστὶν ἐντολή; καὶ ὁ κύριος ἀπεκρίνατο· ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου. αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. αὐτὸς οὖν ἐπέθηκε ταῖς ἑαυτοῦ ἐντολαῖς τὴν τάξιν ὁ κύριος· πρώτην μὲν καὶ μεγίστην τὴν περὶ τῆς εἰς τὸν θεὸν ἀγάπης τὴν ἐντολὴν ὁρισάμενος. δευτέραν δὲ τῇ τάξει, καὶ ὁμοίαν ἐκείνῃ, μᾶλλον δὲ συμπληρωτικὴν τῆς προτέρας, καὶ ἐξ αὐτῆς ἠρτημένην, τὴν περὶ τοῦ ἀγαπᾶν τὸν πλησίον. ὥστε ἐκ τῶν εἰρημένων, καὶ ἐξ ἑτέρων δὲ τοιούτων, ἐν ταῖς θεοπνεύστοις γραφαῖς φερομένων, τὴν ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ κυρίου τάξιν τε καὶ ἀκολουθίαν ἔστι μαθεῖν.

Ἐρώτησις, β΄.

Οὐκοῦν περὶ τῆς εἰς θεὸν ἀγάπης πρῶτον ἡμῖν διαλέχθητι. ὅτι μὲν γὰρ χρὴ ἀγαπᾶν, ἀκηκόαμεν· πῶς δ' ἂν τοῦτο κατορθωθείη, μαθεῖν ἐπιζητοῦμεν.

Ἀπόκρισις.

Ἀδίδακτος μὲν ἡ πρὸς τὸν θεὸν ἀγάπη. οὔτε γὰρ φωτὶ χαίρειν, καὶ ζωῆς ἀντιποιεῖσθαι παρ' ἄλλου μεμαθήκαμεν, οὔτε τοῦ ἀγαπᾶν τὸ τεκὸν, ἢ θρεψαμένους ἕτερος ἐδίδαξεν. οὕτως οὖν, ἢ καὶ πολὺ μᾶλλον τοῦ θείου πόθου οὐκ ἔξωθεν ἐστὶν ἡ μάθησις· ἀλλ' ὁμοῦ τῇ συστάσει τοῦ ζώου, τοῦ ἀνθρώπου φημὶ, σπερματικός τις λόγος ἡμῖν ἐγκαταβέβληται, οἴκοθεν ἔχων τὰς ἀφορμὰς τῆς πρὸς τὸ ἀγαπᾶν οἰκειώσεως. ὅνπερ τὸ διδασκαλεῖον τῶν ἐντολῶν τοῦ θεοῦ παραλαβὸν, γεωργεῖν μετ' ἐπιμελείας, καὶ ἐκτρέφειν μετ' ἐπιστήμης, καὶ εἰς τελείωσιν ἄγειν θεοῦ χάριτι πέφυκεν. διὸ καὶ ἡμεῖς τὴν σπουδὴν ὑμῶν ὡς ἀναγκαίαν τῷ σκοπῷ ἀποδεξάμενοι, θεοῦ διδόντος, καὶ ὑμῶν ἐν ταῖς προσευχαῖς συναντιλαμβανομένων ἡμῖν, τὸν ἐγκεκρυμμένον ἡμῖν σπινθῆρα τοῦ θείου πόθου κατὰ τὴν ἐνδεδομένην ἡμῖν διὰ τοῦ πνεύματος δύναμιν διεγείρειν σπουδάσομεν. εἰδέναι μέντοι χρὴ, ὅτι τοῦτο οὐ μέν ἐστι τὸ κατόρθωμα, δυνάμει δὲ, πάσης ἐνεργητικὸν, καὶ περιεκτικὸν ἐστὶν ἐντολῆς. ὁ γὰρ ἀγαπῶν με, φησὶν ὁ κύριος, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσει. καὶ πάλιν, ὅτι ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. καὶ οὐχὶ νῦν δι' ἀκριβείας ἐφοδεύειν τὸν λόγον ἐπιχειρήσομεν· οὕτω γὰρ ἂν λάθοιμεν πάντα τὸν περὶ τῶν ἐντολῶν λόγον ἐπικυκλοῦντες τῷ μέρει. ἀλλ' ὅσον σύμμετρον ἡμῖν καὶ οἰκεῖον τῷ παρόντι σκοπῷ, ὑπομνήσομεν ὑμᾶς περὶ τῆς ὀφειλομένης τῷ θεῷ παρ' ἡμῶν ἀγάπης, ἐκεῖνο πρότερον εἰπόντες, ὅτι πασῶν τῶν δοθεισῶν ἡμῖν ἐντολῶν παρὰ θεοῦ, τούτων καὶ τὰς δυνάμεις παρ' αὐτοῦ προειλήφαμεν, ἵνα μήτε δυσχεραίνωμεν, ὥς τι καινότερον ἀπαιτούμενοι, μήτε ἐπαιρώμεθα, ὡς πλέον τι τοῦ δεδομένου συνεισφερόμενοι. καὶ διὰ τούτων τῶν δυνάμεων, ὀρθῶς μὲν καὶ προσηκόντως ἐνεργοῦντες, τὸν κατ' ἀρετὴν εὐσεβῶς συμπληροῦμεν βίον· παραφθείροντες δὲ αὐτῶν τὴν ἐνέργειαν, πρὸς τὴν κακίαν ἀποφερόμεθα. καὶ ἔστιν οὗτος κακίας ὅρος ἡ πονηρὰ καὶ παρὰ τὴν ἐντολὴν τοῦ κυρίου χρῆσις τῶν ἐπ' ἀγαθῷ παρὰ τοῦ θεοῦ δεδομένων ἡμῖν· ὥσπερ οὖν τῆς παρὰ τοῦ θεοῦ ἐπιζητουμένης ἀρετῆς, ἡ ἐξ ἀγαθοῦ τοῦ συνειδότος κατ' ἐντολὴν τοῦ κυρίου χρῆσις αὐτῶν. τούτου δὲ οὕτως ἔχοντος, τὸ αὐτὸ καὶ περὶ τῆς ἀγάπης ἐροῦμεν. ἐντολὴν τοίνυν λαβόντες, ἀγαπᾶν τὸν θεὸν, τὴν ἀγαπητικὴν δύναμιν εὐθὺς τῇ πρώτῃ κατασκευῇ συγκαταβληθεῖσαν κεκτήμεθα· καὶ ἡ ἀπόδειξις

ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς. ἐπεὶ τοίνυν οὔτε δυνατὸν σωθῆναι μὴ ποιοῦντας τὰ κατ' ἐντολὴν τοῦ Θεοῦ ἔργα, οὔτε τὸ παριδεῖν τι τῶν προστεταγμένων ἀκίνδυνον. δεινὴ γὰρ ἡ ἔπαρσις, κριτὰς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καὶ τὸ μὲν ἐγκρίνειν τῶν νόμων, τὸ δὲ παραπέμπεσθαι, φέρε δὴ οἱ τῆς εὐσεβείας ἀγωνισταί, οἱ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον, ὡς συνεργὸν τῆς φυλακῆς τῶν εὐαγγελικῶν δογμάτων τιμήσαντες, κοινὴν φροντίδα καὶ βουλὴν προσθώμεθα, ὅπως ἂν μηδὲν ἡμᾶς διαφύγῃ τῶν ἐντεταλμένων. εἰ γὰρ δεῖ τέλειον εἶναι τὸν τοῦ Θεοῦ ἄνθρωπον, καθὼς γέγραπται, καὶ ὁ λόγος ἐν τοῖς περὶ τούτων ἀπήλεγξεν, ἀνάγκη πᾶσα διὰ πάσης ἐντολῆς καταρτισθῆναι εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. ἐπεὶ καὶ τὰ κατὰ τὸν θεῖον νόμον, κἂν καθαρὸν ᾖ, τὸ λελωβημένον ἀπρόσδεκτον εἰς θυσίαν τῷ Θεῷ, ὅπερ ἂν οὖν ἕκαστος ἐνδεῶς ἔχειν ἡγῆται, τοῦτο εἰς κοινὴν προστιθέτω διάσκεψιν. ῥᾷον γὰρ ἂν ἐν τῇ φιλοπόνῳ τῶν πλειόνων διερευνήσει, τὸ λανθάνον ἐξευρεθείη, Θεοῦ δηλονότι, κατὰ τὴν ἐπαγγελίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χαριζομένου ἡμῖν τοῦ ζητουμένου τὴν εὕρεσιν διδασκαλίᾳ καὶ ὑπομνήσει τοῦ ἁγίου Πνεύματος. ὥσπερ οὖν ἐμοὶ ἀνάγκη ἐπίκειται, καὶ οὐαί μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι, οὕτω καὶ ὑμῖν ἴσος ἀγὼν ἀποραθυμήσασι πρὸς τὴν ζήτησιν, ἢ ἀτόνως καὶ ἐκλελυμένως πρός τε τὴν φυλακὴν τῶν παραδιδομένων, καὶ τὴν διὰ τῶν ἔργων πλήρωσιν διατεθεῖσιν. διότι φησὶν ὁ Κύριος, ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. καὶ δοῦλος ὁ μὲν μὴ γνοὺς τὸ θέλημα τοῦ Κυρίου, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. ὁ δὲ γνοὺς καὶ μὴ ποιήσας, μηδὲ ἑτοιμάσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. εὐξώμεθα οὖν, ἐμοὶ τὴν οἰκονομίαν τοῦ λόγου ἄμεμπτον, καὶ ὑμῖν ἔγκαρπον τὴν διδασκαλίαν γενέσθαι. ὡς οὖν εἰδότες, ὅτι αὐτοὶ πρὸ προσώπου ἡμῶν οἱ τῆς θεοπνεύστου γραφῆς λόγοι στήσονται ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ. ἐλέγξω γάρ σε φησί, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. οὕτω καὶ προσέχωμεν νηφόντως τοῖς λεγομένοις, καὶ εἰς ἔργον προαγαγεῖν τὰ θεῖα δόγματα σπουδαίως ἐπιχειρῶμεν. ὅτι οὐκ οἴδαμεν ποίᾳ ἡμέρᾳ, ἢ ὥρᾳ ὁ Κύριος ἡμῶν ἔρχεται.

τέλος.

Κεφάλαια τῶν κατὰ πλάτος ὅρων, ἢ ἐπερωτημάτων ἀσκητῶν, καὶ ἀποκρίσεων τοῦ ἁγίου Βασιλείου.

» νὴν αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰπόντος, ὅτι ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώ-
» ποις. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. ὅθεν παῦλος ὁ ἀπόστολος
» ἐπαιδεύθη εἰπεῖν, ὅτι κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ
» σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. ὅλως δὲ τρεῖς ταύ-
» τας ἐγὼ διαφορὰς τῆς διαθέσεως πρὸς τὴν ἀπαραίτητον ἀνάγκην τῆς ὑπακοῆς καθο-
ρῶ. ἢ γὰρ φοβούμενοι τὰς κολάσεις ἐκκλίνομεν ἀπὸ τοῦ κακοῦ, καὶ ἐσμὲν ἐν τῇ διαθέ-
σει τῇ δουλικῇ. ἢ τὰ ἐκ τοῦ μισθοῦ κέρδη διώκοντες τῆς ἑαυτῶν οἰκεῖον ὠφελείας πλη-
ροῦμεν τὰ προστάγματα. καὶ κατὰ τοῦτο προσεοίκαμεν τοῖς μισθίοις. ἢ δι' αὐτὸ τὸ κα-
λὸν, καὶ τὴν πρὸς τὸν δεδωκότα ἡμῖν τὸν νόμον, ἀγάπην χαίροντες, ὅτι οὕτως ἐνδόξῳ
καὶ ἀγαθῷ θεῷ δουλεύειν κατηξιώθημεν. καὶ ἐσμὲν οὕτως ἐν τῇ τῶν υἱῶν διαθέσει. οὔ-
τε οὖν ὁ ἐν φόβῳ τὰς ἐντολὰς κατορθῶν, καὶ ἀεὶ τὸ τῆς ῥᾳθυμίας ἐπιτίμιον ὑφορώμε-
νος, τὰ μὲν ποιήσει τῶν προστεταγμένων αὐτῷ, τὰ δὲ παρέψεται. ἀλλὰ τὴν ἐπὶ πά-
σῃ παρακοῇ ἐκδίκησιν ὁμοίως ἑαυτῷ φοβερὰν ὑπολήψεται. καὶ διὰ τοῦτο μακαρίζε-
» ται μὲν ὁ πάντα κατευλαβούμενος δι' εὐλάβειαν, στήκει δὲ ἑδραῖος ἐν τῇ ἀληθείᾳ δυνάμενος
» εἰπεῖν, προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σα-
» λευθῶ, ὡς οὐδὲν αἱρούμενος παριδεῖν τῶν δεόντων. καὶ μακάριος ἀνὴρ, ὁ φοβούμε-
» νος τὸν κύριον, διατί; ὅτι ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. οὐ τοίνυν ἐστὶ τῶν φο-
βουμένων, τὸ παριδεῖν τί τῶν ἐντεταλμένων, ἢ ἀμελῶς ποιεῖν, ἀλλ' οὐδὲ ὁ μισθωτὸς πα-
ραβῆναί τι τῶν διατεταγμένων αἱρήσεται. πῶς γὰρ κομίσεται τὸν μισθὸν τῆς ἐργασίας
τοῦ ἀμπελῶνος, μὴ πάντα πληρώσας τὰ συμπεφωνημένα; καὶ γὰρ ἐὰν οὖν τι ἐλλείπῃ
τῶν ἀναγκαίων, ἄχρηστον αὐτὸν τῷ κεκτημένῳ κατέλιπεν. τίς οὖν ἔτι τῆς βλάβης μι-
σθὸν ἀποτελέσει τῷ ἀδικήσαντι; τρίτον ἦν ἡ κατὰ ἀγάπην ὑπηρεσία. τίς οὖν υἱὸς σκο-
πὸν ἔχων τὴν τοῦ πατρὸς εὐαρέστησιν, ἐπὶ τοῖς μείζοσιν αὐτὸν εὐφραίνων, τῶν μικροτά-
των οὕνεκεν λυπεῖν αἱρήσεται; πολὺ δὲ πλέον καὶ τοῦ ἀποστόλου μεμνημένος εἰπόντος,
» καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε. οἱ τοίνυν τὰς πλείστας
τῶν ἐντολῶν παραβαίνοντες, ἐν ποίῳ μέρει τετάχθαι βούλονται; μήτε ὡς πατρὶ ὑ-
πηρετοῦντες τῷ θεῷ, μήτε ὡς μεγάλα ἐπαγγελλομένῳ πειθόμενοι, μήτε ὡς δεσπότῃ
» δουλεύοντες. εἰ γὰρ πατήρ εἰμι φησὶν ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου. καὶ εἰ κύριος εἰμὶ ἐγὼ ποῦ ἐστιν
» ὁ φόβος μου; ὁ μὲν γὰρ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. διὰ
» δὲ τῆς παραβάσεως τοῦ νόμου, τὸν θεὸν φησὶν ἀτιμάζεις. πῶς οὖν τὸν καθ' ἡδονὴν βίον τοῦ
κατ' ἐντολὴν προτιμήσαντες, ζωὴν μακαριότητα, καὶ ἰσοπολιτείαν τῶν ἁγίων, καὶ
τὰς μετ' ἀγγέλων εὐφροσύνας ἐν προσώπῳ Χριστοῦ ἑαυτοῖς ὑποθησόμεθα. νηπίας ὄντως
φρενὸς, τὰ τοιαῦτα φαντάσματα. πῶς ἔσομαι μετὰ Ἰὼβ, ὁ μὴ δὲ τὴν τυχοῦσαν θλί-
ψιν μετὰ εὐχαριστίας δεξάμενος; πῶς μετὰ τοῦ Δαβὶδ, ὁ μὴ πρὸς τὸν πολέμιον μακρο-
θύμως διατεθεὶς; πῶς μετὰ τοῦ Δανιὴλ, ὁ μὴ μετ' ἐγκρατείας διηνεκοῦς καὶ δεήσεως ἐκ-
τενοῦς τὸν θεὸν ἐκζητήσας; πῶς μεθ' ἑκάστου τῶν ἁγίων, ὁ μὴ τοῖς ἴχνεσιν αὐτῶν ἐπιβε-
βηκὼς; τίς οὕτως ἄκριτος ἀθλοθέτης, ὃς τῶν ἴσων ἀξιώσει στεφάνων τὸν νικητὴν, καὶ
τὸν μηδὲν ἠγωνισμένον; τίς στρατηγὸς εἰς τὴν μερίδα τῶν σκύλων ἐκάλεσέ ποτε τοῖς νενι-
κηκόσι, τοὺς μηδὲ φανέντας ἐπὶ τῆς μάχης ἐκκαλέσας; ἀγαθὸς ὁ θεὸς, ἀλλὰ καὶ δίκαιος.
» δικαίου δὲ, ἡ πρὸς ἀξίαν ἀντίδοσις, καθὼς γέγραπται. ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς. τοὺς
» δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς, ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. ἐλεή-
» μων; ἀλλὰ καὶ κριτής. ἀγαπᾷ γάρ φησιν ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος. διὸ λέγει. ἔ-
» λεον καὶ κρίσιν ᾄσομαί σοι κύριε. ἐμάθομεν ἐπὶ τίνας τὸ ἔλεος. μακάριοι γάρ φησιν οἱ ἐ-
» λεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. ὁρᾷς πῶς κεκριμένως κέχρηται τῷ ἐλέει; οὔτε ἀ-
κρίτως ἐλεῶν, οὔτε ἀνηλεῶς κρίνων. ἐλεήμων γὰρ ὁ κύριος, καὶ δίκαιος. μὴ οὖν ἐξ ἡμι-
σείας τὸν θεὸν γνωρίζωμεν, μὴ δὲ ἀφορμὴν ῥᾳθυμίας τὴν αὐτοῦ φιλανθρωπίαν λαμ-
βάνωμεν. διὰ τοῦτο βροντᾷ, διὰ τοῦτο κεραυνοῖ, ἵνα μὴ καταφρονῆται ἡ ἀγαθότης.
ὁ τὸν ἥλιον ἀνατέλλων καὶ ἐξ ἐλλείψεως καταδικάζει. ὁ τὸν ὄμβρον διδοὺς, καὶ τὸ πῦρ βρέ-
χει. ἐκεῖνα τῆς χρηστότητος, ταῦτα τῆς ἀποτομίας. ἢ δι' ἐκεῖνα ἀγαπήσωμεν, ἢ διὰ
» ταῦτα φοβηθῶμεν, ἵνα μὴ ῥηθῇ καὶ ἡμῖν ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς

αἰσχύς

πτῶμεν, οἱ μὲν εἰς κόλασιν αἰώνιον, οἱ δὲ εἰς ζωὴν αἰώνιον· καὶ ἀπολάβῃ ἕκαστος κατὰ τὴν πρᾶξιν αὐτοῦ. πρὸς τίνα καιρὸν ὑπερτιθέμεθα τὴν ὑπακοὴν τοῦ Χριστοῦ τοῦ καλέσαντος ἡμᾶς εἰς τὴν ἐπουράνιον ἑαυτοῦ βασιλείαν; οὐκ ἐκνήψομεν; οὐκ ἀνακαλεσόμεθα ἑαυτοὺς ἀπὸ τοῦ κατὰ συνήθειαν βίου πρὸς τὴν ἀκρίβειαν τοῦ εὐαγγελίου; οὐκ ἐν ὀφθαλμοῖς ληψόμεθα τὴν ἡμέραν τοῦ κυρίου τὴν φοβερὰν ἐκείνην καὶ ἐπιφανῆ, ἐν ᾗ τοὺς μὲν τῇ δεξιᾷ τοῦ κυρίου διὰ τῶν πράξεων προσεγγίζοντας βασιλεία οὐρανῶν ὑποδέξεται· τοὺς δὲ πρὸς τὴν ἀριστερὰν διὰ τὴν ἐρημίαν τῶν ἀγαθῶν ἔργων ἀπωσμένους γέεννα πυρὸς καὶ σκότος αἰώνιον κατακρύψει; ἐκεῖ ἔσται φησὶν ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ἡμεῖς δὲ βασιλείας μὲν οὐρανῶν ἐπιθυμεῖν λέγομεν· δι' ὧν δὲ ἔστιν αὐτῆς ἐπιτυχεῖν οὐ φροντίζομεν, ἀλλὰ μηδένα πόνον ὑπὲρ ἐντολῆς κυρίου καταδεχόμενοι, τῶν ἴσων τιμῶν τεύξεσθαι τοῖς μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαταστᾶσιν ἐν τῇ ματαιότητι τοῦ νοὸς ἡμῶν ὑποτιθέμεθα. τίς ἐν καιρῷ τῆς σπορᾶς οἴκοι καθήμενος, ἢ καθεύδων, ἐπιστάντος τοῦ θερισμοῦ τὸν κόλπον ἐπλήρωσε τῶν δραγμάτων; τίς ἐτρύγησεν ἀμπελῶνα τὸν μὴ παρ' αὐτοῦ πεφυτευμένον; ἐκείνων οἱ καρποὶ, ὧν καὶ οἱ πόνοι. αἱ τιμαὶ, καὶ οἱ στέφανοι τῶν νενικηκότων εἰσί. τίς στεφανοῖ τὸν μηδὲ ἀποδύντα πρὸς τὸν ἀντίπαλον, ὁπότε οὐ νικῆσαι δεῖ μόνον, ἀλλὰ καὶ νομίμως ἀθλῆσαι κατὰ τὸν ἀπόστολον. τοῦτο δέ ἐστι, τὸ μηδὲ μικρὸν μὲν παριδεῖν τῶν διατεταγμένων, οὕτω δὲ ἕκαστον ποιῆσαι, ὡς προστετάγμεθα. μακάριος γάρ φησιν ὁ δοῦλος ἐκεῖνος, ὃν, ἐλθὼν ὁ κύριος, εὑρήσει, οὐχὶ ποιοῦντα ὡς ἔτυχεν, ἀλλὰ ποιοῦντα οὕτως. καὶ ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες. ἡμεῖς δὲ μίαν που τῶν ἐντολῶν πεποιηκέναι νομίσαντες, οὐ γὰρ ἂν φαίην ὅτι ποιήσαντες. πᾶσαι γὰρ ἀλλήλων ἔχονται κατὰ τὸν ὑγιῆ τοῦ σκοποῦ λόγον, ὡς ἐν τῇ λύσει τῆς μιᾶς, καὶ τὰς λοιπὰς ἐξ ἀνάγκης συγκαταλύεσθαι, οὐκ ἐπὶ τοῖς παραβαθεῖσι τὴν ὀργὴν ἐκδεχόμεθα, ἀλλ' ἐπὶ τῷ κατορθωθέντι δῆθεν τὰς τιμὰς ἀναμένομεν. ὁ ἐκ τῶν δέκα ταλάντων τῆς παραθήκης, οὔπου ἢ δύο παρακατασχὼν, τὰ δὲ λοιπὰ ἀποτίσας οὐχὶ εὐγνώμων διὰ τὴν τῶν πλειόνων ἐκπλήρωσιν γνωρίζεται, ἀλλὰ ἄδικος, καὶ πλεονέκτης ἐπὶ τῇ τῶν ἐλαττόνων ἀποστερήσει ἐλέγχεται. τί δὲ λέγω ἀποστερήσει; ὁπότε ὁ τὸ ἓν τάλαντον πιστευθεὶς, εἶτα ἀποδοὺς αὐτὸ ἐκεῖνο ὁλόκληρον ἀκέραιον, ὃ ὑπεδέξατο, ὅτι μὴ προσειργάσατο τῷ δοθέντι κατακρίνεται. ὁ δέκα ἔτη τὸν πατέρα τιμήσας, μίαν δὲ πληγὴν ὕστερον ἐμβαλὼν μόνην, οὐχ ὡς εὐεργέτης τιμᾶται, ἀλλ' ὡς πατραλοίας
» κατακρίνεται. πορευθέντες φησὶν ὁ κύριος, μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες
» αὐτοὺς, οὐχὶ τὰ μὲν τηρεῖν, τῶν δὲ ἄλλων ἀμελεῖν, ἀλλὰ τηρεῖν πάντα ὅσα ἐνετειλά-
» μην ὑμῖν. καὶ ὁ ἀπόστολος ἀκολούθως γράφει. μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν,
» ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι. εἰ γὰρ μὴ πάντα ἡμῖν πρὸς τὸν τῆς σωτηρίας σκοπὸν ἀναγκαῖα ἦν, οὐδ' ἂν ἐγράφησαν πᾶσαι αἱ ἐντολαί. οὐδ' ἂν πάσας φυλαχθῆναι ἀναγκαίως διηγορεύθησαν. τί μοι τὸ ὄφελος τῶν ἄλλων κατορθωμάτων, εἰ μέλλοιμι μωρὸν εἰπὼν τὸν ἀδελφὸν, ἔνοχος ἔσεσθαι τῇ γεέννῃ; τί γὰρ ὄφελος τῆς ἀπὸ τῶν πολλῶν ἐλευθερίας τῷ ὑφ' ἑνὸς κρατουμένῳ εἰς δουλείαν; ὁ γὰρ ποιῶν φησὶ τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. τί δὲ τὸ κέρδος τῆς ἐν πολλοῖς ἀπαθείας τῷ ὑφ' ἑνὸς πάθους φθειρομένῳ τὸ σῶμα; ἆρα οὖν φησί τις, τὰ πλήθη τῶν χριστιανῶν μὴ φυλάσσοντα πάσας τὰς ἐντολὰς ἀνόνητον ἕξει τὴν τινῶν φυλακήν; περὶ τούτου τοῦ μακαρίου Πέτρου μνημονεῦσαι καλὸν, τοῦ μετὰ τοσαῦτα μὲν κατορθώματα. τοιούτους δὲ τοὺς μακαρισμοὺς ἐφ' ἑνὶ μόνῳ ἀκούοντος. ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. ἐῶ γὰρ λέγειν, ὅτι οὐδὲ αὐτὸ τὸ ἐκείνου ῥᾳθυμίας, οὐδὲ καταφρονήσεως εἶχον ἔνδειξιν, ἀλλὰ τιμῆς καὶ εὐλαβείας ἦν ἔμφασις. καὶ μὴν εἴποι τις ἂν γέγραπται, πᾶς ὃς ἐπικαλέσηται τὸ ὄνομα κυρίου
» σωθήσεται. ὥστε ἀρκεῖ καὶ αὐτὴ ἡ ἐπίκλησις τοῦ ὀνόματος τοῦ κυρίου σῶσαι τὸν καλούμενον. ἀλ-
» λ' ἄκουε πῶς καὶ οὗτος τοῦ ἀποστόλου λέγοντος. πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευ-
» σαν. εἰ δὲ πιστεύεις, ἄκουε τοῦ κυρίου λέγοντος. οὐ πᾶς ὁ λέγων μοι κύριε, κύριε, εἰσελεύσεται εἰς τὴν βασι-
» λείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὅπου γε καὶ ὁ τὸ θέλημα τοῦ κυρίου ἐργαζόμενος, μὴ καθὼς θέλει δὲ ὁ θεὸς, μὴ δὲ ἐν διαθέσει τῆς πρὸς θεὸν ἀγάπης τοῦτο ποιῶν, ἀνόνητον ἔχει τὴν τοῦ ἔργου σπουδὴν κατὰ τὴν φω-

σιν αἱ συνοδίαι, ἀλλὰ καὶ παρθένων, τὰ μὲν ἄλλα πάντα ὅσα εἴρηται, κοινὰ καὶ τούτοις καὶ ἐκείναις ἴσως. οὐ δὲ προσήκει γινώσκειν, ὅτι πλείονα καὶ περισσοτέραν ἀπαιτεῖ τὴν εὐσχημοσύνην ὁ ἐν γυναιξὶ βίος, καὶ τὸ τῆς ἀκτημοσύνης κατόρθωμα, καὶ τὸ τῆς ἡσυχίας, καὶ τὸ τῆς ὑπακοῆς, καὶ τὸ τῆς φιλαδελφίας, καὶ ἡ περὶ τὴν πρόοδον ἀκρίβεια, καὶ ἡ τῶν συντυχιῶν παραφυλακή, καὶ ἡ πρὸς ἀλλήλας διάθεσις, καὶ τὸ μὴ ἔχειν τὰς μερικὰς ἑταιρείας. ἐν πᾶσι γὰρ τούτοις μετὰ πλείονος σπουδῆς ὁ τῶν παρθένων ὀφείλει κατορθοῦσθαι βίος. ἡ πεπιστευμένη τὴν ἐπιταξίαν, μὴ τὸ ἡδὺ ταῖς ἀδελφαῖς ζητείτω, μηδὲ σπουδαζέτω κεχαρισμένη αὐταῖς διὰ τῶν καταθυμίων εἶναι, ἀλλὰ τὸ σεμνόν τε καὶ τὸ φοβερὸν καὶ τὸ αἰδέσιμον περὶ αὐτὴν πάντοτε ἔστω. εἰδέναι γὰρ αὐτὴν χρή, ὅτι τῶν παρὰ τὸ δέον ἐν τῷ κοινῷ πλημμελουμένων, ἐκείνη ἐπὶ θεοῦ τὸν λόγον ὑφέξει. καὶ ἑκάστη τῶν ἐν τῷ πληρώματι τῆς συνοδίας μὴ τὸ ἡδὺ ζητείτω παρὰ τῆς καθηγουμένης, ἀλλὰ τὸ ὠφέλιμόν τε καὶ χρήσιμον. μὴ δὲ συζητείτω περὶ τῶν ἐγκελευομένων, ἡ γὰρ τοιαύτη συνήθεια, μελέτη καὶ ἀκολουθία τῆς ἀναρχίας γίνεται. ἀλλ' ὥσπερ τὰς ἐντολὰς τοῦ κυρίου ἀνεξετάστως δεχόμεθα, εἰδότες, ὅτι πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμός ἐστιν, οὕτω καὶ ἡ ἀδελφότης τὰ παραγγέλματα τῆς προκαθηγουμένης ἀδιακρίτως δεχέσθω, πᾶν τὸ συμβουλευόμενον μετὰ προθυμίας ἐπιτελοῦσα. μὴ ἐκλύτως, ἢ ἐξ ἀνάγκης, ἵνα γένηται αὐτῇ ἔμμισθος ἡ ὑπακοή. ἀνεχέσθω δὲ μὴ μόνον τὰ εἰς τὴν ἀκρίβειαν διδασκόμενα, ἀλλὰ καὶ ἄν που νηστείαν κωλύσῃ ἡ διδάσκαλος, ἢ μετάληψιν τῆς ἀναληπτικῆς τροφῆς συμβουλεύσῃ, ἢ καὶ ἄλλο τι τῶν εἰς ἄνεσιν φερόντων τῆς χρείας ἀπαιτούσης ἀνυφηγήσηται, πάντα ὁμοίως ἐπιτελείτω, πεπεισμένη ὅτι τὸ παρ' ἐκείνης λεγόμενον νόμος ἐστίν. ὅταν δὲ κατὰ ἀνάγκην τινὰ δέῃ γενέσθαι λόγον περί τινος τῶν ὑπὸ τῆς χρείας ἐπιζητουμένων, εἴτε πρὸς ἄνδρα τινά, εἴτε πρὸς τὸν ἔχοντα τὴν φροντίδα, εἴτε καὶ πρὸς ἄλλον τὸν δυνάμενόν τι χρησιμεῦσαι πρὸς τὸ ἐπιζητούμενον πρᾶγμα, προσήκει παρὰ τῆς προκαθηγουμένης γίνεσθαι τὸν λόγον, συμπαρούσης αὐτῇ μιᾶς ἢ δευτέρας τῶν ἀδελφῶν, αἷς ἤδη διὰ βίου καὶ χρόνου ἀκίνδυνόν ἐστι τὸ εἰς ὄψιν καὶ ὁμιλίαν τινὸς ἐλθεῖν. εἰ δέ τις νοεῖ τι καθ' ἑαυτὴν χρήσιμον, τῇ προκαθηγουμένῃ ὑποβαλλέτω, καὶ δι' ἐκείνης λαληθήσεται ὃ δεῖ λαληθῆναι.

Τοῦ αὐτοῦ ὅροι κατὰ πλάτος.

Ἐπειδὴ θεοῦ χάριτι, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συνεληλύθαμεν εἰς ταυτόν, οἱ ἕνα καὶ τὸν αὐτὸν σκοπὸν τοῦ βίου τοῦ κατ' εὐσέβειαν ἐνστησάμενοι· καὶ ὑμεῖς μὲν πρόδηλοι ἐστὲ μαθεῖν τι τῶν πρὸς σωτηρίαν ἐπιποθοῦντες, ἐμοὶ δὲ ἀνάγκη ἀναγγέλλειν τὰ δικαιώματα τοῦ θεοῦ, νύκτας καὶ ἡμέρας μεμνημένῳ τοῦ ἀποστόλου λέγοντος· ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. καιρὸς δὲ ἐπιτηδειότατος ἡμῖν ὁ παρών, καὶ τόπος οὗτος ἡσυχίαν παρέχων καὶ σχολὴν πᾶσαν ἀπὸ τῶν ἔξωθεν θορύβων, συνευξώμεθα ἀλλήλοις, ὥστε ἡμᾶς μὲν ἐν καιρῷ τοῖς συνδούλοις ἡμῶν δοῦναι τὸ σιτομέτριον. ὑμᾶς δὲ λαβόντας τὸν λόγον, ὡς τὴν ἀγαθὴν γῆν, τέλειον καὶ πολυπλάσιον τὸν ἐν δικαιοσύνῃ καρπὸν ἀποδοῦναι, καθὼς γέγραπται. παρακαλῶ οὖν ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ ἡμῶν, ἁψώμεθά ποτε τῆς φροντίδος τῶν ψυχῶν ἡμῶν. λυπηθῶμεν ἐπὶ τῇ ματαιότητι τοῦ προλαβόντος βίου. ἀγωνισώμεθα ὑπὲρ τῶν μελλόντων εἰς δόξαν τοῦ θεοῦ, καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ τοῦ προσκυνητοῦ καὶ ἁγίου πνεύματος. μὴ τῇ ῥᾳθυμίᾳ, καὶ τῇ ἐκλύσει ταύτῃ ἐναπομείνωμεν. καὶ τὸ μὲν παρὸν ἀεὶ διὰ ῥᾳθυμίας προϊέμενοι, πρὸς δὲ τὸ αὔριον καὶ τὸ ἐφεξῆς τὴν ἀρχὴν τῶν ἔργων ὑπερτιθέμενοι, εἶτα καταληφθέντες ὑπὸ τοῦ ἀπαιτοῦντος τὰς ψυχὰς ἡμῶν, ἀπαρασκεύαστοι τῶν ἀγαθῶν ἔργων, τῆς μὲν χαρᾶς τοῦ νυμφῶνος ἀποβληθῶμεν, ἀργὰ δὲ καὶ ἀνόνητα μετακλαύσωμεν, τὸν κακῶς παρελθόντα τοῦ βίου χρόνον ὀδυρόμενοι τότε, ὅτε πλέον οὐδὲν ὄφελος τοῖς μεταμελομένοις. νῦν καιρὸς εὐπρόσδεκτος φησὶν ὁ ἀπόστολος, νῦν ἡμέρα σωτηρίας. οὗτος ὁ αἰὼν τῆς μετανοίας, ἐκεῖνος τῆς ἀνταποδόσεως. οὗτος τῆς ἐργασίας, ἐκεῖνος τῆς μισθαποδοσίας. οὗτος τῆς ὑπομονῆς, ἐκεῖνος τῆς παρακλήσεως. νῦν βοηθὸς τῶν ἐπιστρεφόντων ἀπὸ ὁδοῦ κακῆς ὁ θεός. τότε φοβερὸς καὶ ἀπαραλόγιστος τῶν ἀνθρωπίνων πραγμάτων καὶ ἐνθυμημάτων ἐξεταστής. νῦν τῆς μακροθυμίας ἀπολαύομεν, τότε τὴν δικαιοκρισίαν γνωρίσομεν, ὅταν ἀνα-

Πεπληροφορείσθωσαν τοίνυν οὐδὲ ἀργήσει πάντα τὰ μερικὰ θελήματα. πρὸς δὲ τὸ περιέχον πάν-
τες οἱ ἐφεξῆς τυπωθήσονται, πειθόμενοι τῷ ἀποστολικῷ παραγγέλματι τῷ κελεύοντι·
» πᾶσαν ψυχὴν ἐξουσίαις ὑπερεχούσαις ὑποτάσσεσθαι· καὶ ὅτι οἱ ἀνθεστηκότες ἑαυτοῖς κρί-
» μα λήψονται. ἡ δὲ ἀληθὴς καὶ τελεία ὑπακοὴ τῶν ὑποχειρίων πρὸς τὸν καθηγούμενον, ἐν τού-
τῳ δείκνυται, ἐν τῷ μὴ μόνον τῶν ἀτόπων κατὰ τὴν συμβουλὴν τοῦ προεστῶτος ἀπέχεσθαι,
ἀλλὰ μὴ δὲ αὐτὰ τὰ ἐπαινετὰ χωρὶς τῆς ἐκείνου γνώμης ποιεῖν. ἡ γὰρ ἐγκράτεια, καὶ πᾶ-
σα ἡ σωματικὴ κακοπάθεια πρός τι χρησίμως ἔχει· ἀλλ' ἐάν τις ταῖς ἰδίαις ὁρμαῖς ἀκολου-
θῶν, τὸ ἀρεστὸν αὐτῷ ποιῇ, καὶ συμβουλεύοντι τῷ προεστῶτι μὴ πείθηται, μεῖζον τοῦ κατορ-
» θώματος ἔσται τὸ πλημμελούμενον. ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ θεοῦ διαταγῇ
» ἀνθέστηκεν. καὶ ὁ τῆς ὑπακοῆς μισθὸς μείζων τοῦ κατὰ τὴν ἐγκράτειαν ἐστὶ κατορθώματος.
Οὕτω δὲ προσήκει κοινὴν καὶ ἴσην πᾶσι πρὸς ἀλλήλους τὴν ἀγάπην εἶναι, ὡς φυσικῶς πρὸς
τὰ καθ' ἕκαστον ἑαυτοῦ μέλη ὁ ἄνθρωπος ἔχει. ἐπίσης θέλων παντὶ τῷ σώματι τὴν
ὑγείαν. διότι καὶ ὁ πόνος ἑκάστου μέλους ἴσην παρέχει τῷ σώματι τὴν ἀηδίαν.
Ἀλλ' ὥσπερ ἐν ἡμῖν αὐτοῖς, ὁ μὲν πόνος ἑκάστου τῶν ἀρρωστούντων μελῶν ἴσα ἅπτεται τοῦ
παντὸς σώματος, ἔστι δὲ ὅμως ἕτερα ἑτέρων τιμιώτερα μέλη. οὐ γὰρ ὁμοίως ὧδε τὸν ὀφθαλ-
μὸν καὶ ὧδε τὸν τοῦ ποδὸς δάκτυλον ἔχομεν, κἂν ὁ πόνος τὸ ἴσον ἔχῃ, οὕτω τὴν μὲν συμπα-
θῆ διάθεσιν, καὶ τὴν ἀγαπητικὴν σχέσιν ἴσην πάντων τῶν ἐν τῇ συνοδίᾳ ζώντων εἶναι παρ' ἑ-
κάστου προσήκει. ἡ δὲ τιμὴ κατὰ τὸ ἀνάλογον ἐστὶ τὸν χρησιμώτερον τὸ πλεῖον ἕξει. ἐπειδὴ δὲ
ὀφείλεται πάντως ἐστὶ τοῦ ἀλλήλους ἀγαπᾶν τῷ ἴσῳ μέτρῳ τῆς διαθέσεως, ἀδίκημά ἐ-
στιν ἐν συνοδίᾳ [illegible] ἰδιαζούσας τινὰς φατρίας καὶ συσκηνίας. ὁ γὰρ τὸν ἕνα ὑπὲρ τοὺς
ἄλλους ἀγαπῶν, κατηγορεῖ ἑαυτοῦ, ὡς ἐν τοῖς ἄλλοις μὴ ἔχων τὴν τελείαν ἀγάπην. ὁμοίως
οὖν ἀπόβλητος ἔστω ἀπὸ συνοδίας, ἥ τε ἀπρεπὴς μάχη, καὶ ἡ μερικὴ διάθεσις. ἀπὸ μὲν
γὰρ τῆς μάχης ἔχθρα γίνεται, ἀπὸ δὲ τῆς μερικῆς φιλίας καὶ ἑταιρείας, ὑποψίαι καὶ φθό-
νοι γίνονται. πανταχοῦ γὰρ ἡ τοῦ ἴσου στέρησις ἀρχὴ καὶ ὑπόθεσις φθόνου καὶ δυσμενείας τοῖς
ἐλαττουμένοις γίνεται. διὰ τοῦτο καὶ ἐντολὴν παρὰ κυρίου ἐλάβομεν, μιμεῖσθαι τὴν ἀγαθότη-
τα αὐτοῦ, ὁμοίως τὸν ἥλιον δικαίοις τε καὶ ἀδίκοις ἐπανατέλλοντος. ὥσπερ οὖν ὁ θεὸς κοινὴν δί-
δωσι πᾶσι τοῦ φωτὸς τὴν μετουσίαν, οὕτω καὶ οἱ μιμηταὶ τοῦ θεοῦ κοινήν τε καὶ ὁμότιμον τὴν τῆς
ἀγάπης ἀκτῖνα ἐπὶ πάντας φερέτωσαν. ὅπου γὰρ ἐλλείπει ἡ ἀγάπη, ἐκεῖ πάντως ἀντεισέρ-
χεται τὸ μῖσος. εἰ δέ, καθώς φησιν Ἰωάννης, ὁ θεὸς ἀγάπη ἐστίν, ἀνάγκη πᾶσα τὸ μῖσος εἶναι τὸν
διάβολον. ὥσπερ οὖν ὁ τὴν ἀγάπην ἔχων, τὸν θεὸν ἔχει, οὕτως ὁ τὸ μῖσος ἔχων, τὸν διάβο-
λον ἐν ἑαυτῷ περιφέρει. διὰ τοῦτο προσήκει τὴν μὲν ἀγάπην ἴσην καὶ ὁμοίαν παρὰ πάντων
τοῖς πᾶσιν εἶναι· τὴν δὲ τιμὴν ἑκάστῳ κατὰ τὸ πρέπον γίνεσθαι. ἐπὶ δὲ τῶν οὕτως ἀλλή-
λοις συναρμοζομένων, ἡ σωματικὴ συγγένεια οὐδὲν πλέον κατὰ τὴν ἀγάπην ἕξει, οὐδὲ εἴ τις
ἀδελφὸς τινὸς κατὰ σάρκα εἴη, ἢ υἱός, ἢ θυγάτηρ, ἐν πλείονι διαθέσει πρὸς τὸν τῷ γένει προ-
σήκοντα παρὰ τοὺς ἄλλους γενήσεται ἡ κοινωνία τοῦ αἵματος. ὁ γὰρ ἐν τούτοις τῇ φύσει
ἀκολουθῶν, κατηγορεῖ ἑαυτοῦ, ὅτι οὔπω τελέως ἀπέστη τῆς φύσεως, ἀλλ' ἔτι ὑπὸ σαρ-
κὸς διοικεῖται. λόγος δὲ ἀνωφελής, καὶ ὁ διὰ τῆς πρὸς ἀλλήλους ὁμιλίας μετεωρισμὸς
ἄκαιρος ἀπειρημένος ἔστω. ἀλλ' εἴ τι χρήσιμον πρὸς οἰκοδομὴν τῶν ψυχῶν, τοῦτο προσήκει
λαλεῖσθαι μόνον, καὶ αὐτὰ τὰ χρήσιμα εὐτάκτως κατὰ τὸν πρέποντα καιρὸν λαλεῖ-
σθαι παρὰ τῶν τοιούτων προσώπων, οἷς ἐπιτέτραπται τὸ λαλεῖν. εἰ δέ τις τῶν ὑπο-
δεεστέρων εἴη, ἀναμενέτω τὴν προτροπὴν τοῦ ὑπερέχοντος. οἱ δὲ ψιθυρισμοί, καὶ αἱ
πρὸς τὸ οὖς ὁμιλίαι, καὶ αἱ διὰ τῶν νευμάτων σημασίαι, πάντα ταῦτα ἀποβλη-
τα ἔστω, διότι τὴν τῆς καταλαλιᾶς ὑποψίαν ὁ ψιθυρισμὸς ἔχει. καὶ ἡ διὰ τοῦ νεύμα-
τος σημασία οὐ δεῖξιν παρέχει τῷ ἀδελφῷ λανθάνοντος πράγματός τινος σκαιωρίας.
τὰ δὲ τοιαῦτα μίσους ἀρχὴ, καὶ ὑποψίας γίνεται. ὅταν δὲ πρὸς ἀλλήλους ἡ τὶς κα-
τὰ ἀνάγκην γινομένη διάλεξις, τὸ μέτρον τῆς φωνῆς ἐν χρείᾳ ποιείτω. ὥστε τῷ μὲν ἐγ-
γὺς ὄντι πρᾳοτέρᾳ τῇ φωνῇ διαλέγεσθαι, τὸν δὲ πόρρωθεν ὄντα μείζονι προσκαλεῖσθαι
τῇ φωνῇ. τὸν δὲ συμβουλεύοντά τινι, ἢ ἐγκελευόμενον περί τινος, μείζονι καὶ καταπληκτικω-
τέρᾳ φωνῇ κεχρῆσθαι ὡς ὑβριστικὸν, ἐν συνοδίᾳ μὴ ἔστω. πρόοδος δὲ, πλὴν τῶν τεταγμέ-
νων καὶ ἀναγκαίων ἐξόδων, ἀπὸ ἀσκητηρίου οὐκ ἔστιν. ἐπειδὴ δὲ οὐκ ἀνδρῶν μόνον ἀ-

ἡ ἐκ τῆς ἡλικίας διαφορά, καὶ ἀφορμὴ πάθους τοῖς ἐντυγχάνουσι γίνεται. εἰ οὖν τις νεά-
ζοι κατὰ τὸ ἄνθος τοῦ σώματος, ἀφανῆ τὴν τοιαύτην ποιείτω συσχημοσύνην ἀποκρυπτό-
μενος, ἕως ἂν εἰς τὴν πρέπουσαν κατάστασιν τὸ φαινόμενον ἔλθῃ. ὀργῆς, ἢ μνησικακίας,
ἢ φθόνου, ἢ φιλονεικίας ἔστω μηδὲν, ἢ σχῆμα, ἢ κίνημα. μὴ ῥῆμα, μὴ βλέμματος σύστα-
σις, ἢ προσώπου διάθεσις, ἢ ἔτι ἄλλο ἀποκαλεῖν πέφυκε πρὸς ὀργὴν τὸν συζῶντα. εἰ δέ
τινι τούτων συνενεχθείη, τὸ περιπεπονθέναι τι τῶν λυπούντων οὐχ ἱκανόν ἐστιν εἰς ἀπο-
λογίαν τοῦ πλημμελήματος, ἐν ᾧ τις ἐνέχεται. τὸ γὰρ κακὸν ἐν οἷς δήποτε χρόνοις τολμώ-
μενον, ἐπίσης ἐστὶ κακόν. ὅρκος ἅπαξ ἐξορισθήτω τοῦ καταλόγου τῶν ἀσκουμένων. ἡ δὲ
κατάνευσις τῆς κεφαλῆς, καὶ ἡ διὰ τῆς φωνῆς συγκατάθεσις ἀντὶ ὅρκου κρινέσθω, καὶ τῷ
λέγοντι καὶ τῷ ἀκούοντι. εἰ δέ τις ἀπιστήσειε τῷ ψιλῷ διαβεβαιώσει κατηγορίαν τοῦ ἰδίου
συνειδότος παρέχεται, ὡς οὐ κατορθώσας τὸ ἀψευδὲς ἐν λόγῳ, καὶ διὰ τοῦτο ἐν τοῖς πλημ-
μελοῦσι ταχθήσεται ὑπὸ τοῦ προκαθηγουμένου, καὶ ἐπιτιμίοις θεραπεύοντι σωφρονι-
σθήσεται, τῆς ἡμέρας παρελθούσης, καὶ παντὸς ἔργου εἰς πέρας ἐλθόντος, σωματι-
κοῦ τε καὶ πνευματικοῦ, πρὸ τῆς ἀναπαύσεως ἀνακρίνεσθαι προσήκει τὸ συνειδὸς ἑκά-
στου ὑπὸ τῆς ἰδίας καρδίας, καὶ εἴ τι γέγονε παρὰ τὸ δέον ἢ ἐνθύμημα τῶν ἀπηγορευ-
μένων, ἢ λόγος ἔξω τοῦ καθήκοντος, ἢ περὶ τὴν προσευχὴν ῥᾳθυμία. ἢ ἀκηδιασμὸς τῆς
ψαλμῳδίας, ἢ τοῦ κοινοῦ βίου ἐπιθυμία, μὴ ἐπικρυπτέσθω τὸ πλημμέλημα, ἀλλὰ τῷ
κοινῷ ἐξαγγελλέτω, ὡς ἂν διὰ κοινῆς προσευχῆς θεραπευθῇ τὸ πάθος τοῦ συνενεχθέν-
τος τῷ τοιούτῳ κακῷ.

Τοῦ αὐτοῦ λόγος ἀσκητικός.

Ὁ ἀσκητικὸς βίος ἕνα σκοπὸν ἔχει, τὴν τῆς ψυχῆς σωτηρίαν, καὶ πᾶν τὸ δυνάμενον πρὸς
αὐτὴν συνεργῆσαι τὴν πρόθεσιν ὡς θείαν ἐντολὴν, οὕτω μετὰ φόβου παραφυλάττειν.
οὐδὲ γὰρ αὐταὶ αἱ ἐντολαὶ τοῦ θεοῦ πρὸς ἄλλό τι βλέπουσιν, εἰ μὴ πρὸς τὸ σωθῆναι τοὺς
ὑπακούοντας. χρὴ τοίνυν καθάπερ οἱ εἰς τὸ λουτρὸν εἰσιόντες γυμνοῦνται παντὸς πε-
ριβλήματος, οὕτω καὶ τοὺς τῇ ἀσκητικῇ προσερχομένους ζωῇ, πάσης ὕλης βιωτικῆς γυ-
μνωθέντας ἐντὸς τοῦ κατὰ φιλοσοφίαν γενέσθαι βίου. τὸ μὲν οὖν προηγούμενον ἐστὶν, καὶ
οὗ μάλιστα προσήκει τὸν χριστιανὸν ἐπιμελεῖσθαι γυμνωθῆναι τὰ κατὰ τὴν κακίαν πά-
θη, τὰ ποικίλα τε καὶ διάφορα, δι᾽ ὧν μολύνεται ἡ ψυχή. χρὴ δὲ κατὰ δεύτερον λό-
γον καὶ τὴν τῶν ὑπαρχόντων ἀποταγὴν κατορθωθῆναι τῷ πρὸς τὸν ὑψηλὸν ἀποβλέ-
ποντι βίον, διότι πολὺν παρέχει περισπασμὸν τῇ ψυχῇ ἡ τῶν ὑλικῶν πραγμάτων
φροντίς τε καὶ ἐπιμέλεια. ὅταν οὖν πλείους πρὸς τὸν αὐτὸν βλέποντες τῆς σωτηρίας
σκοπὸν, τὴν μετ᾽ ἀλλήλων ζωὴν καταδέξωνται, χρὴ τοῦτο πρὸ πάντων ἐν αὐτοῖς κρα-
τηθῆναι, τὸ, μίαν ἐν πᾶσι καρδίαν εἶναι, καὶ θέλημα ἓν, καὶ μίαν ἐπιθυμίαν. καὶ κα-
θὼς νομοθετεῖ ὁ ἀπόστολος, ἓν γενέσθαι σῶμα ἐκ διαφόρων μελῶν συνηρμοσμένον πᾶν
τὸ πλήρωμα τῆς συνοδίας. τοῦτο δὲ οὐκ ἔστιν ἄλλως κατορθωθῆναι, εἰ μὴ ἐκεῖνο κρατή-
σειε, τὸ μὴ ἐπονομάζεσθαί τινι ἀποτεταγμένως μήτε ἱμάτιον, μήτε σκεῦος, μήτε ἄλ-
λό τι, τῶν εἰς τὴν κοινὴν ζωὴν χρησιμευόντων, ἵνα ἕκαστον τούτων τῆς χρείας ᾖ, καὶ μὴ
τοῦ κεκτημένου. καὶ ὥσπερ ἀνάρμοστον ἐστὶ τῷ μείζονι σώματι τὸ μικρὸν ἱμάτιον, ἢ τῷ
μικροτέρῳ τὸ τελειότερον, ἀλλ᾽ ἑκάστῳ τὸ σύμμετρόν ἐστι, καὶ ἐπωφελὲς, καὶ ἐνάρ-
μοστον, οὕτω καὶ τὰ ἄλλα πάντα, ἡ κλίνη, τὰ στρώματα, τὸ θερμὸν περιβόλαιον, τὸ ὑπό-
δημα τοῦ πάνυ χρῄζοντος. οὐχὶ τοῦ κεκτημένου εἶναι ὀφείλει. καθάπερ γὰρ τῷ φαρμάκῳ ὁ
τραυματισθεὶς, οὐχ ὁ ὑγιαίνων κέχρηται, οὕτω καὶ τῶν πρὸς τὴν ἄνεσιν τοῦ σώματος ἐ-
πινοουμένων, οὐχ ὁ τρυφῶν, ἀλλ᾽ ὁ χρῄζων τῆς ἀνέσεως ἀπολαυέτω. ἐπειδὴ δὲ ποικίλα
τὰ τῶν ἀνθρώπων ἤθη ἐστὶ, καὶ οὐ πάντες ὁμοίως περὶ τῶν χρησίμων βουλεύονται, ἵνα μήτις ἀκα-
ταστασία ᾖ, ἑκάστου κατὰ τὸ ἴδιον θέλημα πολιτευομένου, προσήκει τὸν ἐν πᾶσι τῶν συνέ-
σει καὶ εὐσταθείᾳ, καὶ τῇ κατὰ τὴν ζωὴν ἀκριβείᾳ μεμαρτυρημένον διαφέρειν, τοῦτον προΐστα-
σθαι εἰς τὸ καθηγήσασθαι τῶν ἄλλων, ἵνα τὸ ἐν τούτῳ ἀγαθὸν κοινὸν πάντων τῶν μιμουμένων
γένηται. ὥσπερ γὰρ εἰ πλείονες ζωγράφοι ἑνὸς προσώπου χαρακτῆρα γράφοιεν, πᾶσαι αἱ
εἰκόνες ὁμοίως πρὸς ἀλλήλας ἕξουσι διὰ τὸ, τῷ ἑνὶ ὁμοιωθῆναι, οὕτω τὰ πολλὰ ἤθη, εἰ
πρὸς τὴν τοῦ ἑνὸς μίμησιν βλέποι, πᾶσιν ὁμοίως ὁ ἀγαθὸς τοῦ βίου χαρακτὴρ ἐπιλάμψει.

βλέπειν ἐλλείψεως. ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην, πρὸς τὴν τῆς ὀδύνης αἴσθησιν ἀφο-
ρᾶται καὶ ἐπικλίνεται, συνταπεινουμένη τῇ κακοπαθείᾳ τοῦ σώματος. ἔστω τοίνυν ἡ
χρῆσις τῇ χρείᾳ σύμμετρος, καὶ ὁ οἶνος μήτε βδελυκτὸς ἔστω εἰ πρὸς θεραπείαν παρα-
λαμβάνοιτο, μήτε σπουδαζέσθω χωρὶς ἀνάγκης, καὶ τὰ ἄλλα πάντα ὡσαύτως ταῖς
χρείαις, μὴ ταῖς ἐπιθυμίαις ὑπηρετείτω τῶν ἀσκουμένων. προσευχῆς καιρὸς ἔστω ἅπας
ὁ βίος. μάλιστα ἐπειδὴ χρήποτε διαλείμμασι τὸ σύντονον τῆς ψαλμῳδίας καὶ τῆς γονυ-
κλισίας διαναπαύειν, ἀκολουθητέον τοῖς παρὰ τῶν ἁγίων τετυπωμένοις εἰς προσευχὴν
» ὥραις. φησὶ τοίνυν ὁ μέγας Δαβίδ. ὅτι μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι
» ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. ᾧ καὶ παῦλος καὶ σίλας ἀκολουθοῦντες εὑρίσκον-
ται, κατὰ τὸ μεσονύκτιον ἐν τῷ δεσμωτηρίῳ τὸν θεὸν αἰνοῦντες. εἶτα φησὶν ὁ αὐτὸς προ-
φήτης. ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας. ἀλλὰ καὶ ἡ τοῦ ἁγίου πνεύματος παρουσία, κα-
τὰ τὴν τρίτην γίνεται ὥραν καθὼς ἐν ταῖς πράξεσι μεμαθήκαμεν. ὅτι διαχλευαζόντων
» ἐν τῇ ποικίλῃ τῶν γλωσσῶν ἐνεργείᾳ τῶν φαρισαίων τοὺς μαθητάς, φησὶν ὁ πέτρος. μὴ
» μεθύειν τοὺς τοιούτους λαλοῦντας. ὥρα γάρ ἐστι τρίτη. ἡ δὲ ἐνάτη τοῦ δεσποτικοῦ πάθους
» ἐστὶ μνημόσυνον τοῦ ὑπὲρ τῆς ἡμετέρας ζωῆς γενομένου. ἀλλ᾽ ἐπειδὴ φησὶν ὁ Δαβίδ, ὅτι
ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. οἱ δὲ μνημονευθέντες
τῆς προσευχῆς καιροί, οὐ πληροῦσι τὴν ἑβδομάδα τῶν προσευχῶν, τὴν μεσημβρινὴν
προσευχὴν διατμητέον. καὶ τὴν μὲν, πρὸ τοῦ προσενέγκασθαι τὴν τροφήν. τὴν δὲ,
μετὰ τὸ προσενέγκασθαι. ὥστε γενέσθαι καὶ ἡμῖν ἐν τύπῳ, τὸ, ἑπτάκις τῆς ἡμέρας αἰνεῖν
τὸν θεὸν, κατὰ πᾶσαν τῆς ἡμέρας περίοδον. αἱ εἴσοδοι τῶν ἀσκητηρίων ταῖς μὲν γυναι-
ξὶν ἀποκεκλείσθωσαν. ἄνδρες δὲ, μὴ πάντες εἰσίτωσαν. ἀλλ᾽ ὅσοι ἂν ὑπὸ τοῦ κα-
θηγουμένου καταπιστευθῶσι τὴν εἴσοδον. πολλάκις γὰρ ἡ ἀδιαφορία τοῦ εἰσιόντος, ἀκαί-
ρων λόγων καὶ ἀνωφελῶν διηγημάτων ἀκολουθίαν ταῖς καρδίαις ἐντίθησιν εἰς ματαίας
τε καὶ ἀνωφελεῖς διανοίας, ἐκ τῶν ματαίων λόγων ἐκβάλλει. καὶ διὰ τοῦτο νόμος ἔστω
κοινὸς, μόνον ἐρωτᾶσθαι τὸν καθηγούμενον καὶ ἀποκρίνεσθαι ὑπὲρ ὧν προσήκει γενέ-
σθαι τινὰ κατὰ ἀνάγκην λόγον. τοὺς δὲ λοιποὺς μὴ ἀποκρίνεσθαι, τοῖς ἀδολεσχοῦσιν
ἐν ὁμιλίαις ματαίαις, ἵνα μὴ συγκαθελκυσθῇ πρὸς τὴν ἀργῶν ῥημάτων ἀκολουθίαν.
ἀποθήκη δὲ τοῖς πᾶσιν ἔστω μία κοινὴ, καὶ μηδὲν ἴδιον ἑκάστου ὀνομαζέσθω. μὴ ἱμάτιον,
μὴ ὑπόδημα, μὴ ἄλλο τι τῶν πρὸς τὴν ἀναγκαίαν χρείαν τοῦ σώματος. ἀλλ᾽ ἐν τῇ ἐ-
ξουσίᾳ τοῦ καθηγουμένου χρῆσις ἔστω ἐκ τῶν κοινῶν τὸ κατ᾽ ἄλληλον ἑκάστου χρησιμεῦον,
κατὰ τὴν τοῦ προηγουμένου ὑφήγησιν. ἐν δὲ τῇ κοινῇ ταύτῃ συσκηνίᾳ, μερικὰς φι-
λίας καὶ ἑταιρείας ὁ τῆς ἀγάπης θεσμὸς οὐ συγχωρεῖ. ἀνάγκη γὰρ πᾶσαν τὰς ἐν μέρει γι-
νομένας προσπαθείας, εἰς πολλὰ βλάπτειν τὴν κοινὴν συμφωνίαν. νῦν δὲ τῷ μέτρῳ
τῆς διαθέσεως, πάντας προσήκει πρὸς ἀλλήλους βλέπειν, καὶ οὐ μέτρον τῆς ἀγάπης
ἐπὶ παντὸς κρατεῖν τοῦ πληρώματος. εἰ δέ τις ἁλωθῇ πλείονι σχέσει ἀγαπητικῶς ἔχων
πρὸς μοναχὸν ἀδελφὸν, ἢ συγγενῆ, ἢ πρὸς ἄλλον τινὰ δι᾽ οἵαν δή ποτε πρόφασιν, ὡς τὸ
κοινὸν ἀδικῶν, σωφρονιζέσθω. ὁ γὰρ πλεονασμὸς τῆς διαθέσεως ἐπὶ τοῦ ἑνὸς προσώπου,
κατηγορίαν ἔχει τῆς ἐπὶ τῶν ἄλλων ἐλλείψεως πολλήν. τὰ δὲ ἐπιτίμια ἐπὶ πλημμελείᾳ
τινὶ καταγνωσθέντος, πρὸς μέτρον τοῦ ἁμαρτήματος ἔστω. καὶ τὸ κωλυθῆναι συστῆναι
εἰς ψαλμῳδίαν. καὶ τὸ μὴ παραδεχθῆναι εἰς τὴν τῆς εὐχῆς κοινωνίαν. καὶ τὸ ἀπόβλητον γενέ-
σθαι εἰς τὴν τῆς τροφῆς μετουσίαν. ἐν ᾧ καὶ τὴν ποσότητα τοῦ σφάλματος ὁρίσει τὸ
ἐπιτίμιον τῷ ἐξαμαρτάνοντι, ὁ ἐπιστατεῖν ταχθεὶς τῇ κοινῇ διαταξίᾳ. ἡ δὲ ὑπηρεσία γι-
νέσθω τῇ κοινῇ συνῳδίᾳ ἐκ περιόδου, δύο κατ᾽ ἀκολουθίαν ἐν ἑβδομάδι μιᾷ πᾶσαν τὴν
ὑπὸ τῆς χρείας ἐπιζητουμένην σπουδὴν ἐκτελούντων, ἵνα καὶ ὁ μισθὸς τῆς ταπεινοφρο-
σύνης κοινὸς ᾖ, καὶ μὴ ἐξῇ τινὶ, μὴ δὲ ἐν τῷ καλῷ πλεονεκτεῖν τὴν συνῳδίαν, καὶ ἡ ἀνά-
παυσις ἐν τῷ ἴσῳ πᾶσιν ὑπάρχῃ. τὸ γὰρ ἐν μέρει κοπιοῦσθαι, καὶ ἐν μέρει διαναπαύε-
σθαι ἀνεπαίσθητον τοῖς κάμνουσι τὸν κόπον ποιεῖ. ἐξουσίαν ἔχει ὁ προεστὼς τοῦ τάγ-
ματος, καὶ ἐπὶ ἀναγκαίας προόδους τοὺς κατὰ γνώμην προσάγειν. καὶ προστάσσειν
οἷς ἂν συμφέρῃ τὸ οἰκουρεῖν, καὶ ἐντὸς τοῦ οἴκου μένειν. πολλάκις γὰρ τοῖς νέοις σώ-
μασι καὶ ὅτι μάλιστα ἡ ἐκ τῆς ἐγκρατείας κακοπάθεια σπουδάζηται, ἐπανθεῖ πως

τὴν θείαν ἐμποδίζει ζωήν. πρὸς ταῦτα τοίνυν χρὴ βλέπειν τὸν ἀποταξάμενον τῷ βίῳ, ὡς μηδενὶ τρόπῳ τὸ τοῦ σώματος σκεῦος ἑαυτοῦ τῇ ἐμπαθεῖ χρήσει καταμολύνειν. λογίζεσθαι δὲ ἐκεῖνα μάλιστα χρή, ὅτι διαβὰς τὰ μέτρα τῆς ἀνθρωπίνης φύσεως, πρὸς τὴν ἀσώματον πολιτείαν ἑαυτὸν μετέστησεν, ὁ τὸν τῶν ἀγγέλων βίον ἑλόμενος. ἴδιον γὰρ τοῦτο τῆς ἀγγελικῆς ἐστὶ φύσεως τὸ, ἀπηλλάχθαι τῆς γαμικῆς συζυγίας. μὴ δὲ πρὸς ἄλλο τι κάλλος μετεωρίζεσθαι, ἀλλ' εἰς τὸ θεῖον πρόσωπον διηνεκῶς ἀτενίζειν. ὁ τοίνυν πρὸς τὴν ἀγγελικὴν ἀξίαν μεταταξάμενος, εἰ τοῖς ἀνθρωπίνοις ἐμμολύνοιτο πάθεσιν, ὅμοιός ἐστι δορᾷ παρδάλεως, ἧς οὔτε λευκὴ παντελῶς ἡ θρίξ, οὔτε μέλαινα δι' ὅλου, ἀλλὰ τῇ μίξει τῶν ἑτεροχροούντων διεστιγμένη, οὔτε ἐν τοῖς μέλασιν, οὔτε ἐν τοῖς λευκοῖς ἀριθμεῖται. ταῦτα μὲν οὖν κοινοτέρα τις ἔστω παραγγελία τῶν τὸν ἐγκρατῆ καὶ ἁγνὸν βίον προῃρημένων. ἐπειδὴ δὲ χρὴ καὶ περὶ τῶν καθ' ἕκαστον ἀκριβῶς διελέσθαι, ἀναγκαῖον ἂν εἴη δι' ὀλίγων καταλιπεῖν καὶ περὶ τούτων ὑπόμνημα, οἳ χωρισθέντες τοῦ κοινοῦ βίου, καὶ πρὸς τὴν θεοτέραν ζωὴν ἑαυτοὺς ἀσκοῦντες, μὴ ἐφ' ἑαυτῶν, μὴ δὲ καταμόνας ἀσκεῖσθαι ὤφειλον. ἐμμάρτυρον γὰρ εἶναι προσήκει τὸν τοιοῦτον βίον, ὡς ἂν ἐκτὸς εἶναι πονηρᾶς ὑποψίας. καὶ ὥσπερ ὁ πνευματικὸς νόμος οὐκ ἐλάττονας εἶναι τῶν δώδεκα βούλεται, τοὺς τὸ μυστικὸν πάσχα ἐσθίοντας. οὕτως καὶ ἐνταῦθα πλεονάζειν μᾶλλον ἢ ἐλαττοῦσθαι τὴν δεκάδα τῶν τὴν πνευματικὴν πολιτείαν συνασκουμένων, ἀρχηγὸς δὲ τῆς ἀσχημοσύνης τοῦ βίου προκαθεζέσθω, ἐν δοκιμασίᾳ βίου καὶ ἤθους καὶ πάσης κοσμίας ἀναστροφῆς, τῶν λοιπῶν προκριθεὶς, συμπαραλαμβανομένης καὶ τῆς κατὰ τὸν χρόνον ἡλικίας πρὸς τὴν περὶ τίμησιν. αἰδεσιμώτερον γάρ πως ἐν τῇ φύσει τῶν ἀνθρώπων τὸ γεραρώτερον. οὗτος δὲ τοσαύτην ἐξουσίαν ἐχέτω, ἑκουσίως τῆς ἀδελφότητος ἐν εὐπειθείᾳ μόνον καὶ ταπεινοφροσύνῃ ὑπακουούσης, ὥστε μὴ ἐξεῖναι μηδενὶ τῶν κατὰ τὴν συνοδίαν, ἀντιβαίνειν τῷ βουλήματι αὐτοῦ, ἐν οἷς ὑφηγεῖταί τι τῶν εἰς εὐσχημοσύνην τε καὶ ἀκρίβειαν βίου συμβαλλομένων. ἀλλ' ὥσπερ φησὶν ὁ ἀπόστολος τοὺς ὑπὸ τοῦ θεοῦ τεταγμένας ἐξουσίαις μὴ ἀντιτάσσεσθαι, κρίνεσθαι γὰρ τοὺς ἀντιτασσομένους τῇ τοῦ θεοῦ διαταγῇ. οὕτω καὶ ἐνταῦθα πεπεῖσθαι προσήκει τὴν λοιπὴν ἀδελφότητα, μὴ κατὰ τὸ αὐτόματον, ἀλλὰ κατὰ τὴν θείαν βούλησιν, τὴν τοιαύτην ἐξουσίαν τῷ ἐπιστατοῦντι δεδόσθαι, ὥστε ἀνεμπόδιστον γίνεσθαι τὴν κατὰ θεὸν προκοπήν. τοῦ μὲν ὑποτιθεμένου πᾶν ὅσον ψυχωφελές τε καὶ χρήσιμον. τῶν δὲ ἐν εὐπειθείᾳ τὰς ἀγαθὰς συμβουλίας δεχομένων. ἐπεὶ οὖν προσήκει παντὶ τρόπῳ τῷ προεστῶτι εὐπειθῆ τε καὶ ὑποχείριον εἶναι τὴν συνοδίαν, ἀναγκαῖόν ἐστι τοιοῦτον ἐκλέγεσθαι τὸν καθηγούμενον τῆς πολιτείας ταύτης, ὡς παντὸς ἀγαθοῦ ὑπόδειγμα τοῖς πρὸς αὐτὸν ἀποβλέπουσι, τὸν ἐκείνου γίνεσθαι βίον. καὶ ὥς φησιν ὁ ἀπόστολος. νηφάλιον, σώφρονα, κόσμιον, διδακτικόν. οὕτω μοι δοκεῖ δεῖν καὶ τὸν τούτου ἐξετάζειν βίον. μὴ μόνον εἰ τῷ χρόνῳ τὸ γηραιὸν ἔχοιεν. ἔστι γὰρ καὶ ἐν πολιᾷ καὶ ῥυτίδι, νεωτερίζειν κατὰ τὸ ἦθος. ἀλλὰ προηγουμένως, εἰ τὸ ἦθος καὶ ὁ τρόπος διὰ κοσμιότητος πεπολίτευται. ὥστε πᾶν τὸ παρ' αὐτοῦ λεγόμενόν τε καὶ γινόμενον, ἀντὶ νόμου καὶ κανόνος τῇ συνοδίᾳ γίνεσθαι. ἐπίνοια δὲ τροφῆς πρέπει τοῖς ἐν τῷ τοιούτῳ βίῳ διάγουσιν, ἣν ὁ ἀπόστολος ὑποτίθεται, ἵνα ἐργαζόμενοι ταῖς χερσὶν, εὐσχημόνως τὸν ἑαυτῶν ἄρτον ἐσθίουσι. διατίθεσθαι δὲ προσήκει τὴν ἐργασίαν ἐπί τινος πρεσβύτου, τῇ σεμνότητι βίου μαρτυρουμένου, ὃς καταλέξει τὰ ἔργα τῶν χειρῶν αὐτῶν πρὸς τὰς ἐπιζητουμένας χρείας. ὥστε καὶ τὴν ἐντολὴν κατορθοῦσθαι τὴν κελεύουσαν, ἐν ἱδρῶτι καὶ πόνῳ τὴν τροφὴν πορίζειν, καὶ τὴν εὐσχημοσύνην ἀνεπίληπτον καὶ ἄμωμον μένειν, ἐν τῷ μηδεμίαν αὐτοῖς ἀνάγκην ἐγγίνεσθαι, διὰ τὴν τοῦ βίου χρείαν δημοσιάζεσθαι. ἐγκρατείας δὲ ὁ κάλλιστος ὅρος καὶ κανὼν οὗτος ἔστω, τὸ μήτε πρὸς τρυφὴν, μήτε πρὸς κακοπάθειαν τοῦ σώματος βλέπειν, ἀλλὰ φεύγειν ἐν ἑκατέρῳ τὴν ἀμετρίαν, ἵνα μήτε πολυσαρκοῦσα ταράσσηται, μήτε νοσώδης γενομένη, ἀδυνατῇ πρὸς τὴν τῶν ἐντολῶν ἐργασίαν. ἴση γὰρ ἐξ ἑκατέρων ἡ βλάβη τῇ ψυχῇ προσγίνεται, καὶ τὸ ἀνυπότακτον εἶναι τὴν σάρκα δι' ἀξίας ἀποσκιρτῶσαν εἰς ἀτόπους ὁρμὰς, καὶ ὅταν πυρετοῖς τε καὶ ἐκλελυμένη καὶ ἀκίνητος ὑπὸ ἀλγηδόνων συνέχηται. οὐ γὰρ ἄγει σχολὴν ἡ ψυχὴ ἐν τῇ τοιαύτῃ τοῦ σώματος καταστάσει, πρὸς τὰ ἄνω

τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου καισαρείας καππαδοκίας λόγος ἀσκητικός.

Ἄνθρωπος κατ' εἰκόνα θεοῦ ἐγένετο καὶ ὁμοίωσιν. ἡ δὲ ἁμαρτία, τὸ κάλλος τῆς εἰκόνος
ἠχρείωσεν, εἰς τὰς ἐμπαθεῖς ἐπιθυμίας τὴν ψυχὴν καθέλκουσα. ὁ δὲ θεὸς ὁ ποιήσας τὸν
ἄνθρωπον, ἡ ἀληθινή ἐστι ζωή. ὁ οὖν ἀπολέσας τὴν πρὸς τὸν θεὸν ὁμοιότητα, ἀπώλεσε
τὴν πρὸς τὴν ζωὴν οἰκειότητα. τὸν δὲ ἐκτὸς τοῦ θεοῦ ὄντα, ἐν τῇ μακαρίᾳ ζωῇ γενέσθαι
ἀμήχανον. οὐκοῦν ἐπανέλθωμεν εἰς τὴν ἐξ ἀρχῆς χάριν, ἧς διὰ τῆς ἁμαρτίας ἠλλοτριώ-
θημεν. καὶ πάλιν κατὰ τὴν τοῦ θεοῦ εἰκόνα ἑαυτοὺς καλλωπίσωμεν, διὰ τῆς ἀπαθείας
ὁμοιωθέντες τῷ κτίσαντι. ὁ γὰρ τὸ ἀπαθὲς τῆς θείας φύσεως καθώς ἐστι δυνατὸν ἐφ' ἑ-
αυτοῦ μιμησάμενος, οὗτος ἐπανέλαβεν ἐν τῇ ἰδίᾳ ψυχῇ τοῦ θεοῦ τὴν εἰκόνα. ὁ δὲ
ὁμοιωθεὶς τῷ θεῷ κατὰ τὸν εἰρημένον τρόπον, καὶ τῆς θείας ζωῆς ἐκτήσατο πάντως τὴν ὁμοιό-
τητα, εἰς τὸ διηνεκὲς παραμένων τῇ ἀϊδίῳ μακαριότητι. εἰ οὖν διὰ τῆς ἀπαθείας τὴν
εἰκόνα τοῦ θεοῦ πάλιν ἀναλαμβάνομεν, ἡ δὲ πρὸς τὸν θεὸν ὁμοιότης, τὸ διηνεκὲς τῆς ζωῆς
ἡμῖν χαρίζεται, πάντων ἀμελήσαντες τῶν ἄλλων, ταύτης γενώμεθα τῆς σπουδῆς,
ὥστε μηδενὶ πάθει μηδέποτε καταδυναστευθῆναι ἡμῶν τὴν ψυχήν, ἀλλ' ἀκλινῆ καὶ ἀ-
κατάβλητον ἐν ταῖς τῶν πειρασμῶν προσβολαῖς τὴν διάνοιαν ἡμῶν διαμένειν, ἵνα γε-
νώμεθα τῆς θείας μακαριότητος μέτοχοι. τῆς δὲ τοιαύτης σπουδῆς, συνεργός ἐστιν ἡ
παρθενία, τοῖς κατὰ λόγον μετιοῦσι τοῦτο τὸ χάρισμα. οὐ γὰρ ἐν μόνῳ τῷ φείσασθαι
τῆς παιδοποιίας κατορθοῦται τὸ χάρισμα τῆς παρθενίας, ἀλλ' ἅπας ὁ βίος καὶ ἡ ζωὴ
καὶ τὸ ἦθος παρθενεύειν ὀφείλει. διὰ παντὸς ἐπιτηδεύματος, τοῦ ἀγάμου τὴν ἀφθορίαν
ἐπιδεικνύμενος. ἔστι γὰρ καὶ λόγῳ πορνεῦσαι, καὶ ὀφθαλμῷ μοιχεῦσαι, καὶ δι' ἀκοῆς
μολυνθῆναι, καὶ τῇ καρδίᾳ μίασμα δέξασθαι, καὶ τῇ περὶ τὴν βρῶσιν καὶ πόσιν ἀμε-
τρίᾳ, ἐκπεσεῖν τῶν ὅρων τῆς σωφροσύνης. ὁ γὰρ ἐν τούτοις πᾶσιν ὑπὸ τὸν κανόνα τῆς
παρθενίας ἑαυτὸν ἐγκρατείᾳ φυλάσσων, ἀληθῶς δείκνυσι τελείαν ἐν ἑαυτῷ διὰ πάν-
των ἀπηρτισμένην τῆς παρθενίας τὴν χάριν. οὐκοῦν εἴπερ ἐπιθυμοῦμεν καθ' ὁμοιότη-
τα τοῦ θεοῦ, τὸν χαρακτῆρα τῆς ψυχῆς ἡμῶν διὰ τῆς ἀπαθείας καλλωπισθῆναι, ἵνα διὰ
τούτου καὶ ἡ τῆς ζωῆς ἡμῖν ἀϊδιότης προσγένηται, προσέχωμεν ἑαυτοῖς, μήπου τι τῆς
ἐπαγγελίας ἀνάξιον ποιοῦντες, ὑπὸ τὸ κρίμα τοῦ ἀνανεύσαντος γενώμεθα. ἐξῆν γὰρ τῷ
Ἀνανίᾳ τὴν ἀρχὴν μὴ ἐπαγγείλασθαι τῷ θεῷ τὴν κτῆσιν. ἀλλ' ἐπειδὴ πρὸς τὴν ἀν-
θρωπίνην ἀπιδὼν δόξαν, τὸ μὲν κτῆμα διὰ τῆς ἐπαγγελίας τῷ θεῷ ἀφιέρωσεν, ὡς
ἂν θαυμασθείη παρὰ τῶν ἀνθρώπων ἐπὶ τῇ φιλοτιμίᾳ. τοῦ τιμήματος δὲ ἐνοσφί-
σατο, τοιαύτην ἐκίνησε καθ' ἑαυτοῦ τοῦ κυρίου τὴν ἀγανάκτησιν, ἧς ὑπηρέτης ὁ πέ-
τρος ἦν, ὡς μὴ δὲ μετανοίας θύραν εὑρεῖν. οὐκοῦν πρὸ τῆς ἐπαγγελίας τοῦ σεμνοῦ
βίου ἔξεστι τῷ βουλομένῳ κατὰ τὸ συγκεχωρημένον καὶ ἔννομον, εἰς ἀκολουθίαν βίου
ἐλθεῖν, καὶ ἑαυτὸν ἐπιδοῦναι τῇ συζυγίᾳ τοῦ γάμου, περιληφθέντα δὲ διὰ τῆς οἰκείας ὁ-
μολογίας, φυλάσσειν προσήκει ἑαυτὸν τῷ θεῷ, καθάπερ τινῶν ἱερῶν ἀναθημάτων, ὡς
ἂν μὴ τῷ τῆς ἱεροσυλίας ἔνοχος ᾖ κρίματι. τὸ ἀφιερωμένον διὰ τῆς ἐπαγγελίας τῷ θεῷ
σῶμα, πάλιν τῇ τοῦ κοινοῦ βίου ὑπηρεσίᾳ καταρρυπώσας. λέγω δὲ τοῦτο, οὐ μόνον
πρὸς τὸ ἓν εἶδος τοῦ πάθους βλέπων καθώς τινες οἴονται, ἐν μόνῃ τῇ τοῦ σώματος φυλα-
κῇ τὸ κατόρθωμα τῆς παρθενίας περιορίζοντες, ἀλλὰ τὸ κατὰ πάντα τρόπον παθητι-
κῆς διαθέσεως, τὸν μέλλοντα φυλάσσειν ἑαυτὸν τῷ θεῷ, μηδενὶ τῶν κοσμικῶν παθημά-
των ἐμμολυνθῆναι. ὀργὴ καὶ φθόνος, καὶ μνησικακία, ψεῦδος καὶ ὑπερηφανία, μετεω-
ρισμὸς καὶ ἀκαιρολογία. περὶ τὰς εὐχὰς ἀργία, καὶ ἡ περὶ τὰ μὴ ὄντα ἐπιθυμία. ἐντο-
λῶν ἀμέλεια, καὶ καλλωπισμὸς ἱματίων. προσώπων ὡραϊσμός, καὶ συντυχίαι καὶ
ὁμιλίαι, ἔξωθεν τοῦ πρέποντός τε καὶ ἀναγκαίου γινόμεναι. ταῦτα πάντα τοσαύτης
ἄξια παραφυλακῆς ἐστι τῷ διὰ τῆς παρθενίας ἀφιερώσαντι τῷ θεῷ ἑαυτὸν ἴσον μικροῦ
δεῖν κίνδυνον εἶναι. ἐν τε τούτων συνενεχθῆναι, καὶ ἐν τῇ ἀπειρημένῃ ἁμαρτίᾳ γενέσθαι.
πάντα γὰρ τὰ διὰ πάθους γινόμενα, λυμαίνεται πως τῇ τῆς ψυχῆς καθαρότητι, καὶ πρὸς

πρὸς κορ.

ἑαυτὸν ἀποδεδωκότα ὑπὲρ τῆς ἐκκλησίας. Θεοῦ ἐσμεν συνεργοί, θεοῦ γεώργιον, θεοῦ οἰκοδομή
ἐστε. ὡς φυτευτὰς κλημάτων θεοῦ ἀλλότριον μὲν οὐδὲν τῆς ἀμπέλου, ἥτις ἐστὶ Χριστός. οὔτε μὴν
ἄκαρπον ἐῶντας. τὰ δὲ οἰκεῖα καὶ καρποφόρα διὰ πάσης ἐπιμελείας βελτιοῦντας.

ἰωάννης

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι. πᾶν κλῆμα ἐν ἐμοὶ μὴ
φέρον καρπὸν καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέρῃ.

πρὸς κορ.

Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ θεὸς ηὔξανεν.
ὡς οἰκονόμους ναοῦ θεοῦ καταρτίζοντας τὴν ἑκάστου ψυχὴν εἰς τὸ συναρμολογηθῆναι τῷ
θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. Κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι

πρὸς κορ. α

ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα. ἄλλος δὲ ἐποικοδομεῖ. ἕκαστος δὲ βλεπέτω
πῶς ἐποικοδομεῖ. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός.

πρὸς ἐφεσ.

Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ θεοῦ,
ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου
αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον
ἐν κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον θεοῦ ἐν πνεύματι.

Τί ἴδιον χριστιανοῦ; Πίστις δι' ἀγάπης ἐνεργουμένη.
Τί ἴδιον πίστεως; Ἀδιάκριτος πληροφορία τῆς ἀληθείας τῶν θεοπνεύστων ῥημάτων, οὐ-
δενὶ λογισμῷ, οὔτε ὑπὸ φυσικῆς ἀνάγκης εἰσαγομένῳ, οὔτε πρὸς εὐσέβειαν ἐσχηματισμέ-
νῳ διασαλευομένη. Τί ἴδιον πιστοῦ; Τὸ ἐν τοιαύτῃ πληροφορίᾳ συνδιατίθεσθαι τῇ
δυνάμει τῶν εἰρημένων, καὶ μηδὲν τολμᾶν ἀθετεῖν, ἢ ἐπιδιατάσσεσθαι. εἰ γὰρ πᾶν, ὃ οὐκ
» ἐκ πίστεως ἁμαρτία ἐστίν, ὥς φησιν ὁ ἀπόστολος. ἡ δὲ πίστις ἐξ ἀκοῆς. ἡ δὲ ἀκοὴ διὰ ῥήμα-
τος θεοῦ, πᾶν τὸ ἐκτὸς τῆς θεοπνεύστου γραφῆς οὐκ ἐκ πίστεως ὄν, ἁμαρτία ἐστίν.
Τί ἴδιον τῆς πρὸς θεὸν ἀγάπης. Τὸ τηρεῖν τὰς ἐντολὰς αὐτοῦ κατὰ σκοπὸν τῆς αὐτοῦ
δόξης. Τί ἴδιον τῆς πρὸς τὸν πλησίον ἀγάπης. Τὸ μὴ ζητεῖν τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ
ἀγαπωμένου πρὸς τὸ συμφέρον τῇ τε ψυχῇ, καὶ τῷ σώματι.
Τί ἴδιον χριστιανοῦ; Τὸ διὰ τοῦ βαπτίσματος τοῦ ἐξ ὕδατος καὶ πνεύματος γεννηθῆναι ἄνωθεν.
Τί ἴδιον τοῦ γεννηθέντος ἐξ ὕδατος; Τὸ, καθὼς ὁ Χριστὸς ἀπέθανε τῇ ἁμαρτίᾳ ἐφάπαξ, οὕ-
» τω καὶ αὐτὸν νεκρὸν εἶναι καὶ ἀκίνητον πρὸς πᾶσαν ἁμαρτίαν, κατὰ τὸ γεγραμμένον. ὅτι
» ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. συνετάφημεν οὖν
» αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄν-
» θρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡ-
» μᾶς τῇ ἁμαρτίᾳ. Τί ἴδιον τοῦ γεννηθέντος ἐκ πνεύματος. Τὸ, γενέσθαι ἐκεῖνο κατὰ
» τὸ διδόμενον μέτρον, ὅπερ ἐστὶ τὸ ἐξ οὗ ἐγεννήθη, καθὼς γέγραπται, ὅτι τὸ γεγεννημένον ἐκ τῆς
» σαρκός, σάρξ ἐστι. καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. Τί ἴδιον τοῦ ἄνωθεν γεννηθέντος.
» Τὸ, ἀπεκδύσασθαι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς ἐπιθυμίαις.
» καὶ ἐνδύσασθαι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν
» κατὰ τὸ εἰρημένον. ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.
» Τί ἴδιον χριστιανοῦ. Τὸ, καθαρισθῆναι μὲν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύ-
» ματος ἐν τῷ αἵματι τοῦ Χριστοῦ. ἐπιτελεῖν δὲ ἁγιωσύνην ἐν φόβῳ θεοῦ, καὶ ἀγάπῃ τοῦ Χριστοῦ,
» καὶ μὴ ἔχειν σπίλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' εἶναι ἅγιον καὶ ἄμωμον, καὶ οὕτως
» ἐσθίειν τὸ σῶμα τοῦ Χριστοῦ καὶ πίνειν τὸ αἷμα. ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ
» ἐσθίει καὶ πίνει. Τί ἴδιον τῶν ἐσθιόντων τὸν ἄρτον, καὶ πινόντων τὸ ποτήριον τοῦ θεοῦ.
Τὸ, τὴν μνήμην φυλάσσειν διηνεκῆ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἐγερθέντος.
Τί ἴδιον τῶν φυλασσόντων τὴν τοιαύτην μνήμην. Τὸ, μηκέτι ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ
ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. Τί ἴδιον χριστιανοῦ. Τὸ, περισσεύειν αὐτοῦ τὴν
δικαιοσύνην ἐν παντὶ πλέον τῶν γραμματέων καὶ φαρισαίων κατὰ τὸ μέτρον τῆς κατὰ τὸ
εὐαγγέλιον τοῦ κυρίου διδασκαλίας. Τί ἴδιον χριστιανῶν. Τὸ ἀγαπᾶν ἀλλήλους, καθὼς καὶ
ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. Τί ἴδιον χριστιανοῦ. Τὸ προορᾶσθαι τὸν κύριον ἐνώπιον αὐτοῦ διαπαν-
τός. Τί ἴδιον χριστιανοῦ. Τὸ ἐφ' ἑκάστης ἡμέρας καὶ ὥρας γρηγορεῖν, καὶ ἐν τῇ τελειότητι
τῆς πρὸς θεὸν εὐαρεστήσεως ἕτοιμον εἶναι, εἰδότα, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖ, ὁ κύριος ἔρχεται.

τοῦ ἐν

μόνων πεπληρωμένους τῶν πρὸς λατρείαν θεοῦ. Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει. καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν. καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν. Ὑμεῖς γὰρ ναὸς θεοῦ ἐστε ζῶντος. λέγει γὰρ ἡ γραφή, ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεός. Ὡς θυσίαν ἄμωμον καὶ ἀλώβητον παντὶ μέλει, καὶ μέρει τῆς εὐσεβείας τὸ ὑγιὲς διασώζοντα. Παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν. Ὡς τέκνα θεοῦ μεμορφωμένους πρὸς τὴν εἰκόνα τοῦ θεοῦ κατὰ τὸ μέτρον τὸ αὐτοῖς κεχαρισμένον. Τεκνία ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι. Τεκνία μου οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. Ὡς φῶς ἐν κόσμῳ, ὥστε αὐτοὺς εἶναι ἀνεπιδέκτους κακίας, καὶ τοὺς πλησιάζοντας αὐτοῖς φωτίζειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, πρὸς τὸ γενέσθαι ὃ δεῖ, ἢ ἐλέγχειν ὅ ἐστιν. Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Ἐν οἷς ἐστε ὡς φωστῆρες ἐν κόσμῳ. Ὡς ἅλας ἐν γῇ, ὥστε τοὺς κοινωνοῦντας αὐτοῖς ἀνανεοῦσθαι τῷ πνεύματι πρὸς ἀφθαρσίαν. Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. Ὡς λόγον ζωῆς τῇ πρὸς τὰ παρόντα νεκρώσει πιστουμένους τὴν ἐλπίδα τῆς ὄντως ζωῆς. Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ. Ποταποὺς βούλεται εἶναι ὁ λόγος τοὺς πιστευομένους τὸ κήρυγμα τοῦ εὐαγγελίου ὡς ἀποστόλους καὶ ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους πιστοὺς μυστηρίων θεοῦ, μόνα τὰ διατεταγμένα ὑπὸ τοῦ κυρίου ἀπαραλείπτως ἔργῳ καὶ λόγῳ πληροῦντας.

Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων θεοῦ. ὃ δὲ λοιπὸν ζητεῖτε ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. Ὡς κήρυκας βασιλείας οὐρανῶν ἐπὶ καταλύσει τοῦ ἔχοντος τὸ κράτος τοῦ θανάτου ἐν τῇ ἁμαρτίᾳ. Πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Διαμαρτύρομαι ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ Χριστοῦ Ἰησοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ, κήρυξον τὸν λόγον τοῦ θεοῦ. Ὡς τύπον, ἢ κανόνα τῆς εὐσεβείας εἰς κατόρθωσιν μὲν τῆς ἐν πᾶσιν εὐθύτητος τῶν ἀκολουθούντων τῷ κυρίῳ. ἔλεγχον δὲ τῆς διαστροφῆς τῶν ἐν οἱῳδήποτε οὖν ἀπειθούντων. Τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος. τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐν Χριστῷ Ἰησοῦ. ὅσοι οὖν τέλειοι τοῦτο φρονῶμεν. καὶ εἴ τι ἑτέρως φρονεῖτε. καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀποκαλύψει. πλὴν εἰς ὃ ἐφθάσαμεν τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. Τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ. Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ θεῷ. ἐργάτην ἀνεπαίσχυντον ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. Ὡς ὀφθαλμὸν ἐν σώματι διακριτικὸν μὲν τῶν ἀγαθῶν καὶ τῶν φαύλων, κατευθύνοντας δὲ τὰ μέλη τοῦ Χριστοῦ πρὸς τὰ ἑκάστῳ ἐπιβάλλοντα. Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός, ἐὰν οὖν ᾖ ὁ ὀφθαλμός σου ἁπλοῦς, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται. Ὡς ποιμένας προβάτων Χριστοῦ, μὴ δὲ τὴν ψυχὴν ὑπὲρ αὐτῶν θεῖναι ἐν καιρῷ παραιτουμένους ὑπὲρ τοῦ μεταδοῦναι αὐτοῖς τὸ εὐαγγέλιον τοῦ θεοῦ. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ. ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ θεοῦ.

Ὡς ἰατροὺς ἐν πολλῇ εὐσπλαγχνίᾳ κατ᾽ ἐπιστήμην τῆς τοῦ κυρίου διδασκαλίας θεραπεύοντας τὰ πάθη τῶν ψυχῶν εἰς περιποίησιν τῆς ἐν Χριστῷ ὑγείας καὶ διαμονῆς.

Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες.

Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν.

Ὡς πατέρας καὶ τροφοὺς ἰδίων τέκνων, ἐν πολλῇ διαθέσει τῆς ἐν Χριστῷ ἀγάπης εὐδοκοῦντας μεταδοῦναι αὐτοῖς οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς.

Τεκνία, ἔτι μικρὸν χρόνον μεθ᾽ ὑμῶν εἰμι. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως ὁμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν. οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε. Ὡς θεοῦ συνεργοὺς πρὸς μόνα τὰ ἄξια θεοῦ ἔργα, ἐλκε

Ἰωάννης

πρὸς κορ. β

πρὸς ἑβρ.

Ἰωάννης

πρὸς γαλά

Ματθαῖος

πρὸς φιλιπ.

Ματθαῖος

πρὸς φιλιπ.

Ματθαῖος

πρὸς κορ. α

Ματθαῖος

πρὸς τιμο. β

πρὸς φιλιπ.

πρὸς τιμ. α

πρὸς τιμό. β

Ματθαῖος

Ἰωάννης

πρᾶξις

Ματθαῖος

πρὸς ῥωμ.

Ἰωάννης

πρὸς κορ. α

εἶπε· τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε· καὶ μετ' ὀλίγα· καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς.

πρὸς ἐφεσί

Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον· τίμα τὸν πατέρα, καὶ τὴν μητέρα, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. Ὅτι δεῖ τοὺς γονεῖς ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου ἐκτρέφειν τὰ τέκνα μετὰ πρᾳότητος καὶ μακροθυμίας· μηδεμίαν δὲ πρόφασιν, τὸ ὅσον ἐπ' αὐτοῖς διδόναι ὀργῆς καὶ λύπης.

πρὸς ἐφεσί

Καὶ οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου.

πρὸς ἐφεσί

Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Ὅτι δεῖ τὰς παρθένους ἀπηλλάχθαι πάσης μερίμνης τοῦ αἰῶνος τούτου, πρὸς τὸ δύνασθαι ἀπερισπάστως τῷ θεῷ εὐαρεστεῖν, κατά τε νοῦν καὶ σῶμα ἐπ' ἐλπίδι τῆς βασιλείας τῶν οὐρανῶν.

ὅρος, ο ζ΄

Ματθαῖος

Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· ὁ δυνάμενος χωρεῖν, χωρείτω.

πρὸς κορ.

Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι· ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. μεμέρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ τῷ σώματι, καὶ τῷ πνεύματι· ἡ δὲ γαμήσασα, μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί. τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ κυρίῳ ἀπερισπάστως.

Ὅτι οὐκ ἔξεστι τοῖς στρατευομένοις διασείειν ἢ συκοφαντεῖν.

ὅρος, ο η΄

λουκᾶς

Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες· καὶ ἡμεῖς, τί ποιήσωμεν; καὶ εἶπε πρὸς αὐτούς· μηδένα διασείσητε, μηδένα συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. Ὅτι δεῖ τοὺς ἄρχοντας ἐκδίκους εἶναι τῶν δικαιωμάτων τοῦ θεοῦ.

ὅρος, ο θ΄

πρὸς ῥωμ.

Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Ὅτι δεῖ ἐξουσίαις ὑπερεχούσαις ὑποτάσσεσθαι ἐν οἷς αἱ ἐντολαὶ θεοῦ μὴ ἐμποδίζει.

πρὸς ῥωμ.

Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ θεοῦ τεταγμέναι εἰσίν, ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα λήψονται· οἱ γὰρ ἄρχοντες, οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν, καὶ τὰ ἑξῆς.

πράξεις

Πειθαρχεῖν δεῖ θεῷ μᾶλλον, ἢ ἀνθρώποις.

πρὸς τιμό.

Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, καὶ πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι.

Ποταποὺς εἶναι βούλεται ὁ λόγος τοὺς χριστιανοὺς ὡς μαθητὰς χριστοῦ, πρὸς μόνα τυπουμένους, ἃ βλέπουσιν ἐν αὐτῷ, ἢ ἀκούουσι παρ' αὐτοῦ.

ὅρος, π΄

ἰωάννης

Ματθαῖος

Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ.

ἰωάννης

Ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος, καὶ ὁ κύριος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος, καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας· ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. Ὡς πρόβατα χριστοῦ τῆς φωνῆς τοῦ ἰδίου ποιμένος ἀκούοντα μόνου, καὶ αὐτῷ ἀκολουθοῦντας.

ἰωάννης

Τὰ πρόβατα τὰ ἐμά, τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι· καὶ ἀνωτέρω· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ὡς κλήματα χριστοῦ ἐν αὐτῷ ἐρριζωμένους καὶ ἐν αὐτῷ καρποφοροῦντας, καὶ πᾶσαν σπουδὴν οἰκείαν αὐτῷ καὶ ἀξίαν ποιοῦντας καὶ ἔχοντας.

ἰωάννης

Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὡς μέλη χριστοῦ ἐν πάσῃ ἐνεργείᾳ τῶν ἐντολῶν τοῦ κυρίου, ἢ τῶν χαρισμάτων τοῦ ἁγίου πνεύματος κατηρτισμένους πρὸς ἀξίαν τῆς κεφαλῆς ἥτις ἐστὶν ὁ χριστός.

πρὸς κορ. α΄

Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν, μέλη χριστοῦ ἐστιν; ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον, καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν αὐτοῦ ἐν ἀγάπῃ. Ὡς νύμφην χριστοῦ φυλάσσουσαν τὸ ἁγνόν, ἐν τῷ μόνοις τοῖς θελήμασι τοῦ νυμφίου στοιχεῖν.

ἰωάννης

Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν.

πρὸς κορ. β΄

Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ χριστῷ. Ὡς ναὸν θεοῦ ἁγίους καθαρούς, καὶ

καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς· μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ᾽ ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι᾽ ἔργων ἀγαθῶν.

Ὅτι δεῖ τὰς γυναῖκας σιγᾶν ἐν ἐκκλησίᾳ, κατ᾽ οἶκον δὲ σπουδαιολογεῖσθαι περὶ τῆς εἰς θεὸν εὐαρεστήσεως.

Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν, οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ᾽ ὑποτάσσεσθαι. εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν.

πρὸς κορ. α'

Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ. διδάσκειν δὲ γυναικὶ οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ. ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα εὔα. καὶ ὁ ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε. σωθήσεται δὲ διὰ τῆς τεκνογονίας ἐὰν μείνωσιν ἐν τῇ πίστει καὶ ἀγάπῃ, καὶ ἁγιασμῷ, μετὰ σωφροσύνης.

πρὸς τιμ. α'

Ὅτι δεῖ τὴν χήραν τὴν ἰσχυροτέραν τῷ σώματι χρωμένην, ἐν φροντίδι καὶ σπουδῇ διάγειν μεμνημένην τῶν ὑπὸ τοῦ ἀποστόλου εἰρημένων, καὶ τῇ δορκάδι μεμαρτυρημένων.

ὅρος οδ'

Ἐν ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι ταβιθά, ἣ διερμηνευομένη, λέγεται δορκάς· αὕτη ἦν πλήρης ἔργων ἀγαθῶν καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. καὶ μετ᾽ ὀλίγα· καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ δορκάς.

πράξεις

Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή. ἐν ἔργοις καλοῖς μαρτυρουμένη. εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν.

πρὸς τιμ. α'

Ὅτι δεῖ τὴν χήραν τὴν εὐδοκιμήσασαν ἐν τοῖς ὑπὸ τοῦ ἀποστόλου εἰρημένοις κατορθώμασι, καὶ φθάσασαν εἰς τὸ τάγμα τῶν ὄντως χηρῶν, προσκαρτερεῖν ταῖς δεήσεσι, καὶ ταῖς προσευχαῖς μετὰ νηστειῶν νυκτὸς καὶ ἡμέρας.

Καὶ ἦν ἄννα προφῆτις, θυγάτηρ φανουήλ, ἐκ φυλῆς ἀσήρ. αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, καὶ αὐτὴ χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν.

λουκᾶς

Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη, ἤλπικεν ἐπὶ τὸν θεόν. καὶ προσμένει ταῖς δεήσεσι, καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας. ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν.

πρὸς τιμ. α'

Ὅτι χρὴ τοῖς δούλοις ὑπακούειν τοῖς κατὰ σάρκα κυρίοις εἰς δόξαν θεοῦ μετὰ πάσης εὐνοίας ἐν οἷς ἂν ἐντολὴ θεοῦ οὐ λύεται.

Οἱ δοῦλοι ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι καρδίας ὑμῶν, ὡς τῷ χριστῷ. μὴ κατ᾽ ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ᾽ ὡς δοῦλοι χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς, μετ᾽ εὐνοίας δουλεύοντες ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις. εἰδότες, ὅτι ἕκαστος ὃ ἐὰν ποιήσῃ ἀγαθόν, τοῦτο κομιεῖται παρὰ τοῦ κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

πρὸς ἐφεσ.

Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας, μὴ καταφρονείτωσαν ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι.

πρὸς τιμ. α'

Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πᾶσαν πίστιν ἐνδεικνυμένους ἀγαθήν. ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

πρὸς τιτ.

Ὅτι δεῖ τοὺς κυρίους μεμνημένους τοῦ ἀληθινοῦ κυρίου ὧν ἂν ἀπολαύωσι παρὰ τῶν δούλων, ταῦτα καὶ ποιεῖν αὐτοῖς κατὰ δύναμιν ἐν φόβῳ θεοῦ, καὶ ἐπιεικείᾳ τῇ πρὸς αὐτοὺς κατὰ μίμησιν τοῦ κυρίου.

Εἰδὼς ὁ ἰησοῦς, ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν θεὸν ὑπάγει· ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια αὐτοῦ, καὶ λαβὼν λέντιον, διέζωσεν αὐτόν. εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος. καὶ μετ᾽ ὀλίγα. ὑμεῖς φωνεῖτέ με, ὁ διδάσκαλος, καὶ ὁ κύριος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε.

ἰωάννης

Οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ᾽ αὐτῷ.

πρὸς ἐφεσ.

Ὅτι δεῖ τὰ τέκνα τιμᾶν τοὺς γονεῖς, καὶ ὑπακούειν ἐν πᾶσιν αὐτοῖς, ἐν οἷς ἂν ἐντολὴ θεοῦ μὴ ἐμποδίζηται.

ὅρος οε'

Καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ

λουκᾶς

λουκᾶς
πρὸς θεσσαλ. α

περ ἔσται γῆ σοδόμων καὶ γομόῤῥας ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ. Ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ. Τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεὸν τὸν καὶ δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς. Ὅτι δεῖ τὴν διδασκαλίαν τῶν ἀποστόλων τοῦ κυρίου οὕτως δέχεσθαι, ὡς ζωῆς αἰωνίου, καὶ βασιλείας οὐρανῶν περιποιητικήν, καὶ προθύμως ἀνεργεῖν αὐτήν. καὶ ἐπίπονος εἶναι δοκῇ.

ἰωάννης
πρὸς ἑξῆς

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Εὐαγγελισάμενοι τῇ πόλει ἐκείνῃ, καὶ μαθητεύσαντες ἱκανούς, ὑπέστρεψαν εἰς τὴν λύστραν, καὶ ἰκόνιον, καὶ ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει. καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Ὅτι δεῖ τὸν ἔλεγχον καὶ τὴν ἐπιτίμησιν οὕτως δέχεσθαι, ὡς φάρμακον ἀναιρετικὸν παθους, καὶ ὑγείας κατασκευαστικόν, δι᾽ οὗ δῆλον ἐστίν, ὅτι οἱ ἐν πάθει ἀνθρωπαρεσκείας ὑποπεσόντες ἀποσιωπώμενοι, καὶ μὴ ἐλέγχοντες τοὺς ἁμαρτάνοντας, τὸ ὅλον ζημιοῦσι, καὶ εἰς αὐτὴν τὴν ἀληθινὴν ζωὴν ἐπιβουλεύουσιν.

ματθαῖος

Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ, καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου.

πρὸς κορ. α

Συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἰησοῦ.

πρὸς κορ. β

Ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς, νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ᾽ ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. ἐλυπήθητε γὰρ κατὰ θεόν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν. ἡ γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται.

πρὸς τίτον

Δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει. Ὅτι οὐ δεῖ ἄνδρα τοῖς ἐν γάμῳ ἀπὸ γυναικός, ἢ γυναῖκα ἀπὸ ἀνδρὸς χωρίζεσθαι, εἰ μή τι ἂν ἐπὶ πορνείᾳ ἁλῷ, ἢ εἰς τὴν θεοσέβειαν κωλύηται.

ματθαῖος

Ἐῤῥέθη δέ, ὅτι ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι. καὶ ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται.

λουκᾶς

Εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δέ, καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής.

ματθαῖος
πρὸς κορ. α

Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται. καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται. Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγὼ ἀλλ᾽ ὁ κύριος. γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι, ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω. καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι.

Ὅτι οὐκ ἔξεστι τῷ ἀπολύσαντι τὴν αὐτοῦ γυναῖκα γαμεῖν ἄλλην, οὔτε τὴν ἀπολελυμένην ἀπὸ ἀνδρός, ἑτέρῳ γαμεῖσθαι.

ματθαῖος

Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται. καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται. Ὅτι δεῖ τοὺς ἄνδρας ἀγαπᾶν τὰς αὐτῶν γυναῖκας ἀγάπην, ἣν ὁ χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, παραδοὺς ἑαυτὸν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ.

πρὸς ἐφεσ.

Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ χριστὸς τὴν ἐκκλησίαν ἠγάπησε, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι. καὶ μετ᾽ ὀλίγα. οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα, καὶ τὰ ἑξῆς.

ὅρος, ογ

Ὅτι δεῖ τὰς γυναῖκας ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσιν, ὡς καὶ ἡ ἐκκλησία τῷ χριστῷ, ποιούσας τὸ θέλημα τοῦ θεοῦ.

πρὸς ἐφεσ.

Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν ὡς τῷ κυρίῳ, ὅτι ὁ ἀνήρ κεφαλή ἐστι τῆς γυναικός, ὡς καὶ ὁ χριστὸς κεφαλὴ τῆς ἐκκλησίας. καὶ αὐτός ἐστιν σωτὴρ τοῦ σώματος. ἀλλ᾽ ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.

πρὸς τίτον

Ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται. Ὅτι οὐ δεῖ τὰς γυναῖκας πρὸς ὡραϊσμὸν κοσμεῖσθαι ἀλλὰ τὴν πᾶσαν σπουδὴν καὶ μέριμναν ἔχειν πρὸς τὰ ἀγαθὰ ἔργα, καὶ τοῦτον ἡγεῖσθαι ἀληθῆ καὶ πρέποντα χριστιανοῖς κόσμον.

πρὸς τιμ. α

Ὡσαύτως γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς

τὰ πρὸς ἔλευσιν· Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου μετὰ πολλῆς σκέψεως καὶ δοκιμασίας πάντα κατὰ σκοπὸν τῆς πρὸς θεὸν εὐαρεστήσεως ἕκαστον ποιοῦντα καὶ λέγειν· ὡς ὀφείλοντα καὶ ὑπ' αὐτῶν τῶν πεπιστευμένων αὐτῷ δοκιμάζεσθαί τε καὶ μαρτυρεῖσθαι·

Ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας, ἀφ' ἧς ἐπέβην εἰς τὴν ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην δουλεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν· καὶ μετ' ὀλίγα· ἀργυρίου ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, αὐτοὶ γινώσκετε, ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται· Ὑμεῖς μάρτυρες, καὶ ὁ θεός· ὡς ὁσίως καὶ δικαίως, καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν, καθάπερ ὑμεῖς οἴδατε·

Ὅσα κατὰ συναφείαν εἴρηται περὶ ἐπισκόπων καὶ πρεσβυτέρων·

Εἴτις ἐπισκοπῆς ὀρέγεται καλοῦ ἔργου ἐπιθυμεῖ· ἀλλὰ δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, καὶ τὰ ἑξῆς. Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα· νεωτέρους ὡς ἀδελφούς· πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ· Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε, δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν κύριον ἐκ καθαρᾶς καρδίας· τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς, ὅτι γεννῶσι μάχας· δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, καὶ τὰ ἑξῆς· Σὺ δὲ παρηκολούθηκάς μου τῇ πίστει, τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασι· Τούτου χάριν κατέλιπόν σε ἐν κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην, εἴτις ἐστὶν ἀνέγκλητος, καὶ τὰ ἑξῆς·

Περὶ διακόνων·

Καὶ ἐξελέξαντο στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου καὶ φίλιππον, καὶ πρόχορον, καὶ νικάνορα, καὶ τοὺς λοιπούς, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας· Διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς· καὶ τὰ ἑξῆς·

Περὶ ἀκροατῶν·

Ὅτι δεῖ τῶν ἀκροατῶν τοὺς πεπαιδευμένους τὰς γραφὰς δοκιμάζειν τὰ παρὰ τῶν διδασκάλων λεγόμενα· καὶ τὰ μὲν σύμφωνα ταῖς γραφαῖς, δέχεσθαι· τὰ δὲ ἀλλότρια ἀποβάλλειν· καὶ τοὺς τοιούτοις διδάγμασιν ἐπιμένοντας ἀποστρέφεσθαι σφοδρότερον·

Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται· καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτόν, ὁμοίως καὶ περὶ χειρὸς, καὶ ποδός· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· καὶ μετ' ὀλίγα· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν· Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· Προφητείας μὴ ἐξουθενεῖτε· πάντα δὲ δοκιμάζετε, τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε· Ὅτι δεῖ τοὺς μὴ πολλὴν ἔχοντας τὴν τῶν γραφῶν γνῶσιν, ἐν τοῖς καρποῖς τοῦ πνεύματος γνωρίζειν τὸν χαρακτῆρα τῶν ἁγίων· καὶ τοὺς μὲν τοιούτους δέχεσθαι, τοὺς δὲ ἄλλως ἔχοντας ἀποστρέφεσθαι· Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν, ἐπιγνώσεσθε αὐτούς· Συμμιμηταί μου γίνεσθε ἀδελφοί, καθὼς κἀγὼ χριστοῦ, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας καθὼς ἔχετε τύπον ἡμᾶς·

Ὅτι δεῖ τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας οὕτως ἀνέχεσθαι, ὡς τοῦ κυρίου εἰς δόξαν αὐτοῦ τοῦ ἀποστείλαντος ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν· Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· ὁ λαμβάνων, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει·

Καὶ τὸν πειρασμόν, τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε, οὐδὲ ἐξεπτύσατε, ἀλλ' ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με ὡς χριστὸν ἰησοῦν· Ὅτι οἱ ἀπειθοῦντες τοῖς παρὰ τοῦ κυρίου ἀποστελλομένοις, τὴν ἀτιμίαν οὐ μέχρι τούτων ἱστῶσιν, ἀλλ' ἀνάγουσιν ἐπὶ τὸν ἀποστείλαντα, καὶ κρίματι ἑαυτοῖς χεῖρον τῶν ἐν σοδόμοις καὶ γομόρροις ἐπισπῶνται·

Καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς πόλεως, ἢ τῆς οἰκίας ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν· ἀμὴν λέγω ὑμῖν, ἀνεκτό-

πράξεις
πρὸς θεσ. α
ὅρος, οα'
πρὸς τιμ. α'
τῇ αὐτῇ
πρὸς τιμό. β
πρὸς τιμ. β
πρὸς τίτ. α
πράξεις
Ματθαῖος
Ἰωάννης
πρὸς γαλά.
πρὸς θεσ. ε
Ματθαῖος
πρὸς φιλιπ.
Ἰωάννης
Ματθαῖος
Λουκᾶς
πρὸς γαλά.
Ματθαῖος

μματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ὅτι οὐ δεῖ κεχρῆσθαι ἑαυτὸν εἰς τὰς ὑπὲρ τῶν βιωτικῶν φροντίδας τοῖς κατὰ προστασίαν ὑπὲρ τούτων ἀσχολουμένοις.

Λουκᾶς

Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου, διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ' ἐμοῦ τὴν κληρονομίαν, ὁ δὲ εἶπεν, ἄνθρωπε, τίς με κατέστησεν δικαστὴν, ἢ μεριστὴν ἐφ' ὑμᾶς.

πρὸς τιμ. β

Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, καὶ τὰ ἑξῆς. Ὅτι οἱ ἐξ ἀνθρώπων τὴν πρὸς τοὺς ἀκούοντας ἀρέσκειαν ἐπιζητοῦντες τῆς παρρησίας τῶν τοῦ θεοῦ θελημάτων ἐκείνοις ἑαυτοὺς δουλεύοντας, οἷς ἀρέσκειν θέλουσι, τῆς τοῦ κυρίου δεσποτείας ἐκπίπτουσιν.

Ἰωάννης

πρὸς γαλά

Πῶς δύνασθε ὑμεῖς πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητοῦντες. Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. Ὅτι δεῖ σκοπὸν προκεῖσθαι τῷ διδάσκοντι, πάντας μὲν εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ καταρτίσαι. ἕκαστον δὲ ἐν τῷ ἰδίῳ τάγματι.

Ματθαῖος

Ἰωάννης

Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν. Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. ἵνα πάντες ἓν ὦσιν, καθὼς σὺ πάτερ ἐν ἐμοὶ, κἀγὼ ἐν σοί. ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν.

πρὸς ἐφεσί

Τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως. καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ. εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Ὅτι δεῖ ἐν πραότητι καὶ μακροθυμίᾳ παιδεύειν τοὺς ἀντιδιατιθεμένους, προσδοκῶντα αὐτῶν τὴν μετάνοιαν ἕως ἂν πληρώσῃ τὸ μέτρον τῆς εἰς αὐτοὺς ἐπιμελείας.

Ματθαῖος

Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὔτε ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον, οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν.

πρὸς τιμ. β

Δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικὸν, ἀνεξίκακον, ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος. Ὅτι δεῖ τοῖς διὰ φόβον καὶ δειλίαν παραιτουμένοις τὴν παρουσίαν τοῦ κηρύσσοντος τὸν λόγον, εἴκειν, καὶ μὴ φιλονείκως ἐγκεῖσθαι.

Λουκᾶς

Καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν γαδαρηνῶν ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο. αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν. Ὅτι δεῖ καὶ τῶν διὰ ἀγνωμοσύνην μὴ καταδεχομένων τὸ κήρυγμα τοῦ εὐαγγελίου ἀναχωρεῖν, μηδὲ τὰ πρὸς τὴν ἀνάγκην τοῦ σώματος χρείαν παρ' αὐτῶν λαμβάνειν ἀνεχομένους.

Ματθαῖος

Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τῶν λόγων ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἐκείνης, ἢ τῆς πόλεως, ἐκτινάξατε τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν.

Λουκᾶς

Εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε, καὶ μὴ δέξωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς εἴπατε, καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἀπὸ τῆς πόλεως ὑμῶν, ἀπομασσόμεθα ὑμῖν. πλὴν τοῦτο γινώσκετε ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.

πράξεις

Ὡς δὲ κατῆλθον ἀπὸ τῆς μακεδονίας ὅ τε σίλας, καὶ ὁ τιμόθεος, συνείχετο τῷ λόγῳ ὁ παῦλος διαμαρτυρόμενος τοῖς ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. ἀντιτασσομένων δὲ αὐτῶν, καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε πρὸς αὐτούς. τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. Ὅτι δεῖ τῶν μετὰ τὸ πληρωθῆναι ἐν αὐτοῖς πάντα τρόπον ἐπιμελείας ἀπειθούντων ἀναχωρεῖν.

Ματθαῖος

Ἱερουσαλὴμ ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.

πράξεις

Ὑμῖν οὖν ἀναγκαῖον λαληθῆναι τὸν λόγον τοῦ θεοῦ. ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ κύριος. τέθεικά σε εἰς φῶς ἐθνῶν τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

πρὸς τιμό.

Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ. εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ὅτι πρὸς πάντας ἐν παντὶ πράγματι φυλάσσειν δεῖ τὴν ἀκρίβειαν τῶν τοῦ κυρίου ῥημάτων μηδὲν ποιοῦντα κατὰ πρόσκλησιν.

πρὸς τιμ.

Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ Χριστοῦ Ἰησοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κα-

ἀπονεμεῖ χρῆσθαι τῇ ἐξουσίᾳ· οὐ μὴν, οὐδὲ κατεπαίρεσθαι αὐτῶν, ἀλλὰ μᾶλλον ὑποθέσιν τῆς πρὸς αὐτοὺς ταπεινοφροσύνης τὸν βαθμὸν ἔχειν.

Ματθαῖος

Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος ἐπὶ τῆς οἰκίας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς ἐν καιρῷ τὴν τροφήν; μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ, εὑρήσει ποιοῦντα οὕτως. ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, καταστήσει αὐτόν. ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίειν τε καὶ πίνειν μετὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ, ᾗ οὐ προσδοκᾷ, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει. ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

ἰωάννης

Ὑμεῖς φωνεῖτέ με, ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα τοὺς πόδας ὑμῶν ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας.

λουκᾶς

Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, τίς αὐτῶν μείζων δοκεῖ εἶναι. ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς. οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. ὑμεῖς δὲ οὐχ οὕτως. ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν γενέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν. τίς γὰρ μείζων ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν, ὡς ὁ διακονῶν.

πράξεις

Ἀπὸ δὲ τῆς μιλήτου πέμψας εἰς ἔφεσον μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν εἶπεν αὐτοῖς. ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας, ἀφ᾽ ἧς ἐπέβην εἰς τὴν ἀσίαν, πῶς μεθ᾽ ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, δουλεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν ἰουδαίων.

πρὸς κορ. β

Ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων φρόνιμοι ὄντες. ἀνέχεσθε γάρ. εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις εἰς πρόσωπον ὑμᾶς δέρει. κατὰ ἀτιμίαν λέγω. ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν ἐν τῷ μέρει τούτῳ.

Ὅτι οὐ δεῖ κατ᾽ ἔριν ἢ φθόνον, ἢ φιλονεικίαν τὴν πρὸς τινας, κηρύσσειν τὸ εὐαγγέλιον.

Ματθαῖος

Ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου. θήσω τὸ πνεῦμά μου ἐπ᾽ αὐτόν. καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ, οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ.

πρὸς φιλιπ

Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι᾽ εὐδοκίαν τὸν χριστὸν κηρύσσουσιν. οἱ μὲν ἐξ ἀγάπης, εἰδότες, ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. οἱ δὲ ἐξ ἐριθείας τὸν χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου.

Ὅτι οὐ δεῖ τοῖς ἀνθρωπίνοις πλεονεκτήμασι κεχρῆσθαι εἰς τὸ κήρυγμα τοῦ εὐαγγελίου, ἵνα μὴ εἰς κρύπτηται αὐτοῖς ἡ τοῦ θεοῦ χάρις.

Ματθαῖος

Ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν, καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις.

πρὸς κορ. α

Οὐ γὰρ ἀπέστειλέ με ὁ χριστὸς βαπτίζειν, ἀλλ᾽ εὐαγγελίζεσθαι. οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ χριστοῦ.

πρὸς κορ. α

Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς ἀδελφοὶ ἦλθον οὐ καθ᾽ ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ θεοῦ. οὐ γὰρ ἔκρινα τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ ἰησοῦν χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον. κἀγὼ ἐν ἀσθενείᾳ, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἀλλ᾽ ἐν δυνάμει θεοῦ.

Ὅτι οὐ δεῖ οἴεσθαι τὴν εὐοδίαν τοῦ κηρύγματος ἐν ἰδίαις ἐπινοίαις κατεργάζεσθαι. τὸ δὲ ὅλον ἐπὶ τῷ θεῷ πεποιθέναι.

πρὸς κορ. β

Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ χριστοῦ πρὸς τὸν θεὸν, οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ᾽ ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ᾽ ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς γενέσθαι διακόνους καινῆς διαθήκης.

πρὸς κορ. β

Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ, καὶ μὴ ἐξ ἡμῶν.

Ὅτι οὐ δεῖ τὸν ἐγκεχειρισμένον τὸ κήρυγμα τοῦ εὐαγγελίου κτᾶσθαι τι πλέον τῶν πρὸς τὴν παρ᾽ αὐτοῦ ἀναγκαίαν χρείαν.

Ματθαῖος

Μὴ κτήσησθε χρυσὸν, μήτε ἄργυρον μήτε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν. μὴ πήραν εἰς ὁδὸν, μὴ δὲ δύο χιτῶνας ἔχειν μηδὲ ὑποδήματα, μὴ δὲ ῥάβδον. ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν.

λουκᾶς

Μηδὲν αἴρετε εἰς ὁδὸν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν.

πράξεις

Ἀργυρίου ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα, αὐτοὶ γινώσκετε.

πρὸς τιμ. β

Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πρα-

λέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον· παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. καὶ μετ' ὀλίγα· ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον, καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας

πράξεις

μέχρις αὐγῆς ἐξῆλθον. ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ, καὶ κατ' οἴκους διαμαρτυρόμενος ἰουδαίοις τε καὶ ἕλλησι

πρὸς θεσ. β

τὴν εἰς θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν κύριον ἡμῶν ἰησοῦν. διὸ γρηγορεῖτε, μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν. αὐτοὶ γὰρ οἴδατε ἀδελφοὶ τὸν κόπον ἡμῶν, καὶ τὸν μόχθον· νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαι τινὰ ὑμῶν, ἐκηρύξαμεν τὸ εὐαγγέλιον τοῦ θεοῦ, καὶ τὰ ἑξῆς.

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου, ἐλεήμονα καὶ εὔσπλαγχνον εἶναι, καὶ μάλιστα ἐπὶ τῶν κεκακωμένων τὰς ψυχάς.

ματθαῖος

Καὶ ἰδόντες οἱ φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ, διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; ὁ δὲ ἰησοῦς ἀκούσας εἶπεν οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. πορευθέντες δὲ, μάθετε τί ἐστιν ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

ματθαῖος

Ἰδὼν δὲ τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐσκυλμένοι ὡς πρόβατα μὴ ἔχοντα ποιμένα.

Ὅτι δεῖ καὶ ἐν ταῖς τοῦ σώματος χρείαις σπλαγχνίζεσθαι ἐπὶ τοῖς πεπιστευμένοις, καὶ φροντίζειν αὐτῶν.

ματθαῖος

Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μή ποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.

μάρκος

Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτὸν καὶ λέγων αὐτῷ, ὅτι ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. ὁ δὲ ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἥψατο αὐτοῦ καὶ λέγει, θέλω καθαρίσθητι.

πράξεις

ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν ἑλληνιστῶν πρὸς τοὺς ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· ἐπισκέψασθε ἀδελφοὶ ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης.

Ὅτι οὐ δεῖ τὸν προεστῶτα τοῦ λόγου ἐν τοῖς ἐλάττοσιν αὐτουργεῖν φιλοτιμούμενον τῆς ὀφειλομένης περὶ τὰ μείζω σπουδῆς ἀπολείπεσθαι.

πράξεις

Προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρεστόν ἐστι καταλείποντας ἡμᾶς τὸν λόγον τοῦ θεοῦ, διακονεῖν τραπέζαις. καὶ μετ' ὀλίγα· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.

Ὅτι οὐ δεῖ ἐπιδείκνυσθαι, οὐδὲ ἐμπορεύεσθαι τὸν λόγον τῆς διδασκαλίας ἐν κολακείᾳ τῶν ἀκουόντων, εἰς πληροφορίαν τῶν ἰδίων ἡδονῶν, ἤτοι χρειῶν· ἀλλὰ τοιούτους εἶναι, ὡς εἰς δόξαν θεοῦ ἐνώπιον αὐτοῦ λαλοῦντας.

ματθαῖος

Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν· φιλοῦσί τε τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ῥαββί. ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητής· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε, καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. μηδὲ κληθῆτε καθηγηταί, εἷς γάρ ἐστιν ὁ καθηγητὴς ὑμῶν ὁ χριστός.

ἰωάννης

Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με· ἐάν τις τὸ θέλημα αὐτοῦ ποιῇ, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ· ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν.

πρὸς κορ. β

Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ θεοῦ, κατενώπιον θεοῦ ἐν χριστῷ λαλοῦμεν.

πρὸς θεσ. α

Ἡ γὰρ παράκλησις ἡμῶν, οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὐδὲ ἐν δόλῳ, ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον· οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν· οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν πρὸς ὑμᾶς, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς, οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπὸ ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι, ὡς χριστοῦ ἀπόστολοι.

Ὅτι οὐ δεῖ τὸν προεστῶτα τοῦ λόγου εἰς τὴν κατὰ τὰς ἀποκειμένας χρείας αὐτοῦ χρ[illegible]

ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καθὼς σὺ πάτερ ἐν ἐμοί, κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ὦσι· καὶ πάλιν, πάτερ, οὓς δέδωκάς μοι, θέλω ὅπου εἰμὶ ἐγώ, ἵνα κἀκεῖνοι ὦσι μετ' ἐμοῦ.

λουκᾶς

Ἐν αὐτῇ τῇ ὥρᾳ, ἠγαλλιάσατο τῷ πνεύματι ὁ ἰησοῦς, καὶ εἶπεν· ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. ναὶ ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

πρὸς ῥωμ. α

Πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ ἰησοῦ χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ, μάρτυς γάρ μου ἐστὶν ὁ θεὸς ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι πάντοτε ἐπὶ τῶν προσευχῶν μου.

πρὸς φιλιπ.

Μάρτυς γάρ μου ἐστὶν ὁ θεός, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις ἰησοῦ χριστοῦ, καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα. ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν χριστοῦ, πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ ἰησοῦ χριστοῦ εἰς δόξαν καὶ ἔπαινον θεοῦ. Ὅτι δεῖ τὰ θεοῦ χάριτι κατορθούμενα γνώριμα ποιεῖν καὶ ἑτέροις εἰς δόξαν θεοῦ.

λουκᾶς

Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ, ὅσα ἐποίησαν.

πράξεις

Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγελλον ὅσα ὁ θεὸς ἐποίησε μετ' αὐτῶν.

πρὸς ἐφεσ.

Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν. Ὅτι δεῖ μὴ μόνον τῶν παρόντων ἐπιμελεῖσθαι, ἀλλὰ καὶ τῶν μελλόντων· καὶ πάντα ποιεῖν ὡς ἂν ἀπαιτῇ ἡ χρεία τῆς οἰκοδομῆς.

ἰωάννης

Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

πρὸς θεσσ. α

Διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν καταλειφθῆναι ἐν ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ θεοῦ ἐν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ εἰς τὸ στηρίξαι ὑμᾶς, καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν. Ὅτι δεῖ τὸν προσκαλούμενον ἐπ' ἀρρωστίᾳ συνεχέσθαι.

ματθαῖος

Ταῦτα αὐτοῦ λαλοῦντος, ἰδοὺ ἄρχων εἰσελθὼν προσεκύνει αὐτῷ λέγων, ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν, ἀλλὰ ἐλθών, ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται. καὶ ἐγερθεὶς ὁ ἰησοῦς, ἠκολούθησεν αὐτῷ.

πράξεις

Ἐγγὺς δὲ οὔσης λύδδης τῇ ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες, μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. ἀναστὰς δὲ ὁ πέτρος συνῆλθεν αὐτοῖς. Ὅτι δεῖ τοὺς ἀποδεχομένους τὸν λόγον τῆς ἀληθείας ἐπιστηρίζειν δι' ἐπισκέψεως.

πράξεις

Μετὰ δέ τινας ἡμέρας εἶπε παῦλος πρὸς βαρνάβαν, ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ κυρίου, πῶς ἔχουσιν.

πρὸς θεσσ. α

Ἡμεῖς δὲ ἀδελφοὶ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ. διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς ἐγὼ μὲν παῦλος, καὶ ἅπαξ καὶ δίς· καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατανᾶς. καὶ μετ' ὀλίγα. διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν καταλειφθῆναι ἐν ἀθήναις μόνοι. καὶ ἐπέμψαμεν τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ θεοῦ ἐν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς, καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν, τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦτο κείμεθα.

Ὅτι ἴδιον τοῦ ἀγαπῶντος τὸν κύριον τὸ ἐν πολλῇ φιλοστοργίᾳ τῇ περὶ τοὺς διδασκομένους μετὰ πάσης σπουδῆς ἐπιμελεῖσθαι αὐτῶν παντὶ τρόπῳ, καὶ μέχρι θανάτου δεῖ προσκαρτερεῖν αὐτὰ τῇ διδασκαλίᾳ οὔτε τῷ κοινῷ, καὶ κατ' ἰδίαν.

ἰωάννης

Ὁ ποιμὴν ὁ καλός, τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων.

ἰωάννης

Ὅτε δὲ ἠρίστησαν, λέγει τῷ σίμωνι πέτρῳ ὁ ἰησοῦς, σίμων ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; λέγει αὐτῷ, ναὶ κύριε· σὺ οἶδας, ὅτι φιλῶ σε. λέγει αὐτῷ, βόσκε τὰ ἀρνία μου. λέγει αὐτῷ πάλιν δεύτερον· σίμων ἰωνᾶ ἀγαπᾷς με; λέγει αὐτῷ, ναὶ κύριε, σὺ οἶδας, ὅτι φιλῶ σε. λέγει αὐτῷ, ποίμαινε τὰ πρόβατά μου. λέγει αὐτῷ τὸ τρίτον· σίμων ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με. καὶ εἶπεν αὐτῷ, κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις, ὅτι φιλῶ σε. λέγει αὐτῷ ὁ ἰησοῦς· βόσκε τὰ πρόβατά μου.

πράξεις

Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων τῶν μαθητῶν κλάσαι ἄρτον, ὁ παῦλος διε-

λουκᾶς — Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα· καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις.

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου τινὸς προκεῖσθαι τοῖς ἄλλοις παντὸς καλοῦ, καὶ κατορθοῦντα πρότερον ἃ διδάσκει.

ματθαῖος — Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ.

ἰωάννης — Ὅτε οὖν ἔνιψε τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς, γινώσκετε τί πεποίηκα ὑμῖν; ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος, καὶ ὁ κύριος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε ἀλλήλοις.

πράξεις — Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων.

πρὸς κορ. — Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ χριστοῦ.

πρὸς τιμ. — Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν, ἐν λόγῳ, ἐν ἀναστροφῇ, καὶ τὰ ἑξῆς.

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου, μὴ τοῖς ἑαυτοῦ κατορθώμασιν ἐπαναπαύεσθαι, ἴδιον δὲ καὶ ἐξαίρετον τῆς ἐγχειρισθείσης αὐτῷ φροντίδος ἔργον εἰδέναι τὴν τῶν πεπιστευμένων βελτίωσιν.

ματθαῖος — Ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

ἰωάννης — Πᾶν, ὃ δίδωσί μοι ὁ πατὴρ πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον πρός με, οὐ μὴ ἐκβάλω ἔξω, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον.

πρὸς θεσσα. — Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως, ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ. ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν, καὶ ἡ χαρά.

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου περιάγειν τὰς κώμας, καὶ τὰς πόλεις πάσας τὰς ἐγκεχειρισμένας αὐτῷ.

ματθαῖος — Καὶ περιῆγεν ὅλην τὴν γαλιλαίαν ὁ ἰησοῦς διδάσκων ἐν ταῖς συναγωγαῖς, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν.

λουκᾶς — Καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην κηρύσσων τὴν βασιλείαν τοῦ θεοῦ, καὶ εὐαγγελιζόμενος· καὶ οἱ δώδεκα σὺν αὐτῷ.

Ὅτι δεῖ πάντας προσκαλεῖσθαι πρὸς ὑπακοὴν τοῦ εὐαγγελίου, καὶ μετὰ πάσης παρρησίας καταγγέλλειν τὸν λόγον καὶ μαρτυρεῖν τῇ ἀληθείᾳ, κἂν τινες κωλύωσι, κἂν διώκωσιν οἱῳδήποτε τρόπῳ μέχρι θανάτου.

ματθαῖος — Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί. καὶ ὃ πρὸς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων. καὶ μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.

ματθαῖος — Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι, οὐκ ἦσαν ἄξιοι. πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους.

ἰωάννης — Ἀπεκρίθη αὐτῷ ὁ ἰησοῦς, ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ. ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν.

πράξεις — Ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ, καὶ ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς, λέγων· οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. ἀποκριθεὶς δὲ πέτρος καὶ οἱ ἀπόστολοι, εἶπον, πειθαρχεῖν δεῖ μᾶλλον θεῷ ἢ ἀνθρώποις.

πράξεις — Πλὴν ὅτι τὸ πνεῦμα μοι τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται, λέγον· ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν, ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς. καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ κυρίου ἰησοῦ διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ.

πρὸς θεσσα. — Αὐτοὶ γὰρ οἴδατε ἀδελφοὶ τὴν εἴσοδον ἡμῶν, τὴν πρὸς ὑμᾶς· ὅτι οὐ κενὴ γέγονεν, ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε ἐν φιλίπποις ἐπαρρησιασάμεθα ἐν τῷ θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἡμῶν ἐν πολλῷ ἀγῶνι.

Ὅτι δεῖ προσεύχεσθαι ὑπὲρ τῆς προκοπῆς τῶν πεπιστευμένων, καὶ ἐπὶ αὐτῇ εὐχαριστεῖν.

ἰωάννης — Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ.

ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω· οὔτε γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν. (ἰωάννης) οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ στεφάνῳ, διῆλθον ἕως φοινίκης καὶ κύπρου καὶ ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον ἰουδαίοις. (πράξεις) Παῦλος δοῦλος ἰησοῦ χριστοῦ κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ. (πρὸς ῥωμ. α') Πῶς δὲ ἀκούσονται χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσιν. (πρὸς ῥωμ. ι') Παῦλος ἀπόστολος ἰησοῦ χριστοῦ κατ' ἐπιταγὴν θεοῦ σωτῆρος ἡμῶν καὶ χριστοῦ ἰησοῦ τῆς ἐλπίδος ἡμῶν. (πρὸς τιμ. α')

Ὅτι δεῖ τὸν κληθέντα εἰς τὸ κήρυγμα τοῦ εὐαγγελίου, εὐθὺς ὑπακούειν, καὶ μὴ ἀναβάλλεσθαι. Εἶπε δὲ πρὸς ἕτερον, ἀκολούθει μοι, ὁ δὲ εἶπε κύριε ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου. εἶπε δὲ αὐτῷ ὁ κύριος, ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. σὺ δὲ ἀπελθὼν, διάγγελλε τὴν βασιλείαν τοῦ θεοῦ. (λουκᾶς)

Ὅτε δὲ εὐδόκησεν ὁ θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας με διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ, καὶ αἵματι, οὐδὲ ἀπῆλθον εἰς ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, ἀλλὰ ἀπῆλθον εἰς ἀῤῥαβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς δαμασκόν. (πρὸς γαλά.)

Ὅτι οὐ δεῖ ἑτεροδιδασκαλεῖν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής. ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων, καὶ μετ' ὀλίγα. ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. πάντες ὅσοι ἦλθον, κλέπται εἰσὶ καὶ λῃσταὶ, ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. (ἰωάννης) Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω. εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. (πρὸς γαλά.)
Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται μηδὲν ἐπιστάμενος, καὶ τὰ ἑξῆς. (πρὸς τιμ. α')

Ὅτι δεῖ πάντα τὰ προστεταγμένα ὑπὸ τοῦ κυρίου ἐν τῷ εὐαγγελίῳ, καὶ διὰ τῶν ἀποστόλων διδάσκειν τοὺς πεπιστευμένους καὶ ὅσα τούτοις ἀκόλουθα. Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. (ματθαῖος)
Ὡς δὲ ἐπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ πρεσβυτέρων ἱλημ. (πράξεις)
Ταῦτα δίδασκε, καὶ παρακάλει. (πρὸς τιμ.)
Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. (πρὸς τίτον)

Ὅτι ὁ πιστευθεὶς τὸν λόγον τῆς τοῦ κυρίου διδασκαλίας ἐὰν σιωπήσῃ τι τῶν ἀναγκαίων εἰς τὴν πρὸς θεὸν εὐαρέστησιν, ἔνοχός ἐστι τοῦ αἵματος τῶν κινδυνευόντων, ἤτοι ὑπὸ τῆς ἐργασίας τῶν ἀπηγορευμένων, ἢ καὶ ὑπὸ τῆς ἐλλείψεως τῶν κατορθοῦσθαι ὀφειλόντων. Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσήλθετε καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. (λουκᾶς)
Ὡς δὲ κατῆλθον ἀπὸ τῆς μακεδονίας, ὅ τε σίλας, καὶ ὁ τιμόθεος, συνείχετο τῷ λόγῳ ὁ παῦλος, διαμαρτυρόμενος τοῖς ἰουδαίοις εἶναι τὸν χριστὸν ἰησοῦν. ἀντιτασσομένων δὲ αὐτῶν, καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς. τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. καθαρὸς ἐγὼ, ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. (πράξεις)
Διὸ μαρτύρομαι ὑμῖν, ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος ὑμῶν; οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ. (πράξεις)

Ὅτι δεῖ καὶ ἐπὶ τῶν μὴ κατ' ἐπιταγὴν ὑπὸ τῆς γραφῆς ὁρισμένων προτρέπειν ἕκαστον πρὸς τὸ κρεῖττον. Εἰσὶν εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως. καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων. καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν, χωρείτω. (ματθαῖος)
Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν κυρίου οὐκ ἔχω. γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. δέδεσαι γυναικὶ, μὴ ζήτει λύσιν, λέλυσαι ἀπὸ γυναικὸς, μὴ ζήτει γυναῖκα. καὶ τὰ ἑξῆς. (πρὸς κορ. α')

Ὅτι οὐκ ἔξεστιν ἑτέροις ἀνάγκην ἐπιτιθέναι ἐν αὐτοῖς μὴ κατορθοῦσιν.

λουκᾶς

Καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐκλεξάμενος ἀπ᾽ αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε, σίμωνα, ὃν καὶ ὠνόμασε πέτρον, καὶ ἀνδρέαν, τὸν ἀδελφὸν αὐτοῦ· καὶ ἰάκωβον, καὶ ἰωάννην· φίλιππον, καὶ βαρθολομαῖον· καὶ ματθαῖον, καὶ θωμᾶν· ἰάκωβον τὸν τοῦ ἀλφαίου, καὶ σίμωνα τὸν καλούμενον ζηλωτήν· καὶ ἰούδαν ἰακώβου· καὶ ἰούδαν ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης.

λουκᾶς

Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ, εἰς πᾶσαν πόλιν καὶ τόπον, οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι· ἔλεγεν οὖν πρὸς αὐτούς· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

πράξεις

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ θεόφιλε, ὧν ἤρξατο ὁ ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο ἀνελήφθη.

πράξεις

Καὶ ἔστησαν δύο, ἰωσὴφ τὸν καλούμενον βαρσαβᾶν, ὃς ἐπεκλήθη ἰοῦστος· καὶ ματθίαν· καὶ προσευξάμενοι εἶπον· σὺ κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα, λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἀφ᾽ ἧς παρέβη ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον· καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ματθίαν· καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

πρὸς τιμό. α

Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ· δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι· μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν· μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ᾽ ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον· τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος· εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται; μὴ νεόφυτον ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου· δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ, καὶ παγίδα τοῦ διαβόλου· διακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει· καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.

πρὸς τίτον

Τούτου χάριν κατέλιπόν σε ἐν κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ· καὶ καταστήσῃς πρεσβυτέρους κατὰ πόλιν, ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἐστὶν ἀνέγκλητος μιᾶς γυναικὸς ἀνήρ· τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα· δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς θεοῦ οἰκονόμον· μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

Ὅτι οὐ δεῖ περὶ τὰς χειροτονίας ἀχρεῖ εἶναι, οὔτε ἀπερισκέπτως ἐπ᾽ αὐτὰς ἔρχεσθαι· οὐ γὰρ ἀκίνδυνον τὸ ἀδόκιμον· τὸν δὲ ἁλόντα ἐπίσημοι φανερῶς, ἵνα μήτε αὐτὸς κοινωνήσῃ τῇ ἁμαρτίᾳ, μήτε οἱ λοιποὶ προσκόπτωσιν, ἀλλὰ μᾶλλον φοβεῖσθαι μάθωσιν.

πρὸς τιμο. α

Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις.

πρὸς τιμο.

Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς, εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων· τοὺς δὲ ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν.

Ὅτι οὐ δεῖ τὸν ἐκλεγέντα ἀφ᾽ ἑαυτοῦ παρεῖναι ἐπὶ τὸ κήρυγμα· ἀναμένειν δὲ τὸν καιρὸν, τῆς τοῦ θεοῦ εὐδοκίας· καὶ ἄρχεσθαι μὲν τοῦ κηρύγματος, ὅταν ἐπιτραπῇ· κηρύττειν δὲ ἐκείνοις πρὸς οὓς ἂν ἀποσταλῇ.

Ματθαῖος

Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθαι δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσλ.

Ματθαῖος

Καὶ ἰδοὺ γυνὴ χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγασεν αὐτῷ λέγουσα, ἐλέησόν με κύριε υἱὸς δαδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται· ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον· καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν λέγοντες, ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν· ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ.

πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν δὲ διψᾷ, πότιζε αὐτόν. μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

πρὸς κορ. β

Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτούς, ὡς θεοῦ διάκονοι. ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν. διὰ δόξης καὶ ἀτιμίας. διὰ δυσφημίας καὶ εὐφημίας. ὡς πλάνοι καὶ ἀληθεῖς. ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν. ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι. ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες. ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες. ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

πρὸς κορ. β

Λοιπὸν ἀδελφοὶ χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε.

πρὸς γαλά

Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια, ἁγνεία.

πρὸς ἐφεσ

Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πρᾳότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ. σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.

πρὸς ἐφεσ

Γίνεσθε οὖν εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν χριστῷ ἐχαρίσατο ὑμῖν. γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ χριστὸς ἠγάπησεν ἡμᾶς. καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας.

πρὸς φιλιπ

Εἴ τις οὖν παράκλησις ἐν χριστῷ, εἴ τις κοινωνία πνεύματος, εἴ τις σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν. ἵνα τὸ αὐτὸ φρονῆτε πάντες, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατ᾽ ἐριθείαν, ἢ κενοδοξίαν.

πρὸς φιλιπ

Τὸ λοιπὸν ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε.

πρὸς κολο

Εἰ οὖν συνηγέρθητε τῷ χριστῷ τὰ ἄνω ζητεῖτε, οὗ ὁ χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος. τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ χριστῷ ἐν τῷ θεῷ. ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν πρὸς πάντας ἀνθρώπους.

πρὸς ἑβραί

Ἡ φιλαδελφία μενέτω, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι. τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος. πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός. ἀφιλάργυρος ὁ τρόπος. ἀρκούμενοι τοῖς παροῦσιν.

πρὸς θεσσ

Νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. τοῦτο γὰρ θέλημα θεοῦ ἐν χριστῷ ἰησοῦ εἰς ὑμᾶς. τὸ πνεῦμα μὴ σβέννυτε. προφητείας μὴ ἐξουθενεῖτε, πάντα δὲ δοκιμάζετε, τὸ καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

πρὸς τίτο

Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, πρεσβύτιδας ὡσαύτως, ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους, ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται.

πρὸς τίτο

Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν. ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους.

ὅρος, ο΄.

Ὅτι δεῖ τοὺς ἐγχειρισθέντας τὸ κήρυγμα τοῦ εὐαγγελίου μετὰ δεήσεως καὶ εὐχῆς καθίστασθαι, εἴτε διακόνους, εἴτε πρεσβυτέρους ἀνεγκλήτους καὶ δοκίμους τὸν πρότερον βίον.

Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ, ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμόν.

σία, ἢ πλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· καὶ αἰσχρότης, ἢ μωρολογία, ἢ εὐτραπελία τὰ οὐκ ἀνήκοντα.

πρὸς κολα.

Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν. μὴ ψεύδεσθε εἰς ἀλλήλους.

πρὸς τιμ. α.

Ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι, καὶ ἁμαρτωλοῖς, ἀνοσίοις, καὶ βεβήλοις, πατρολῴαις, καὶ μητρολῴαις, ἀνδροφόνοις, πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται, κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

πρὸς τιμό. α

Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν κωλυόντων γαμεῖν· ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετ᾽ εὐχαριστίας τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν.

πρὸς τιμο. α

Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ᾽ εὐσέβειαν διδασκαλίᾳ, τετύφωται μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί, διαπαρατριβαί, διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν, ἀφίστασο ἀπὸ τῶν τοιούτων.

πρὸς τιμ. β

Ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι· ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· καὶ τούτους ἀποτρέπου.

πρὸς τιμο.

Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους. Ὅσα κατὰ συνόψιν ἐγκεῖνται, ἢ καὶ εὐλογίας ἐπαγγελίαν ἔχει.

Ματθαῖος

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. μακάριοι οἱ δεδιωγμένοι οὕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν ψευδόμενοι οὕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Ματθαῖος

Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ ἐποτίσατέ με. ξένος ἤμην, καὶ συνηγάγετέ με. γυμνός, καὶ περιεβάλετέ με. ἠσθένησα, καὶ ἐπεσκέψασθέ με. ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με.

πρὸς ῥω.

Εἴτε ὁ διακονῶν ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ. ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι. ἡ ἀγάπη ἀνυπόκριτος. ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ. τῇ φιλαδελφίᾳ, εἰς ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ, ἀλλήλους προηγούμενοι. τῇ σπουδῇ, μὴ ὀκνηροί. τῷ πνεύματι ζέοντες, τῷ κυρίῳ δουλεύοντες, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ προσκαρτεροῦντες, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες. τὴν φιλοξενίαν διώκοντες. εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς. εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε. χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες. μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι. μὴ γίνεσθε φρόνιμοι παρ᾽ ἑαυτοῖς, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων. εἰ δυνατὸν τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γάρ, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω λέγει κύριος, ἀλλὰ ἐὰν

πρὸς τοὺς κοιμηθέντας διὰ τοῦ ἰησοῦ ἄξει σὺν αὐτῷ.

Ὅτι οὐ δεῖ τὰ ἰδιώματα τοῦ αἰῶνος τούτου καὶ μετὰ τὴν ἀνάστασιν προσδοκᾶν, ἀλλὰ ἀγγελικὸν καὶ ἀπροσδεῆ βίον εἰδέναι ἐν τῷ μέλλοντι αἰῶνι.

ἔρος, ξή

Ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν αὐτοῖς· οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι, καὶ ἐκγαμίζονται. οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται. οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται, ἰσάγγελοι γάρ εἰσι, καὶ υἱοί εἰσι θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες.

Λουκᾶς

Ἀλλ' ἐρεῖ τις, πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; ἄφρων, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ πρῶτον. καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι σίτου, ἤ τινος τῶν λοιπῶν. ὁ δὲ θεὸς δίδωσιν αὐτῷ σῶμα καθὼς ἠθέλησε. καὶ μετ' ὀλίγα. οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν, σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ. σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ. σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει. σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν.

πρὸς κορ. α

Ὅτι οὐ δεῖ τοπικήν, ἢ σαρκικὴν ἐκδέχεσθαι τὴν παρουσίαν τοῦ κυρίου, ἀλλ' ἐν τῇ δόξῃ τοῦ πατρὸς κατὰ πάσης τῆς οἰκουμένης ἀθρόως προσδοκᾶν. Τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ χριστός, ἢ ὧδε, μὴ πιστεύσητε. ἐγερθήσονται γὰρ ψευδόχριστοι, καὶ ψευδοπροφῆται. καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς. ὑμεῖς δὲ βλέπετε. ἰδού, προείρηκα ὑμῖν πάντα. ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις μετὰ τὴν θλίψιν ἐκείνην ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔσονται ἐκπίπτοντες. καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται. καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

Μάρκος

Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν χριστῷ ἀναστήσονται πρῶτον.

πρὸς θεσ.

Ὅσα κατὰ συνάφειαν ἀπαγορεύονται, καὶ ἀπόφασιν δέχεται ἀπειλῆς.

Λουκᾶς

Ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί. φόνοι μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι. ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον.

Ματθαῖος

Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με. ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με. γυμνός, καὶ οὐ περιεβάλετέ με. ἀσθενής, καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με.

Ματθαῖος

Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. οὐαὶ οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε. οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε, καὶ κλαύσετε. οὐαὶ ὅταν καλῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι.

Λουκᾶς

Προσέχετε δὲ ἑαυτοῖς μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς. καὶ αἰφνίδιος ἐπιστῇ ἐφ' ὑμᾶς ἡ ἡμέρα ἐκείνη.

Λουκᾶς

Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πλεονεξίᾳ, κακίᾳ, καὶ τὰ ἑξῆς.

πρὸς ῥωμ.

Τὸ γὰρ οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή.

πρὸς κορ.

πρὸς ῥωμ.

Μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν.

πρὸς κορ.

Μήπως ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις, ἀκαταστασίαι.

πρὸς κορ. β

Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν.

Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλους φθονοῦντες.

πρὸς γαλά.

Πᾶσα πικρία, καὶ θυμός, καὶ ὀργή, καὶ κραυγή, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. πορνεία δὲ καὶ πᾶσα ἀκαθαρ

λουκᾶς

Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας μὴ μεριμνᾶτε πῶς, ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε· τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

μάρκος

Καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη· τὰ δὲ κύματα ἐπέβαλον εἰς τὸ πλοῖον, ὥστε αὐτὸ ἤδη γεμίζεσθαι. καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων. καὶ διεγείρουσιν αὐτὸν, καὶ λέγουσιν αὐτῷ, διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ εἶπε τῇ θαλάσσῃ, σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη. καὶ εἶπεν αὐτοῖς, τί δειλοί ἐστε οὕτως; πῶς οὐκ ἔχετε πίστιν;

πράξεις

Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς, καὶ οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν σαδδουκαίων, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. ἄγγελος δὲ κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς, εἶπε. πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ, τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον, εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον.

πρὸς κορ. α΄

Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ ἀσίᾳ. καὶ μετ' ὀλίγα. ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσεται.

ὅρος, ξ δ΄

Ματθαῖος

Ὅτι δεῖ χαίρειν πανοπλοῦς πάσχοντας μέχρι θανάτου ἕνεκεν τοῦ ὀνόματος τοῦ κυρίου καὶ τῶν ἐντολῶν αὐτοῦ. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. μακάριοι ἐστὲ ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα, καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

λουκᾶς

Μακάριοι ἐστὲ, ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

πράξεις

Καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες, παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ ἰησοῦ. καὶ ἀπέλυσαν αὐτούς. οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες, ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἀτιμασθῆναι. πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ, καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι τὸν χριστὸν ἰησοῦν.

πρὸς κολα.

Οὗ ἐγενόμην ἐγὼ παῦλος διάκονος. νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν. καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία.

λουκᾶς

Ματθαῖος

Ὅτι δεῖ καὶ ἐν αὐτῇ τῇ ἐξόδῳ προσεύχεσθαι τὰ πρέποντα. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ ἰησοῦς, φωνῇ μεγάλῃ λέγων, ἠλὶ, ἠλὶ, λαμὰ σαβαχθανὶ, τουτέστι, θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ ἰησοῦς, εἶπε. πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. καὶ τοῦτο εἰπὼν, ἐξέπνευσεν.

πράξεις

Καὶ ἐλιθοβόλουν τὸν στέφανον ἐπικαλούμενον, καὶ λέγοντα. κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη.

ἰωάννης

Ὅτι οὐ δεῖ ἐγκαταλιμπάνειν τοὺς ὑπὲρ εὐσεβείας ἀγωνιζομένους. Ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς, ἄρτι πιστεύετε; ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε.

πρὸς τιμό. β΄

Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ ἀσίᾳ. ὧν ἐστι φύγελος, καὶ ἑρμογένης. δῴη ὁ κύριος ἔλεος τῷ ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπαισχύνθη. ἀλλὰ γενόμενος ἐν ῥώμῃ, σπουδαιότερον ἐζήτησέ με καὶ εὗρε. δῴη αὐτῷ ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ὅσα ἐν ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

πρὸς τιμ. β΄

Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον μὴ αὐτοῖς λογισθείη.

λουκᾶς

Ὅτι δεῖ προσεύχεσθαι ὑπὲρ τῶν ἐν πειρασμοῖς ἐξεταζομένων. Σίμων σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον. ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου.

πράξεις

Ὁ μὲν οὖν πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ. προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν θεὸν ὑπὲρ αὐτοῦ.

Ὅτι τὴν πληροφορίαν ἔχοντας τῆς ἐκ νεκρῶν ἀναστάσεως ἀλλότριον τὸ λυπεῖσθαι ἐπὶ τοῖς κεκοιμημένοις.

λουκᾶς

Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν, αἳ καὶ ἐκόπτοντο, καὶ ἐθρήνουν αὐτόν. στραφεὶς δὲ εἶπεν πρὸς αὐτὰς, θυγατέρες ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμέ.

πρὸς θεσ. α΄

Περὶ δὲ τῶν κεκοιμημένων, οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ἵνα μὴ λυπεῖσθε ὡς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα. εἰ γὰρ πιστεύομεν ὅτι ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ

θεὸς

ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.

Ἰωάννης

Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς. ἀλλ᾽ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα, οὐδὲ ἐμέ. καὶ τὰ ἑξῆς.

Λουκᾶς

Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον, καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι· καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.

πρὸς κορ. β

Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ ἀσίᾳ, ὅτι καθ᾽ ὑπερβολὴν ὑπὲρ δύναμιν ἐβαρήθημεν ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· ἀλλ᾽ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν. ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς, ἀλλ᾽ ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς.

πρὸς τιμό. β

Πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν χριστῷ ἰησοῦ διωχθήσονται.

πρὸς ἐφεσί

πρὸς τιμ. β.

Ὅτι οὐ δεῖ ἑαυτὸν ἐπιρρίπτειν πειρασμοῖς πρὸ καιροῦ τῆς τοῦ θεοῦ συγχωρήσεως, ἀλλὰ καὶ προσεύχεσθαι μὴ ἐμπεσεῖν εἰς πειρασμόν.

Ματθαῖος

Οὕτως οὖν προσεύχεσθε, πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· καὶ μετ᾽ ὀλίγα· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἰωάννης

Καὶ περιεπάτει ὁ ἰησοῦς μετὰ ταῦτα ἐν τῇ γαλιλαίᾳ. οὐ γὰρ ἤθελεν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ ἰουδαῖοι ἀποκτεῖναι. ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν ἰουδαίων ἡ σκηνοπηγία. εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ. μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα, ἃ ποιεῖς. οὐδεὶς γὰρ ἐν κρυπτῷ ποιεῖ τι καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ. οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. λέγει οὖν αὐτοῖς ὁ ἰησοῦς· ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν· ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν· ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται. ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ γαλιλαίᾳ. ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν, οὐ φανερῶς, ἀλλ᾽ ὡς ἐν κρυπτῷ.

Ματθαῖος

Ἀναστάντες δὲ προσεύχεσθε, ἵνα μὴ ἐμπέσητε εἰς πειρασμόν.

Ὅτι δεῖ καιρὸν ὑποχωρεῖν τῶν ἐπιβουλευόντων· συγχωρηθέντα μέντοι περιπεσεῖν πειρασμῷ, τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν, καὶ τὸ θέλημα τοῦ θεοῦ διὰ προσευχῆς αἰτεῖν.

Ματθαῖος

Ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην. Οἱ δὲ φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ, ἐξελθόντες, ὅπως αὐτὸν ἀπολέσωσιν. ὁ δὲ ἰησοῦς γνοὺς, ἀνεχώρησεν ἐκεῖθεν.

Ἰωάννης

Ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. ἰησοῦς οὖν οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς ἰουδαίοις.

Λουκᾶς

Καὶ θεὶς τὰ γόνατα, προσηύχετο λέγων· πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ. πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω.

Λουκᾶς

Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος. πιστὸς δὲ ὁ θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε. ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν.

Ὅτι δεῖ τὸν χριστιανὸν ἐν τοῖς πειρασμοῖς ἐφ᾽ ἑκάστῳ τῶν προσαγομένων αὐτῷ, μνημονεύοντα τῶν ἐν τῇ θεοπνεύστῳ γραφῇ πρὸς τὸ προκείμενον εἰρημένων, οὕτως αὐτόν τε ἀνεπηρέαστον συντηρεῖν, καὶ τοὺς ἐναντίους καταργεῖν.

Ματθαῖος

Τότε ὁ ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα, καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε. καὶ προσελθὼν αὐτῷ ὁ πειράζων, εἶπεν· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀποκριθεὶς εἶπεν· γέγραπται, ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ, καὶ τὰ ἑξῆς.

ὅρος, ξγ.

Ὅτι οὐ δεῖ τὸν χριστιανὸν φοβεῖσθαι, καὶ ἀγωνιᾶν ἐν ταῖς περιστάσεσι μετεωριζόμενον ἀπὸ τῆς ἐν θεῷ πεποιθήσεως· θαρρεῖν δέ, ὡς τοῦ κυρίου παρόντος, καὶ τὰ κατ᾽ αὐτὸν οἰκονομοῦντος, καὶ πρὸς πάντας ἐνδυναμοῦντος καὶ τοῦ ἁγίου πνεύματος διδάσκοντος μέχρι καὶ ἀποκρίσεως τῆς πρὸς τοὺς ὑπεναντίους.

Ματθαῖος

Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν ἀποκτεῖναι μὴ δυναμένων· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν. ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. μὴ οὖν φοβηθῆτε, πολλῶν στρουθίων διαφέρετε ὑμεῖς.

χαρίσμασι συγκρίσει τοῦ ὑπερέχοντος αὐτῷ μὴ ἀπογινώσκειν, μήτε μὴν τὸν μείζονα καὶ ταφρονεῖν τοῦ ἐλάττονος. οἱ γὰρ διὰ χαρίσματα διαφερόμενοι, καὶ διχοστατοῦντες, καταλύονται ἐξ οἰ-

ματθαῖος

Πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς ἐρημοῦται, καὶ πᾶσα πόλις, ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται.

πρὸς γαλά.

Εἰ δὲ ἀλλήλους δάκνετε, καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε.

ἰωάννης

Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ πάτερ ἐν ἐμοί, κἀγὼ ἐν σοί. ἵνα καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν.

πράξεις

Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν. ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν. ἑκάστῳ, ὡς ὁ θεὸς ἐμέρισε μέτρον πίστεως. καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, οὕτως οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν χριστῷ. ὁ δὲ καθεὶς, ἀλλήλων μέλη. ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα. καὶ τὰ ἑξῆς.

πρὸς κορ. α'

Παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἰησοῦ χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ.

πρὸς κορι. α

Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, μέλη δὲ ἔχει πολλὰ, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς πολλὰ ὄντα, ἕν ἐστι σῶμα, οὕτω καὶ ἐν χριστῷ. καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε ἰουδαῖοι, εἴτε ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι, καὶ τὰ ἑξῆς.

πρὸς φιλιπ.

Ἵνα τὸ αὐτὸ φρονῆτε πάντες, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐριθείαν, ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. μὴ τὰ ἑαυτῶν ἕκαστος σκοποῦντες, ἀλλὰ τὰ ἑτέρων ἕκαστοι.

ὅρος, ξα'

Ὅτι οὐ δεῖ ἐξουθενεῖν τοὺς συνεργοῦντας τὴν χάριν τοῦ κυρίου εἰς τὴν τελείαν αὐτῶν ἀφορῶντας. ἐν τούτοις γὰρ μάλιστα εὐδοκεῖ ὁ θεός.

ματθαῖος

Ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. ναὶ ὁ πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

ματθαῖος

Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν. ὥστε ἐκπλήττεσθαι αὐτοὺς, καὶ λέγειν, πόθεν ἡ σοφία αὕτη τούτῳ καὶ αἱ δυνάμεις. οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται μαριάμ; καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἰάκωβος, καὶ ἰωσῆς, καὶ σίμων, καὶ ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ, οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσί; πόθεν οὖν τούτῳ πάντα ταῦτα; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς. οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν.

πρὸς κορ. α'

Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν ἀδελφοὶ, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί. οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφούς. καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. καὶ τὰ ἀγενῆ τοῦ κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ. ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ θεοῦ.

Ὅτι τοὺς πιστεύσαντας τῷ θεῷ καὶ βαπτισθέντας, εὐθὺς παρασκευάζεσθαι δεῖ πρὸς τοὺς πειρασμοὺς καὶ παρ' αὐτῶν τῶν οἰκείων μέχρι θανάτου. ὁ γὰρ μὴ οὕτως ἑτοιμασάμενος ἀφίλιον τῆς περιστάσεως καταλαβούσης, εὐκόλως διασκελίζεται.

ματθαῖος

Καὶ βαπτισθεὶς ὁ ἰησοῦς ἀνέβη ἀπὸ τοῦ ὕδατος. καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί. καὶ εἶδε τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν. καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. τότε ὁ ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου.

ματθαῖος

Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν, μαστιγώσουσιν ὑμᾶς. καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς, καὶ τοῖς ἔθνεσι. καὶ μετ' ὀλίγα. παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

ματθαῖος

Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ

δίδοται παρὰ θεοῦ τὰ χαρίσματα πρὸς τὸ συμφέρον.

πρὸς ῥωμ.

Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως.

πρὸς κορ.

Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἄλλῳ προφητεία, ἄλλῳ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν.

ὅτι δεῖ τὴν χάριν τοῦ θεοῦ δωρεὰν λαμβάνοντας, δωρεὰν διδόναι, καὶ μὴ πραγματεύεσθαι αὐτὴν πρὸς τὰς ἰδίας ἡδονάς.

Ματθαῖος

Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε. μὴ κτήσησθε χρυσίον, μὴ δὲ ἄργυρον, μὴ δὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν.

πράξεις

Εἶπε δὲ πέτρος, ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι ἐν τῷ ὀνόματι ἰησοῦ χριστοῦ τοῦ ναζωραίου ἔγειρε καὶ περιπάτει. καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς, ἤγειρεν αὐτόν.

πρὸς θεσσα.

Οὔτε γὰρ ἐν λόγῳ ποτὲ κολακείας ἐγενήθημεν ὑμῖν, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς. οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ᾽ ὑμῶν, οὔτε ἀπ᾽ ἄλλων. δυνάμενοι ἐν βάρει εἶναι ὡς χριστοῦ ἀπόστολοι. ἀλλ᾽ ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα. οὕτως ὁμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς. διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε.

Ὅτι ὁ τὴν πρώτην παρὰ θεοῦ δωρεὰν εὐγνωμόνως δεξάμενος καὶ σπουδαίως κατεργασάμενος εἰς τὴν δόξαν τοῦ θεοῦ καὶ ἑτέρων καταξιοῦται, ὁ δὲ μὴ τοιοῦτος, ἥν τε προϋπάρχουσαν ἀφαιρεῖται, καὶ τοῖς ἡτοιμασμένοις αὐτῷ καταξιοῦται καὶ τιμωρίᾳ παραδίδοται.

Ματθαῖος

Καὶ προσελθόντες οἱ μαθηταὶ, εἶπον αὐτῷ. διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς. ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ περισσευθήσεται. ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ. διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες, οὐ βλέπουσι. καὶ ἀκούοντες, οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσι. καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία ἡσαΐου.

Ματθαῖος

Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἓν. ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησεν ἄλλα δύο. καὶ μετ᾽ ὀλίγα. τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ. καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Ὅτι οὐ δεῖ τὸν χριστιανὸν προσπάσχειν τῇ ἀπὸ τῶν ἀνθρώπων δόξῃ, οὔτε αὐτὴν ζητεῖσθαι τιμῆς ὑπερβαλλούσης, ἀλλὰ καὶ διορθοῦσθαι τοὺς οὕτω τιμῶντας, ἢ πλέον τι περὶ αὐτοῦ φρονοῦντας.

ὅρος, ν΄

Ματθαῖος

Καὶ ἰδοὺ εἷς προσελθὼν εἶπεν αὐτῷ, διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; ὁ δὲ εἶπεν αὐτῷ, τί με λέγεις ἀγαθὸν, οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεός.

Ἰωάννης

Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω. καὶ μετ᾽ ὀλίγα, πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε;

Λουκᾶς

Οὐαὶ ὑμῖν τοῖς φαρισαίοις, ὅτι ἀγαπᾶτε τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.

πρὸς θεσσαλον.

Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς. οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ᾽ ὑμῶν, οὔτε ἀπὸ ἄλλων.

πράξεις

Ὡς δὲ ἐγένετο τοῦ εἰσελθεῖν τὸν πέτρον, συναντήσας αὐτῷ ὁ κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας αὐτοῦ προσεκύνησεν. ὁ δὲ πέτρος ἤγειρεν αὐτὸν λέγων, ἀνάστηθι, καὶ γὰρ κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι.

πράξεις

Τακτῇ δὲ ἡμέρᾳ ὁ ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ καθίσας ἐπὶ τοῦ βήματος ἐδημηγόρει. ὁ δὲ δῆμος ἐπεφώνει, θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου. παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου, ἀνθ᾽ ὧν οὐκ ἔδωκεν τὴν δόξαν τῷ θεῷ. καὶ γενόμενος σκωληκόβρωτος, ἐξέψυξε.

ὅτι πολλῶν χαρισμάτων τοῦ πνεύματος διαφόρων ὑπαρχόντων, καὶ οὔτε ἑνὸς δυναμένου τὰ πάντα ἀποδέξασθαι, οὔτε πάντων τὸ αὐτὸ εἶναι, δεῖ σωφρόνως καὶ εὐχαρίστως ἕκαστον ἐμμένειν τῷ δεδομένῳ καὶ συμφωνεῖν ἀλλήλοις τοὺς πάντας ἐν ἀγάπῃ χριστοῦ, ὥσπερ μέλη ἐν σώματι. ὥστε τὸν ἀποδεβηκότα ἐν τοῖς

πρὸς θεσσα. α'

Πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε. Ὅτι δεῖ καὶ ὑπὲρ αὐτῶν τῶν πρὸς τὴν καθημερινὴν χρείαν τοῦ σώματος, εὐχαριστεῖν πρότερον τῷ θεῷ, καὶ οὕτως μεταλαμβάνειν.

Ματθαῖος

Καὶ λαβὼν τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, εὐχαριστήσας, ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ· οἱ δὲ μαθηταὶ τῷ ὄχλῳ.

πράξεις

Εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον, ηὐχαρίστησε τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλάσας, ἤρξατο ἐσθίειν.

πρὸς τιμ. α'

Πᾶν κτίσμα θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον.

Ὅτι οὐ δεῖ βαττολογεῖν προσευχόμενον ἐν τῷ φθαρτὰ καὶ ἀνάξια τοῦ κυρίου αἰτεῖν.

Ματθαῖος

Προσευχόμενοι δέ, μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γάρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται· μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς, οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν.

Λουκᾶς

Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε, καὶ τί πίητε· καὶ μὴ μετεωρίζεσθε· πάντα γὰρ ταῦτα, τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν, ὅτι χρῄζετε τούτων.

Πῶς δεῖ προσεύχεσθαι, καὶ ἐν ποίᾳ τῆς ψυχῆς καταστάσει.

Ματθαῖος

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, καὶ τὰ ἑξῆς.

Ματθαῖος

Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ.

Μάρκος

Ὅταν στήκετε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος.

πρὸς τιμ. α'

Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν.

Ὅτι δεῖ προσεύχεσθαι ὑπὲρ ἀλλήλων, καὶ ὑπὲρ τῶν προεστώτων τοῦ λόγου τῆς ἀληθείας.

Λουκᾶς

Εἶπε δὲ ὁ κύριος· σίμων σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου.

πρὸς ἐφεσ.

Προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες πάντοτε ἐν πάσῃ προσκαρτερήσει, καὶ δεήσει· περὶ πάντων τῶν ἁγίων, καὶ ὑπὲρ ἐμοῦ· ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει· ἵνα ἐν αὐτῷ παρρησιάσωμαι ὡς δεῖ με λαλῆσαι.

πρὸς θεσσα. β'

Τὸ λοιπὸν προσεύχεσθε περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ κυρίου τρέχῃ, καὶ δοξάζηται ἐν παντί, καθὼς καὶ πρὸς ὑμᾶς. Ὅτι δεῖ καὶ ὑπὲρ τῶν ἐχθρῶν προσεύχεσθαι.

Ματθαῖος

Προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. Ὅτι οὐ δεῖ ἄνδρα κεκαλυμμένον προσεύχεσθαι, ἢ προφητεύειν, οὔτε γυναῖκα ἀκατακάλυπτον.

πρὸς κορ. α'

Θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικός, ὁ ἀνήρ· κεφαλὴ δὲ Χριστοῦ ὁ θεός· πᾶς ἀνὴρ προσευχόμενος, ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ· πᾶσα δὲ γυνὴ προσευχομένη, ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς, καὶ τὰ ἑξῆς. Ὅτι οὐ δεῖ μεγαλοφρονεῖν ἐφ' ἑαυτῷ ἐν τοῖς κατορθώμασι, καὶ ἐξουθενεῖν τοὺς λοιπούς.

ὅρα ς, ν ζ'

Λουκᾶς

Εἶπε δὲ πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιπούς, τὴν παραβολὴν ταύτην· ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι· ὁ εἷς φαρισαῖος καὶ ὁ ἕτερος τελώνης· ὁ φαρισαῖος σταθεὶς πρὸς ἑαυτόν, ταῦτα προσηύχετο· ὁ θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· νηστεύω δὶς τοῦ σαββάτου· ἀποδεκατῶ πάντα ὅσα κτῶμαι· καὶ ὁ τελώνης μακρόθεν ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι· ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ λέγων· ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· λέγω ὑμῖν· κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ γὰρ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται· καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Ὅτι οὐ δεῖ νομίζειν δωρεὰν θεοῦ διὰ χρημάτων, ἢ καὶ δι' ἄλλης τινὸς ἐπινοίας κτᾶσθαι.

ὅρα ς ν ή

πράξεις

Ἰδὼν δὲ ὁ σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον· προσήνεγκεν αὐτοῖς χρήματα, λέγων· δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον· πέτρος δὲ εἶπε πρὸς αὐτόν· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστι σοι μερίς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐναντίον τοῦ θεοῦ· μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. Ὅτι κατὰ ἀναλογίαν τῆς πίστεως ἑκάστῳ

νόμιμον. δῆλον δέ, ὅτι ἐν τοῖς τοιούτοις ὡς ἐκ τούτου καὶ τὰ τοῦ εὐαγγελίου σαφῆ γενέσθαι. Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων, ἅ ἐστι σκιὰ τῶν μελλόντων. Ὅτι οὐ δεῖ διακρίνεσθαι περὶ τοῖς ὑπὸ τῆς γραφῆς συγκεχωρημένοις. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως. πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν.

Εἰ ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ, δογματίζεσθε; μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων. Ὅτι οὐ δεῖ κρίνειν πρὸ τῶν ἀδήλων. Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ. Ὅτι οὐ δεῖ ἐν προσωποληψίᾳ κρίνειν. Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ τί χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; μὴ κρίνετε κατ᾽ ὄψιν ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.

Ὅτι οὐ δεῖ κατακρίνειν, ἵνα μὴ πρότερον τῇ παρουσίᾳ αὐτοῦ τὰ κατ᾽ αὐτὸν ἀκριβώσαντας, κἂν πολλοὶ ὦσιν οἱ κατηγοροῦντες. Λέγει Νικόδημος ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτός, εἷς ὢν ἐξ αὐτῶν. μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον ἐὰν μὴ ἀκούσῃ παρ᾽ αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ; ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον λέγων· ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος, περὶ οὗ γενομένου μου εἰς Ἱεροσόλυμα ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων αἰτούμενοι κατ᾽ αὐτοῦ καταδίκην, πρὸς οὓς ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχει τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβῃ περὶ τοῦ ἐγκλήματος. Ὅτι δεῖ εἰδέναι καὶ ὁμολογεῖν παντὸς ἀγαθοῦ τὴν χάριν, καὶ αὐτῶν τῶν ὑπὲρ Χριστοῦ παθημάτων τὴν ὑπομονὴν παρὰ τοῦ θεοῦ ὑπάρχειν. Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται καὶ τοῦτο ἀπὸ θεοῦ, ὅτι ὑμῖν ἐχαρίσθη ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, τὸν αὐτὸν ἀγῶνα ἔχοντες, καὶ τὰ ἑξῆς. Ὅτι οὐ δεῖ σιωπᾶν τὰς εὐεργεσίας τοῦ θεοῦ, ἀλλ᾽ εὐχαριστεῖν ἐπ᾽ αὐταῖς. Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνήρ, ἀφ᾽ οὗ ἐξεληλύθει τὰ δαιμόνια εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων· ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ θεός. καὶ ἀπῆλθεν εἰς ὅλην τὴν πόλιν κηρύσσων, ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς. Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ὑπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες· οἳ ἔστησαν πόρρωθεν, καὶ αὐτοὶ ἦραν φωνήν, λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. καὶ ἰδών, εἶπεν αὐτοῖς· πορευθέντες, ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. εἷς δέ τις ἐξ αὐτῶν ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θεόν· καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· οὐχὶ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος. καὶ εἶπεν αὐτῷ, ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε. Χάριτι δὲ θεοῦ εἰμὶ ὅ εἰμι. Πᾶν κτίσμα θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον. Ὅτι δεῖ προσκαρτερεῖν ταῖς προσευχαῖς, καὶ ταῖς ἀγρυπνίαις. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν, λαμβάνει· καὶ ὁ ζητῶν, εὑρίσκει· καὶ τῷ κρούοντι ἀνοιγήσεται, καὶ τὰ ἑξῆς. Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν, λέγων· κριτής τις ἦν ἔν τινι πόλει, καὶ τὰ λοιπά. Προσέχετε δὲ ἑαυτοῖς, μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ᾽ ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Τῇ προσευχῇ προσκαρτεροῦντες, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

πρὸς κολασ.
πρὸς ῥωμ.
πρὸς κολασ.
πράξεις
ἰωάννης
ἰωάννης
πράξεις
ἔργ. [illegible]
ἰωάννης
πρὸς κορ. α
πρὸς ἐφεσ.
λουκᾶς
λουκᾶς
πρὸς κορ. α
πρὸς τιμ. α
[illegible]
ματθαῖος
λουκᾶς
λουκᾶς
πρὸς κολασ.
τῇ αὐτῇ

φος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων, ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστι κατὰ ἀλήθειαν, ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. λογίζῃ δὲ τοῦτο ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ;

πρὸς ῥωμ.

ὅρος, νβ΄
λουκᾶς

Ὅτι οὐ χρὴ ἀδιαφορεῖν ἐπὶ τοῖς ἁμαρτάνουσι, λυπεῖσθαι δὲ καὶ πενθεῖν ἐπ' αὐτοῖς.

Καὶ ὡς ἤγγισεν ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτήν, λέγων, ὅτι εἰ ἔγνως καὶ σύ, καί γε ἐν τῇ ἡμέρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σου. νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου.

πρὸς κορ. α΄

Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.

πρὸς κορ. β΄

Μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ με ὁ θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων.

ματθαῖος
λουκᾶς

Ὅτι οὐ δεῖ ἐφησυχάζειν τοῖς ἁμαρτάνουσι. Ἐὰν δὲ ἁμάρτῃ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ, καὶ τὰ ἑξῆς.

πρὸς ἐφεσ.

Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις, τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε.

Ὅτι δεῖ τὴν πρὸς τοὺς ἁμαρτάνοντας συντυχίαν καταδέχεσθαι οὐκ ἄλλου τινὸς ἕνεκεν, ἢ τοῦ εἰς μετάνοιαν αὐτοὺς ἀνακαλέσασθαι, ᾧπερ ἂν τρόπῳ δυνατὸν ᾖ χωρὶς ἁμαρτίας.

ματθαῖος

Καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ ἰησοῦ, καὶ τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδόντες οἱ φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ, διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; ὁ δὲ ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς, οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. πορευθέντες δὲ μάθετε τί ἐστιν ἔλεον θέλω καὶ οὐ θυσίαν. οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς.

λουκᾶς

Ἦσαν δὲ αὐτῷ ἐγγίζοντες πάντες οἱ τελῶναι καὶ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ, καὶ διεγόγγυζον οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι λέγοντες, ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς. εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων, τίς ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλός, ἕως οὗ εὕρῃ αὐτό; καὶ τὰ ἑξῆς.

πρὸς θεσσαλ. β΄

Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ ἵνα ἐντραπῇ. καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

πρὸς κορ. β΄

Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ πάντας ὑμᾶς, ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη, ἡ ὑπὸ τῶν πλειόνων. ὥστε τοὐναντίον ὑμᾶς μᾶλλον χαρίσασθαι, καὶ παρακαλέσαι μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

Ὅτι δεῖ μετὰ τὸ πληροφορῆσαι πάντα τρόπον τῆς εἰς αὐτοὺς ἐπιμελείας, ἐπιμένοντας τῇ ἰδίᾳ κακίᾳ ἀποχωρίζεσθαι.

ματθαῖος

Ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα. ἐὰν δὲ παρακούσῃ αὐτῶν εἰπὲ τῇ ἐκκλησίᾳ. ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι, ὥσπερ ὁ ἐθνικὸς, καὶ ὁ τελώνης.

ὅρος, νγ΄

Ὅτι οὐ δεῖ τὸν χριστιανὸν μνησικακεῖν, ἀλλ' ἀπὸ καρδίας ἀφιέναι τοῖς εἰς αὐτὸν ἡμαρτηκόσιν.

ματθαῖος

Ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει τὰ παραπτώματα ὑμῶν. ἐὰν δὲ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος.

ὅρος, νδ΄

Ὅτι οὐ δεῖ κρίνειν ἀλλήλους ἐπὶ τοῖς ὑπὸ τῆς γραφῆς συγκεχωρημένοις.

ματθαῖος

Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε.

λουκᾶς

Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε. μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε.

πρὸς ῥωμ.

Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω. ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει. σταθήσεται δέ, δυνατὸς γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν. ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν, ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω. ὁ φρονῶν τὴν ἡμέραν, κυρίῳ φρονεῖ. καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, κυρίῳ οὐ φρονεῖ. καὶ ὁ ἐσθίων, κυρίῳ ἐσθίει. εὐχαριστεῖ γὰρ τῷ θεῷ. καὶ μετ' ὀλίγα. ἄρα οὖν ἕκαστος ὑμῶν περὶ αὐτοῦ λόγον δώσει τῷ θεῷ. μηκέτι οὖν ἀλλήλους

τῆς τῶν ἀδελφῶν χρείας κατὰ τὸ θέλημα τοῦ κυρίου. Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα, καὶ ἐποτίσατέ με. ξένος ἤμην, καὶ συνηγάγετέ με. γυμνὸς καὶ περιεβάλετέ με. ἠσθένησα, καὶ ἐπεσκέψασθέ με. ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. καὶ μετ' ὀλίγα. ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Ἐπάρας οὖν τοὺς ὀφθαλμοὺς ὁ ἰησοῦς, καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν, λέγει πρὸς φίλιππον, πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; καὶ τὰ ἑξῆς. [Ματθαῖος] [Ἰωάννης]

Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε κατὰ μίαν σαββάτων. ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυρίζων, ὅτι ἂν εὐοδῶται. ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι γίνωνται. [πρὸς κορ. α']

Ὅτι δεῖ τὸν δυνατῶς ἔχοντα, ἐργαζόμενον μεταδιδόναι τοῖς χρείαν ἔχουσιν, ὁ γὰρ μὴ θέλων ἐργάζεσθαι, οὐδὲ τοῦ φαγεῖν ἄξιος ἐκρίθη. Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου ὅτι αὐτὸς εἶπε. μακάριον ἐστὶ διδόναι μᾶλλον, ἢ λαμβάνειν. Ὁ κλέπτων, μηκέτι κλεπτέτω. μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι μηδὲ ἐσθιέτω. [πρὸς ἐφεσ.] [πρὸς θεσσαλον.]

Ὅτι οὐ χρὴ δικάζεσθαι οὐδὲ περὶ αὐτῶν τῶν πρὸς τὴν ἀναγκαίαν σκέπην τῷ σώματι περικειμένων. Τῷ τύπτοντί σε ἐπὶ τὴν δεξιὰν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην. καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα, μὴ κωλύσῃς. παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου. καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. Τολμᾷ τις πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; καὶ μετ' ὀλίγα. ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστὶν ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε. διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε. ἀλλὰ ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. [ὅρος μ'] [λουκᾶς] [πρὸς κορ. α']

Ὅτι οὐ δεῖ μάχεσθαι ἢ ἑαυτὸν ἐκδικεῖν, πρὸς πάντας δὲ: εἰ δυνατὸν εἰρηνεύειν κατὰ τὴν ἐντολὴν τοῦ κυρίου. Ἠκούσατε, ὅτι ἐρρέθη, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ. καὶ ὀδόντα ἀντὶ ὀδόντος. ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ τὰ ἑξῆς. Ἀγάπην ἔχετε ἐν ἑαυτοῖς, ἀλλὰ καὶ εἰρηνεύετε ἐν ἀλλήλοις. Μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων. εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. Μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοὶ, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. [Ματθαῖος] [Μάρκος] [πρὸς ῥωμ.] [πρὸς τιμ.]

Ὅτι οὐ δεῖ, οὔτε εἰς ἐκδίκησιν ἀδικουμένου ἑτέρου ἀμύνεσθαι τὸν ἀδικοῦντα. Τότε προσελθόντες, ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν. καὶ ἰδοὺ εἷς τῶν μετὰ ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. λέγει δὲ αὐτῷ ὁ ἰησοῦς, ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὸν τόπον αὐτῆς, ὅτι πάντες οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. Καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ. καὶ πορευθέντες ἦλθον εἰς κώμην σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ, καὶ οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς ἱερουσαλήμ. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἰάκωβος καὶ ἰωάννης, εἶπον, κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἐκ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτοὺς, ὡς καὶ ἠλίας ἐποίησε; στραφεὶς δὲ, ἐπετίμησεν αὐτοῖς, καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. [Ματθαῖος] [λουκᾶς]

Ὅτι δεῖ συμβιβάζειν καὶ ἑτέρους εἰς εἰρήνην τὴν ἐν χριστῷ. Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. Εἰρήνην ἀφίημι ὑμῖν. εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. [ὅρος ν'] [Ματθαῖος] [Ἰωάννης]

Ὅτι δεῖ πρότερον ἑαυτὸν διορθοῦσθαι ἐφ' ᾧ τινι οὖν ἐλαττώματι, καὶ τότε ἑτέροις ἐγκαλεῖν. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. τὴν δὲ δοκὸν, τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς; ἢ, πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, ἄφες ἐκβάλω τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου; καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου. ὑποκριτά. ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος [Ματθαῖος] [Ἰωάννης]

Λουκᾶς
Λουκᾶς
πρὸς τιμό. α'

Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς. Πάντα ὅσα ἔχεις πώλησον καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. Εὐμεταδότους εἶναι, κοινωνικούς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς ὄντως ζωῆς.

ὅρος, μθ'.
Ματθαῖος
πρὸς ῥωμ.
πρὸς τιμό.

Ὅτι δεῖ ἐλεήμονα καὶ εὐμετάδοτον εἶναι. κατηγορηθήσονται γὰρ οἱ μὴ τοιοῦτοι.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Παντὶ τῷ αἰτοῦντί σε δίδου. Ἀστόργους, ἀνελεήμονας, οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, ἄξιοι θανάτου εἰσίν. Εὐμεταδότους εἶναι κοινωνικούς. Ὅτι πᾶν ὃ περισσὸν ἔχει τις πλέον τοῦ δεομένου τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, ὀφειλέτης ἐστὶν ἐκείνου ἀγαθοποιῆσαι, κατ' ἐντολὴν τοῦ κυρίου ἡμῶν καὶ δεδωκότος ἃ ἔχομεν.

Λουκᾶς
πρὸς κορ. α'

Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι. καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω. Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες. Τὸ ὑμῶν περίσσευμα, εἰς τὸ ἐκείνων ὑστέρημα. ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης, καθὼς γέγραπται. ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησεν. Ὅτι οὐ δεῖ πλουτεῖν, ἀλλὰ πτωχεύειν, κατὰ τὸν τοῦ κυρίου λόγον.

Λουκᾶς
Λουκᾶς
πρὸς κορ. β'
πρὸς τιμ. α'

Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. Ἡ κατὰ βάθους πτωχεία αὐτῶν, ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους, καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν. ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία, ἧστινες ὀρεγόμενοι, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.

Ὅτι οὐ δεῖ φροντίζειν τοῦ περισσεύεσθαι ἐν τοῖς πρὸς τὸ ζῆν. οὔτε ὅλως τὴν πλησμονήν, οὔτε ὅλως τὴν πολυτέλειαν ἔχειν. καθαρεύειν δὲ παντὸς εἴδους πλεονεξίας καὶ καλλωπισμοῦ.

Λουκᾶς
πρὸς τιμ. α'

Ὁρᾶτε, καὶ φυλάσσεσθε ἀπὸ πάσης πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτῷ. Κοσμεῖν ἑαυτὰς μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. Ὅτι οὐ δεῖ μεριμνᾶν τῆς ἰδίας ἕνεκα χρείας, οὐδὲ τοῖς ἡτοιμασμένοις πρὸς τὴν παροῦσαν ζωὴν ἐπελπίζειν. ἀλλὰ τῷ θεῷ ἀποδιδόναι τὰ καθ' ἑαυτόν.

Ματθαῖος

Οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, καὶ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς; καὶ τὸ σῶμα τοῦ ἐνδύματος; ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας. καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; τίς δὲ ἐξ ὑμῶν μεριμνῶν, δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει. οὐ κοπιᾷ οὐδὲ νήθει. λέγω δὲ ὑμῖν, οὐδὲ σολομῶν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; μὴ οὖν μεριμνήσητε λέγοντες τί φάγωμεν, ἢ τί πίωμεν; ἢ τί περιβαλώμεθα. ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ. οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος; ὅτι χρήζετε τούτων πάντων. ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον. ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς. ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

Λουκᾶς

Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα, καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων, τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου, καὶ εἶπε, τοῦτο ποιήσω. καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γενήματά μου, καὶ τὰ ἀγαθά μου, καὶ ἐρῶ τῇ ψυχῇ μου, ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά. ἀναπαύου, φάγε, πίε, εὐφραίνου, καὶ τὰ ἑξῆς.

πρὸς τιμ. α'

Τοῖς πλουσίοις τοῦ νῦν αἰῶνος παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ παρέχοντι ἡμῖν τὰ πάντα πλουσίως εἰς ἀπόλαυσιν. Ὅτι δεῖ φροντίζειν καὶ μεριμνᾶν περὶ

πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον· περιτομῇ ὀκταήμερος, ἐκ γένους ἰσραήλ, φυλῆς βενιαμίν· ἑβραῖος ἐξ ἑβραίων, κατὰ νόμον φαρισαῖος, κατὰ ζῆλον, διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος, ἀλλ᾽ ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν χριστὸν ζημίαν· ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι ζημίαν πάντα εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν· δι᾽ ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα χριστὸν κερδήσω, καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως χριστοῦ τὴν ἐκ θεοῦ δικαιοσύνην· Ὅτι ὁ ζυγὸς τοῦ χριστοῦ χρηστὸς, καὶ τὸ φορτίον αὐτοῦ ἐλαφρόν ἐστιν εἰς ἀνάπαυσιν τῶν καταδεχομένων· πάντα δὲ τὰ ἀλλότρια τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας, βαρέα καὶ φορτικά. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν·

Ὅτι ἀδύνατον καταξιωθῆναι βασιλείας οὐρανῶν, τοὺς μὴ παιδίοις πρὸς ἄλληλα ἰσοτιμίαν ἐν ἀλλήλοις μιμουμένους· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅτι δεῖ τὸν ἐπιθυμοῦντα μείζονος δόξης καταξιωθῆναι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν τὸ ἐνταῦθα ταπεινὸν καὶ ἔσχατον ἀγαπᾶν· Ὅστις οὖν ταπεινώσει ἑαυτὸν, ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἀλλ᾽ ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ γενέσθαι πρῶτος ὑμῶν, ἔσται πάντων δοῦλος· Μηδὲν κατ᾽ ἐριθείαν, ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν·

Ὅτι ὁ δὲ αὐτὴ παράδοσις τῆς ἐπὶ τοῖς ἐλάττοσι φυλαττομένης ἀκολουθίας τὴν ἐπὶ τοῖς μείζοσι σπουδὴν ἀπαιτοῦμεν· Ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ, ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει; ταύτην δὲ θυγατέρα ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου; ἔλεγε δὲ παραβολὴν αὐτοῖς, πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν· κριτής τις ἦν, ἔν τινι πόλει τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος· χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα· ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου· καὶ οὐκ ἤθελεν ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ, εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτὴν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με· εἶπε δὲ ὁ κύριος, ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει; ὁ δὲ θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός; Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ· Ὅτι ὁ δὲ αὐτὴ παράδοσις τὸν ἐπὶ τοῖς ἐλάττοσιν ἐκ πίστεως φόβον, καὶ δὴ ἐπιθυμίας ἀξιολόγου σπουδὴν ἐπιδεξαμένους, οἱ ἐπὶ τοῖς μείζοσι καταφρονοῦντες, ἢ ἀμελεῖς ἀλόντες, σφοδροτέραν ἔχουσι τὴν κατάκρισιν· Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς, ἀκοῦσαι τὴν σοφίαν σολομῶντος, καὶ ἰδοὺ πλεῖον σολομῶντος ὧδε· Ἄνδρες νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον ἰωνᾶ ὧδε· Ὅτι οὐ δεῖ καταφρονεῖν τῶν μειζόνων ἐπὶ τοῖς ἐλάττοσι σπουδὴν ἐνδεικνυμένων· προηγουμένως δὲ τὰ μείζονα τῶν προσταγμάτων ἐμποιοῦντας, συγκατορθοῦν καὶ τὰ ἐλάττονα· Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου· τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι· ὁδηγοὶ τυφλοί, οἱ διυλίζοντες τὸν κώνωπα τὴν δὲ κάμηλον καταπίνοντες·

Ὅτι οὐ δεῖ θησαυρίζειν ἑαυτῷ ἐπὶ γῆς, ἀλλ᾽ ἐν οὐρανῷ· καὶ τίς ὁ τρόπος τοῦ ἐν οὐρανῷ θησαυρίζειν· Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς· ὅπου σὴς καὶ βρῶσις ἀφανίζει· καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν,

[illegible] μ λ'
Ματθαῖος
[illegible] μ ε'
Ματθαῖος
Ματθαῖος
τοῦ [illegible]
[illegible] μ α'
Λουκᾶς
πρὸς τιμό. β
Λουκᾶς
Ματθαῖος
Ματθαῖος
[illegible] μ ζ'
Ματθαῖος

ἄρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας, διέδωκε τοῖς ἀνακειμένοις· ὁμοίως δὲ καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον.

λουκᾶς

Γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν, εἰς τὸν οἶκον αὐτῆς, καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ. ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· κύριε οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Μάρθα Μάρθα μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ὀλίγων δέ ἐστι χρεία ἢ ἑνός· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

ὅρος λθʹ — Ματθαῖος

Ὅτι οὐ δεῖ ἀμετάθετον εἶναι, ἀλλὰ ἑδραῖον ἐν τῇ πίστει, καὶ ἀμετάθετον ἀπὸ τοῦ ἐν κυρίῳ καλοῦ. Ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν· οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι· καὶ γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκανδαλίζεται.

πρὸς κορ. αʹ

Ὥστε ἀδελφοί μου ἑδραῖοι γίνεσθε· ἀμετακίνητοι περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε.

ἰωάννης

Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον.

ὅρος μʹ — Ματθαῖος

Ὅτι οὐ δεῖ ἑτεροδιδασκαλούντων ἀνέχεσθαι, κἂν σχηματίζωνται πρὸς ἀπάτην ἢ ἔλεγχον τῶν ἀβεβαίων. Βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ὅτι ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσιν.

λουκᾶς

Προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις, οἳ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσεύχονται· οὗτοι λήψονται περισσότερον κρίμα.

πρὸς γαλάτας

Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω, ὡς προειρήκαμεν· καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

ὅρος μαʹ — Ματθαῖος

Ὅτι δεῖ πᾶν τὸ σκανδαλίζον ἐκκόπτειν, κἂν οἰκειότατόν τι καὶ ἀναγκαιότατον εἶναι δοκῇ. Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. εἰ δὲ ὁ πούς σου, ἢ ἡ χείρ σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν, ἢ κυλλὸν, ἢ δύο πόδας, ἢ δύο χεῖρας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον· καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ.

Ματθαῖος

Ὅτι τῶν ἀσθενεστέρων ἐν τῇ πίστει φείδεσθαι δεῖ καὶ ἀνάγειν αὐτοὺς δι' ἐπιμελείας, ἐπὶ τὴν τελειότητα. φείδεσθαι δὲ δηλονότι χωρὶς τοῦ παραβαίνειν ἐντολὴν θεοῦ. Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.

πρὸς ῥωμ.

Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε. Ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον, ἐν πνεύματι πρᾳότητος· σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

ὅρος μβʹ — Ματθαῖος

Ὅτι οὐ δεῖ νομίζειν ἐπὶ καταλύσει τοῦ νόμου καὶ τῶν προφητῶν τὸν κύριον ἐληλυθέναι, ἀλλ' ἐπὶ πληρώσει καὶ προσθήκῃ τῶν τελειοτέρων. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας, οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.

πρὸς ῥωμ.

Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν.

ὅρος μγʹ — Ματθαῖος

Ὅτι ὡς ὁ νόμος τὰς πράξεις ἀπαγορεύει τὰς φαύλας, οὕτω τὸ εὐαγγέλιον αὐτὰ τὰ κεκρυμμένα πάθη τῆς ψυχῆς. Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσει, ἔνοχος ἔσται τῇ κρίσει· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει.

πρὸς ῥωμ.

Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος· καὶ περιτομὴ καρδίας ἐν πνεύματι οὐ γράμματι, οὗ ὁ ἔπαινος, οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ. Ὅτι ὡς ὁ νόμος τὸ ἐκ μέρους, οὕτω τὸ εὐαγγέλιον, τὸ ὁλόκληρον ἐφ' ἑκάστῳ τῶν κατορθουμένων ἐπιζητεῖ.

λουκᾶς

Πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι.

πρὸς κολα.

Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. Ὅτι ἀδύνατον καταξιωθῆναι βασιλείας οὐρανῶν τοὺς μὴ πλείονα τῆς ἐν τῷ νόμῳ τὴν κατὰ τὸ εὐαγγέλιον δικαιοσύνην ἐπιδεικνυμένους.

Ματθαῖος

Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Εἴ τις δοκεῖ ἄλλος

εἰσὶν ὁδηγοὶ τυφλῶν· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. καὶ μετ' ὀλίγα. ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. εἶπεν οὖν ὁ ἰησοῦς τοῖς δώδεκα· μὴ καὶ ὑμεῖς θέλετε ἀπελθεῖν; Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις, καὶ ἐν τοῖς ἀπολλυμένοις· οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. καὶ πρὸς ταῦτα τίς ἱκανός.

Ἰωάννης

Πρὸς Κορ.

Ὅτι δεῖ τύπον τῶν καλῶν προκεῖσθαι τοῖς ἄλλοις, ἕκαστον ἐν τῷ ἰδίῳ μέτρῳ.

ὅρος λδʹ
Ματθαῖος

Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν, ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα μὲν παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς πνεύματος ἁγίου· ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ, καὶ ἐν τῇ Ἀχαΐᾳ.

ὅρος λεʹ

Ὅτι οἱ τὸν καρπὸν τοῦ ἁγίου πνεύματος ἔν τινι ὁρῶντες πανταχοῦ τὸ ὁμαλὸν τῆς θεοσεβείας στοχοῦντι, καὶ μὴ τῷ ἁγίῳ πνεύματι ἀνατιθέντες, ἀλλὰ τῷ ἐναντίῳ ἐπιφημίζοντες εἰς αὐτὸ τὸ ἅγιον πνεῦμα βλασφημοῦσιν.

Ματθαῖος

Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς, καὶ κωφός· καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν κωφὸν καὶ τυφλὸν καὶ λαλεῖν, καὶ βλέπειν. καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον· μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαβίδ; οἱ δὲ φαρισαῖοι ἀκούσαντες, εἶπον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων. εἰδὼς δὲ ὁ ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς· καὶ μετ' ὀλίγα· εἰ δὲ ἐν πνεύματι θεοῦ ἐκβάλλω ἐγὼ τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. οἷς ἑξῆς ἐπιφέρει· διὰ τοῦτο λέγω ὑμῖν· πᾶσα ἁμαρτία, καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ πνεύματος βλασφημία, οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

ὅρος λςʹ

Ὅτι τοὺς φυλάσσοντας τὸν τύπον τῆς τοῦ κυρίου διδασκαλίας μετὰ πάσης σπουδῆς καὶ τιμῆς δέχεσθαι δεῖ εἰς δόξαν αὐτοῦ τοῦ κυρίου· ὁ δὲ μὴ ἀκούσας, μὴ δὲ δεξάμενος κατακρίνεται.

Ματθαῖος

Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με. καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μὴ δὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι ἐκ τῆς οἰκίας ἐκείνης, ἢ τῆς πόλεως, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν· ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων, καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Ὁ λαμβάνων, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν ἀποστείλαντά με.

Ἰωάννης

Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου πέμψαι πρὸς ὑμᾶς. καὶ μετ' ὀλίγα. προσδέχεσθε οὖν αὐτὸν ἐν κυρίῳ μετὰ πάσης χαρᾶς καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε.

Πρὸς Φιλιπ.

Ὅτι ἡ κατὰ δύναμιν καὶ ἐν τοῖς ἐλαχίστοις προθυμία εὐπρόσδεκτός ἐστι τῷ θεῷ, καὶ παρὰ γυναικῶν.

ὅρος λζʹ
Ματθαῖος

Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν, εἰς τὸ γαζοφυλάκιον πλουσίους. εἶδε δέ τινα χήραν βάλλουσαν ἐκεῖ δύο λεπτά. καὶ εἶπεν· ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων ἔβαλεν. ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ· αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλεν.

Ματθαῖος

Τοῦ δὲ ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἠγανάκτησαν, λέγοντες· εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου· ἠδύνατο γὰρ τοῦτο πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς. γνοὺς δὲ ὁ ἰησοῦς, εἶπεν αὐτοῖς· τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ.

Πράξεις

Περὶ τῆς Λυδίας· ὡς δὲ ἐβαπτίσθη ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα, εἰ κεκρίκατέ με πιστὴν τῷ κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε· καὶ παρεβιάσατο ἡμᾶς.

ὅρος ληʹ
Ἰωάννης

Ὅτι δεῖ τὸν χριστιανὸν, καὶ τὴν εἰς τοὺς ἀδελφοὺς δεξίωσιν ἀθόρυβον καὶ λιτὴν ποιεῖσθαι.

Λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος· ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια, ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους. εἶπε δὲ ὁ ἰησοῦς, ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν, ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. ἀνέπεσον οὖν οἱ ἄν-

ὅρος λβ΄
Λουκᾶς

τον τὸν λόγον ὕπαγε, ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου. Ὅτι δεῖ τὰ ἐπιβάλλοντα ἑκάστῳ εὐγνωμόνως ἀποδιδόναι. Καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις· ἔξεστιν ἡμῖν καίσαρι φόρον δοῦναι, ἢ οὔ; κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν, εἶπε πρὸς αὐτούς· τί με πειράζετε· δείξατέ μοι δηνάριον, τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; ἀποκριθέντες δὲ εἶπον, καίσαρος· ὁ δὲ εἶπεν αὐτοῖς, ἀπόδοτε οὖν τὰ καίσαρος καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ.

τοῦ ἀποστ.

Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμήν, τὴν τιμήν· μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν.

ὅρος λγ΄

Ὅτι οὐ δεῖ σκανδαλίζειν. Ὃς δ᾽ ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης· καὶ πάλιν, οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται.

πρὸς ῥωμ.

Ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον. Ὅτι πᾶν τὸ ἀντικείμενον τῷ τοῦ κυρίου θελήματι σκάνδαλόν ἐστιν.

Ματθαῖος

Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων, καὶ ἀποκτανθῆναι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ, λέγων· ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται σοι τοῦτο· ὁ δὲ στραφεὶς εἶπε τῷ Πέτρῳ· ὕπαγε ὀπίσω μου σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. Ὅτι δεῖ καὶ τὸ συγκεχωρημένον ἀπὸ τῆς γραφῆς πρᾶγμα, ἢ ῥῆμα παραιτεῖσθαι, ὅταν οἰκοδομῶνται ἄλλοι ἐν τούτῳ ὁμοίως εἰς ἁμαρτίαν, ἢ ἐκκόπτωνται τῆς περὶ τὰ καλὰ προθυμίας.

πρὸς κορ. α΄

Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς θεός, εἰ μὴ εἷς· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί· ἀλλ᾽ ἡμῖν εἷς θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα, καὶ ἡμεῖς δι᾽ αὐτοῦ. ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δὲ τῇ συνειδήσει ἕως ἄρτι τοῦ εἰδώλου, ὡς εἰδωλόθυτον ἐσθίουσι· καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται. Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα. Βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν. ἐὰν γάρ τις ἴδῃ σὲ τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν· καὶ ἀπόλλυται ὁ ἀσθενῶν ἐν τῇ σῇ γνώσει ἀδελφός· δι᾽ ὃν Χριστὸς ἀπέθανεν. οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου καὶ Κηφᾶς; ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; καὶ τὰ ἑξῆς. Ὅτι ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τινά, ποιεῖν δεῖ, καὶ ὃ μὴ ἐπάναγκες.

Ματθαῖος

Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναούμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον· ὁ διδάσκαλος ὑμῶν, οὐ τελεῖ τὰ δίδραχμα; λέγει, ναί· καὶ ὅτε εἰσῆλθον εἰς τὴν οἰκίαν προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων, τί σοι δοκεῖ Σίμων, οἱ βασιλεῖς τῆς γῆς, ἀπὸ τίνων λαμβάνουσι τέλη, ἢ κῆνσον, ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; λέγει αὐτῷ ὁ Πέτρος, ἀπὸ τῶν ἀλλοτρίων· λέγει αὐτῷ ὁ Ἰησοῦς· ἄραγε, ἐλεύθεροι εἰσὶν οἱ υἱοί· ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν, ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα, ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. Ὅτι ἐπὶ τοῖς τοῦ κυρίου θελήμασι κἂν σκανδαλίζωνταί τινες, ἀνενδότως ἐπιδείκνυσθαι δεῖ τὴν παρρησίαν.

Ματθαῖος

Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον· τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ· οἶδας ὅτι οἱ φαρισαῖοι ἀκούσαντες τὸν λόγον, ἐσκανδαλίσθησαν; ὁ δὲ ἀποκριθεὶς εἶπε· πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. ἄφετε αὐτούς. τυφλοί

πούμενοι εἰσίν. σταθεὶς δὲ ὁ πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς. ἄνδρες ἰουδαῖοι, καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν, ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας, ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου ἰωήλ. καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις λέγει ὁ θεὸς ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, ἐπὶ πᾶσαν σάρκα. καὶ προφητεύσουσι. καὶ τὰ ἑξῆς. Ὅτι δεῖ καὶ τοῖς ἐν τῇ φύσει, καὶ τῇ συνηθείᾳ τοῦ βίου γνωριζομένοις κεχρῆσθαι εἰς βεβαίωσιν τῶν γινομένων, ἢ λεγομένων. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων. ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. ἀπὸ τῶν καρπῶν αὐτῶν, ἐπιγνώσεσθε αὐτούς. μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν, ἢ ἀπὸ τριβόλων σῦκα; οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ. τὸ δὲ σαπρὸν, καρποὺς πονηροὺς ποιεῖ. καὶ τὰ ἑξῆς. Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν, καὶ οἱ φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες, διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτοῖς. οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Ὅτι οὐ δεῖ ταῖς ἀλλοτρίαις τῆς τοῦ κυρίου διδασκαλίας ἐξομοιοῦσθαι. μιμεῖσθαι δὲ τὸν θεὸν, καὶ τοὺς ἁγίους αὐτοῦ κατὰ τὴν δοθεῖσαν ἡμῖν παρ' αὐτοῦ δύναμιν. Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. οὐχ οὕτως ἔσται ἐν ὑμῖν. ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν γενέσθαι πρῶτος, ἔσται ὑμῶν διάκονος. καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν πρῶτος εἶναι, ἔσται ὑμῶν δοῦλος. ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ θεοῦ. Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ χριστοῦ. Ὅτι οὐ δεῖ ἁπλῶς, οὐδὲ ἀνεξετάστως ἀπὸ τῶν ὑποκρινομένων τὴν ἀλήθειαν συναρπάζεσθαι. ἀπὸ δὲ τοῦ δεδομένου ἡμῖν παρὰ τῆς γραφῆς χαρακτῆρος γνωρίζειν ἕκαστον. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων. ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. ἀπὸ τῶν καρπῶν αὐτῶν, ἐπιγνώσεσθε αὐτούς. Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν λέγει ἀνάθεμα ἰησοῦν. Ὅτι δεῖ ἕκαστον διὰ τῶν οἰκείων ἔργων πιστοῦσθαι τὸ ἑαυτοῦ ἐπάγγελμα. Αὐτὰ τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με ἀπέσταλκεν. εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύσατε. ἵνα γνῶτε καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ. Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία. ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτούς, ὡς θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσι. καὶ τὰ ἑξῆς. Ὅτι οὐ δεῖ τὰ ἅγια τῇ ἐπιμιξίᾳ τῶν πρὸς τὴν κοινὴν χρείαν καθυβρίζειν. Καὶ εἰσῆλθεν ὁ ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς. καὶ λέγει αὐτοῖς. γέγραπται, ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται. ὑμεῖς δὲ ἐποιήσατε αὐτὸν σπήλαιον λῃστῶν. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχησθε. Ὅτι τὸ ἐπονομαζόμενον τῷ θεῷ μέχρι τότε ὡς ἅγιον τιμᾶν δεῖ, μέχρις οὗ τὸ τοῦ θεοῦ θέλημα φυλάσσεται ἐπ' αὐτῷ. Ἱερουσαλήμ, ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε. ἰδού, ἀφίεται ὑμῖν ὁ οἶκος ἔρημος. Ὅτι οὐ δεῖ τὰ τοῖς ἀνακειμένοις τῷ θεῷ ἀφωρισμένα εἰς ἑτέρους ἀναλίσκειν, εἰ μή τι ἂν ἐκ τοῦ περισσεύματος. Ἦν δὲ γυνὴ ἑλληνὶς συροφοινίκισσα τῷ γένει, καὶ ἠρώτα αὐτόν, ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς, ὁ δὲ εἶπεν. ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα, οὐ γάρ καλόν ἐστι λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ ἀπεκρίθη καὶ εἶπεν αὐτῷ. ναὶ κύριε, καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν παιδίων, καὶ εἶπεν αὐτῇ διὰ τοῦ

Ματθαῖος

Λουκᾶς

πρὸς τιμό. β
Ματθαῖος

Ματθαῖος

πρὸς ῥωμ.

πρὸς κορ. α
ὅρος, κη
Ματθαῖος

Ἰωάννης
πρὸς κορ. α
ὅρος, κθ

τοῦ ἀποστ.

ὅρος, λ΄
Ματθαῖος

πρὸς κορ. α

Ματθαῖος

ὅρος λα
Μάρκος

οἱ ζῶντες, μηκέτι ἑαυτοῖς ζῶσιν· ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι.

λουκᾶς

Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς λέγων· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ αἵματί μου τῷ ὑπὲρ ὑμῶν ἐκχυνομένῳ.

πρὸς κορ. α

Ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε, λάβετε, φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε ἄχρις οὗ ἂν ἔλθῃ.

πρὸς κορ. β

Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν· ἄρα οἱ πάντες ἀπέθανον, καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. εἰς τὸ γενέσθαι τοὺς πολλοὺς ἓν σῶμα ἐν Χριστῷ. ὁ ἄρτος ὃν κλῶμεν οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. *Ὅτι δεῖ τοὺς μεταλαμβάνοντας τῶν ἁγίων, ὑμνεῖν τὸν κύριον.*

ματθαῖος

Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ τὰ ἑξῆς. εἶτ᾽ ἐπιφέρει· καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. *Ὅτι ἡ ἐργασία τῆς ἁμαρτίας ἀπαλλοτριοῖ τοῦ κυρίου καὶ προσοικειοῖ τῷ διαβόλῳ.*

ὅρος, κβ'
ἰωάννης

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.

πρὸς ῥωμ.

Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ.

Ὅτι πρὸς τὸν κύριον οἰκειότης, οὐκ ἐν τῇ κατὰ σάρκα συγγενείᾳ γνωρίζεται, ἀλλ᾽ ἐν τῇ [illegible] τοῦ θελήματος τοῦ θεοῦ κατορθοῦται.

ἰωάννης

Ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει.

λουκᾶς

Καὶ ἀπηγγέλη αὐτῷ λεγόντων, ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες.

ἰωάννης

Ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν.

πρὸς ῥωμ.

Ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι υἱοὶ θεοῦ εἰσιν. *Ὅτι ὁ ἄκων ἑλκόμενος ὑπὸ ἁμαρτίας ὀφείλει γνωρίζειν ἑαυτὸν ὑφ᾽ ἑτέρας προϋπαρχούσης κρατούμενον ἁμαρτίας· ᾗ ἑκὼν δουλεύων ἄγεται λοιπὸν ὑπ᾽ αὐτῆς, καὶ ἐφ᾽ ἃ μὴ θέλει.*

ὅρος κγ'
πρὸς ῥωμ.

Οἴδαμεν δὲ ὅτι ὁ νόμος πνευματικός ἐστιν, ἐγὼ δὲ σαρκικός εἰμι πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω. οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ᾽ ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ, ὅτι καλός. νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. οἶδα δὲ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου ἀγαθόν. τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὐχ εὑρίσκω. οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ᾽ ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω. εἰ δὲ ὃ οὐ θέλω ἐγώ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. *Ὅτι οὐ δεῖ ψεύδεσθαι, ἀλλ᾽ ἀληθεύειν ἐν παντί.*

ὅρος κδ'
ματθαῖος

Ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ, ναί· οὔ, οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.

πρὸς ἐφεσ.

Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ. μὴ ψεύδεσθε εἰς ἀλλήλους.

Ὅτι οὐ δεῖ ζητήσεις ἀνωφελεῖς, ἢ φιλονεικίας ποιεῖσθαι.

πρὸς τιμ. β

Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ κυρίου, μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας. *Ὅτι οὐ δεῖ προΐεσθαι λόγον ἀργὸν, ἐξ οὗ οὐδὲν ὄφελος· τὸ γὰρ μὴ πρὸς οἰκοδομὴν τῆς πίστεως λαλεῖν, ἢ ποιεῖν καὶ αὐτὸ τὸ ἀγαθὸν λυπεῖν ἐστι τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ.*

ματθαῖος

Λέγω ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

πρὸς ἐφεσ.

Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. ἀλλ᾽ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσι, καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. *Ὅτι δεῖ πᾶν ῥῆμα, ἢ πρᾶγμα πιστοῦσθαι τῇ μαρτυρίᾳ τῆς θεοπνεύστου γραφῆς εἰς πληροφορίαν μὲν τῶν ἀγαθῶν, ἐντροπὴν δὲ τῶν πονηρῶν.*

ὅρος, κε'
ματθαῖος

Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· εἰ υἱὸς εἶ τοῦ θεοῦ εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀποκριθεὶς εἶπε· γέγραπται, οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.

πράξεις

Καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. ἐξίσταντο δὲ πάντες, καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες, τί ἂν θέλοι εἶναι τοῦτο. ἕτεροι δὲ χλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμε

τοῖς ἔχειν τὴν διάνοιαν. Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου· ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ. καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ. καὶ περὶ προσευχῆς ὁμοίως. — Ματθαῖος

Ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἰωάννης λέγων· διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν· καὶ ἐκωλύσαμεν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν. ὁ δὲ Ἰησοῦς εἶπε· μὴ κωλύετε αὐτόν· οὐδεὶς γάρ ἐστιν, ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνήσεται ταχὺ κακολογῆσαί με· ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστι. — Ἰωάννης

Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν· οἱ μὲν ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι· οἱ δὲ ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου. τί γάρ; πλὴν παντὶ τρόπῳ εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται· καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. — πρὸς φιλιπ.

Ὅτι δεῖ τοὺς πιστεύοντας τῷ κυρίῳ βαπτίζεσθαι εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. — ὅρος κ'. Ματθαῖος

Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ. καὶ πάλιν· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. — Ἰωάννης

Τίς ὁ λόγος, ἢ ἡ δύναμις τοῦ βαπτίσματος, τὸ ἀλλοιωθῆναι τὸν βαπτιζόμενον κατά τε νοῦν, καὶ λόγον, καὶ πρᾶξιν, καὶ γενέσθαι ἐκεῖνο κατὰ τὴν δοθεῖσαν δύναμιν, ὅπερ ἐστί, τὸ ἐξ οὗ ἐγεννήθη.

Τὸ γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστι. μὴ θαυμάσῃς, ὅτι εἶπόν σοι, δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. τὸ πνεῦμα, ὅπου θέλει πνεῖ· καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει. οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ πνεύματος. — Ἰωάννης

Τὸ νεκρωθῆναι μὲν τῇ ἁμαρτίᾳ, ζῆσαι δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ. ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. — πρὸς ῥωμ.

Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι· ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. — πρὸς κορ.

Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνεδυσάμεθα· οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, πάντες γὰρ ὑμεῖς ἕν ἐστε ἐν Χριστῷ Ἰησοῦ. — πρὸς γαλά.

Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι Χριστός. — πρὸς κολα.

Ὅτι ἀναγκαία καὶ πρὸς αὐτὴν τὴν αἰώνιον ζωὴν ἡ μετάληψις τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. — ὅρος κα'. Ἰωάννης

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ τὰ ἑξῆς.

Ὅτι οὐδὲν ὠφελεῖται ὁ ἄνευ τῆς κατανοήσεως τοῦ λόγου, καθ' ὃν δίδοται ἡ μετάληψις τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ, προσερχόμενος τῇ κοινωνίᾳ· ὁ δὲ ἀναξίως μεταλαμβάνων, κατακέκριται.

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. καὶ μετ' ὀλίγα· εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον· ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν, τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν, πνεῦμά ἐστι, καὶ ζωή ἐστιν. — Ἰωάννης

Ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦτο ἀναξίως τοῦ κυρίου, ἔνοχος ἔσται τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ κυρίου. δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. — πρὸς κορινθ.

Ποίῳ λόγῳ δεῖ ἐσθίειν τὸ σῶμα, καὶ πίνειν τὸ αἷμα τοῦ κυρίου, εἰς ἀνάμνησιν τῆς τοῦ κυρίου μέχρι θανάτου ὑπακοῆς, ἵνα

χωρὶς γογγυσμῶν, καὶ διαλογισμῶν. [πρὸς τιμό. α΄] Τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς. [πρὸς τιμό.] Ἔχων πίστιν, καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν.

Ὅτι ἀπὸ τῆς περὶ τὰ ἐλάττονα εὐγνωμοσύνης, ἡ ἐπὶ τοῖς μείζοσι τῆς ἀνταποδόσεως κρίσις δικαιοῦται.

[Ματθαῖος] Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα εἶς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. καὶ μετ᾽ ὀλίγα. τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ᾽ αὐτοῦ. [Λουκᾶς] Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει; καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει;

Ὅτι δεῖ τὰς ἐντολὰς τοῦ κυρίου μετὰ ἐπιθυμίας ἀκορέστου ποιεῖν ἀεὶ πρὸς τὸ πλεῖον ἐπειγόμενον.

[Ματθαῖος] Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. [πρὸς φιλιπ.] Ἐγὼ ἀδελφοὶ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι. ἓν δέ, τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐν χριστῷ ἰησοῦ.

Ὅτι δεῖ τὰς ἐντολὰς τοῦ θεοῦ οὕτω ποιεῖν, ὡς τό, ὅσον ἐπὶ τῷ ποιοῦντι, φωτίζεσθαι τοὺς πάντας καὶ τὸν θεὸν δοξάζεσθαι.

[Ματθαῖος] Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. οὐ δύναται πόλις κρυβῆναι, ἐπάνω ὄρους κειμένη. οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς. [Λουκᾶς] Οὐδεὶς δὲ λύχνον ἅψας κρύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ᾽ ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς. [πρὸς φιλιπ.] Ἵνα ἦτε εἰλικρινεῖς, καὶ ἀπρόσκοποι εἰς ἡμέραν χριστοῦ, πεπληρωμένοι καρπῶν δικαιοσύνης, διὰ ἰησοῦ χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον θεοῦ.

[ὅρος, ιϛ΄.] Ὅτι οὐ δεῖ ἐμποδίζειν τῷ ποιοῦντι θέλημα θεοῦ, εἴτε κατ᾽ ἐντολὴν θεοῦ, εἴτε κατὰ λόγον ἀκολουθοῦντα τῇ ἐντολῇ. οὔτε μὴν ποιοῦντα ἀνέχεσθαι τῶν κωλυόντων, κἂν γνήσιοι ὦσιν, ἀλλ᾽ ἐπιμένειν τῇ κρίσει.

[Ματθαῖος] Τότε παραγίνεται ὁ ἰησοῦς ἀπὸ τῆς γαλιλαίας ἐπὶ τὸν ἰορδάνην πρὸς τὸν ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ. ὁ δὲ ἰωάννης διεκώλυεν αὐτόν, λέγων, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ἀποκριθεὶς δὲ ὁ ἰησοῦς, εἶπε πρὸς αὐτόν, ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. καὶ τὰ ἑξῆς. [Ματθαῖος] Ἀπὸ τότε ἤρξατο ὁ ἰησοῦς, δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων. καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. καὶ προσλαβόμενος αὐτὸν ὁ πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων. ἵλεώς σοι κύριε. οὐ μὴ ἔσται σοι τοῦτο. ὁ δὲ στραφεὶς, εἶπε τῷ πέτρῳ, ὕπαγε ὀπίσω μου σατανᾶ. σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. [Μάρκος] Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα αὐτῶν ἅψηται. οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσι. ἰδὼν δὲ ὁ ἰησοῦς, ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς. ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. [πράξεις] Ἐπιμενόντων δὲ ἡμέρας πλείους, κατῆλθέ τις ἀπὸ τῆς ἰουδαίας προφήτης ὀνόματι ἄγαβος. καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην παύλου, καὶ δήσας ἑαυτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας, εἶπε. τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν ἐν ἱλὴμ οἱ ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν. ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε, καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν εἰς ἱλήμ. ἀπεκρίθη δὲ ὁ παῦλος. τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἰησοῦ. μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν εἰπόντες, τὸ θέλημα τοῦ κυρίου γενέσθω. [πρὸς θεσσα. α΄] Τῶν καὶ τὸν κύριον ἀποκτεινάντων ἰησοῦν, καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ᾽ αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

Ὅτι τὸν ποιοῦντα ἐντολὴν θεοῦ μὴ ἐκ διαθέσεως ὑγιοῦς, κατά γε μὴν τὸ φαινόμενον σώζοντα τὴν ἀκρίβειαν τῆς τοῦ κυρίου διδασκαλίας, κωλύειν μὲν οὐ χρὴ διὰ τὸ ὅσον ἐπὶ τῷ πράγματι μηδένα βλάπτεσθαι, ἐνίοτε δὲ καὶ ὠφελεῖσθαι τινὰς δι᾽ αὐτοῦ, παραινεῖν δὲ αὐτῷ ἀξίαν τοῦ κατορθώματος ἔχειν.

θέρου. τῇ ἐλευθερίᾳ οὖν, ᾗ χριστὸς ἡμᾶς ἠλευθέρωσε στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. Ὅτι οὐ δεῖ τοῖς ἄλλων κατορθώμασιν ἐλπίζοντας, τοῦ καθ' ἑαυτὸν ἀμελεῖν.

ὅρος, ιέ.

Ματθαῖος

Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν ἀβραάμ. Ὅτι οὐδὲν ὠφελοῦνται οἱ συζῶντες τοῖς ἀρέσκουσι τῷ θεῷ, καὶ τὸ ἑαυτῶν φρόνημα μὴ κατορθοῦντες, κἂν κατὰ τὸ φαινόμενον σώζωσι τὴν πρὸς αὐτοὺς ὁμοιότητα.

Μάρκος

Λουκᾶς ἕως ιθ.

Ματθαῖος

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πέντε δὲ ἐξ αὐτῶν ἦσαν φρόνιμοι, καὶ αἱ πέντε μωραί. αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον. αἱ δὲ φρόνιμοι ἔλαβον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. εἰς ἐπιφέρει μετ' ὀλίγα ὕστερον τῶν μωρῶν κύριε κύριε ἄνοιξον ἡμῖν. ὁ δὲ ἀποκριθεὶς εἶπε. λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Λέγω ὑμῖν ταύτῃ τῇ νυκτὶ δύο ἔσονται ἐπὶ κλίνης μιᾶς. εἷς παραληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται. δύο ἀλήθουσαι ἐπὶ τὸ αὐτό. μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσεται. καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, ποῦ κύριε; ὁ δὲ εἶπεν αὐτοῖς. ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί.

Λουκᾶς

Ὅτι δεῖ τὸν ἐνεστῶτα καιρὸν, ἀπὸ τῶν δεδηλωμένων ἡμῖν παρὰ τῆς γραφῆς σημείων, γνωρίζοντας ὁποῖός ἐστιν, ἐστοχασμένως τούτου τὰ καθ' ἑαυτοὺς διατιθέναι.

ὅρος, ιζ.

Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος. οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε, ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐθέως λέγετε, ὅτι ὄμβρος ἔρχεται, καὶ γίνεται οὕτως. καὶ ὅταν νότον πνέοντα, λέγετε, ὅτι καύσων ἔσται, καὶ γίνεται. ὑποκριταὶ, τὸ πρόσωπον τῆς γῆς, καὶ τοῦ οὐρανοῦ οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον, πῶς οὐ δοκιμάζετε; Ὁ καιρὸς συνεσταλμένος ἐστὶν τὸ λοιπὸν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσι. καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες. καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες. καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες. καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ παραχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

Ματθαῖος

Λουκᾶς

πρὸς κορ. α.

Ὅτι δεῖ τὰς ἐντολὰς τοῦ θεοῦ, οὕτω ποιεῖν, ὡς ὁ κύριος προσέταξεν. ὁ γὰρ ὑπαλλάττων τὸν τρόπον τῆς ἐργασίας διαπλάττων, κἂν δόξῃ ποιεῖν τὴν ἐντολὴν, ἀδόκιμος ἐστὶ παρὰ τῷ θεῷ.

ὅρος, κ.

Ἔλεγε δὲ καὶ τῷ κεκληκότι αὐτὸν, ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μὴ δὲ τοὺς ἀδελφούς σου, μὴ δὲ τοὺς συγγενεῖς σου, μὴ δὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα. ἀλλ' ὅταν ποιῇς δοχὴν κάλει πτωχοὺς, ἀναπήρους, χωλοὺς, τυφλοὺς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι. ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.

Λουκᾶς

Ὅτι οὐ δεῖ τὴν τοῦ θεοῦ ἐντολὴν διὰ τὴν πρὸς ἀνθρώπους ἀρέσκειαν, ἢ δι' ἄλλο τι πάθος ποιεῖν, ἀλλ' ἐν παντὶ σκοπὸν ἔχειν τῷ θεῷ ἀρέσαι, καὶ θεὸν δοξάσαι. Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν, μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς εἰ δὲ μήγε μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθεν τῶν ἀνθρώπων, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. καὶ τὰ ἑξῆς. Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε προφάσει πλεονεξίας, θεὸς μάρτυς. οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων. Ὅτι δεῖ τὰς ἐντολὰς τοῦ κυρίου μετὰ συνειδήσεως καὶ ἐξετάσεως ἀγαθῆς πρός τε θεὸν καὶ ἀνθρώπους ποιεῖν ὁ γὰρ μὴ οὕτως ποιῶν, κατακέκριται. Οὐαὶ ὑμῖν γραμματεῖς, καὶ φαρισαῖοι ὑποκριταί. ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου, καὶ τῆς παροψίδος. ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας. φαρισαῖε τυφλὲ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτοῦ καθαρόν. Ὁ μεταδιδοὺς ἐν ἁπλότητι. Πάντα ποιεῖτε.

Ματθαῖος

πρὸς κορ. α.

πρὸς θεσσ.

Ματθαῖος

πρὸς ῥωμ.

πρὸς φιλιπ.

λουκᾶς
χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Ἐκεῖνος δὲ ὁ
δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέ-
λημα αὐτοῦ, δαρήσεται πολλάς. ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται
ὀλίγας.

ὅρος, ι'
Ὅτι τέλος ἁμαρτίας θάνατος.

ἰωάννης
Ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωήν· ἀλλ᾽ ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ᾽ αὐτόν.

πρὸς ῥωμ.
Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ, τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε. τὸ μὲν γὰρ τέλος ἐκείνων θάνατος. καὶ μετ᾽ ὀλίγα, τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος. τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία.

ἰωάννης
Ὅτι τέλος ἐντολῆς θεοῦ, ζωὴ αἰώνιος.

Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα.

ἰωάννης
Ἀλλ᾽ ὁ πέμψας με πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε τί εἴπω, καὶ τί λαλήσω, καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι.

πρὸς ῥωμ.
Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ· ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, ζωὴν αἰώνιον.

ὅρος, ια'
Ὅτι οὐ δεῖ καταφρονεῖν κριμάτων θεοῦ, ἀλλὰ φοβεῖσθαι, κἂν μὴ παραυτίκα τὴν ἀνταπόδοσιν ἔχῃ.

ματθαῖος
Φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν, καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

λουκᾶς
Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν δὲ, καὶ πίνειν, καὶ μεθύσκεσθαι, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ. καὶ ἐν ὥρᾳ, ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

ἰωάννης
Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται.

πρὸς ἐφεσ.
Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ, ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

πρὸς ἐφεσ.
Ὅτι ὁ ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι παιδευθεὶς, καὶ τῆς ἀφέσεως καταξιωθεὶς, ἐὰν πάλιν ἁμάρτῃ, χείρονα τοῦ προτέρου κατασκευάζει ἑαυτῷ τὸ κρίμα τῆς ὀργῆς.

Ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε ἵνα μὴ χεῖρόν τί σοι γένηται.

Ὅτι κρίματι ὀργῆς θεοῦ τινῶν ὑποπεσόντων τοὺς λοιποὺς φοβουμένους παιδεύεσθαι δεῖ.

λουκᾶς
Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν γαλιλαίων, ὧν τὸ αἷμα πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτοῖς. δοκεῖτε ὅτι οἱ γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς γαλιλαίους ἐγένοντο. ὅτι τοιαῦτα πεπόνθασιν; οὐχὶ λέγω ὑμῖν, ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε. ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ᾽ οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ σιλωὰμ καὶ ἀπέκτεινεν αὐτοὺς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς κατοικοῦντας ἐν ἰλὴμ; οὐχὶ λέγω ὑμῖν. ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε.

πράξεων
Ἀκούων δὲ ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξε. καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

πρὸς κορ. α'
Μηδὲ γογγύζετε καθάπερ τινὲς αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. ταῦτα δὲ τύποι συνέβαινον ἐκείνοις. ἐγράφη δὲ πρὸς νουθεσίαν ὑμῶν εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν.

Ὅτι καὶ αὐτοῖς τοῖς τῆς κακίας ἔργοις πρὸς τιμωρίαν πολλάκις παραδίδονταί τινες, διὰ τὴν προϋπάρχουσαν ἀσέβειαν.

πρὸς ῥωμ.
Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα.

πρὸς θεσσ.
Ἀνθ᾽ ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτοὺς, διὰ τοῦτο πέμπει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει.

Ὅτι οὐχὶ πλῆθος ἁμαρτωλῶν δυσωπεῖ τὸν θεὸν, ἀλλ᾽ ὁ εὐαρεστῶν αὐτῷ, κἂν εἷς τυγχάνῃ κἂν γυνή.

λουκᾶς
Ἐπ᾽ ἀληθείας λέγω ὑμῖν, ὅτι πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις ἠλιοῦ ἐν τῷ ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία, καὶ μῆνας ἕξ. ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη ἠλίας, εἰ μὴ εἰς σάρεπτα τῆς σιδῶνος πρὸς γυναῖκα χήραν.

πρὸς κορ. α'
Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ὅτι οἱ πατέρες ὑμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν μωσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. ἡ δὲ πέτρα ἦν ὁ χριστός. ἀλλ᾽ οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός. κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

ὅρος, ιβ'
Ὅτι πᾶσα ἀντιλογία, καὶ ἐκ φιλονεικίας, καὶ κακοήθους διαθέσεως γίνεται, ἀπαλλοτριοῖ

που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας σάῤῥας. εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει δοὺς δόξαν τῷ θεῷ. καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

ὅτι ὁ ἐπὶ τοῖς ἐλάττοσι μὴ πιστεύων τῷ κυρίῳ, δῆλος ἐστὶ καὶ πολὺ πρότερον ἐπὶ τοῖς μείζοσιν ἀπιστῶν.

Ἰωάννης

Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε;

λουκᾶς

Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι. καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστι.

ὅτι οὐ χρὴ λογισμοῖς ἰδίοις ἐπερείδεσθαι ἐπὶ ἀθετήσει τῶν ὑπὸ τοῦ κυρίου λεγομένων. ἀξιοπιστότερα δὲ εἰδέναι τῆς ἰδίας πληροφορίας τὰ τοῦ κυρίου ῥήματα.

ματθαῖος

Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς, πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ. καὶ εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. ἔφη αὐτῷ ὁ Ἰησοῦς. ἀμὴν λέγω σοι, ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με.

ματθαῖος

Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα μαθητῶν. καὶ ἐσθιόντων αὐτῶν, λέγει αὐτοῖς. λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν. μήτι ἐγώ εἰμι κύριε;

πράξεις

Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν, ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε. ὁ δὲ Πέτρος, μηδαμῶς κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν, ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

πρὸς κορ. β.

Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ.

ὅτι οὐ δεῖ ἀμελεῖν τῆς τῶν ὑπερβαλλόντων γνώσεως μετὰ προσοχῆς δέ, τὸν τοῦ κυρίου λόγον ἀκούοντα, συνιέναι, καὶ ποιεῖν τὸ θέλημα αὐτοῦ.

ματθαῖος

Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ. φράσον ἡμῖν τὴν παραβολὴν ταύτην. ὁ δὲ Ἰησοῦς εἶπεν. ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρδίας ἐξέρχεται, καὶ κοινοῖ τὸν ἄνθρωπον.

ματθαῖος

Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρός, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ, οὗτος ἐστὶν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. καὶ μετ' ὀλίγον, ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρείς, οὗτος ἐστὶν ὁ τὸν λόγον ἀκούων καὶ συνιών, ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ, ὁ μὲν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.

μάρκος

Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον, εἶπεν αὐτοῖς. ἀκούετέ μου, καὶ συνίετε.

πρὸς ἐφεσίους

Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι. ἀλλ' ὡς σοφοί. ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ θεοῦ.

ὅτι περὶ τῶν μὴ ὑπερβαλλόντων οὐ δεῖ πολυπραγμονεῖν.

μάρκος

Καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς. λέγει αὐτῷ ὁ Ἰησοῦς. ὃ ποιεῖς, ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων, πρὸς τί εἶπεν αὐτῷ.

πράξεις

Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν λέγοντες. κύριε εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; εἶπε δὲ πρὸς αὐτούς, οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους, ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

Ὅτι ἴδιον τῶν ἐχόντων σπουδὴν τῆς πρὸς θεὸν ἀρεσκείας, τό, καὶ ἐπερωτᾶν περὶ ὧν δεῖ.

ματθαῖος

Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες, φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ.

ματθαῖος

Καὶ ἰδοὺ εἷς προσελθὼν εἶπεν αὐτῷ, διδάσκαλε ἀγαθέ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον;

λουκᾶς

Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις, βαπτισθῆναι ὑπ' αὐτοῦ. γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς. καὶ μετ' ὀλίγα. καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες, τί ποιήσομεν; ὁμοίως τελῶναι, ὁμοίως στρατευόμενοι.

πράξεις

Ἀκούσαντες δὲ κατενύγησαν τὴν καρδίαν, εἶπόν τε πρὸς τὸν Πέτρον, καὶ τοὺς λοιποὺς ἀποστόλους, τί ποιήσομεν ἄνδρες ἀδελφοί;

Ὅτι δεῖ ἐπερωτωμένῳ φροντίζειν, ἀξιολόγως ἀποκρίνεσθαι.

λουκᾶς

Καὶ ἰδού, νομικός τις ἀνέστη ἐκπειράζων αὐτόν, καὶ λέγων, διδάσκαλε, τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω; εἶπε δὲ πρὸς αὐτόν, ἐν τῷ νόμῳ τί γέγραπται, πῶς ἀναγινώσκεις; ὁ δὲ ἀποκριθεὶς εἶπεν, ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου. καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. εἶπε δὲ πρὸς αὐτόν, ὀρθῶς ἀπεκρίθης. τοῦτο ποίει, καὶ ζήσῃ.

πρὸς κολ.

Ὁ λόγος ὑμῶν πάντοτε ἐν χά-

ἐστι, ἔλαττι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ἑτοιμάσας, μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. ὅτι τέλος ἁμαρτίας θάνατος. ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωήν. ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ' αὐτόν. Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ, τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε. τὸ μὲν γὰρ τέλος ἐκείνων θάνατος. καὶ μετ' ὀλίγα, τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος. τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία. ὅτι τέλος ἐντολῆς θεοῦ, ζωὴ αἰώνιος. Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. Ἀλλ' ὁ πέμψας με πατήρ, αὐτός μοι ἐντολὴν ἔδωκε τί εἴπω, καὶ τί λαλήσω, καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν. τὸ δὲ τέλος, ζωὴν αἰώνιον. ὅτι οὐ δεῖ καταφρονεῖν κριμάτων θεοῦ, ἀλλὰ φοβεῖσθαι, καὶ μὴ παραυτίκα τὴν ἀνταπόδοσιν ἔχει. Φοβεῖσθε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν, καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν δὲ, καὶ πίνειν, καὶ μεθύσκεσθαι, ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ. καὶ ἐν ὥρᾳ, ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ, ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

ὅτι ὁ ἐπὶ τοῖς πρώτοις ἁμαρτήμασι παιδευθεὶς, καὶ τῆς ἀφέσεως καταξιωθεὶς, ἐὰν πάλιν ἁμάρτῃ, χεῖρον τοῦ προτέρου κατασκευάζει ἑαυτῷ τὸ κρίμα τῆς ὀργῆς. Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε ἵνα μὴ χεῖρόν τί σοι γένηται. ὅτι κρίματι ὀργῆς θεοῦ τινῶν ἀποπεσόντων τοὺς λοιποὺς φοβουμένους παιδεύεσθαι δεῖ. Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν γαλιλαίων, ὧν τὸ αἷμα πιλάτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτοῖς. δοκεῖτε ὅτι οἱ γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς γαλιλαίους ἐγένοντο. ὅτι τοιαῦτα πεπόνθασιν; οὐχὶ λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε. ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ σιλωὰμ καὶ ἀπέκτεινεν αὐτοὺς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς κατοικοῦντας ἐν ἰλὴμ; οὐχὶ λέγω ὑμῖν. ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες ὡσαύτως ἀπολεῖσθε. Ἀκούων δὲ ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξε. καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Μηδὲ γογγύζετε καθάπερ τινὲς αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. ταῦτα δὲ τύποι συνέβαινον ἐκείνοις. ἐγράφη δὲ πρὸς νουθεσίαν ὑμῶν εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν. Ὅτι καὶ αὐτοῖς τοῖς τῆς κακίας ἔργοις πρὸς τιμωρίαν πολλάκις παραδίδοταί τις, διὰ τὴν ὑπάρχουσαν ἀσέβειαν.

Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα. Ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτοὺς, διὰ τοῦτο πέμπει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει. Ὅτι οὐχὶ πλῆθος ἁμαρτωλῶν δυσωπεῖ τὸν θεὸν, ἀλλ' ὁ ἀρεστῶν αὐτῷ, καὶ εἰς τυγχάνῃ καὶ μόνη. Ἐπ' ἀληθείας λέγω ὑμῖν, ὅτι πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις ἠλιοῦ ἐν τῷ ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία, καὶ μῆνας ἕξ. ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη ἠλίας, εἰ μὴ εἰς σάρεπτα τῆς σιδῶνος πρὸς γυναῖκα χήραν. Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ὅτι οἱ πατέρες ὑμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν μωσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. ἡ δὲ πέτρα ἦν ὁ χριστός. ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός. κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

ὅτι πᾶσα ἀντιλογία, καὶ ἐκ φιλονεικίας, καὶ ἐκ λαβροῦς διαθέσεως γίνεται, ἀπελλοτριοῖ

λουκᾶς · ῥωμ. ς' · ἰωάννης · πρὸς ῥωμ. · ἰωάννης · ἰωάννης · πρὸς ῥωμ. · ῥωμ. ια' · ματθαῖος · λουκᾶς · ἰωάννης · πρὸς φιλιπ. · πρὸς ἐφεσ. · λουκᾶς · πράξεις · πρὸς κορ. α' · πρὸς ῥωμ. · πρὸς θεσσ. · λουκᾶς · πρὸς κορ. α' · ῥωμ. ιβ'.

που ὑπάρχων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας· εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ
οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει δοὺς δόξαν τῷ θεῷ· καὶ πληροφορη-
θεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.
ὅτι ὁ ἐπὶ τοῖς ἐλάττοσι μὴ πιστεύων τῷ κυρίῳ, δῆλός ἐστι καὶ πολὺ πρότερον ἐπὶ τοῖς μείζοσιν
ἰωάννης
ἀπιστῶν. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια,
λουκᾶς
πιστεύσετε; Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ
ἐν πολλῷ ἄδικός ἐστι. ὅτι οὐ χρὴ λογισμοῖς ἰδίοις πείθεσθαι ἐπὶ ἀθετήσει τῶν ὑπὸ τοῦ
κυρίου λεγομένων· ἀξιοπιστότερα δὲ εἰδέναι τῆς ἰδίας πληροφορίας τὰ τοῦ κυρίου ῥήματα.
Ματθαῖος
Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς, πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ.
ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· καὶ εἰ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ δὲ οὐ-
δέποτε σκανδαλισθήσομαι· ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι, ἐν ταύτῃ τῇ νυκτὶ πρὶν
Ματθαῖος
ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με. Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδε-
κα μαθητῶν· καὶ ἐσθιόντων αὐτῶν, λέγει αὐτοῖς· λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώ-
σει με· καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· μήτι ἐγώ εἰμι κύριε;
πράξεις
Καὶ ἐγένετο φωνὴ πρὸς αὐτὸν, ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε· ὁ δὲ Πέτρος, μηδαμῶς
κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον· καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐ-
πρὸς κορ. β.
τὸν, ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαι-
ρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν
τοῦ χριστοῦ. ὅτι οὐ δεῖ ἀμελεῖν τῆς τῶν ἐπιβαλλόντων γνώσεως μετὰ προσοχῆς δὲ, τὸν
Ματθαῖος
τοῦ κυρίου λόγον ἀκούοντας, συνιέναι, καὶ ποιεῖν τὸ θέλημα αὐτοῦ. Ἀποκριθεὶς δὲ ὁ Πέ-
τρος εἶπεν αὐτῷ· φράσον ἡμῖν τὴν παραβολὴν ταύτην· ὁ δὲ Ἰησοῦς εἶπεν· ἀκμὴν καὶ
ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε, ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν
χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς καρ-
Ματθαῖος
δίας ἐξέρχεται, καὶ κοινοῖ τὸν ἄνθρωπον. Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας,
καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ,
οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς· καὶ μετ' ὀλίγον, ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς,
οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιὼν, ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ, ὁ μὲν ἑκατὸν, ὁ δὲ
Μάρκος
ἑξήκοντα, ὁ δὲ τριάκοντα. Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον, εἶπεν αὐτοῖς· ἀ-
πρὸς ἐφεσίους
κούετέ μου, καὶ συνίετε. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι,
ἀλλ' ὡς σοφοί· ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι· διὰ τοῦτο μὴ
γίνεσθε ἄφρονες, ἀλλὰ συνιοῦντες τί τὸ θέλημα τοῦ θεοῦ.
Μάρκος
ὅτι περὶ τῶν μὴ ἐπιβαλλόντων οὐ δεῖ πολυπραγμονεῖν. Καὶ μετὰ τὸ ψωμίον τότε
εἰσῆλθεν εἰς ἐκεῖνον ὁ σατανᾶς· λέγει αὐτῷ ὁ Ἰησοῦς· ὃ ποιεῖς, ποίησον τάχιον· τοῦτο
πράξεις
δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων, πρὸς τί εἶπεν αὐτῷ. Οἱ μὲν οὖν συνελθόντες ἐπη-
ρώτων αὐτὸν λέγοντες· κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσλ;
εἶπε δὲ πρὸς αὐτοὺς, οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους, ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰ-
δίᾳ ἐξουσίᾳ. Ὅτι ἴδιον τῶν ἐχόντων σπουδὴν τῆς πρὸς θεὸν εὐαρεστήσεως, τὸ, καὶ ἐ-
Ματθαῖος
περωτᾶν περὶ ὧν δεῖ. Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες, φράσον
Ματθαῖος
ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. Καὶ ἰδοὺ εἷς προσελθὼν εἶπεν αὐτῷ,
λουκᾶς
διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον; Ἔλεγεν οὖν τοῖς ἐκπο-
ρευομένοις ὄχλοις, βαπτισθῆναι ὑπ' αὐτοῦ· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυ-
γεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς. Καὶ μετ' ὀλίγα· καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες,
πράξεις
τί ποιήσομεν; ὁμοίως τελῶναι, ὁμοίως στρατευόμενοι. Ἀκούσαντες δὲ κατενύγησαν
τὴν καρδίαν, εἶπόν τε πρὸς τὸν Πέτρον, καὶ τοὺς λοιποὺς ἀποστόλους, τί ποιήσομεν ἄν-
δρες ἀδελφοί; Ὅτι δεῖ ἐπερωτωμένῳ φροντίζειν, ἀξιολόγως ἀποκρίνεσθαι.
λουκᾶς
Καὶ ἰδοὺ, νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν, καὶ λέγων, διδάσκαλε, τί ποιήσας, ζωὴν
αἰώνιον κληρονομήσω; εἶπε δὲ πρὸς αὐτὸν, ἐν τῷ νόμῳ τί γέγραπται, πῶς ἀναγινώ-
σκεις; ὁ δὲ ἀποκριθεὶς εἶπεν, ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου· καὶ ἐξ
ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. εἶπε δὲ
πρὸς κολ.
πρὸς αὐτὸν, ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χά-

παρακαλοῦμεν. Ὅτι τὴν κατὰ χριστὸν ἀγάπην ὁ ἔχων, ἐπειδὰν καὶ λυπεῖ πρὸς τὸ συμφέρον τὸν ἀγαπώμενον. Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με ποῦ ὑπάγεις. ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν. συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. ὥστε με μᾶλλον χαίρειν, ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην. βλέπω γὰρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς, νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν. ἐλυπήθητε γὰρ κατὰ θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.

ἰωάννης — πρὸς κορ. β

Ὅτι δεῖ ἀφόβως, καὶ ἀνεπαισχύντως παῤῥησιάζεσθαι ἐν τῇ ὁμολογίᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ καὶ τῶν λόγων αὐτοῦ. Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτί. καὶ ὃ εἰς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων. καὶ μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα. τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Πᾶς οὖν, ὅς τις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς, καὶ τῶν ἁγίων ἀγγέλων.
Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν. μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ ὡς καλὸς στρατιώτης ἰησοῦ χριστοῦ.

ὅρος, ιδ. — Ματθαῖος — Ματθαῖος — λουκᾶς — πρὸς τιμό. β

Ὅτι κἂν δοκῇ τις ὁμολογεῖν τὸν κύριον. καὶ ἀκούειν τῶν λόγων αὐτοῦ. ἀπειθῇ δὲ ταῖς ἐντολαῖς αὐτοῦ καταλείπεται, κἂν ἐν χαρίσμασί τινα μετέχοι, διά τινα οἰκονομίαν γενέσθαι συγχωρηθῇ.
Οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, κύριε κύριε οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς, ὅτι οὐδέποτε ἔγνων ὑμᾶς. ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. καὶ τὰ ἑξῆς.
Τί δέ με καλεῖτε κύριε κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; καὶ τὰ ἑξῆς.
Θεὸν ὁμολογοῦσιν εἰδέναι. τοῖς δὲ ἔργοις ἀρνοῦνται. βδελυκτοὶ ὄντες, καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

ὅρος, ζ. — Ματθαῖος — λουκᾶς — πρὸς τιμό. β

Ὅτι οὐ δεῖ διακρίνεσθαι, καὶ διστάζειν ἐπὶ τοῖς ὑπὸ τοῦ κυρίου λεγομένοις, ἀλλὰ πεπληροφορεῖσθαι πᾶν ῥῆμα θεοῦ ἀληθὲς εἶναι καὶ δυνατὸν, κἂν ἡ φύσις μάχηται. ἐν τούτῳ γὰρ καὶ ὁ ἀγὼν τῆς πίστεως.
Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἦλθε πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης. καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν λέγοντες. ὅτι φάντασμά ἐστι. καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν, εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ ἰησοῦς λέγων, θαρσεῖτε. ἐγώ εἰμι, μὴ φοβεῖσθε. ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπε. κύριε εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν ἰησοῦν. βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε, λέγων, κύριε σῶσόν με. εὐθέως δὲ ὁ ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ. καὶ λέγει αὐτῷ, ὀλιγόπιστε, εἰς τί ἐδίστασας; Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ ἰουδαῖοι λέγοντες. πῶς δύναται οὗτος ἡμῖν τὴν σάρκα δοῦναι φαγεῖν. εἶπεν οὖν αὐτοῖς. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Εἶπε δὲ αὐτῷ ὁ ἄγγελος. μὴ φοβοῦ ζαχαρία διότι εἰσηκούσθη ἡ δέησίς σου. καὶ ἡ γυνή σου ἐλισάβετ γεννήσει υἱόν σοι. καὶ μετ' ὀλίγα. καὶ εἶπε ζαχαρίας πρὸς τὸν ἄγγελον, κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῷ. ἐγώ εἰμι γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα. ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.
Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ αὐτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταέτης

ὅρος, η. — Ματθαῖος — ἰωάννης — λουκᾶς — πρὸς ῥωμ.

των. ἢ αἰσχυνομένων τινὸς ἢ καὶ ἐπ' ὀλίγον ἀφελκόντων ἐντολῆς θεοῦ.

Ματθαῖος

Ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.

Ματθαῖος

Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν.

ὅρος ϛ'.

Ὅτι πρώτη καὶ μεγάλη ἐντολὴ ἐν τῷ νόμῳ ὑπὸ τοῦ κυρίου ἐμαρτυρήθη, ἀγαπᾶν τὸν θεὸν ἐξ ὅλης τῆς καρδίας, καὶ δευτέρα, ἀγαπᾶν τὸν πλησίον, ὡς ἑαυτόν.

Ματθαῖος

Ὁ δὲ ἰησοῦς ἔφη αὐτῷ· ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου. αὕτη ἐστὶν ἡ πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ ὁμοία, αὕτη· ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

Ὅτι ἔλεγχος τοῦ μὴ ἀγαπᾶν τὸν θεόν, καὶ τὸν χριστὸν αὐτοῦ, τὸ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρεῖν, ἀπόδειξις δὲ τοῦ ἀγαπᾶν, ἡ τήρησις τῶν ἐντολῶν τοῦ χριστοῦ, ἐν ὑπομονῇ τῶν αὐτοῦ παθημάτων μέχρι θανάτου.

Ἰωάννης

Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.

πρὸς ῥωμ.

Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ χριστοῦ; θλῖψις, ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα; καθὼς γέγραπται, ὅτι ἕνεκά σου θανατούμεθα πᾶσαν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. καὶ τὰ ἑξῆς.

ὅρος, δ'.

Ὅτι τιμᾷ καὶ δοξάζει τὸν θεὸν ὁ τὸ θέλημα αὐτοῦ ἐργαζόμενος, ἀτιμάζει δὲ ὁ παραβαίνων αὐτοῦ τὸν νόμον.

Ἰωάννης

Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω.

Ματθαῖος

Οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς.

πρὸς φιλιπ.

Ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν χριστοῦ πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ ἰησοῦ χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον θεοῦ.

πρὸς ῥωμ.

Ὃς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις.

ὅρος, ε'.

Ὅτι δεῖ παντὸς μίσους πρὸς πάντας καθαρεύοντα, καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν, ὑπὲρ δὲ τῶν φίλων τὴν ψυχὴν τιθέναι ὅταν χρεία καλῇ. τοιαύτην ἔχοντα ἀγάπην, οἵαν ἔσχε πρὸς ἡμᾶς ὁ θεὸς καὶ ὁ χριστὸς αὐτοῦ.

Ματθαῖος

Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. καὶ μετ' ὀλίγα. Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν.

Ἰωάννης

Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν.

Ἰωάννης

Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς, μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

Λουκᾶς

Καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους, καὶ πονηρούς. γίνεσθε οὖν οἰκτίρμονες καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν.

πρὸς ῥωμ.

Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην ὁ θεὸς εἰς ἡμᾶς, ὅτι ἔτι ἁμαρτωλῶν ἡμῶν ὄντων χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν.

πρὸς ἐφεσί.

Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητά, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ.

Ὅτι ἀπόδειξίς ἐστι τῶν τοῦ χριστοῦ μαθητῶν ἡ ἐν αὐτῷ πρὸς ἀλλήλους ἀγάπη.

Ἰωάννης

Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.

Ὅτι ἔλεγχος τοῦ μὴ ἔχειν τὴν χριστοῦ ἀγάπην, πρὸς τὸν πλησίον τὸ ποιῆσαί τι τῶν βλαπτόντων, ἢ λυπούντων αὐτὸν εἰς ἐκκοπὴν τῆς πίστεως, κἂν συγκεχωρημένον ὑπὸ τῆς γραφῆς τῷ ἰδίῳ λόγῳ τὸ νόμιμον ᾖ.

πρὸς ῥωμ.

Εἰ γὰρ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ χριστὸς ἀπέθανεν.

Ὅτι δεῖ τὸν χριστιανὸν καὶ τὸν λυπούμενον κατ' αὐτοῦ παντὶ τρόπῳ τό γε ἐπ' αὐτῷ θεραπεύειν.

Ματθαῖος

Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.

πρὸς κορ.

Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι

παρουσίᾳ τίτου· οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει, ᾗ πα-
ρεκλήθη ἐφ᾽ ὑμῖν· ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμόν, τὸν ὑμῶν
ζῆλον ὑπὲρ ἐμοῦ· καὶ μετ᾽ ὀλίγα· ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς, πό-
σην κατειργάσατο ἐν ὑμῖν σπουδήν· ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φό-
βον, ἀλλ᾽ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν· ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁ-
γνοὺς εἶναι ἐν τῷ πράγματι·

πράξεις

Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι,
καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν· ἱκανοί τε τῶν τὰ περίεργα πραξάντων συγ-
κομίσαντες τὰς βίβλους κατέκαιον ἐνώπιον αὐτῶν· ὅτι τοῖς μετανοοῦσιν οὐκ ἀρ-
κεῖ πρὸς σωτηρίαν ἡ ἀναχώρησις μόνη τῶν ἁμαρτημάτων, χρεία δὲ αὐτοῖς καὶ καρπῶν
ἀξίων τῆς μετανοίας·

Ματθαῖος

Ἰδὼν δὲ πολλοὺς τῶν φαρισαίων καὶ σαδδουκαίων ἐρχομέ-
νους ἐπὶ τὸ βάπτισμα αὐτοῦ, εἶπεν αὐτοῖς· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν
ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξη-
τε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν
λίθων τούτων ἐγεῖραι τέκνα τῷ ἀβραάμ·

λουκᾶς

Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δέν-
δρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται·
ὅτι μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν, οὐκ ἔστι καιρὸς κατορθωμάτων, τοῦ θεοῦ τὸν παρόντα
καιρὸν ἐπιμετρήσαντος ἐν μακροθυμίᾳ, εἰς ἐργασίαν τῶν πρὸς τὴν αὐτοῦ εὐαρέστησιν·

Ματθαῖος

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμ-
πάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου· πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ
πέντε μωραί· αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔ-
λαιον, αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν· χρονίζον-
τος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον· μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν, ἰδοὺ ὁ
νυμφίος ἔρχεται· ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ· τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖ-
ναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν· αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον, δότε ἡμῖν ἐκ τοῦ
ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται· ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγου-
σαι, μήποτε οὐκ ἀρκέσῃ ἡμῖν, καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ
ἀγοράσατε ἑαυτοῖς· ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος, καὶ αἱ ἕτοιμοι εἰ-
σῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα· ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρ-
θένοι λέγουσαι, κύριε κύριε, ἄνοιξον ἡμῖν· ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς·

λουκᾶς

Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πολλοὶ λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν,
καὶ οὐκ ἰσχύσουσιν ἀφ᾽ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν καὶ ἄρξησθε
ἔξω ἑστάναι, καὶ κρούειν τὴν θύραν λέγοντες, κύριε κύριε ἄνοιξον ἡμῖν, καὶ ἀποκριθεὶς ἐρεῖ, οὐκ
οἶδα ὑμᾶς πόθεν ἐστέ·

πρὸς κορ. β´

Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· μηδε-
μίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ᾽ ἐν παντὶ συνιστῶν-
τες ἑαυτούς, ὡς θεοῦ διάκονοι·

πρὸς γαλά. ὅρος β´.

Ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζόμεθα τὸ ἀγαθὸν πρὸς
πάντας· ὅτι ἀδύνατον δουλεῦσαι θεῷ τὸν καὶ τοῖς ἀλλοτρίοις τῆς θεοσεβείας ἐπιμε-
γνύμενον πράγμασι·

Ματθαῖος

Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ
ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ·

πρὸς κορ. β´

Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ, ἢ τίς κοινω-
νία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις χριστῷ πρὸς βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;
τίς δὲ συγκατάθεσις ναῷ θεοῦ, μετὰ εἰδώλων;
ὅτι τὸν ὑπακούσαντα τῷ εὐαγγελίῳ δεῖ πρῶτον καθαρισθῆναι ἀπὸ παντὸς μολυσμοῦ
σαρκὸς καὶ πνεύματος, ἵνα οὕτως εὐπρόσδεκτος τῷ θεῷ γένηται ἐν τοῖς τῆς ἁγιωσύνης κατορ-
θώμασιν·

Ματθαῖος

Οὐαὶ ὑμῖν γραμματεῖς, καὶ φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν
τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας· φαρισαῖε τυ-
φλέ· καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου, καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς
αὐτῶν καθαρόν·

πρὸς κορ.

Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας ἀγαπητοί, καθαρίσωμεν
ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ·
ὅτι ἀδύνατον μαθητὴν γενέσθαι τοῦ κυρίου τὸν προσπαθῶς ἔχοντα πρός τι τῶν παρόν-

ο΄ Περὶ τῶν τὸ κήρυγμα τοῦ εὐαγγελίου ἐγχειριζομένων, καὶ πότε καὶ τίνας, καὶ τί διδάσκειν, καὶ πῶς ἑαυτοὺς προκατορθοῦν τοὺς τοιούτους χρή· καὶ ὅπως ἐν τῷ κηρύγματι παρρησιάζεσθαι, καὶ πῶς ἐπιμελεῖσθαι τῶν πεπιστευμένων, καὶ ποίᾳ διαθέσει, καὶ ὑπὲρ ποίων τῶν ἀσυνδασμάτων προηγουμένως *καταγίνεσθαι, καὶ ὅπως καθαρεύειν ἀπὸ τῶν ὡς ἐπιτοπλεῖστον παρεπομένων ἐλαττωμάτων, καὶ ἐπὶ ποῖον ἄγειν μέτρον τοὺς διδασκομένους, καὶ πῶς ἀνάγειν τοὺς ἀντιδιατιθεμένους, καὶ τίνα τρόπον εἶκειν τοὺς διὰ φόβον παραιτουμένους, καὶ πῶς ἀναχωρεῖν τῶν δι' ἀγνωμοσύνην μὴ καταδεχομένων· καὶ πῶς τινας χειροτονεῖν, ἢ *ἀναβάλλειν τοὺς κεχειροτονημένους· καὶ ὅτι χρὴ τὸν προεστῶτα ἕκαστον ὑπεύθυνον ἑαυτὸν ἡγεῖσθαι, καὶ τοῖς πεπιστευμένοις αὐτῷ εἰς τὸ ὑπὲρ ὧν ποιεῖ, καὶ λέγει πληροφορεῖν.

*κατα γινώσκεσθαι

*ἢ ἀποβάλλειν

οα΄ Περὶ τῶν κατὰ συνάφειαν ἐπὶ τοῖς προεστῶσι διατεταγμένων.

οβ΄ Ὅπως δεῖ τοὺς διδασκομένους διακρίνειν τοὺς πνευματικοὺς τῶν διδασκάλων ἀπὸ τῶν μὴ τοιούτων, καὶ ὅπως πρὸς αὐτοὺς διατίθεσθαι, ἢ τὰ παρ' αὐτῶν δέχεσθαι.

ογ΄ Περὶ τῶν ἐν γάμῳ.

οδ΄ Περὶ χηρῶν.

οε΄ Περὶ δούλων καὶ δεσποτῶν.

ος΄ Περὶ τέκνων καὶ γονέων.

οζ΄ Περὶ παρθένων.

οη΄ Περὶ στρατευομένων.

οθ΄ Περὶ ἀρχόντων καὶ ὑπηκόων.

π΄ Ποταποὺς εἶναι βούλεται καθόλου ὁ λόγος τοὺς χριστιανούς, καὶ ποταποὺς τοὺς προεστῶτας.

ἈΡΧῊ ΤΩ͂Ν ἨΘΙΚΩ͂Ν

ὅρος, α΄.

Ὅτι δεῖ τοὺς πιστεύοντας τῷ κυρίῳ μετανοῆσαι πρῶτον, κατὰ τὸ κήρυγμα Ἰωάννου, καὶ αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. χεῖρον γὰρ τῶν πρὸ τοῦ εὐαγγελίου κατακριθέντων, οἱ νῦν μὴ μετανοοῦντες κατακρίνονται.

Ματθαῖος

Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν, μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν. οὐαί σοι Χοραζίν. οὐαί σοι Βηθσαϊδά. ὅτι, εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν. πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν. καὶ τὰ ἑξῆς.

Ὅτι τῆς μετανοίας καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ὁ παρὼν ἐστὶ καιρός. ἐν δὲ τῷ μέλλοντι αἰῶνι ἡ δικαία κρίσις τῆς ἀνταποδόσεως. Ἵνα δὲ ἴδητε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἁμαρτίας ἀφιέναι, λέγει. ἀμὴν λέγω ὑμῖν, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. πάλιν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ. καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς; ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει. κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεός, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. Ὅτι δεῖ τοὺς μετανοοῦντας κλαίειν πικρῶς, καὶ τὰ λοιπά, ὅσα ἴδια τῆς μετανοίας ἐκ καρδίας ἐπιδείκνυσθαι. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ εἰρηκότος αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με. καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινούς, παρεκάλεσεν ἡμᾶς ἐν τῇ

Ματθαῖος

Ἰωάννης

πρὸς Ῥωμαίους

πράξεις

Ματθαῖος

πρὸς Κορινθ. β΄

ἄλυπτον τοῖς βουλομένοις ἐσπουδάσαμεν συναγαγεῖν· παραθέντες ἑκάστῳ ὅρῳ καὶ τὸν ἀριθμὸν τῶν ἐμπεριειλημμένων αὐτῷ γραφικῶν κεφαλαίων, εἴτε ἐκ τοῦ Εὐαγγελίου, εἴτε ἐκ τοῦ ἀποστόλου, ἢ τῶν πράξεων· ἵνα ὁ ἀναγνοὺς τὸν ὅρον, καὶ ἰδὼν παρακείμενον αὐτῷ τὸν πρῶτον εἰ τύχοι, ἢ τὸν δεύτερον ἀριθμόν, εἶτα ἀναλαβὼν αὐτὴν τὴν γραφήν, καὶ ἀναζητήσας τὸ κεφάλαιον τοῦ προειρημένου ἀριθμοῦ, οὕτως εὕρῃ τὴν μαρτυρίαν πρὸς ἣν ὁ ὅρος πεποίηται· ἐβουλόμην μὲν οὖν τὰ πρῶτα καὶ ἐκ τῆς παλαιᾶς διαθήκης τὰ πρὸς ἕκαστον τῶν ἐν τῇ καινῇ συμφώνως εἰρημένα παραθεῖναι τοῖς ὅροις, ἐπειδὴ δὲ κατήπειγεν ἡ χρεία τῶν ἀδελφῶν νῦν μάλιστα σπουδαιότερον ἀπαιτησάντων ἡμᾶς τὰ πάλαι ἐπηγγελμένα, ἐμνημόνευσα τοῦ εἰπόντος· δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· ὥστε ἔξεστι τῷ βουλομένῳ ἀφορμὴν αὐτάρκη ἐκ τῶν παρακειμένων εἰληφότι, ἀναλαβεῖν τὴν παλαιὰν διαθήκην, καὶ γνωρίσαι ἀφ' ἑαυτοῦ τὴν ἐν πάσαις ταῖς θεοπνεύστοις γραφαῖς συμφωνίαν· ἄλλως τε καὶ μιᾶς φωνῆς ἀρκούσης τοῖς πιστοῖς καὶ πεπληροφορημένοις τὴν ἀλήθειαν τῶν τοῦ κυρίου ῥημάτων· διὸ καὶ τὰ ἐν τῇ καινῇ διαθήκῃ οὐ πάντα, ὀλίγα δὲ ἐκ πάντων παραθέσθαι αὐτάρκες ἐλογισάμην·

ΘΕΣΕΙΝ ΟΡΟΙ, ΩΣ ΕΝ ΚΕΦΑΛΑΙΩ, ΕΙΠΕΙΝ ΠΕΡΙ ΖΩΗΣ.

» ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐ-
» τοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τη-
» ρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. ἅπερ τηροῦντες μὲν, τὴν εἰς αὐτὸν ἀγάπην ἐπι-
δεικνύμεθα, καὶ ἐν αὐτῇ μένειν καταξιούμεθα καθὼς γέγραπται. μὴ τηροῦντες δὲ, ἐναν-
» τίως ἔχοντες, ἐλεγχόμεθα. ὁ μὴ ἀγαπῶν με γάρ φησιν ὁ κύριος, τοὺς λόγους μου οὐ τηρεῖ.
» καὶ πάλιν ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με. θαυμά-
» ζω δὲ περισσοτέρως, ὅτι αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος, μὴ χαίρετε, ὅτι τὰ δαι-
» μόνια ὑμῖν ὑποτάσσεται, χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς,
καὶ πάλιν, ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε
μετ᾿ ἀλλήλων. ὅθεν ὁ ἀπόστολος ἐν πᾶσι τὸ τῆς ἀγάπης ἀναγκαῖον δεικνὺς, διαμαρτύ-
» ρεται λέγων. ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ
» μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. κἂν ἔχω προφητείαν, καὶ εἰδῶ
» τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη με-
» θιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ μετ᾿ ὀλίγα. εἴτε δὲ προφητεῖαι καταρ-
» γηθήσονται, εἴτε γλῶσσαι παύσονται. εἴτε γνῶσις καταργηθήσεται, καὶ τὰ ἑξῆς. οἷς
» ἐπιφέρει. νυνὶ δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα. μείζων δὲ τούτων ἡ ἀγά-
πη. τούτων καὶ τῶν τοιούτων οὕτως ὑπό τε τοῦ κυρίου καὶ τοῦ ἀποστόλου διωρισμένων,
θαυμάζων φημὶ, πῶς περὶ μὲν τὰ καταργούμενα, καὶ παυόμενα τοσαύτην ἔχουσιν οἱ
ἄνθρωποι σπουδὴν καὶ γνῶσιν. περὶ δὲ τὰ μένοντα, καὶ μάλιστα τὴν μείζω πάντων
ἀγάπην, τὴν χαρακτηρίζουσαν τὸν χριστιανὸν, οὐ μόνον αὐτοὶ φροντίδα οὐδεμίαν ποιοῦν-
ται, ἀλλὰ καὶ τοῖς ἐσπουδακόσιν ἀντιποιοῦνται, καὶ μαχόμενοι πληροῦσι τὸ εἰρημένον.
οὔτε αὐτοὶ εἰσέρχονται, καὶ τοὺς εἰσερχομένους κωλύουσιν εἰσελθεῖν. διόπερ παρακα-
λῶ, καὶ δέομαι παυσαμένους τῆς περιέργου ζητήσεως, καὶ ἀπρεποῦς λογομαχίας,
ἀρκεῖσθαι τοῖς ὑπὸ τῶν ἁγίων, καὶ αὐτοῦ τοῦ κυρίου εἰρημένοις, ἄξια δὲ τῆς ἐπουρανίου
κλήσεως φρονεῖν. καὶ ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθαι ἐπ᾿ ἐλπίδι τῆς αἰω-
νίου ζωῆς, καὶ ἐπουρανίου βασιλείας τῆς ἡτοιμασμένης πᾶσι τοῖς φυλάσσουσι τὰς ἐντο-
λὰς τοῦ θεοῦ καὶ πατρὸς, τὰς κατὰ τὸ εὐαγγέλιον τοῦ μακαρίου θεοῦ Ἰησοῦ Χριστοῦ, τοῦ κυρίου
ἡμῶν ἐν πνεύματι ἁγίῳ, καὶ ἀληθείᾳ. ταῦτα ὑπομνησθέντες παρὰ τῆς ὑμετέρας εὐλα-
βείας ὑπαγορεῦσαι ἐν τοῖς τελευταίοις, καὶ τὸ ἑαυτῶν φρόνημα φανερὸν ποιῆσαι ὑ-
μῖν τε, καὶ δι᾿ ὑμῶν τοῖς ἐν Χριστῷ ἀδελφοῖς, εἰς πληροφορίαν ὑμῶν τε καὶ αὐτῶν ἐν ὀνόματι
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀναγκαῖον καὶ ἡμῖν ἐπιβάλλον ἡγησάμεθα πρὸς τὸ μηδαμῶς περι-
φέρεσθαί τινων τὸν νοῦν ἐν τῇ διαφορᾷ τῶν ἄλλοτε μὲν ἄλλως παρ᾿ ἡμῶν ἐκτεθέντων,
ἀεὶ δὲ πρὸς τὴν ἐπισυναγομένην παρὰ τῶν ἀντιδιατιθεμένων τῇ ἀληθείᾳ ὑπόθεσιν. ἀναγ-
καζομένων ἡμῶν ἐνίστασθαι, μήτε μὴν διασκελίζεσθαί τινας ἐν τῇ ἐναντιότητι τῶν ἐν
ἡμῖν τὰ ἀλλότρια ἐπιφημίζειν θελόντων, ἢ καὶ τὰ ἴδια πάθη πολλάκις ἐπὶ τὸ συναρπά-
σαι τοὺς ἁπλουστέρους τοῦ ἡμετέρου φρονήματος καταψευδομένων. οὓς καὶ ὑμῖν φυλάξασθαι
ὡς ἀλλοτρίους τῆς εὐαγγελικῆς καὶ ἀποστολικῆς πίστεώς τε καὶ ἀγάπης ἀναγκαῖον. μεμνῆ-
σθαι δὲ τοῦ ἀποστόλου εἰπόντος, ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑ-
μῖν παρ᾿ ὃ εὐηγγελισάμην ὑμῖν, ἀνάθεμα ἔστω, ἵνα τηρηθῶσι κἀκεῖνο τὸ, προσέχετε ἀ-
πὸ τῶν ψευδοπροφητῶν καὶ τὸ στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπα-
τοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ᾿ ἡμῶν, στοιχῶμεν τῷ κανόνι τῶν
ἁγίων, ὡς ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν ὄντος ἀκρο-
γωνιαίου αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει
εἰς ναὸν ἅγιον ἐν κυρίῳ. ὁ δὲ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ
πνεῦμα, καὶ ἡ ψυχὴ, καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διατηρηθείη. πιστὸς ὁ θεὸς
ὁ καλῶν ἡμᾶς, ὃς καὶ ποιήσει, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν. χάριτι τοῦ Χριστοῦ ἐν πνεύματι ἁγίῳ.
τὰ περὶ τῆς ὑγιαινούσης πίστεως ἐν τοῖς πρὸ τούτων αὐτάρκως εἰρῆσθαι πρὸς τὸ παρὸν
λογιζόμενοι ἐντεῦθεν τὴν περὶ τῆς ἠθικῶν ἐπαγγελίαν ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληρῶ-
σαι σπουδάσωμεν. ὅσα τοίνυν διεσπαρμένα εὑρίσκομεν κατὰ τὴν καινὴν τέως διαθήκην σποράδην ἀπη-
γορευμένα ἢ ἐγκεκριμένα, ταῦτα κατὰ τὸ δυνατὸν ἡμῖν εἰς ὅρους κεφαλαιώδεις πρὸς τὸ

πλόκων*

τηρηθείη*

τῆς ἐπιγνώσεως τὸ ἀπέραντον, τοσοῦτον δὲ τῆς ἀνθρωπίνης φύσεως τὸ τῶν θείων μυστηρίων ἐν τῷ παρόντι ἀνέφικτον· ἀεὶ μὲν κατὰ προκοπὴν ἑκάστῳ προστιθεμένου τοῦ πλείονος, ἀεὶ δὲ τοῦ πρὸς ἀξίαν ἀπολιμπανομένου ἁπάντων, ἄχρις ἂν ἔλθῃ τὸ τέλειον, ὅτε τὸ ἐκ μέρους καταργηθήσεται· οὐκοῦν οὔτε ἑνὸς ὀνόματος ἀρκοῦντος πάσας ὁμοῦ δηλῶσαι τὰς τοῦ θεοῦ δόξας, οὔτε ἑκάστου ἐξ ὁλοκλήρου ἀκινδύνως παραλαμβανομένου. οὔτε γὰρ εἴπῃ τις θεός, οὐκ ἐδήλωσε τὸ πατήρ· τῷ δὲ πατὴρ λείπει τὸ κτίστης, τούτοις δὲ πάλιν χρεία ἀγαθότητος, σοφίας, δυνάμεως, καὶ τῶν λοιπῶν τῶν φερομένων ἐν τῇ ἁγίᾳ γραφῇ· πάλιν δὲ τὸ πατήρ, ὁλόκληρον κατὰ τὴν ἡμετέραν χρῆσιν, ἐὰν ἐκλάβωμεν ἐπὶ θεοῦ, ἀσεβοῦμεν. πάθος γὰρ καὶ ἀπόρροιαν, καὶ ἄγνοιαν, καὶ ἀσθένειαν, καὶ ὅσα τοιαῦτα ἐπιφημίζει. ὁμοίως δὲ καὶ τὸ κτίστης. ἐφ' ἡμῶν γὰρ χρεία χρόνου, ὕλης, σκευῶν*, βοηθείας, ὧν ἁπάντων καθαρεύειν δεῖ τὴν εὐσεβῆ περὶ θεοῦ δόξαν ὡς δυνατὸν ἀνθρώπῳ. τοῦ γὰρ πρὸς ἀξίαν ὡς ἔφην, κἂν εἰ πᾶσαι μὲν διάνοιαι πρὸς τὴν ἔρευναν συναφθεῖεν· πᾶσαι δὲ γλῶσσαι πρὸς τὴν ἐπαγγελίαν συνδράμοιεν, οὐδέποτε ἄν τις ἐφίκοιτο. ταύτην δὲ ἡμῖν τὴν ἔννοιαν σαφῶς παρίστησι καὶ ὁ σοφώτατος Σολομῶν λέγων· εἶπα σοφισθήσομαι, καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ μακρά, ὑπὲρ ὃ ἦν. οὐ τῷ φυγεῖν, ἀλλὰ τῷ ἐκείνους μάλιστα φανεροῦσθαι αὐτῆς τὸ ἀκατάληπτον, οἷς θεοῦ χάριτι περισσοτέρως προσγένοιτο ἡ γνῶσις. ἡμεῖς οὖν θεόπνευστος γραφὴ πλείοσιν ὀνόμασιν ἀναγκαίως χρῆται καὶ ῥήμασιν εἰς μερικήν τινα, καὶ ταύτην αἰνιγματώδη τῆς θείας δόξης παράστασιν· ἡμῖν δὲ πάντα μὲν τὰ πανταχοῦ ἀπὸ τῆς θεοπνεύστου γραφῆς περί τε πατρὸς καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος εἰρημένα κατὰ τὸ παρὸν ἀναλέγειν οὔτε δύναμις, οὔτε σχολή, διὰ τὸ κατεπείγειν ὑμᾶς· ὀλίγα δὲ ἐκ πάντων παραθέμενοι, ἀρκεῖν ἡγούμεθα, καὶ ταῦτα τῇ ὑμετέρᾳ συνειδήσει, πρός τε τὴν τοῦ ἡμετέρου ἐκ τῶν γραφῶν φρονήματος φανέρωσιν, καὶ τὴν ὑμῶν αὐτῶν, καὶ τῶν βουλομένων ἐν ἡμῖν πληροφορίαν. ὡς γὰρ τὰ πολλὰ μίαν ἡμῖν τὴν εὐσεβῆ ἔννοιαν ἐξαγγέλλει, οὕτω καὶ ἐκ τῶν ὀλίγων ὁ εὐγνώμων οἶμαι τὸ ἐν πᾶσιν εὐσεβὲς ἐπιγνώσκει. Πιστεύομεν τοίνυν, καὶ ὁμολογοῦμεν ἕνα μόνον ἀληθινὸν καὶ ἀγαθὸν* κύριον, καὶ πατέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα· τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν καὶ θεοῦ Ἰησοῦ Χριστοῦ· καὶ ἕνα τὸν μονογενῆ αὐτοῦ υἱόν, κύριον καὶ θεὸν ἡμῶν Ἰησοῦν Χριστόν, μόνον ἀληθινόν, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ὁρατά, καὶ τὰ ἀόρατα· καὶ ἐν ᾧ τὰ πάντα συνέστηκεν, ὃς ἐν ἀρχῇ ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν· καὶ μετὰ ταῦτα κατὰ τὴν γραφὴν ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε· καὶ διὰ τῆς ἐκ παρθένου γεννήσεως μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· πάντα τὰ εἰς αὐτόν, καὶ περὶ αὐτοῦ γεγραμμένα ἐπλήρωσε κατὰ τὴν ἐντολὴν τοῦ πατρός, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθεὶς ἐκ νεκρῶν κατὰ τὰς γραφάς, ὤφθη τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, καὶ τοῖς λοιποῖς, ὡς γέγραπται· ἀνέβη τε εἰς οὐρανούς, καὶ κάθηται ἐν δεξιᾷ τοῦ πατρός· ὅθεν ἔρχεται ἐπὶ συντελείᾳ τοῦ αἰῶνος τούτου ἀναστῆσαι πάντας, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ· ὅτε οἱ μὲν δίκαιοι προσληφθήσονται εἰς ζωὴν αἰώνιον καὶ βασιλείαν οὐρανῶν, οἱ δὲ ἁμαρτωλοὶ κατακριθήσονται εἰς κόλασιν αἰώνιον· ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται· καὶ ἓν μόνον πνεῦμα ἅγιον τὸ παράκλητον, ἐν ᾧ ἐσφραγίσθημεν εἰς ἡμέραν ἀπολυτρώσεως· τὸ πνεῦμα τῆς ἀληθείας, τὸ πνεῦμα τῆς υἱοθεσίας, ἐν ᾧ κράζομεν ἀββᾶ ὁ πατήρ· τὸ διαιροῦν καὶ ἐνεργοῦν τὰ παρὰ τοῦ θεοῦ χαρίσματα, ἑκάστῳ πρὸς τὸ συμφέρον καθὼς βούλεται· τὸ διδάσκον, καὶ ὑπομιμνῆσκον πάντα, ὅσα ἂν ἀκούῃ παρὰ τοῦ υἱοῦ· τὸ ἀγαθόν, τὸ ὁδηγοῦν εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ στηρίζον πάντας τοὺς πιστεύοντας πρός τε γνῶσιν ἀληθῆ, καὶ ἀκριβῆ, καὶ λατρείαν εὐσεβῆ, καὶ προσκύνησιν πνευματικήν, καὶ ἀληθῆ ὁμολογίαν θεοῦ πατρός, καὶ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ τοῦ κυρίου, καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἑαυτοῦ, ἑκάστου ὀνόματος τοῦ ὀνομαζομένου, τὴν ἰδιότητα σαφῶς ἡμῖν διακρινοῦντος· καὶ περὶ ἑκάστου τῶν ὀνομαζομένων πάντως τινῶν* ἐξαιρέτων ἰδιωμάτων εὐσεβῶς θεωρουμένων. τοῦ μὲν πατρὸς ἐν τῷ ἰδιώματι τοῦ πατρός, τοῦ δὲ υἱοῦ ἐν τῷ ἰδιώματι τοῦ υἱοῦ, τοῦ δὲ ἁγίου πνεύματος ἐν τῷ οἰκείῳ ἰδιώματι. μήτε τοῦ ἁγίου πνεύματος ἀφ' ἑαυτοῦ λαλοῦντος, μήτε τοῦ υἱοῦ ἀφ' ἑαυτοῦ τι ποιοῦντος. καὶ τοῦ μὲν πατρὸς πέμποντος τὸν υἱόν, τοῦ δὲ υἱοῦ πέμποντος τὸ ἅγιον πνεῦμα. οὕτως φρονοῦμεν, καὶ οὕτως βαπτίζομεν εἰς τριάδα ὁμοούσιον κατὰ τὴν ἐντολὴν αὐτοῦ τοῦ κυρίου

*ὀργάνων

*ἀγαθὸν θεὸν

ἀσφαλῆ*

*τῶν

καὶ ὑπερηφανίας κατηγορία, ἢ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τῶν μὴ γεγραμμέ-
νων, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος, τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει καὶ πρὸ τούτου
δὲ εἰρηκότος, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι
τῶν ἀλλοτρίων τὴν φωνήν· καὶ τοῦ ἀποστόλου ἐν ὑποδείγματι ἀνθρωπίνῳ σφοδρότερον ἀ-
παγορεύοντος τὸ προσθεῖναι, ἢ ὑφελεῖν τι ἐν ταῖς θεοπνεύστοις γραφαῖς, δι' ὧν φησιν, ὅμως ἀν-
θρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται· πᾶσαν μὲν οὖν ἀλλο-
τρίαν τῆς τοῦ κυρίου διδασκαλίας φωνὴν καὶ ἔννοιαν, οὕτως ἡμεῖς πάντοτε καὶ νῦν ἀποφεύ-
γειν ἐγνώκαμεν καὶ τοῦ σκοποῦ δὲ, ὡς προεῖπον, τοῦ νῦν ἡμῖν τε καὶ ὑμῖν προκειμένου, κατὰ
πολὺ διαφέροντος τῶν ὑποθέσεων ἐκείνων, ὑφ' ὧν ἄλλοτε ἄλλως ἐστὶ τὸ γράψαι, ἢ εἰπεῖν
προήχθημεν· διότι τότε μὲν αἱρέσεως ἔλεγχος καὶ ἀνατροπὴ τῆς τοῦ διαβόλου μεθοδείας
ἐσπουδάζετο· νῦν δὲ τῆς ὑγιαινούσης πίστεως ὁμολογία τε, καὶ φανέρωσις ἁπλῆ πρόκειται·
οὐκοῦν οὔτε τοῦ λόγου χαρακτὴρ ὁ αὐτὸς ἡμῖν καὶ νῦν ἁρμόζει· ὡς γὰρ οὐκ ἂν λάβοι μετὰ χεῖ-
ρας ἄνθρωπος σκεύη τὰ αὐτὰ πολεμῶν καὶ γεωργῶν, ἄλλα γὰρ σκεύη τῶν ἐν ἀδείᾳ τὰ πρὸς
τὸ ζῆν ἑαυτοῖς ἐκπονούντων, ἄλλαι δὲ πανοπλίαι τῶν ἐν πολέμῳ παρατασσομένων, οὕ-
τως οὐκ ἂν εἴποι τὰ αὐτὰ ὁ παρακαλῶν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ ὁ τοὺς ἀντιλέγον-
τας ἐλέγχων· ἄλλο γὰρ εἶδος λόγου ἐλεγκτικοῦ, καὶ ἄλλο εἶδος λόγου παρακλητικοῦ· ἄλλη
ἁπλότης τῶν ἐν εἰρήνῃ τὴν εὐσέβειαν ὁμολογούντων, καὶ ἄλλοι ἱδρῶτες τῶν πρὸς τὰς ἀντι-
θέσεις τῆς ψευδωνύμου γνώσεως ἱσταμένων· ὥστε αὖ τούτῳ τῷ τρόπῳ καὶ ἡμεῖς οἰκονομοῦμεν
τοὺς λόγους ἡμῶν ἐν κρίσει, πανταχοῦ τοῖς πρὸς τὴν φυλακὴν, ἢ οἰκοδομὴν τῆς πί-
στεως ἀκολούθως χρησάμενοι· ποτὲ μὲν τοῖς ἐν μεθοδείᾳ τοῦ διαβόλου καταλύειν πει-
ρωμένοις αὐτὴν ἀνταγωνιστικώτερον ἀνθιστάμενοι, ποτὲ δὲ τοῖς οἰκοδομεῖσθαι βουλομέ-
νοις ἐν αὐτῇ, ἁπλοϊκώτερον, καὶ οἰκειότερον αὐτὴν ἐξηγούμενοι, καὶ οὐδὲν ἄλλο ποιοῦντες, ἢ
ἐκεῖνο τὸ παρὰ τοῦ ἀποστόλου εἰρημένον· εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι·
πρὶν δὲ ἐλθεῖν ἐπ' αὐτὴν τὴν τῆς πίστεως τὴν ὁμολογίαν, κἀκεῖνο ἐπισημήνασθαι ἄξιον· ὅτι τὴν τοῦ
θεοῦ μεγαλειότητα, καὶ δόξαν, καὶ λόγῳ ἀπερίληπτον οὖσαν, καὶ νῷ ἀκατάληπτον· οὔτε μὲν ῥή-
ματι, ἢ νοήματι, οὔτε δηλωθῆναι, οὔτε νοηθῆναι οἷόν τε ἦν· διὰ πλειόνων δὲ τῶν ἐν φερομέ-
νων τῇ ἡμετέρᾳ χρήσει ἡ θεόπνευστος γραφὴ μόλις τοῖς καθαροῖς τῇ καρδίᾳ, ὡς δι' ἐσό-
πτρου ἐνεδείξατο· τὸ μὲν γὰρ πρόσωπον πρὸς πρόσωπον, καὶ ἡ τελεία ἐπίγνωσις ἐν τῷ μέλ-
λοντι αἰῶνι τοῖς ἀξίοις ἀποδοθῆναι ἐπήγγελται· νῦν δὲ κἂν Παῦλός τις ᾖ, κἂν Πέτρος, βλέ-
πει μὲν ἀληθῶς ἃ βλέπει, καὶ οὐ πλανᾶται, οὐδὲ φαντάζεται, δι' ἐσόπτρου δὲ ὅμως βλέ-
πει καὶ αἰνίγματος· καὶ τὸ ἐκ μέρους νῦν εὐχαρίστως δεχόμενος, τὸ τέλειον εἰς τὸ μέλλον περι-
χαρῶς ἀπεκδέχεται· ὅπερ τοι τοῦτο μὲν ὁ ἀπόστολος Παῦλος τῷ τοιούτῳ τινὶ τρόπῳ κα-
τασκευάζων τὸν λόγον ὅτι ὥσπερ ὅτε μὲν ἤμην νήπιος ἄρτι τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λο-
γίων τοῦ θεοῦ ἐκμανθάνων, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ,
καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ ἐπείγομαι φθάσαι, τὰ τοῦ νηπίου κατήργη-
κα· καὶ τοσαύτην ἔχω ἐν τῇ τῶν θείων καταλήψει τὴν προκοπὴν καὶ βελτίωσιν, ὥστε τὴν μὲν ἐν
τῇ ἰουδαϊκῇ λατρείᾳ ἐπίγνωσιν νηπίας φρενὸς ἐοικέναι κινήμασιν· ἀνδρὶ δὲ ἤδη τὰ πάν-
τα τελείῳ, προσήκουσαν τὴν διὰ τοῦ εὐαγγελίου γνῶσιν· οὕτως ἐν συγκρίσει τῆς ἐν τῷ
μέλλοντι αἰῶνι τοῖς ἀξίοις ἀποκαλυφθησομένης γνώσεως, καὶ τὸ δοκοῦν νῦν ἐν τῇ γνώ-
σει τέλειον, βραχύ τι καὶ ἀμυδρότερον τοσοῦτον, ὡς πλεῖον ἀπολιμπάνεσθαι τῆς ἐν τῷ μέλ-
λοντι αἰῶνι τρανότητος· ἢ ὅσον ἀπολιμπάνεται τοῦ πρόσωπον πρὸς πρόσωπον τὸ δι' ἐ-
σόπτρου βλέπειν καὶ αἰνίγματι· συνιστῶσι δὲ τοῦτο καὶ οἱ κατὰ τὸν μακάριον Πέτρον καὶ Ἰωάν-
νην μαθηταὶ τοῦ κυρίου τῇ κατὰ τὸν παρόντα βίον ἀεὶ πρὸς τὸ μεῖζον ἐπιδόσει καὶ προκοπῇ,
τὸ ὑπερβάλλον τῆς ἐν τῷ μέλλοντι τηρουμένης αἰῶνι γνώσεως οὐκ ἔλαττον καὶ αὐτοὶ πιστού-
μενοι οἵτινες μηδὲ τὸ ἄξιοι φανῆναι τῆς παρὰ τοῦ κυρίου ἐκλογῆς τῆς σὺν αὐτῷ διαγωγῆς, τῆς
παρὰ αὐτοῦ ἀποστολῆς, τῆς τῶν πνευματικῶν χαρισμάτων διανομῆς, μετὰ τὸ ἀκοῦσαι, ὑμῖν
δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, μηδὲ τὴν τοιαύτην γνῶσιν, με-
τὰ τὴν ἀποκάλυψιν τῶν τοῖς λοιποῖς ἀπορρήτων, ὅμως ὕστερόν ποτε κατ' αὐτὸ λοι-
πὸν τοῦ κυρίου τὸ πάθος ἀκηκόασιν· ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρ-
τι· ἐκ τούτων καὶ τῶν τοιούτων μανθάνομεν, ὅτι τοσοῦτον μὲν οἶδεν ἡ θεόπνευστος γραφὴ

πνεύστων γραφῶν τά τε ἀπαρέσκοντα τῷ θεῷ, καὶ οἷς εὐαρεστεῖται παραθέσθαι, ὡς ἂν οἷός
τε ὦ κατ' εὐχὰς κοινάς, ἵνα καταξιωθῶμεν χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διδασκαλίᾳ
τοῦ ἁγίου πνεύματος· ἀποπηδήσαντες μὲν τῆς τε τῶν ἰδίων θελημάτων συνηθείας, καὶ τῆς τῶν ἀνθρωπίνων
παραδόσεων παρατηρήσεως, στοιχήσαντες δὲ τῷ εὐαγγελίῳ τοῦ μακαρίου θεοῦ Ἰησοῦ Χριστοῦ,
τοῦ κυρίου ἡμῶν· καὶ κατὰ τὸν καιρὸν τὸν παρόντα εὐαρέστως αὐτῷ ζήσαντες, διά τε σφοδροτέ-
ρας ἀναχωρήσεως τῶν κεκωλυμένων, καὶ σπουδαιοτέρας ἐπιμελείας τῶν ἐγκεκριμένων ἐν
τῷ μέλλοντι αἰῶνι τῆς ἀθανασίας φυγεῖν μὲν τὴν ὀργὴν τὴν ἐπερχομένην ἐπὶ τοὺς υἱοὺς τῆς
ἀπειθείας, ἄξιοι δὲ εὑρεθῆναι τῆς αἰωνίου ζωῆς, καὶ ἐπουρανίου βασιλείας τῆς ἐπηγγελ-
μένης παρὰ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ πᾶσι τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν
ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς· μεμνημένος δὲ τοῦ ἀποστόλου εἰπόντος, ἐν Χριστῷ Ἰησοῦ οὔτε
περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη· ἀκόλουθον ὁμοῦ, καὶ
ἀναγκαῖον ἐλογισάμην, τὴν ὑγιαίνουσαν πίστιν, καὶ εὐσεβῆ δόξαν περὶ πατρὸς καὶ υἱοῦ, καὶ ἁγίου
πνεύματος παραθέσθαι πρότερον· καὶ οὕτως ἐπισυνάψαι τὰ ἠθικά. Τοῦ αὐτοῦ περὶ πίστεως.

Θεοῦ τοῦ ἀγαθοῦ χάριτι τὸ ἐπίταγμα τῆς ὑμετέρας εὐλαβείας καταμαθὼν ἄξιον τῆς ἐν
Χριστῷ πρὸς τὸν θεὸν ἀγάπης, ἐν ᾧ τῆς εὐσεβοῦς πίστεως ἔγγραφον ὑπεζητήσατε παρ' ἡμῶν ὁμο-
λογίαν· τὰ μὲν πρῶτα ἐπαισθανόμενος τῆς ἐμαυτοῦ ταπεινώσεως καὶ ἀσθενείας, ἄκνουν
» πρὸς τὴν ἀπόκρισιν. ὡς δὲ ἐμνημόνευσα τοῦ ἀποστόλου εἰπόντος· ἀνεχόμενοι ἀλλήλων ἐν
» ἀγάπῃ· καὶ πάλιν, καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν,
οὐκ ἀκίνδυνον ἡγησάμην τὸ ἀντειπεῖν μὲν ὑμῖν, σιωπῆσαι δὲ τὴν σωτήριον ὁμολογίαν,
πεποίθησιν ἔχων διὰ τοῦ Χριστοῦ πρὸς τὸν θεόν, ὡς γέγραπται· οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λο-
γίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ θεοῦ τοῦ τότε μὲν ἐκείνους, νῦν δὲ καὶ
ἡμᾶς, καὶ τοῦτο δι' ὑμᾶς ἱκανώσαντος γενέσθαι διακόνους καινῆς διαθήκης, οὐ γράμματος,
ἀλλὰ πνεύματος· διακόνου δὲ πιστοῦ ἴδιον ἐστὶ παντὸς καὶ αὐτοῦ, τό, ὅπερ ἂν εἰς τὸ συνδούλοις
οἰκονομῆσαι παρὰ τοῦ ἀγαθοῦ δεσπότου πιστευθῇ, ταῦτα διαδοῦναι τούτοις ἀνελλιπῶς καὶ
ἀκαπηλεύτως· ὥστε κἀγώ, ἅπερ ἔμαθον ἐκ τῆς θεοπνεύστου γραφῆς ταῦτα ὑμῖν παραθέ-
σθαι κατὰ τὸ ἀρεστὸν θεῷ, πρὸς τὸ κοινῇ συμφέρον ὀφειλέτης εἰμί. εἰ γὰρ αὐτὸς ὁ κύριος ἐν ᾧ εὐ-
δόκησεν ὁ πατήρ, ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι·
ὁ πᾶσαν μὲν τὴν ἐξουσίαν, πᾶσαν δὲ τὴν κρίσιν λαβὼν παρὰ τοῦ πατρός, ἐντολὴν δέ-
δωκέ μοι φησί, τί εἴπω, καὶ τί λαλήσω· καὶ πάλιν, ἃ οὖν ἐγὼ λαλῶ, καθὼς εἴρηκέ μοι
ὁ πατήρ, οὕτω λαλῶ· καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀφ' ἑαυτοῦ οὐ λαλεῖ, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρ'
αὐτοῦ, ταῦτα λαλεῖ· πόσῳ μᾶλλον ἡμῖν εὐσεβές τε ὁμοῦ καὶ ἀσφαλὲς τοῦτο φρονεῖν καὶ
ποιεῖν ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; ἐὰν μὲν οὖν ἀγωνίζεσθαι πρὸς τὰς ἐπανισταμέ-
νας κατὰ καιρὸν αἱρέσεις ἐχρῆν, ἑπόμενος τοῖς προειληφόσιν, ἀκόλουθον ἡγούμην τῇ δια-
*ἀντιθέσεις φορᾷ τῆς ἐπισπειρομένης ἀπὸ τοῦ διαβόλου ἀσεβείας· τοῖς αὐτοῖς τύποις φωναῖς κωλύειν,
ἢ καὶ ἀνατρέπειν τὰς ἐπαγομένας βλασφημίας, καὶ ἄλλοτε ἄλλαις, ὡς ἂν ἡ χρεία τῶν
ὅλως νοσούντων κατηνάγκασε· καὶ ταύταις πολλάκις ἀγράφοις μέν, ὅμως δ' οὖν οὐκ ἀπηξενω-
μέναις τῆς κατὰ τὴν γραφὴν εὐσεβοῦς διανοίας· ὥσπερ οὖν καὶ ὁ ἀπόστολος πολλά-
κις πεποίηκεν, ἑλληνικοῖς ῥήμασι χρήσασθαι μὴ παραιτησαμένου πρὸς τὸν ἴδιον σκοπόν·
νῦν δὲ πρὸς τὸν κοινὸν ἡμῶν τε καὶ ὑμῶν σκοπὸν ἁρμόζον ἐλογισάμην, ἐν ἁπλότητι τῆς
ὑγιαινούσης πίστεως τὸ ἐπίταγμα τῆς ὑμετέρας ἐν Χριστῷ ἀγάπης πληρῶσαι· εἰπὼν ἃ ἐδιδά-
χθην παρὰ τῆς θεοπνεύστου γραφῆς· φειδόμενος μὲν καὶ τῶν ὀνομάτων, καὶ ῥημάτων ἐκεί-
νων, ἃ λέξεσι μὲν αὐταῖς οὐκ ἐμφέρεται τῇ θείᾳ γραφῇ, διάνοιάν γε μὴν ἐκείνην, τὴν ἐγκει-
μένην τῇ γραφῇ διασώζει. ὅσα δὲ πρὸς τῷ ξένῳ τῆς λέξεως, ἔτι καὶ τὸν νοῦν ξένον ἡμῖν ἐ-
πεισάγει, καὶ ἃ οὐκ ἔστιν ἀπὸ τῶν ἁγίων κηρυσσόμενα εὑρεῖν, ταῦτα ὡς ξένα καὶ ἀλλότρια
τῆς εὐσεβοῦς πίστεως παντάπασι παραιτούμενος· Πίστις μὲν οὖν ἐστι συγκατάθεσις
ἀδιάκριτος τῶν ἀκουσθέντων ἐν πληροφορίᾳ τῆς ἀληθείας, τῶν κηρυχθέντων θεοῦ χάριτι·
ἥν τινα ἐπεδείξατο μαρτυρηθεὶς Ἀβραάμ· ὅτι οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ
πίστει, δοὺς δόξαν τῷ θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. εἰ
δὲ πιστὸς μὲν ὁ κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, πισταὶ δὲ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέ-
ναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι· φανερὰ ἔκπτωσις πίστεως,
καὶ ὑπερηφανίας

τὰ πάντα ἐν ὑπηρέτου σχήματι διαζωσάμενον λέντιον καὶ νίπτειν τοὺς πόδας αὐτοῦ βουλόμενον, εὐθὺς ὥσπερ εἰς συναίσθησιν ἐλθὼν τῆς ἰδίας ἀναξιότητος, καὶ τὸ ἀξίωμα τοῦ προσερχομένου καταπλαγεὶς, διεβόησε· κύριε, σύ μου νίπτεις τοὺς πόδας; καὶ πάλιν· οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα· ἐπὶ τούτῳ τὴν τοσαύτην εἰσδέχεται ἀπειλὴν, ὡς εἰ μὴ πάλιν εἰδὼς τὴν ἀλήθειαν τῶν ῥημάτων τοῦ κυρίου, ἔφθασε τῇ ὑπακοῇ διορθωσάμενος τὴν ἀντιλογίαν, οὐδὲν ἂν αὐτῷ τῶν προλαβόντων, οὐ τῶν ἰδίων κατορθωμάτων, οὐ τῶν παρὰ τοῦ κυρίου μακαρισμῶν τε καὶ δωρεῶν καὶ ἐπαγγελιῶν, οὐδὲ αὐτὴ ἡ τοῦ θεοῦ καὶ πατρὸς τῆς τοιαύτης καὶ τοσαύτης εἰς τὸν μονογενῆ υἱὸν εὐδοκίας ἀποκάλυψις ἤρκεσε παραμυθήσασθαι τὴν παροῦσαν ἀπείθειαν. ἀλλὰ ταῦτα μὲν ἐὰν θέλω καταλέγειν, ὅσα διεσώθη ἔν τε παλαιαῖς καὶ καιναῖς διαθήκαις, ἐπιλείψει με τάχα διηγούμενον ὁ χρόνος. ἤδη δὲ καὶ ἐπ' αὐτὰς ὅταν ἔλθω τὰς τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐν τῷ εὐαγγελίῳ φωνὰς αὐτοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς τὰ ῥήματα, ἃ πάσης μὲν ἱστορίας, πάσης δὲ ἄλλης ἀποδείξεως παρὰ τοῖς πιστοῖς ἀξιοπιστότερα. πολλὴν μὲν ἐν αὐτοῖς καταμανθάνω τῆς ἐν πᾶσι πρὸς θεὸν εὐπειθείας, ἵνα οὕτως εἴπω, ἀνάγκην. οὐδεμίαν δὲ ὅλως, ἐπ' οὐδενὶ πράγματι καταλειπομένην τοῖς μὴ μετανοοῦσι τῆς ἀπειθείας συγγνώμην. εἰ μή τι ἕτερον ἄν τι τολμήσαι, καὶ μέχρις ἐννοίας λαβεῖν, πρὸς οὕτω γυμνὰς σαφεῖς τε καὶ ἀπολύτους ἀποφάσεις. ὁ οὐρανὸς γάρ, φησι, καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. οὐκ ἔστιν ἐνταῦθα διαφορὰ, οὐκ ἔστι διαίρεσις, οὐδὲν οὐδαμοῦ ὑπολέλειπται. οὐκ εἶπεν οὗτοι, ἢ ἐκεῖνοι, ἀλλ' οἱ λόγοι μου, πάντως ὁμοῦ, δηλονότι οὐ μὴ παρέλθωσι. γέγραπται γάρ, πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, εἴτε ἀπαγορεύων ποιεῖν, εἴτε προστάσσων, εἴτε ἐπαγγελλόμενος, εἴτε ἀπειλῶν, καὶ εἴτε ἐπὶ τῇ πράξει τῶν ἀπηγορευμένων, εἴτε ἐπὶ τῇ ἐλλείψει τῶν ἐπιτεταγμένων. ὅτι γὰρ ἐπίσης τῇ ἐνεργείᾳ τῶν κακῶν, καὶ τῶν ἀγαθῶν ἔργων ἡ ἔλλειψις ἐκδικεῖται, ἤρκει μὲν καὶ πρὸς ἀπόδειξιν καὶ πληροφορίαν τῇ γε μὴ παντελῶς ἀπιστίᾳ νοσούσῃ ψυχῇ, τὸ προειρημένον ἐπὶ τῷ πέτρῳ κρίμα, ὡς οὐκ ἀπηγορευμένον τι πράξαντι, οὐδὲ μὴν πρόσταγμά τι τοιοῦτον ἐλλείψαντι, ὃ ῥᾳθυμίαν, ἢ καταφρόνησιν κατηγορεῖ τοῦ ἐλλείποντος. ὑπηρεσίαν δὲ καὶ τιμὴν, τὴν παρὰ τοῦ δεσπότου μόνον ἀποδέξασθαι εὐλαβηθεὶς, τοιαύτην ἐδέξατο τὴν ἀπειλὴν, ἣν οὐκ ἔφυγεν ἄν, εἰ μὴ, καθὼς προείρηται, ἔφθασε τὴν ὀργὴν τῇ ταχύτητι, καὶ σφοδρότητι τῆς διορθώσεως. πλὴν ἐπειδὴ ὁ ἀγαθὸς καὶ εὔσπλαγχνος θεὸς μακροθυμῶν ἐφ' ἡμῖν εὐδόκησε καὶ πολλάκις ἡμῖν τὸ αὐτὸ καὶ διὰ πολλῶν ἀποδεῖξαι, ἵνα τῷ πλήθει, καὶ τῇ συνεχείᾳ δυνηθῇ μόλις ποτὲ μοχλευθεῖσα, καὶ καταντληθεῖσα ἡ ψυχὴ ἀποτρίψασθαι τὴν πολυχρόνιον τῆς παρανομίας συνήθειαν. ἐκείνων μόνων πρὸς τὸ παρὸν μνημονεῦσαι ἀναγκαῖον τῶν ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ ἐξ ἀριστερῶν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἱσταμένων. πρὸς οὓς ἔλεγεν ὁ πᾶσαν ἐξουσίαν τῆς κρίσεως λαβὼν παρὰ τοῦ πατρὸς, ὁ ἐρχόμενος φωτίσαι τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερῶσαι τὰς βουλὰς τῶν καρδιῶν. πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. καὶ τὴν αἰτίαν ἐπήγαγεν, οὐχ ὅτι ἐφονεύσατε λέγων, ἢ ἐπορνεύσατε, ἢ ἐψεύσασθε, ἢ τινα ἠδικήσατε, ἢ ἄλλο τι τῶν ἀπηγορευμένων, κἂν τὸ βραχύτατον γοῦν ἐπράξατε, ἀλλὰ τί; ὅτι τῶν ἀγαθῶν ἔργων ἠμελήσατε. ἐπείνασα γάρ φησι καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με. ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με. γυμνὸς, καὶ οὐ περιεβάλετέ με. ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. ταῦτα καὶ τὰ τοιαῦτα θεοῦ τοῦ ἀγαθοῦ χάριτι, τοῦ θέλοντος μὲν πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, διδάσκοντος δὲ ἄνθρωπον γνῶσιν, καταμαθὼν ἐν ταῖς θεοπνεύστοις γραφαῖς, καὶ γνωρίσας μὲν τὴν φρικωδεστάτην αἰτίαν τῆς τοιαύτης τῶν πολλῶν πρός τε ἀλλήλους καὶ πρὸς τὰς ἐντολὰς τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ διαφωνίας, παιδευθεὶς δὲ τὸ φοβερὸν ἐκεῖνο κρίμα τῆς τοσαύτης παρανομίας, διδαχθεὶς δὲ, καὶ πᾶσαν παρακοὴν παντὸς κρίματος θεοῦ ἐπίσης ἐκδικεῖσθαι. ἔτι δὲ καὶ τὸ φοβερὸν ἐκεῖνο κρίμα καταμαθὼν, τὸ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας μὲν, παραπολαύσαντας δὲ ὅμως τῆς ὀργῆς, διὰ τὸ μὴ τὸν ἀγαθὸν ζῆλον κατὰ τῶν ἡμαρτηκότων ἐπιδείξασθαι, καίτοι πολλάκις μηδὲ συνεγνωκότας τὸ ἁμάρτημα, ἀναγκαῖον ἐλογισάμην, εἰ καὶ ὀψὲ τοῦ καιροῦ, διὰ τὸ ἀναμένειν ἀεὶ τοὺς τὸν αὐτὸν ἀγῶνα τῆς θεοσεβείας ἀνειληφότας, καὶ μὴ θαρρεῖν ἑαυτῷ μόνῳ, ἀλλ' οὐκ ἀκαίρως γε τάχα νῦν γοῦν πρὸς ὑπόμνησιν τοῖς ἀγωνιζομένοις τὸν ἀγῶνα τῆς θεοσεβείας, ἀναλεξάμενος ἐκ τῶν θεί-

*παραξαινόντων

καὶ ψυχὴ ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας. χεῖρα ὑπερηφανίας καλῶν τὴν τόλμαν τῶν ἑκουσίως* ἁμαρτανόντων, ὅπερ ὁ ἀπόστολος ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ ὀνομάζει. ψυχὴ οὖν φησιν, ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας, ἢ ἀπὸ τῶν αὐτοχθόνων, ἢ ἀπὸ τῶν προσηλύτων τὸν θεὸν οὗτος παροξυνεῖ. καὶ ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τοῦ λαοῦ αὐτῆς, ὅτι τὸ ῥῆμα κυρίου ἐφαύλισε, καὶ τὰς ἐντολὰς αὐτοῦ διεσκέδασεν. ἐκτρίψει ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη. ἡ ἁμαρτία αὐτῆς ἐν αὐτῇ. παρατηρητέον ἐνταῦθα ἐκεῖνο, ὅτι, ἐὰν μὴ ἐκτρίψει ἐκτριβῇ ἡ ψυχὴ ἐκείνη, ἡ ἁμαρτία αὐτῆς οὐκ ἐν αὐτῇ μόνον, ἀλλὰ καὶ ἐπὶ τοὺς μὴ ἐπιδειξαμένους τὸν ἀγαθὸν ζῆλον, καθὼς πολλαχοῦ γέγραπται, καὶ πολλάκις γέγονε. καὶ ἵνα ἐκ τῶν ἡττόνων παιδευθῶμεν τὸν ἐπὶ τοῖς μείζοσι φόβον τὴν κατὰ ἱερέως ἢ κριτοῦ παρακουόντων ἀγανάκτησιν, οἵαν ποιεῖται ἐν τῷ
» δευτερονομίῳ καταμάθωμεν. λέγει οὖν. καὶ ἄνθρωπος, ὃς ἐὰν ποιήσῃ ἐν χειρὶ ὑπερη-
» φανίας τοῦ μὴ ὑπακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι κυρίου τοῦ
» θεοῦ σου, ἢ τοῦ κριτοῦ ὃς ἐὰν ᾖ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀποθανεῖται ὁ ἄνθρωπος ἐκεῖ-
» νος, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ, καὶ πᾶς ὁ λαὸς ἀκούσας φοβηθήσεται, καὶ οὐκ ἀσεβή-
» σουσιν ἔτι. πρὸς ἅ, πῶς αὐτῆς ἀξιολόγως κινούμενος φρικωδέστερον καταπλαγείη, συνωρὰν ἀκόλουθον. εἶτα φησὶ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ, πᾶν νόημα, οὐχὶ τοῦτο, ἢ ἐκεῖνο, καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι. καὶ ἐνταῦθα πάλιν, οὐχὶ τήνδε ἢ τινὰ, ἀλλὰ πᾶσαν παρακοήν. ἆρά γε ἠπάτησεν ἡμᾶς ἡ κακίστη συνήθεια. ἆρα κακῶν αἰτία ἡμῖν μεγάλων γέγονεν ἡ διεστραμμένη τῶν ἀνθρώπων παράδοσις, τὰ μὲν παραιτουμένη δῆθεν τῶν ἁμαρτημάτων, τὰ δὲ ἀδιαφόρως αἱρουμένη. καὶ κατὰ μέν τινων σφοδρῶς ἀγανακτεῖν προσποιουμένη. οἷον φόνου, καὶ μοιχείας, καὶ τῶν τοιούτων. τὰ δὲ οὐδὲ ψιλῆς γοῦν ἐπιτιμήσεως ἄξια κρίνουσα*, οἷον ὀργὴν, ἢ λοιδορίαν, ἢ μέθην, ἢ πλεονεξίαν, καὶ ὅσα τοιαῦτα. καθ' ὧν ἁπάντων, καὶ ἀλλαχοῦ ἔδωκε τὴν αὐτὴν ἀπόφασιν ὁ

*πιᾶσα

» ἐν χριστῷ λαλῶν παῦλος, εἰπών. ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, ἄξιοι θανάτου εἰσίν. ὅπου δὲ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ καθαιρεῖται, καὶ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ αἰχμαλωτίζεται, καὶ πᾶσα παρακοὴ ἐπίσης ἐκδικεῖται, ἐκεῖ οὐδὲν ἀκαθαίρετον, οὐδὲν ἀνεκδίκητον ἀφίεται, οὐδὲν τῆς τοῦ χριστοῦ ὑπακοῆς ἐκτὸς ἀπολείπεται. κοινὸν γὰρ καὶ μέγιστον ἀσέβημα κατὰ πάσης παρακοῆς ἔδειξεν ὁ ἀπόστολος παῦλος, ἐκεῖνο εἰπών,
» ὡς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις. ἀλλ' ἆρα μὴ ταῦτα λόγοι μόνον, καὶ οὐ πράγματα; ἰδοὺ τοίνυν ἐν κορίνθῳ ὁ τὴν γυναῖκα τοῦ πατρὸς ἔχων, οὐδὲν ἕτερον ἐγκληθεὶς, εἰ μὴ τοῦτο μόνον, οὐ μόνον αὐτὸς παραδίδοται τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς ἄχρις οὗ τοῖς ἀξίοις τῆς μετανοίας καρποῖς διορθώσηται τὸ πλημμέλημα, πᾶσαν δὲ ὁμοῦ τὴν ἐκκλησίαν. ἐπεὶ μὴ ἐπεξῆλθε τῷ ἁμαρτήματι, ἐκεί-
» νοις περιβάλλει τοῖς ἐγκλήμασιν. τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; καὶ μετ' ὀλί-
» γα, καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ. καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑ-
» μῶν ὁ τὸ ἔργον τοῦτο πράξας. τί δὲ ἆρα ἀνανίας ὁ ἐν ταῖς πράξεσι; τί ἄλλο κακὸν πεποιηκὼς εὑρίσκεται, ἢ ἐκεῖνο αὐτό. ποῦ τοίνυν τοσαύτης ὀργῆς ἄξιον φαίνεται. ἴδιον κτῆμα πωλήσας, ἤνεγκε τὰ χρήματα καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων, νοσφισάμενος ἀπὸ τῆς τιμῆς. ἐπὶ τούτῳ παρ' αὐτὴν τὴν ὥραν ἅμα τῇ γυναικὶ θάνατον καταδικάζεται. οὐδὲ τοὺς περὶ τῆς μετανοίας λόγους ἐπὶ τῷ ἁμαρτήματι μαθεῖν καταξιωθεὶς, οὐ τοῦ κατανυγῆναι γοῦν ἐπὶ τούτῳ καιρὸν δεδομένον, οὐ τοῦ μετανοῆσαι προθεσμίαν λαβών. ὁ δὲ τοῦ τοιούτου καὶ τηλικούτου κρίματος ὑπηρέτης, ὁ τῆς τοσαύτης τοῦ θεοῦ ὀργῆς ἐπὶ τὸν ἡμαρτηκότα διάκονος, ὁ μακάριος πέτρος, ὁ πάντων μὲν τῶν μαθητῶν προκριθεὶς, μόνος δὲ πλεῖον τῶν ἄλλων μαρτυρηθεὶς, καὶ μακαρισθεὶς, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν πιστευθεὶς, ὅταν ἀκούῃ παρὰ τοῦ κυρίου, ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. ποίαν ἆρα καὶ τὴν ὁπωσοῦν λιθίνην καρδίαν οὐ δυσωπήσει πρὸς φόβον καὶ τρόμον τῶν τοῦ θεοῦ κριμάτων. καὶ ταῦτα μὲν οὐδεμιᾶς ἁμαρτίας, οὐδεμιᾶς δὲ καταφρονήσεως ἔμφασιν δούς. τιμῇ δὲ μᾶλλον τῇ περὶ τὸν δεσπότην ὑπερβαλλούσῃ χρησάμενος, καὶ τὴν προσήκουσαν δούλῳ καὶ μαθητῇ εὐλάβειαν ἐπιδειξάμενος. ἰδὼν γὰρ τὸν ἑαυτοῦ καὶ πάντων θεὸν, καὶ κύριον, καὶ βασιλέα, καὶ δεσπότην, καὶ διδάσκαλον, καὶ σωτῆρα, καὶ ὁμοῦ

τὰ πάντα

» πλημμελήσῃ γὰρ πλημμελείᾳ πλημμελήσει ἔναντι κῦ. εἰ δὲ ἐπὶ τῶν κατὰ ἄγνοιαν οὕτως ἀπαραίτητον τὸ κρίμα, καὶ ὑπὲρ τῆς καθάρσεως ἡ θυσία ἀναγκαία, ἣν καὶ ὁ δίκαιος ἰὼβ μαρτυρεῖται προσφέρειν ὑπὲρ τῶν υἱῶν, τί ἄν τις εἴποι περὶ τῶν ἐν γνώσει ἁμαρτανόντων, ἢ τῶν τούτοις ἐφησυχαζόντων; καὶ ἵνα μὴ δόξωμεν στοχασμοῖς αὐτὸ μόνον εἰκόσιν ἀναλογίζεσθαι τὴν κατὰ τούτων ἀγανάκτησιν, αὐτῆς πάλιν ἀναγκαῖον μνημονεῦσαι τῆς θεοπνεύστου γραφῆς ἀρκούσης ἐπὶ τοῦ παρόντος. καὶ διὰ μιᾶς ἱστορίας παραστῆσαι τὸ κρίμα
» τῶν τοιούτων. καὶ υἱοί φησιν ἠλεὶ τοῦ ἱερέως, υἱοὶ λοιμοί. τούτοις δὲ τοιούτοις οὖσιν, ὅτι μὴ ἐπεξῆλθε σφοδρότερον ὁ πατὴρ, τοιαύτην ἐκίνησεν ὀργὴν τῇ μακροθυμίᾳ τοῦ θῦ, ὥστε ἐπαναστάντων τῶν ἀλλοφύλων, τοὺς μὲν υἱοὺς αὐτοῦ ἐκείνους ἀναιρεθῆναι κατὰ τὸν πόλεμον ἐν ἡμέρᾳ μιᾷ. ἡττηθῆναι δὲ σύμπαντα τὸν λαὸν, καὶ πεσεῖν ἱκανούς. γενέσθαι δὲ καὶ περὶ τὴν κιβωτὸν τῆς ἁγίας τοῦ θῦ διαθήκης, ἃ μήτε ἠκούσθη ποτὲ πρότερον, ὥστε ἧς οὔτε ἰσραηλίταις, οὔτε μὴν αὐτοῖς ἱερεῦσιν ἅπασιν, οὐδὲ πάντοτε ἅπτεσθαι θεμιτὸν ἦν. ὁ δὲ τόπος αὐτὴν ὁ τυχὼν ὑπεδέχετο, ταύτην ὑπὸ χειρῶν ἀσεβῶν ἄλλοτε ἀλλαχόθεν μετακομίζεσθαι, καὶ ἀντὶ τῶν ἁγίων, εἰδώλων ναοῖς ἐναποτίθεσθαι. ἐφ' οἷς πόσον τινὰ συμβαίνειν εἶναι καὶ κατ' αὐτοῦ τοῦ ὀνόματος τοῦ θῦ γέλωτα, καὶ χλεύην παρὰ τοῖς ἀλλοφύλοις στοχάζεσθαι πάρεστιν. ἐπὶ τούτοις καὶ αὐτὸς ὁ ἠλεὶ τέλει χρησάμενος οἰκτροτάτῳ ἀναγέγραπται. δεξάμενος ἀπειλὴν, τοῦ, καὶ τὸ σπέρμα αὐτοῦ ἀποκινηθήσεσθαι τοῦ ἱερατικοῦ ἀξιώματος, ὅπερ καὶ γέγονε. τοσαῦτα συμβέβηκε τῷ λαῷ, τοιαῦτα πέπονθεν ὁ πατὴρ διὰ τὴν τῶν υἱῶν παρανομίαν. ὃς καὶ ὑπὲρ μὲν τοῦ ἰδίου βίου εἵνεκεν, οὐδὲν ἠπάθη ποτέ. καὶ αὐτοῖς δὲ ἐκείνοις οὐχ ὑπέμεινεν ἐφησυχάσαι. ἀλλὰ πολλὰ μὲν παρῄνει, περὶ τοῦ μηκέτι τοῖς ὁμοίοις ἐπιμένειν. μὴ τέκνα λέγων, μὴ οὐκ ἀγαθαὶ αἱ ἀκοαί, ἃς ἐγὼ ἀκούω περὶ ὑμῶν. σφοδρότερον δὲ κατασκευάζων τῆς ἁ-
» μαρτίας τὸ μέγεθος, φοβερώτερον αὐτοῖς παρίστη τὸν κίνδυνον. ἐὰν γὰρ ἁμαρτάνων ἁ-
» μάρτῃ ἄνθρωπος φησὶν εἰς ἄνθρωπον, προσεύξονται περὶ αὐτοῦ πρὸς κῦ. ἐὰν δὲ εἰς θῦ
» ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; ὅμως, ἐπειδήπερ ὡς εἶπον, οὐχὶ τὸν πρέποντα ζῆλον κατ' αὐτῶν ἐπεδείξατο, γέγονε τὰ εἰρημένα. τοιαῦτα μὲν οὖν πλεῖστα ὅσα κατὰ τὴν παλαιὰν διαθήκην εὕροις ἂν, τὰ κατὰ πάσης παρακοῆς κρίματα. αὖθις δὲ ὅταν ἐπὶ τὴν καινὴν ἔλθω τοῦ κῦ ἡμῶν ἰησοῦ χῦ οὐκ ἀπολύσαντος μὲν τῆς τιμωρίας οὔτε τὰ κατὰ ἄγνοιαν, σφοδρότερον δὲ κατὰ τῶν ἐν γνώσει τὴν ἀπειλὴν ἐπιτείναντος, δι' ὧν φη-
» σίν. ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κῦ ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας ἑαυτὸν, μὴ δὲ
» ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. ὁ δὲ μὴ γνοὺς, ποιήσας δὲ ἄξια
» πληγῶν, δαρήσεται ὀλίγας. ὅταν δὲ ἴδω αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θῦ τὰς τοιαύτας ἀποφάσεις, καὶ τῶν ἁγίων ἀποστόλων τὴν κατὰ τῶν ἁμαρτανόντων ἀγανάκτησιν. τὰ τοιαῦτα καὶ τηλικαῦτα πάθη, τῶν καὶ οὐχ ὁπωσοῦν ἡμαρτηκότων, οὐχ ἥττονα τῶν ἐκ τῆς παλαιᾶς εἰρημένων, μᾶλλον δὲ καὶ πλείονα, καταμανθάνω τοῦ κρίματος τὴν σφοδρότητα. ἐπεὶ καὶ ᾧ παρέθεντο πολὺ περισσότερον ἀπαιτήσουσιν αὐτόν. ἰδοὺ τοίνυν καὶ ὁ μακάριος παῦλος ὑποδεικνὺς ὁμοῦ, τῆς τε κλήσεως τὸ ἀξίωμα, καὶ τὴν κατὰ παντὸς ἁμαρ-
» τήματος ἀγανάκτησιν, οἷα φησί. τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν, οὐ σαρκικὰ, ἀλλὰ
» δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων. λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψω-
» μα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χῦ. οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ἔνθα καὶ ἐξετάσαντα τῶν εἰρημένων ἕκαστον ἐπιμελέστερον, οὐκ ἔστι γνῶναι τὸ βούλημα τῆς θείας γραφῆς ἀκριβέστερον, ὡς οὐκ ἀφῆκεν ἡμᾶς ἠπατημένοις τισὶ δόξαις πλάζεσθαι τὴν ἑκάστου ψυχὴν εἰς ἁμαρτίας ὄλισθον, οἰομένην τινὰ μὲν τῶν ἁμαρτημάτων ἐκδικεῖσθαι, τινὰ δὲ ἀφίεσθαι ἀνεκδίκητα. ἀλλά τί φησι, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θῦ, ὡς πᾶν ἁμάρτημα διὰ τὴν ἐπὶ τῷ θείῳ προστάγματι καταφρόνησιν, ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θῦ λέγεσθαι, ὅπερ καὶ ἐν τῇ βίβλῳ τῶν ἀριθμῶν δηλοῦται τρανώτερον. ἐπειδὴ γὰρ τὰ ἀκούσια τῶν ἁμαρτημάτων ἀπαριθμησάμενος, καὶ τὰς ἐπ' αὐτοῖς θυσίας διαταξάμενος ὁ θεός, ἔμελλεν ἤδη καὶ περὶ τῶν ἑκουσίων νομοθετεῖν τῷ λαῷ τὰ προσήκοντα, οὕτως ἄρχεται.

*τοίνυν

*ἔμελλ.

πάντων δὲ κοινῇ ζητούντων ἐν ἑνὶ τῷ ἁγίῳ πνεύματι τὸ τοῦ ἑνὸς κυρίου Ἰησοῦ Χριστοῦ θέλημα τοῦ εἰπόντος,
» καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμ-
» ψαντός με πατρὸς, πρὸς ὃν φησίν· οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων
» διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμὲ, ἵνα πάντες ἓν ὦσιν. ἐπὶ τούτοις καὶ πλείοσι τοῖς σεσιωπη-
» μένοις οὕτω σαφῶς, καὶ ἀναντιῤῥήτως. ἀναγκαίαν μὲν εἶναι πληροφορηθεὶς τὴν παρὰ
πάσης ὁμοῦ τῆς τοῦ θεοῦ ἐκκλησίας κατὰ τὸ θέλημα τοῦ Χριστοῦ ἐν πνεύματι ἁγίῳ συμφωνίαν. ἐπι-

ὀλέθριον

κίνδυνον δὲ καὶ ὀλέθριον ἐν τῇ πρὸς ἀλλήλους διαστάσει τὴν πρὸς θεὸν ἀπείθειαν. ὁ γὰρ
ἀπειθῶν, φησὶ, τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ' αὐτόν. ἐκεῖνο ἀκό-
λουθον ἡγησάμην ἐξετάσαι λοιπόν. ποίας μὲν ἄρα συγγνώμης τῶν ἁμαρτημάτων ἔχειν
δύναται παρὰ τῷ θεῷ. πόσα δέ τις καὶ πηλίκα ἁμαρτήσας, ὑπεύθυνος γίνεται τῷ κρί-

ἀναλαμβάνων

ματι τῆς ἀπειθείας. εὑρίσκω τοίνυν, ἀναλαβὼν τὰς θείας γραφὰς ἐν τῇ παλαιᾷ καὶ και-
νῇ διαθήκῃ, οὔτε ἐν τῷ πλήθει τῶν ἁμαρτανομένων, οὔτε ἐν τῷ μεγέθει τῶν ἁμαρτημάτων, ἐν
μόνῃ δὲ τῇ παραβάσει οὑτινοσοῦν προστάγματος σαφῶς κρινομένην τὴν πρὸς θεὸν ἀπεί-
θειαν. καὶ κοινὸν κατὰ πάσης παρακοῆς τοῦ θεοῦ τὸ κρίμα. ἐν μὲν τῇ παλαιᾷ τὸ φοβερὸν
ἐκεῖνο τοῦ ἄχαρ ἀναγινώσκων τέλος, ἢ τὴν κατὰ τὸν ἐν σαββάτῳ ξύλα συλλέξαντα ἱστο-
ρίαν, ὧν ἑκάτερος οὐδὲν οὐδέποτε, ἀλλ' οὐκ εἰς θεὸν ἡμαρτηκὼς, οὐκ ἄνθρωπον ἠδικηκὼς, οὐ
μέγα, οὐ μικρὸν ὅλως εὑρίσκεται. ἀλλ' ὁ μὲν, ἐπὶ μόνῃ καὶ πρώτῃ τῶν ξύλων συλλογῇ
ἀπαραίτητον δίδωσι τὴν δίκην. οὐδὲ μετανοίας τόπον εὑρών. προστάγματι γὰρ τοῦ θεοῦ
παρὰ παντὸς τοῦ λαοῦ παραχρῆμα λιθοβολεῖται. ὁ δὲ, ὅτι μόνον ὑφείλετό τι τῶν ἀναθη-
μάτων οὔπω εἰσενεχθέντων εἰς τὴν συναγωγὴν, οὐδὲ προσδεχθέντων ὑπὸ τῶν ἐπιτεταγμένων τὰ
τοιαῦτα, αἴτιος ἀπωλείας, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ γαμετῇ καὶ τέκνοις. πρὸς δὲ καὶ
αὐτῇ τῇ σκηνῇ σὺν πᾶσι τοῖς ἰδίοις ἐγένετο. ἔμελλε δὲ ἤδη καὶ πάντα τὸν λαὸν πυρὸς τρό-
πον ἐπινέμεσθαι τῆς ἁμαρτίας τὸ κακόν. καὶ ταῦτα, οὔτε εἰδότα τὸ γεγονὸς, οὐδὲ συνε-
γνωκότα τῷ ἁμαρτήσαντι, εἰ μὴ ταχέως ἐκ τῆς πτώσεως τῶν ἀναιρεθέντων ἀνδρῶν. συνε-
τρίβη μὲν ὁ λαὸς αἰσθόμενος τῆς ὀργῆς τοῦ θεοῦ. ἔπεσε δὲ ἅμα τοῖς πρεσβυτέροις κατα-
πασάμενος χοῦν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ οὕτω διὰ κλήρου φωραθεὶς ὁ ἔνοχος, τὴν εἰρη-
μένην ἔδωκε δίκην. ἀλλ' ἴσως ἐρεῖ τις, ὑποπεπτωκέναι μὲν τούτους εἰκότως, καὶ ἐπ' ἄλλοις
ἁμαρτήμασιν, ἀφ' ὧν καὶ ἐν τούτοις ἑάλωσαν. μόνων δὲ τούτων ὡς χαλεπωτέρων καὶ
θανάτου ἀξίων ἐπιμνησθῆναι τὴν θείαν γραφήν. ἀλλ' εἰ καὶ λίαν εἴη ὁ τοιοῦτος τολμη-
ρὸς προστιθέναι τι καὶ ὑφαιρεῖν. μὴ καὶ μαρίας ἄρα τῆς ἀδελφῆς μωσέως κατηγορήσει
πλῆθος ἁμαρτημάτων, ἧς τὴν ἀρετὴν, οὐδένα τῶν πιστῶν οἶμαι διαλανθάνειν. αὕτη κατὰ μω-
σέως ἐπειδὴ εἶπέ τι μόνον ἐν καταγνώσεως μέρει, καὶ τοῦτο ἀληθὲς, γυναῖκα γὰρ φησιν αἰ-
θιόπισσαν ἔλαβεν ἑαυτῷ, τοσαύτης ἐπειράθη τῆς ἀγανακτήσεως τοῦ θεοῦ, ὡς μηδὲ αὐτοῦ
μωσέως ἱκετεύοντος, συγχωρηθῆναι αὐτῇ τῆς ἁμαρτίας τὸ ἐπιτίμιον. αὐτὸν τοίνυν ὅταν
ἴδω μωσέα, τὸν τοῦ θεοῦ θεράποντα, τὸν μέγαν ἐκεῖνον, τὸν τοσαύτης μὲν καὶ τηλικαύτης ἀ-
ξιωθέντα τιμῆς παρὰ θεοῦ, οὕτω δὲ πολλάκις ὑπ' αὐτοῦ μαρτυρηθέντα, ὡς ἀκοῦσαι, οἶδά σε
παρὰ πάντας, καὶ εὕρηκας χάριν ἐνώπιόν μου. τοῦτον, ὅταν ἴδω ἐπὶ τοῦ ὕδατος τῆς
ἀντιλογίας οὐδενὸς οὕνεκεν ἑτέρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι διὰ ἀπορίαν ὕδα-
τος, μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξομεν ὑμῖν ὕδωρ; τούτου μόνου οὕνεκεν τὴν ἀπειλὴν
δεχόμενον εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσελεύσεσθαι, ἥπερ ἦν τότε τῶν πρὸς Ἰουδαίους ἐ-
παγγελιῶν τὸ κεφάλαιον. ὅταν ἴδω τοῦτον παρακαλοῦντα, καὶ μὴ συγχωρούμενον. ὅταν
ἴδω μηδεμιᾶς συγγνώμης διὰ τὰ τοσαῦτα κατορθώματα ἐπὶ τῷ βραχεῖ ἐκείνῳ ῥήματι
καταξιούμενον, ὄντως μὲν ὁρῶ θεοῦ ἀποτομίαν κατὰ τὸν ἀπόστολον, ὄντως δὲ ἐκεῖνο ἀληθὲς
εἶναι πείθομαι, τὸ, εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; καὶ
τί ταῦτα λέγω; ἐκείνης ὅταν ἀκούσω τῆς φοβερᾶς τοῦ θεοῦ ἀποφάσεως, ἣν καὶ κατὰ τοῦ
μίαν ἐντολὴν ἐπ' ἀγνοίᾳ παραβεβηκότος ἀποφαίνεται, οὐκ ἔχω πῶς ἐπαξίως φοβηθῶ τῆς
» ὀργῆς τὸ μέγεθος. γέγραπται γάρ· καὶ ψυχὴ ἐὰν ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντο-
» λῶν κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ, καὶ λάβῃ τὴν ἁμαρτίαν, οἴσει κριὸν
» ἄμωμον ἐκ τῶν προβάτων τιμῆς ἀργυρίου, εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα, καὶ ἐξιλάσεται περὶ
» αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἀγνοίας αὐτοῦ ἧς ἠγνόησε, καὶ αὐτὸς οὐκ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ. ἐ-

πλημμέλησε

» ἀληθοῦς θεογνωσίας ἠμεληκόσι. τί γάρ φησι; καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν
» ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πλεονεξίᾳ, κακίᾳ, μεστοὺς φθόνου, καὶ τὰ ἑξῆς. καὶ τοῦτο νενοηκέναι οἶμαι τὸν ἀπόστολον τὸ κήρυγμα*, οὐκ ἀφ' ἑαυτοῦ, Χριστὸν γὰρ εἶχεν ἐν ἑαυτῷ λαλοῦντα, ἀλλ' ἀπ' ἐκείνης αὐτοῦ τῆς φωνῆς ὁδηγηθέντα, ἐν ᾗ φησι, διὰ τοῦτο ἐν παραβο-
» λαῖς λαλεῖν τοῖς ὄχλοις, ἵνα μὴ νοήσωσι τὰ θεῖα τῆς εὐαγγελίου μυστήρια, ὅτι φθάσαντες αὐτοὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν. καὶ ἐπαχύνθη ἡ ἀσύνετος αὐτῶν καρδία, ἵνα ἔχωσιν αὐτὴν τιμωρίαν, ἀπομένειν τὸ λοιπὸν τὰ μείζονα ἀβλεψίαν, οἱ προφθάσαντες* ἑκουσίως, τὸ ὄμμα τῆς ψυχῆς ἀποτυφλώσαντες ἐσκοτίσθησαν.

[margin: *κρίμα]

[margin: οἱ πρὸς* τὰ φθάσαντα]

» ὅπερ ὁ Δαβὶδ φοβούμενος παθεῖν, ἔλεγε. φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω
» εἰς θάνατον. ἐκ μὲν οὖν τούτων καὶ τῶν τοιούτων, φανερὸν εἶναι ἐλογιζόμην, ὅτι καθόλου μὲν ἡ τῶν παθῶν κακία διὰ τὴν περὶ Θεοῦ ἀγνωσίαν, ἢ ἀδόκιμον γνῶσιν ἐντίθησιν*. ἰδίως δὲ ἡ διαφωνία τῶν πολλῶν πρὸς ἀλλήλους διὰ τὸ ἀναξίους ἡμᾶς ἑαυτοὺς κατασκευάσαι τῆς τοῦ Κυρίου ἐπιστασίας ἐπισυμβαίνει. πρὸς δὲ τὴν ἐπίσκεψιν τοῦ τοιούτου βίου, εἴποτε δὴ καὶ ἐλθεῖν ἐβουλήθημεν, οὔτε μετρεῖν ἔχω τὸ μέγεθος τῆς τοιαύτης ἀνοησίας, ἢ ἀλογίας, ἢ ἀπονοίας, ἢ διὰ τὸ ὑπερβάλλον τῆς κακίας, ἢ οὐκ ἔχω τί εἴπω. εἰ γὰρ καὶ ἐν ἀλόγοις οὕτω κατορθουμένην ἀρέσκομεν τὴν ἐν ἀλλήλοις συμφωνίαν διὰ τὴν πρὸς τὸν καθηγούμενον ὑπείθειαν, τί ἂν εἴποιμεν ἡμεῖς ἐν τοσαύτῃ μὲν τῇ πρὸς ἀλλήλους διαστάσει; τοσαύτῃ δὲ τῇ πρὸς τὰς ἐντολὰς τοῦ Κυρίου ἐναντιότητι διαγινόμενοι. ἢ οὐχὶ ταῦτα πάντα ἡγούμεθα; νῦν μὲν εἰς διδασκαλίαν καὶ ἐντροπὴν ἡμετέραν ἀπὸ τοῦ ἀγαθοῦ Θεοῦ προτίθεσθαι. ἐν δὲ τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ εἰς αἰσχύνην καὶ κατάκρισιν τῶν μὴ παιδευομένων προσενεχθήσεσθαι ὑπ' αὐτῆς τοῦ Κυρίου ἐπόντος ἤδη, καὶ λέ-

[margin: ἐγγίνεται*.]

» γοντος ἀεί. ὅτι ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ Κυρίου αὐτοῦ. Ἰσραὴλ δέ με
» οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε. καὶ πολλὰ ἄλλα τοιαῦτα. ἐκεῖνο δὲ τὸ ἀπὸ τοῦ
» ἀποστόλου εἰρημένον, τὸ, εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. εἴτε δοξάζε-
» ται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. καὶ τὸ, ἵνα μὴ ᾖ σχίσματα ἐν τῷ σώματι, ἀλλὰ
» τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, ἀπὸ μιᾶς δηλονότι κινούμενα τῆς ἐνοικούσης
» ψυχῆς. τίνος οὖν ἕνεκεν οὕτως ᾠκονομήθη; ἐγὼ μὲν οἶμαι, ἵνα ζητῆται ἡ τοιαύτη ἀκολουθία τε καὶ ἀταξία, πολλῷ πλέον παρὰ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, πρὸς ἣν εἴρηται. ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. κρατούσης δηλονότι καὶ συναπτούσης ἕκαστον τῷ ἄλλῳ πρὸς ὁμόνοιαν τῆς μιᾶς καὶ μόνης ἀληθῶς κεφαλῆς, ἥτις ἐστὶν ὁ Χριστός. παρ' οἷς δὲ οὐχ ὁμόνοια κατορθοῦται, οὐχ ὁ σύνδεσμος τῆς εἰρήνης τηρεῖται. οὐχὶ ἐν πνεύματι πρᾳότης φυλάσσεται, ἀλλὰ καὶ διχοστασία καὶ ἔρις, καὶ ζῆλος ἀρέσκεται. πολλῆς μὲν τόλμης ἂν εἴη μέλη Χριστοῦ τοὺς τοιούτους ὀνομάζειν, ἢ ὑπ' αὐτοῦ ἄρχεσθαι λέγειν. ἁπλῆς δὲ διανοίας, μὴ μετὰ παρρησίας εἰπεῖν, ὅτι κρατεῖ ἐκεῖ καὶ βασιλεύει τὸ τῆς σαρκὸς φρόνημα, κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν, λέγοντος μὲν ὁριστικῶς, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε. διεξιόντος δὲ σαφῶς τοῦ τοιούτου φρονήματος τὰ ἰδιώματα, ὡς ὅταν λέγῃ, ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε; διδάσκοντος δὲ ἅμα ἀποφαντικῶς τό, τε χαλεπὸν αὐτῶν τῆς ἐκβάσεως, καὶ τὸ ἀκοινώνητον πρὸς θεοσέβειαν, δι' ὧν φησὶν, ὅτι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. οὐδὲ γὰρ δύναται, διότι οὐδεὶς δύναται ὁ Κύριός φησι δυσὶ κυρίοις δουλεύειν. εἶτα αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ βοῶντος,

[margin: ᾠκοδομήθη]

» δι' οὗ τὰ πάντα ἐγένετο, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ
» ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. καὶ ὅτι ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν. καὶ ἐν-
» τολὴν ἔλαβον τί εἴπω, καὶ τί λαλήσω. καὶ τοῦ πνεύματος τοῦ ἁγίου τοῦ διαιροῦντος μὲν τὰ μεγάλα καὶ θαυμαστὰ χαρίσματα. ἐνεργοῦντος δὲ τὰ πάντα ἐν πᾶσι. λαλοῦντός τε ἀφ' ἑαυτοῦ οὐδὲν, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρὰ τοῦ Κυρίου ταῦτα λαλοῦντος. πῶς οὐ πολλῷ μᾶλλον ἀνάγκη πᾶσαν τὴν ἐκκλησίαν τοῦ Θεοῦ σπουδάζουσαν τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, πληροῦν ἐκεῖνο τὸ ἐν ταῖς πράξεσιν εἰρημένον, ὅτι τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. οὐδενὸς μὲν δηλονότι τὸ ἴδιον βούλημα ἱστῶντος.

ὧν ἁπάντων τὰ ἀντίγραφα διεπεμψάμην πρὸς τὴν ἡμετέραν ἐν Χριστῷ ἀγάπην, ἵνα πληρωθῇ ἐν ὑμῖν, ἢ δι' ἡμῶν, τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον, ὅτι ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.

Τοῦ αὐτοῦ προοίμιον, περὶ κρίματος Θεοῦ.

Θεοῦ τοῦ ἀγαθοῦ χρηστότητι, καὶ φιλανθρωπίᾳ ἐν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατ' ἐνέργειαν τοῦ ἁγίου Πνεύματος, τῆς μὲν κατὰ παράδοσιν τῆς ἔξωθεν πλάνης ῥυσθεὶς, αὐτόθεν δὲ καὶ ἐξ ἀρχῆς ὑπὸ χριστιανοῖς γονεῦσιν ἀνατραφεὶς, παρ' αὐτοῖς μὲν ἀπὸ βρέφους καὶ τὰ ἱερὰ γράμματα ἔμαθον, ἄγοντά με πρὸς ἐπίγνωσιν τῆς ἀληθείας. ὡς δὲ γέγονα ἀνὴρ, καὶ ἀποδημίαις πολλάκις χρώμενος, πράγμασί τε ὡς εἰκὸς ἐντυγχάνων πλείοσιν, ἐν μὲν ταῖς ἄλλαις τέχναις καὶ ἐπιστήμαις,* τοσαύτην πρὸς ἀλλήλους συμφωνίαν κατεμάνθανον τῶν ἀκριβῶς μετερχομένων ἑκάστην. ἐν μόνῃ δὲ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, ὑπὲρ ἧς Χριστὸς ἀπέθανε, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὴν πλουσίως ἐξέχεε, τοσαύτην διαφορὰν, καὶ ὑπερβάλλουσαν τήν τε πρὸς ἀλλήλους, καὶ τὴν πρὸς τὰς θείας γραφὰς διαφωνίαν τῶν πολλῶν ἐθεώρουν. καὶ τὸ φρικωδέστατον, αὐτοὺς τοὺς προεστῶτας αὐτῆς, ἐν τοσαύτῃ μὲν τῇ πρὸς ἀλλήλους διαφορᾷ γνώμης τε καὶ δόξης καθεστῶτας, τοσαύτῃ δὲ τῇ πρὸς τὰς ἐντολὰς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐναντιότητι χρωμένους, καὶ διασπῶντας μὲν ἀνηλεῶς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἐκταράσσοντας δὲ ἀφειδῶς τὸ ποίμνιον αὐτοῦ, ὡς καὶ ἐν αὐτοῖς πληροῦσθαι νῦν, εἴπερ ποτὲ τῶν ἀνομοίων ἐπιφυέντων, τὸ, ὅτι ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. ταῦτα καὶ τὰ τοιαῦτα ὁρῶν, καὶ πρὸς τούτοις ἐπαπορῶν, τίς, καὶ πόθεν ἡ αἰτία τοῦ τοσούτου κακοῦ, τὰ μὲν πρῶτα, ὥσπερ ἐν βαθεῖ σκότῳ διῆλθον*, καὶ καθάπερ ἐπὶ ζυγοῦ, ποτὲ μὲν ὧδε, ποτὲ δὲ ἐκεῖσε ἔρρεπον. ἄλλοτε ἄλλως, ἢ πρὸς ἑαυτόν με ἕλκοντος διὰ τὴν πολυχρόνιον τῶν ἀνθρώπων συνήθειαν, ἢ ἀλλαχοῦ* ἀπωθουμένου διὰ τὴν ἐν ταῖς θείαις γραφαῖς ἐπιγινωσκομένην ἀλήθειαν. ἐπὶ πολὺ δὲ τοῦτο πάσχων, καὶ τὴν αἰτίαν ἣν εἶπον πολυπραγμονῶν, εἰς μνήμην ἦλθον τῆς βίβλου τῶν κριτῶν, ἱστορούσης μοι, ὅτι ἕκαστος τὸ εὐθὲς ἐν ὀφθαλμοῖς* αὐτοῦ ἐποίει. δηλούσης δὲ ἅμα καὶ τὴν αἰτίαν ἐν τῷ προειπεῖν, ὅτι ἐν ταῖς ἡμέραις ἐκείναις, οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ. τούτου τοίνυν ἐπιμνησθεὶς, ἐλογισάμην καὶ περὶ τῶν παρόντων ἐκεῖνο, ὅπερ εἰπεῖν μὲν φοβερὸν ἴσως καὶ παράδοξον, κατανοῆσαι δὲ ἀληθέστατον, ἔτι μήποτε καὶ νῦν παρὰ τὴν τοῦ ἑνὸς καὶ μεγάλου καὶ ἀληθινοῦ καὶ μόνου τῶν ὅλων βασιλέως, καὶ Θεοῦ ἀθέτησιν, ἡ τοσαύτη διαφωνία καὶ μάχη τῶν ἐν τῇ ἐκκλησίᾳ γίνεται ἑκάστου. τῆς μὲν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διδασκαλίας ἀφισταμένου, λογισμοὺς δέ τινας καὶ ὅρους ἰδίους ἐκδικοῦντος δι' αὐθεντίας, καὶ μᾶλλον ἄρχειν ἀπ' ἐναντίας τοῦ Κυρίου, ἢ ἄρχεσθαι ὑπὸ τοῦ Κυρίου βουλομένου. τοῦτο δὴ λογισάμενος, καὶ πρὸς τὸ ὑπερβάλλον τῆς ἀσεβείας ἐπτοημένος, ἐπὶ πλεῖόν τε ἐρευνῶν, εὗρον μὲν οὐδὲν ἧττον, κἀκ τῶν ἐν τῷ βίῳ πραγμάτων ἀληθῆ εἶναι τὴν προειρημένην αἰτίαν. ἑώρων γὰρ πάσης μὲν πλήθους εὐταξίαν τε καὶ συμφωνίαν ἄχρι τότε κατορθουμένην, ἄχρις ἂν ἡ πρὸς ἕνα τινὰ τὸν ἄρχοντα σώζηται κοινὴ τῶν ἄλλων* εὐπείθεια. πᾶσαν δὲ διαφωνίαν καὶ διάστασιν ἔτι τε πολυαρχίαν ἐξ ἀναρχίας ὁδοποιουμένην. ἐγὼ δὲ εἶδόν ποτε καὶ μελισσῶν πλῆθος νόμῳ φύσεως στρατηγούμενον, καὶ κατακολουθοῦν εὐτάκτως τῷ ἰδίῳ βασιλεῖ. καὶ πολλὰ μὲν ἐγὼ τοιαῦτα εἶδον, πολλὰ δὲ ἤκουσα. ἴσασι δὲ καὶ πλείονα οἱ περὶ ταῦτα ἠσχολημένοι, ὡς καὶ ἐκ τούτων ἀληθὲς δείκνυσθαι τὸ λεγόμενον. εἰ γὰρ τῶν πρὸς ἕνα ἀποβλεπόντων, καὶ βασιλεῖ χρωμένων ἑνὶ, ἴδιον εὐταξία μετὰ συμφωνίας, ἄρα διαφωνία πᾶσα καὶ διάστασις σημεῖον ἀναρχίας. κατὰ δὲ τὸν αὐτὸν λόγον ἡ τοιαύτη πρός τε τὰς ἐντολὰς τοῦ Κυρίου καὶ πρὸς ἀλλήλους διαφωνία, καὶ ἐν ἡμῖν εὑρισκομένη, κατηγόρημα ἂν εἴη, ἢ ἀναχωρήσεως τοῦ ἀληθινοῦ βασιλέως, κατὰ τὸ μόνον ὁ κατέχων ἄρτι, ἕως ἂν ἐκ μέσου γένηται, ἢ ἀρνήσεως αὐτοῦ. κατὰ τὸ, εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. οὗ καθάπερ σημεῖόν τι, ἢ ἔλεγχον ἐπιφέρει, τὸ, διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν. ἐνταῦθα μὲν οὖν, ὥσπερ χαρακτῆρα τῆς τοιαύτης ἀσεβείας κατὰ τὸ λεληθὸς ἐμφωλευούσης τῇ ψυχῇ, τὴν ἐπιφαινομένην κακίαν ὁ λόγος ἀπέδειξεν. ὅ γε μὴν μακάριος ἀπόστολος Παῦλος σφοδρότερον ἐπιστρέφων εἰς φόβον τὸν τοῦ Θεοῦ κριμάτων, τοὺς μὴ ἀπολωλεκότας τὴν καρδίαν, τοῦτο ἀντὶ τιμωρίας ὁρίζεται, καταδικάζεσθαι τοὺς τῆς

πολλήν τινα*

*καὶ οὐ συμβαίνουσαν

*δῆγον.

*πάλιν

ἐνώπιον*

*ὅλων

τῷ ἐλαττώματι αὐτοῦ, φανερωθῆναι τῷ προεστῶτι, ἐὰν ἄρα ὑπὸ πλειόνων ἐπιτιμηθεὶς ἐντραπῇ, ἐὰν δὲ μηδὲ οὕτως διορθώσηται ἑαυτοῦ τὸ σκάνδαλον, ἐκκόπτεσθαι τοῦ λοιποῦ, καὶ ὡς ἐθνικὸν καὶ τελώνην ὁρᾶσθαι αὐτὸν πρὸς τὴν ἀσφάλειαν τῶν ἐν τῇ σπουδῇ τῆς ὑπακοῆς ἐργαζομένων, κατὰ τὸ γεγραμμένον· ἀσεβῶν καταπιπτόντων οἱ δίκαιοι κατάφοβοι ἔσονται. δεῖ δὲ καὶ πενθεῖν ἐπ' αὐτῷ, ὡς μέλους ἐκ τοῦ σώματος ἐκπεσόντος. ὅτι οὐ δεῖ ἐπὶ τῷ παροργισμῷ ἀδελφοῦ ἐπιδῦναι τὸν ἥλιον, μήποτε ἡ νὺξ μεταστήσῃ μεταξὺ ἀμφοτέρων, καὶ καταλίπῃ ἐν ἡμέρᾳ κρίσεως, ἔγκλημα ἀπαραίτητον. ὅτι οὐ δεῖ καιρὸν ἀναμένειν ἐπὶ τῇ ἑαυτοῦ διορθώσει, διὰ τὸ ἀσφαλὲς μὴ ἔχειν περὶ τῆς αὔριον, ὅτι πολλοὶ πολλὰ βουλευσάμενοι, τὴν αὔριον οὐ κατέλαβον. ὅτι οὐ δεῖ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας, δι' ἧς γίνονται φαντασίαι νυκτεριναί. ὅτι οὐ δεῖ περισπᾶσθαι εἰς ἄμετρον ἐργασίαν, καὶ ὑπερβαίνειν τοὺς ὅρους τῆς αὐταρκείας, κατὰ τὸν εἰπόντα ἀπόστολον, ἔχοντες διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα, ὅτι ἡ περισσεία ἡ ὑπὲρ τὴν χρείαν ἰχνὰς πλεονεξίας ἐμφαίνει. ἡ δὲ πλεονεξία ἀπόφασιν ἔχει εἰδωλολατρείας. ὅτι οὐ δεῖ φιλάργυρον εἶναι, οὐδὲ θησαυρίζειν εἰς ἀνωφελῆ καὶ ἃ μὴ δεῖ. ὅτι δεῖ τὸν προσερχόμενον τῷ θεῷ ἀκτημοσύνην ἀσπάζεσθαι, καὶ κατὰ πάντα καθηλωμένον εἶναι τῷ φόβῳ τοῦ θεοῦ, κατὰ τὸν εἰπόντα, καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. δῴη δὲ ὑμᾶς μετὰ πάσης πληροφορίας, ἀναδεξαμένους ὑμᾶς τὰ εἰρημένα εἰς δόξαν θεοῦ, καρποὺς ἀξίους τῷ πνεύματι ἐπιδείξασθαι θεοῦ εὐδοκίᾳ, καὶ συνεργείᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀμήν.

Τοῦ αὐτοῦ, ὑποτύπωσις ἀσκήσεως.

Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προστάσσοντος, ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτί· καὶ ὃ πρὸς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων· καὶ τοῦ ἀποστόλου τῆς σιωπῆς τὸ κρίμα φοβερὸν δεικνύντος, δι' ὧν φησὶ πρὸς τοὺς ἐφεσίων πρεσβυτέρους· διαμαρτύρομαι ὑμῖν τὴν σήμερον ἡμέραν, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν ἀλήθειαν, καὶ τὴν βουλὴν τοῦ θεοῦ, καὶ ἡμῖν δὲ τὸ αὐτὸ ποιεῖν παραγγέλλοντος, ἐν οἷς γράφει, ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ θεοῦ. ἐπειδὴ κατὰ πρόσωπον διαμαρτύρασθαι πᾶσι περὶ τῶν τοῦ κυρίου προσταγμάτων οὐχ οἷός τε εἰμί, ἀναγκαῖον ἐνόμισα γράψαι γοῦν πρὸς τὴν πάντων ὑμῶν ἐν Χριστῷ ἀγάπην. καὶ ἐμαυτὸν μὲν τοῦ κρίματος ἐλευθερῶσαι, ὑμᾶς δὲ περὶ τῶν ἐπιβαλλόντων ὑμῖν πληροφορῆσαι ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μήτε ὑμεῖς δι' ἀγνοίας παραπέσητέ που τῷ κέντρῳ τοῦ θανάτου, ὅπερ ἐστὶν ἡ ἁμαρτία, ἢ παρέλθητέ τινα ἐντολὴν τοῦ θεοῦ, περὶ ἧς γέγραπται, ὅτι ἡ ἐντολὴ αὐτοῦ, ζωὴ αἰώνιός ἐστι· καὶ ἐκπέσητε ταύτης, τοῦ κυρίου λέγοντος, ὁ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωήν· ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ' αὐτόν. μήτε ἡμεῖς ὑπόχοι τοῦ αἵματος τῶν ὑπὸ τῆς ἁμαρτίας τεθανατωμένων, διὰ τῆς σιωπῆς εὑρεθῶμεν. *προστίσεται δέ μοι τὸ κρίμα, πρῶτον μὲν τὴν αἰτίαν, καὶ τὸν κίνδυνον τῆς τοσαύτης τῶν ἐκκλησιῶν τοῦ θεοῦ, καὶ ἑκάστου πρὸς τὸν ἕτερον διαφωνίας τε, καὶ διαστάσεως. δεύτερον τὰς ἐκ τῆς θεοπνεύστου γραφῆς ἀποδείξεις, περὶ τοῦ πᾶσαν παράβασιν ἐντολῆς θεοῦ σφοδρῶς καὶ φοβερῶς ἐκδικήσαντος· ὥστε εἰ καὶ τὰ πλεῖστά τις κατορθωκέναι δοκεῖ, ὀλίγων δέ που, ἢ καὶ μιᾶς ἧς τινοσοῦν ἐντολῆς ἀμελήσει· ἢ καὶ τῷ πλημμελήσαντι ἀδιαφόρως ἐφησυχάζει, καὶ μὴ ζῆλον ἀγαθὸν κατὰ τὸ κρίμα τοῦ θεοῦ ἐπιδείξεται, ἐπὶ ταύτῃ μόνῃ δίκας ὑφέξει· κἂν διὰ ἀγνοίας πάθῃ τι τοιοῦτον, οὐδὲ οὕτως ἀτιμώρητος διαφύγῃ. μετὰ ταῦτα περιέξει τὴν εὐσεβῆ τοῦ θεοῦ καὶ πατρός, καὶ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ καὶ θεοῦ, καὶ τοῦ ἁγίου πνεύματος ὁμολογίαν. ἔπειτα τῶν ὑπὸ τῆς γραφῆς ἡμῖν διεσταλμένων τὴν γνῶσιν, ὅσων ἀπέχεσθαι χρή· καὶ περὶ ἃ μάλιστα ἐσπουδακέναι δεῖ τοὺς αἰωνίου ζωῆς, καὶ βασιλείας οὐρανῶν ἐφιεμένους. καὶ τὰ ἑκάστου δὲ βαθμοῦ ἢ τάγματος ἐξαίρετα κατ' ἰδίαν ὁμοίως παραθήσεται. ἐπὶ τούτοις οἱονεὶ χαρακτῆρα χριστιανοῦ κεφαλαιώδη καὶ σύντομον ὅρου τύπον ἔχοντα* πειράσεται δοῦναι ἡμῖν ἐκ τῶν ἁγίων γραφῶν ὁ λόγος. καὶ χαρακτῆρα πάλιν παραπλήσιον τῶν προεστώτων τοῦ λόγου τῆς τοῦ κυρίου διδασκαλίας, ἐν οἷς τό τε ἀπηκριβωμένον, καὶ ἀκριβῶς* κεκαθαρμένον τῆς πολιτείας διαφανήσεται. καὶ τὸ, ἵνα οὕτως εἴπω*, ἀξίωμα τῶν ἐν ταύτῃ διαπρεπόντων ἐκλάμψει. τούτοις ἀκολούθως ἐπισυναφθήσεται ἡμῖν, ὅσα πρὸς τὴν συζήτησιν τῆς κατὰ θεὸν ζωῆς ὑπὸ τῶν ἀδελφῶν ἐπερωτηθεὶς, ἀπεκρινάμην.

*παραθήσεται

*ἐπέχοντα

*ἄκρως

*ὀνομάσω

λην, ἀναγκαῖον τὴν ἑκάστου μαρτυρίαν ἀδιάλειπτον οὖσαν καταλέγψασθαι ἐπιγινώσκειν, τοῖς τὴν τῶν
ἀναγνωσιν ἀσχολουμένοις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. ὅτι δεῖ τὸν χριστιανὸν ἄξια τῆς
ἐπουρανίου κλήσεως φρονεῖν, καὶ ἀξίως τοῦ εὐαγγελίου τοῦ χριστοῦ πολιτεύεσθαι. ὅτι δεῖ τὸν χριστιανὸν
μὴ μετεωρίζεσθαι ὑπὸ τοῦ νοὸς, μὴ δὲ ἀφέλκεσθαι ὑπό τινος ἀπὸ τῆς τοῦ θεοῦ μνήμης, καὶ
τῶν ὑπ' αὐτοῦ θελημάτων καὶ κριμάτων. ὅτι δεῖ τὸν χριστιανὸν κρείττονα τῶν κατὰ τὸν νόμον
δικαιωμάτων γινόμενον ἐν πᾶσιν, οὐδὲ ὀμνύειν, οὐδὲ ψεύδεσθαι. ὅτι οὐ δεῖ βλασφημεῖν. ὅτι οὐ
δεῖ ὑβρίζειν. ὅτι οὐ δεῖ μάχεσθαι. ὅτι οὐ δεῖ ἑαυτὸν ἐκδικεῖν. ὅτι οὐ δεῖ κακὸν ἀντὶ κακοῦ ἀπο-
διδόναι. ὅτι οὐ δεῖ ὀργίζεσθαι. ὅτι δεῖ μακροθυμεῖν ὁποιοῦν πάσχοντα, καὶ ἐλέγχειν ἐν καιρῷ
τὸν ἀδικοῦντα. οὐκ ἐν πάθει τῆς ἑαυτοῦ ἐκδικήσεως, ἀλλ' ἐν ἐπιθυμίᾳ τῆς τοῦ ἀδελφοῦ διορθώ-
σεως κατὰ τὴν ἐντολὴν τοῦ κυρίου. ὅτι οὐ δεῖ κατὰ ἀπόντος ἀδελφοῦ λέγειν τι, σκοπῷ τοῦ διαβάλλειν αὐ-
τὸν, ὅπερ ἐστὶ καταλαλιὰ, κἂν ἀληθὲς ᾖ τὸ λεγόμενον. ὅτι οὐ δεῖ γελᾶν, οὐδὲ γελοιαστῶν ἀνέχεσθαι.
ὅτι δεῖ τὸν καταλαλοῦντα ἀδελφοῦ ἀποστρέφεσθαι. ὅτι οὐ δεῖ εὐτράπελα φθέγγεσθαι. ὅτι οὐ δεῖ
ἀργολογεῖν λαλοῦντά τι, ὃ μήτε πρὸς ὠφέλειαν τῶν ἀκουόντων ἐστὶ, μήτε πρὸς τὴν ἀναγκαίαν καὶ συγκε-
χωρημένην ἡμῖν ὑπὸ τοῦ θεοῦ χρείαν. ὥστε καὶ τοὺς ἐργαζομένους σπουδάζειν καθόσον δυνατὸν μετὰ τῆς
ἡσυχίας ἐργάζεσθαι. καὶ αὐτοὺς δὲ τοὺς ἀγαθοὺς λόγους πρὸς ἐκείνους κινεῖν τοὺς πεπιστευμένους μετὰ δο-
κιμασίας οἰκονομεῖν τὸν λόγον πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα μὴ λυπῆται τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ.
ὅτι οὐ δεῖ τῶν ἐπεισερχομένων τινὰ ἐξουσίαν ἔχειν ἐγγίζειν ἢ λαλεῖν τινι τῶν ἀδελφῶν, πρὶν ἂν οἱ ἐπι-
τεταγμένοι τὴν φροντίδα τῆς ἐν πᾶσιν εὐταξίας δοκιμάσωσι, πῶς ἀρεστὸν τῷ θεῷ πρὸς τὸ κοινῇ συμ-
φέρειν. ὅτι οὐ δεῖ οἴνῳ δεδουλῶσθαι, οὐδὲ τὴν κρέα ἐμπαθῶς ἔχειν, καὶ καθόλου τὴν οὐδὲν βρῶ-
μα, ἢ πόμα φιλήδονον εἶναι. ὁ γὰρ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. ὅτι τῶν διδομένων ἑκάστῳ εἰς
χρῆσιν, οὐδὲν ὡς ἴδιον ἔχειν, ἢ ταμιεύεσθαι χρή. ἐν μέντοιγε τῇ φροντίδι πᾶσιν ὡς δεσποτικοῖς προ-
σέχειν, καὶ μηδὲ τῶν παραρριπτομένων, ἐὰν οὕτω τύχῃ, παρορᾶν. ὅτι οὐ δεῖ, οὔτε ἑαυτὸν ἑαυτοῦ εἶναί τι-
να, ἀλλ' ὡς ὑπὸ θεοῦ παραδοθέντα εἰς δουλείαν τοῖς ὁμοψύχοις, οὕτω καὶ φρονεῖν, καὶ ποιεῖν πάντα.
ἕκαστον δὲ ἐν τῷ ἰδίῳ τάγματι. ὅτι οὐ δεῖ γογγύζειν οὔτε ἐν τῇ στενοχωρίᾳ τῶν πρὸς τὴν χρείαν, οὔτε ἐν
τῷ καμάτῳ τῶν ἔργων ἐχόντων τὸ κρίμα ὑπὲρ ἑκάστου, τουτέστι τῶν πεπιστευμένων τὴν τούτων ἐπίσκεψιν.
ὅτι οὐ δεῖ κραυγὴν γενέσθαι, οὐδὲ ἄλλό τι σχῆμα, ἢ κίνημα, ἐν ᾧ χαρακτηρίζεται θυμὸς ἢ μετεωρι-
σμὸς ἀπὸ τῆς πληροφορίας τοῦ παρεῖναι τὸν θεόν. ὅτι δεῖ τῇ χρείᾳ συμμετρεῖν τὴν φωνήν. ὅτι οὐ δεῖ
τραχέως, ἢ καταφρονητικῶς τινι ἀποκρίνεσθαι, ἀλλ' ἐν πᾶσι τὸ ἐπιεικὲς καὶ τιμητικὸν πρὸς πάντας
ἐνδείκνυσθαι. ὅτι οὐ δεῖ ἐννεύειν ὀφθαλμῷ μετὰ δόλου, ἢ ἄλλῳ τινὶ σχήματι μέλους κεχρῆσθαι, ὃ λυπεῖ τὸν
ἀδελφὸν, ἢ καταφρόνησιν ἐμφαίνει. ὅτι οὐ δεῖ καλλωπίζεσθαι ἐν ἱματίοις ἢ ὑποδήμασιν, ὅ, περπε-
ρεία ἐστίν. ὅτι δεῖ εὐτελέσι κεχρῆσθαι τοῖς πρὸς τὴν χρείαν τοῦ σώματος, καὶ μὴ πρὸς δαψίλειαν ἀνα-
λίσκειν οὐδὲν, ὅπερ ἐστὶ παράχρησις. ὅτι οὐ δεῖ τιμὴν ἐπιζητεῖν, ἢ πρωτείων ἀντιποιεῖσθαι. ὅτι δεῖ
ἕκαστον ἑαυτοῦ προτιμᾶν πάντας. ὅτι οὐ δεῖ ἀνυπότακτον εἶναι. ὅτι οὐ δεῖ ἀργὸν ἐσθίειν τὸν ἐργάζεσθαι
δυνάμενον, ἀλλὰ καὶ τὸν ἀσχολούμενον τὴν τῶν κατορθουμένων εἰς δόξαν θεοῦ, ἐκβιάζεσθαι ἑαυτὸν εἰς
τὴν σπουδὴν τοῦ κατὰ δύναμιν ἔργου. ὅτι δεῖ ἕκαστον δοκιμασίᾳ τῶν προεστώτων μετὰ λόγου καὶ πλη-
ροφορίας οὕτω ποιεῖν πάντα, μέχρι καὶ αὐτοῦ, τοῦ φαγεῖν καὶ πιεῖν εἰς δόξαν θεοῦ. ὅτι οὐ δεῖ ἀφ' ἑτέ-
ρου ἐργαστηρίου εἰς ἕτερον μεταβαίνειν, ἄνευ τῆς δοκιμασίας τῶν εἰς τοῦτο διατεταγμένων ἕκαστον,
εἰ μήπου τις ἀπαραίτητος ἀνάγκη εἰς βοήθειαν τοῦ ἀδυνατήσαντος αἰφνίδιον καλοίη. ὅτι δεῖ ἕκα-
*ἢ ἀντιλέγειν στον μένειν ἐν ᾧ ἐκλήθη, καὶ μὴ ὑπερβαίνειν τὸ ἴδιον μέτρον, ἢ ἐπεμβαίνειν τοῖς ἐπιτεταγμένοις, εἰ
μήτι ἂν οἱ τοῦτο πεπιστευμένοι δοκιμάσωσι, πῶς ἀρέσκει τῷ θεῷ. ὅτι οὐ δεῖ κατὰ φιλονεικίαν ἢ ἔριν
*ἄλλου τὴν πρός τινα, ποιεῖν τι. ὅτι οὐ δεῖ φθονεῖν τῇ ἀλλήλων εὐδοκιμήσει, ἢ ἐπιχαίρειν ἐλαττώμασί τι-
νός. ὅτι δεῖ ἐν ἀγάπῃ χριστοῦ λυπεῖσθαι μὲν καὶ συντρίβεσθαι, ἐπὶ τοῖς ἐλαττώμασι τοῦ ἀδελφοῦ,
εὐφραίνεσθαι δὲ ἐπὶ τοῖς κατορθώμασιν. ὅτι οὐ δεῖ ἀδιαφορεῖν ἐπὶ τοῖς ἁμαρτάνουσι, ἢ ἐφησυ-
χάζειν αὐτοῖς. ὅτι δεῖ τὸν ἐλέγχοντα ἐν φόβῳ θεοῦ μετὰ πάσης εὐσπλαγχνίας ἐλέγχειν, σκοπῷ τοῦ
*καταδέχε- ἐπιστρέψαι τὸν ἁμαρτάνοντα. ὅτι δεῖ τὸν ἐλεγχόμενον, ἢ ἐπιτιμώμενον ἀνέχεσθαι, γνωρίζοντα τὸ
σθαι προθύ- ἑαυτοῦ ὄφελος ἐν τῇ διορθώσει. ὅτι οὐ δεῖ ἐγκαλουμένου ἄλλου τινὸς, ἄλλον ἐνώπιον ἐκείνου, ἢ
μως ἑτέρων τινῶν ἀντιλέγειν τῷ ἐγκαλοῦντι. ἐὰν δὲ ἄρα ποτὲ ἄλογον φανῇ τὸ ἔγκλημα τινὶ, κατ' ἰ-
ἐγκαλοῦντα δίαν κινεῖν τὸν λόγον πρὸς τὸν ἐγκαλοῦντα, καὶ πληροφορεῖν, ἢ πληροφορεῖσθαι. ὅτι δεῖ, ὅση δύνα-
μις, ἕκαστον θεραπεύειν τὸν ἔχοντά τι κατ' αὐτοῦ. ὅτι οὐ δεῖ μνησικακεῖν τῷ ἁμαρτήσαντί τι, καὶ μετα-
νοοῦντι, ἀλλ' ἐκ καρδίας ἀφιέναι. ὅτι δεῖ τὸν λέγοντα μετανοεῖν ἐπὶ ἁμαρτήματι, μὴ μόνον κατανυ-
γῆναι ἐφ' ᾧ ἥμαρτεν, ἀλλὰ καὶ καρποὺς ἀξίους ποιῆσαι τῆς μετανοίας. ὅτι ὁ ἐπὶ τοῖς πρώτοις ἁ-
μαρτήμασι παιδευθεὶς, καὶ τῆς ἀφέσεως καταξιωθεὶς, ἐὰν πάλιν ἁμάρτῃ, χεῖρον τοῦ προτέρου κα-
τασκευάζει ἑαυτῷ τὸ κρίμα τῆς ὀργῆς. ὅτι δεῖ τὸν μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν ἐπιμένοντα

ἀπὸ κραιπάλης, καὶ μέθης, καὶ μεριμνῶν βιωτικῶν ἀπέχεσθαι· μετὰ δόλου μὴ ὁμιλεῖν, μηδὲ ὅλως φθέγγεσθαι κατά τινος· μὴ καταλαλεῖν, μηδὲ ὅλως ἡδέως ἀκούειν καταλαλιᾶς· μὴ ταχέως πιστεύειν κατά τινος, μὴ τυραννεῖσθαι ὑπὸ θυμοῦ· μὴ κρατεῖσθαι ὑπὸ ἐπιθυμίας· μὴ εἰκῆ ὀργίζεσθαι τῷ πλησίον· μὴ κρατεῖν μῆνιν κατά τινος· μὴ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι· μᾶλλον λοιδορεῖσθαι, ἢ λοιδορεῖν· τύπτεσθαι, ἢ τύπτειν· ἀδικεῖσθαι, ἢ ἀδικεῖν· ἀποστερεῖσθαι, ἢ ἀποστερεῖν· πρὸ δὲ πάντων χρὴ τὸν μοναχὸν ἐγκρατεύεσθαι ἀπὸ συντυχίας γυναικῶν, καὶ ἀπὸ οἰνοποσίας, ὅτι οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς· καὶ κατορθοῦντας κατὰ τὸ δυνατὸν, τὰς τοῦ κυρίου ἐντολὰς μὴ ἀκηδιᾶν, ἀλλὰ τὸν μισθὸν, καὶ τὸν ἔπαινον παρ' αὐτοῦ ἐκδέχεσθαι, καὶ τῆς αἰωνίου ζωῆς ποθεῖν τὴν ἀπόλαυσιν· τό, τε ῥητὸν τοῦ Δαβὶδ πρὸ ὀφθαλμῶν ἀεὶ ἔχειν, καὶ λέγειν· προωρώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ· καὶ ὡς μὲν υἱὸς ἐξ ὅλης καρδίας, καὶ ἰσχύος, καὶ διανοίας, καὶ τῆς δυνάμεως ἀγαπᾶν τὸν θεόν· ὡς δὲ δοῦλος εὐλαβεῖσθαι καὶ φοβεῖσθαι, καὶ ὑπακούειν αὐτῷ, καὶ μετὰ φόβου καὶ τρόμου τὴν σωτηρίαν ἑαυτοῦ κατεργάζεσθαι, τῷ πνεύματι ζέειν, ἐνδεδυμένον εἶναι τὴν πανοπλίαν τοῦ ἁγίου πνεύματος, καὶ τρέχειν οὐκ ἀδήλως, καὶ πυκτεύειν ὡς οὐκ ἀέρα δέροντα, καὶ καταπαλαίειν τοῦ ἐχθροῦ ἐν τῇ ἀσθενείᾳ τῆς σαρκὸς καὶ ἐν τῇ πτωχείᾳ τῆς ψυχῆς. καὶ πάντα τὰ διατεταγμένα ποιεῖν, καὶ ἀχρεῖον ἑαυτὸν λέγειν· εὐχαριστεῖν τῷ ἁγίῳ καὶ ἐνδόξῳ, καὶ φοβερῷ θεῷ, καὶ μηδὲν κατ' ἐρίθειαν καὶ κενοδοξίαν ποιεῖν· ἀλλὰ διὰ τὸν θεὸν καὶ πρὸς τὸ αὐτοῦ ἀρέσκειν· ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· μὴ καυχᾶσθαι τὸ σύνολον, μὴ δὲ ἐγκώμια ἑαυτοῦ λέγειν, μὴ δὲ ἄλλου ἐγκωμιάζοντος ἡδέως ἀκούειν· ἐν κρυπτῷ δὲ πάντα δουλεύειν, καὶ μὴ πρὸς ἐπίδειξιν ἀνθρώπων ποιεῖν· ἀλλὰ μόνον τὸν παρὰ τοῦ θεοῦ ἔπαινον ζητεῖν· καὶ τὴν φοβερὰν καὶ ἔνδοξον αὐτοῦ παρουσίαν ἐννοεῖν· τὴν μετάβασιν τὴν ἐντεῦθεν· τὰ ἀποκείμενα ἀγαθὰ τοῖς δικαίοις· ὁμοίως τὸ ἡτοιμασμένον πῦρ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἐπὶ πᾶσι δὲ τούτοις τοῦ ἀποστολικοῦ ῥητοῦ μνημονεύειν· ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· καὶ σὺν τῷ Δαβὶδ προσλέγειν, τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ ἀνταπόδοσις πολλή· μισθὸς πολύς· καὶ στέφανοι δικαιοσύνης· αἰώνιοι σκηναί, ζωὴ ἀτελεύτητος, χαρὰ ἀνεκλάλητος, μονὴ ἀκατάλυτος παρὰ τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι τῷ ἐν οὐρανοῖς ἀληθινῷ θεῷ· ἐμφανισμὸς προσώπου πρὸς πρόσωπον· μετὰ ἀγγέλων χορεία, μετὰ πατέρων. μετὰ πατριαρχῶν· μετὰ προφητῶν, μετὰ ἀποστόλων, καὶ μαρτύρων, καὶ ὁμολογητῶν, καὶ τῶν ἀπ' αἰῶνος θεῷ εὐαρεστησάντων, μεθ' ὧν εὑρεθῆναι σπουδάσωμεν· χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς κανονικήν.

Ὀκνηροὺς ἡμᾶς ποιεῖ πρὸς τὸ γράφειν, τὸ μὴ πεπεῖσθαι τὰς ἐπιστολὰς ἡμῶν πάντως ἐγχειρίζεσθαι τῇ σῇ ἀγάπῃ· ἀλλὰ κακίᾳ τῶν διακονούντων μυρίοις περιτυγχάνειν ἑτέροις· καὶ μάλιστα νῦν· οὕτω τεταραγμένων τῶν κατὰ τὴν οἰκουμένην πραγμάτων· διόπερ ἀναμένω τρόπον τινὰ μεμφθῆναι καὶ ἀπαιτηθῆναι βιαίως τὰς ἐπιστολάς· ὥστε αὐτῷ τούτῳ τεκμηρίῳ χρήσασθαι τῆς ἀποδόσεως· καὶ γράφοντες οὖν ἔργον ἔχομεν ἐν ταῖς καρδίαις ἡμῶν, φυλάσσειν τὴν μνήμην τῆς κοσμιότητός σου· καὶ προσεύχεσθαι κυρίῳ τῷ θεῷ δοῦναί σοι τελέσαι τὸν δρόμον τῆς ἀγαθῆς πολιτείας καθὰ προείλου· τῷ ὄντι γὰρ οὐ μικρὸς ἀγὼν ὁμολογοῦντι τῆς ἐπαγγελίας τὰ ἐφεξῆς ἐπάγεσθαι. τὸ μὲν γὰρ προελέσθαι τὴν κατὰ τὸ εὐαγγέλιον πολιτείαν παντός· τὸ δὲ καὶ μέχρι τῶν σμικροτάτων ἄγειν τὴν παρατήρησιν, καὶ μηδὲν τῶν ἐκεῖ γεγραμμένων παρορᾶν, τοῦτο πάνυ ὀλίγοις τῶν εἰς ἡμετέραν γνῶσιν ἡκόντων κατώρθωται, ὡς καὶ γλώσσῃ πεπεδημένῃ κεχρῆσθαι, καὶ ὀφθαλμῷ πεπαιδαγωγημένῳ κατὰ τὸ βούλημα τοῦ εὐαγγελίου, καὶ χερσὶν ἐνεργεῖν κατὰ τὸν σκοπὸν τῆς εὐαρεστήσεως· καὶ πόδας κινεῖν, καὶ ἑκάστῳ τῶν μελῶν οὕτω κεχρῆσθαι, ὡς ἐξ ἀρχῆς ὁ δημιουργὸς ἡμῶν ᾠκοδόμησέ τε καὶ ᾠκονόμησε· τὸ ἐν τῇ καταστολῇ κόσμιον, τὸ ἐν ταῖς συντυχίαις τῶν ἀνδρῶν πεφυλαγμένον· τὸ ἐν βρώμασιν αὔταρκες· τὸ ἐν τῇ κτήσει τῶν ἀναγκαίων ἀπέριττον· ταῦτα πάντα μικρὰ μὲν ἁπλῶς οὕτω λεγόμενα· μεγάλου δὲ ἀγῶνος εἰς τὸ κατορθωθῆναι χρῄζοντα, ἐπ' αὐτῆς τῆς ἀληθείας εὕρομεν· καὶ μὴν τὸ ἐν ταπεινοφροσύνῃ τέλειον· ὡς μήτε προγόνων περιφανείας μεμνῆσθαι, μήτε εἴ τι ἡμῖν ὑπάρχει ἐκ φύσεως πλεονέκτημα, ἢ κατὰ σῶμα, ἢ κατὰ ψυχὴν τούτῳ ἐπαίρεσθαι· μήτε τὰς ἔξωθεν περὶ ἡμῶν ὑπολήψεις ἀφορμὴν ἐπάρσεως, καὶ φυσιώσεως ποιεῖσθαι· ταῦτα τοῦ εὐαγγελικοῦ ἔχεται βίου, τὸ ἐν ἐγκρατείᾳ ἄτονον[*], τὸ ἐν προσευχαῖς φιλόπονον· τὸ ἐν φιλαδελφίᾳ συμπαθές· τὸ πρὸς δεομένους κοινωνικόν, τὸ τοῦ φρονήματος καταβεβλημένον· ὁ συντριμμὸς τῆς καρδίας, τὸ τῆς πίστεως ὑγιές· τὸ ἐν σκυθρωπότητι ὁμαλόν· μηδέποτε ἡμᾶς τῆς ἐννοίας ἐπιλειπούσης τοῦ φοβεροῦ καὶ ἀπαραιτήτου δικαστηρίου, πρὸς ὃ ἐπειγόμεθα μὲν ἅπαντες, μέμνηνται δὲ αὐτοῦ, καὶ τὴν ἐπ' αὐτοῦ ἔκβασιν ἀγωνιῶσιν ἐλάχιστοι· πολλῶν δὲ ὄντων τῶν ὑπὸ τῆς θεοπνεύστου γραφῆς δηλουμένων, καὶ τῶν κατορθοῦσθαι ὀφειλόντων τοῖς ἐσπουδακόσιν εὐαρεστῆσαι τῷ θεῷ, περὶ μόνων τέως τῶν ἐπὶ τοῦ παρόντος κινηθέντων παρ' ἡμῶν, ὡς καὶ ἔμαθον ἐξ αὐτῆς τῆς θεοπνεύστου γραφῆς, ἐν συντόμῳ ὑπομνῆσαι, ἢ εἰπεῖν προεθυμή

[*] μὴ ἐν τῇ ἀτονίᾳ

πάσας τὰς ἐντολὰς τοῦ θεοῦ ἐν ἑαυτῇ φέρουσα· καὶ πρῶτον μὲν πάντων τὴν παράδοξον ταπείνωσιν,
ἐπιφερομένην τὸν ἑσμὸν τῶν ἀγαθῶν· ἔπειτα τὸ, ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα καὶ
ἐποτίσατέ με· ξένος καὶ ἀσθενὴς, καὶ ἐν φυλακῇ, καὶ διηκονήσατέ μοι· καὶ μάλιστα ὅταν τὸ χρεω-
στούμενον ἐκτελῆται ἐν ταπεινῷ τῷ φρονήματι· ἐπάρσεως χωρὶς, ὀργῆς τε καὶ γογγυσμοῦ· γίνου
ζηλωτὴς τῶν ὀρθῶς βιούντων, καὶ τούτων τὰς πράξεις ἔγγραφε τῇ σῇ καρδίᾳ· εὔχου γενέσθαι τῶν ὀλίγων·
σπάνιον γὰρ τὸ ἀγαθόν· διὸ καὶ ὀλίγοι εἰσὶν οἱ εἰσερχόμενοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· μὴ πάντας λο-
γίζου σώζεσθαι τοὺς ἐν τῇ κέλλῃ, φαύλους τε καὶ ἀχρήστους, οὐ γὰρ οὕτως ἔχει· προσέρχονται πολλοὶ
γὰρ τῷ ἐναρέτῳ βίῳ, ὀλίγοι δὲ τὸν ζυγὸν αὐτοῦ καταδέχονται· βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρα-
νῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτὴν, εὐαγγελικὸς ὁ λόγος· βίαν ἐκάλεσε τὴν τοῦ σώματος καταπόνη-
σιν, ἣν ὑπομένουσιν ἑκουσίως οἱ τοῦ χριστοῦ μαθηταὶ ἐν τῇ ἀρνήσει τῶν οἰκείων θελημάτων, καὶ τῆς ἀναπαύ-
σεως τῆς τοῦ σώματος· φυλακῇ δὲ πασῶν τῶν ἐντολῶν τοῦ χριστοῦ· εἰ τοίνυν βούλει ἁρπάσαι τὴν βασιλείαν
τοῦ θεοῦ, γενοῦ βιαστής· ὑπόζευξόν σου τὸν αὐχένα τῷ ζυγῷ τοῦ χριστοῦ· σφίγξον τὰ ζεύγλα περὶ τὸν τρά-
χηλόν σου· θλιβέτω αὐτὸς τὸν σὸν αὐχένα· λέπτυνον αὐτὸν τῷ πόνῳ τῶν ἀρετῶν, ἐν νηστείαις, ἐν ἀγρυ-
πνίαις, ἐν ὑποταγῇ, ἐν ἡσυχίᾳ, ἐν ψαλμῳδίαις, ἐν προσευχαῖς, ἐν δάκρυσιν, ἐν χειρεργίᾳ, ἐν ὑπομο-
νῇ πάσης θλίψεως ἐπερχομένης σοι ἔκ τε δαιμόνων καὶ ἀνθρώπων· μήτε πεισάτω τῷ χρόνῳ ἐνδοῦναι τοῖς
πόνοις λογισμὸς ὑψηλόφρων, ἵνα μήπου πρὸς ταῖς θύραις τῆς ἐξόδου γυμνὸς ἀρετῶν καταληφθεὶς,
ἔξω τῶν πυλῶν τῆς βασιλείας εὑρεθῇς· μήτε βαθμὸς κλήρου ἐπαιρέτω, ἀλλὰ μᾶλλον ταπεινού-
τω· προκοπὴ γὰρ ψυχῆς προκοπὴ ταπεινώσεως· ὑστέρησις δὲ καὶ ἀτιμία ἐξ ὑψηλοφροσύνης τί-
κτεται· ὅσον ἐγγίζεις τῶν ἱερατικῶν βαθμῶν τοῖς μείζοσι συμβαίη, τοσοῦτον ταπείνου σεαυτὸν,
δεδοικὼς τὸ ὑπόδειγμα τῶν υἱῶν ἀαρών· ἐπίγνωσις θεοσεβείας, ἐπίγνωσις ταπεινώσεως καὶ πραό-
τητος· ταπείνωσις, χριστοῦ μίμησις· ἔπαρσις δὲ καὶ παῤῥησία, καὶ ἀναίδεια τοῦ διαβόλου μίμημα· γίνου
μιμητὴς χριστοῦ, καὶ μὴ ἀντιχρίστου· θεοῦ, καὶ μὴ ἀντιθέου· δεσπότου, καὶ μὴ δραπέτου· ἐλεήμονος, καὶ
μὴ ἀνηλεοῦς· φιλανθρώπου, καὶ μὴ μισανθρώπου· τῶν τοῦ νυμφῶνος, καὶ μὴ τῶν τοῦ σκότους· μὴ σπεύσῃς κα-
λέσαι* ἀδελφότητα, ἵνα μὴ ἐπιθήσεις ἀλλοτρίους φόρτους ἁμαρτημάτων ἐπὶ σῷ τραχήλῳ· ἑκά-
στης ἡμέρας ἐργασίαν ἐπισκεπτόμενος, σύμβαλε τῇ πρὸ αὐτῆς, καὶ σπεῦδε πρὸς τὴν βελτίωσιν·
πρόκοπτε ταῖς ἀρεταῖς, ἵνα ἐγγὺς γένῃ τῶν ἀγγέλων· ἐγχρόνιζε τῇ κέλλῃ οὐχ ἡμέρας, οὐδὲ μῆ-
νας, ἀλλὰ πολλῶν ἐτῶν περιόδους· ἀνυμνῶν σου τὸν δεσπότην ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ· μιμούμενος
τὰ χερουβίμ· ἂν οὕτως ἄρξῃ, οὕτω δὲ καὶ τελέσῃς τὴν τεθλιμμένην ὁδεύσας ὁδὸν ἐν τῷ βραχεῖ σου
χρόνῳ τῆς ἀσκήσεως, θεοῦ χάριτι εἰσελάσῃ εἰς τὸν παράδεισον, ἐν φαιδρότητι λαμπάδος τῆς ψυ-
χῆς· χριστῷ συναγαλλόμενος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

*καλέσαι ἀδελφότητι

Τοῦ αὐτοῦ λόγος περὶ ἀσκήσεως, πῶς δεῖ κοσμεῖσθαι τὸν μοναχόν.

Δεῖ τὸν μοναχὸν πρὸ πάντων ἀκτήμονα βίον κεκτῆσθαι· σώματος ἐρημίαν, καὶ κοσμιότητα σχήματος·
φωνὴν σύμμετρον, καὶ λόγον εὔτακτον· τροφὴν καὶ ποτὸν ἀθόρυβον καὶ μετὰ *εὐσταθείας· ἐπὶ πρεσβυ-
τέρων σιωπᾶν, ἐπὶ σοφωτέρων ἀκροᾶσθαι· πρὸς τοὺς ἴσους ἀγάπην ἔχειν, πρὸς τοὺς ἐλάττους ἀγαπη-
τικὴν συμβουλίαν· ἀπὸ τῶν φαύλων καὶ σαρκικῶν, καὶ φιλοπραγμόνων ἀναχωρεῖν· πλείονα νοεῖν, ὀλί-
γα φθέγγεσθαι· μὴ θρασύνεσθαι λόγῳ, μὴ δὲ περιττεύειν ὁμιλίαις· μὴ πρόχειρον γίνεσθαι περὶ
γέλωτα· αἰδοῖ κοσμεῖσθαι· κάτω τὸ βλέμμα ἔχειν, ἄνω δὲ τὴν ψυχήν· μὴ ἀντιλέγειν ἀντιλογίαις,
εὐπειθῆ εἶναι, κοπιᾶν ταῖς χερσί· μνημονεύειν τῶν ἐσχάτων πάντοτε· τῇ ἐλπίδι χαίρειν, τῇ θλίψει ὑπομέ-
νειν· ἀδιαλείπτως προσεύχεσθαι· ἐν παντὶ εὐχαριστεῖν· πρὸς πάντας ταπεινὸν εἶναι· μισεῖν τὴν ὑπε-
ρηφανίαν· νήφειν καὶ τηρεῖν τὴν καρδίαν ἀπὸ λογισμῶν πονηρῶν· θησαυρίζειν ἐν οὐρανῷ δι' ἐντολῶν·
ἑαυτὸν ἀνακρίνειν περὶ τῶν λογισμῶν τῶν καθημερινῶν καὶ πράξεων· μὴ ἐμπλέκεσθαι τοῖς τοῦ βίου
πραγματείαις καὶ περιττολογίαις· μὴ περιεργάζεσθαι τὸν τῶν ῥαθύμων βίον, ἀλλὰ ζηλοῦν μόνον τὸν
ἁγίων πατέρων· συγχαίρειν τοῖς κατορθοῦσιν ἀρετὴν, καὶ μὴ φθονεῖν· συμπάσχειν τοῖς πάσχουσι, καὶ συν-
δακρύειν, καὶ σφόδρα τούτοις πενθεῖν· μὴ μέντοι κατακρίνειν, μὴ ὀνειδίζειν τὸν ἀποστρέφοντα ἀπὸ ἁ-
μαρτίας· μηδέποτε δικαιοῦν ἑαυτόν· πρὸ πάντων ἁμαρτωλὸν ἐνώπιον θεοῦ καὶ ἀνθρώπων ἑαυτὸν ὁμολο-
γεῖν· νουθετεῖν τοὺς ἀτάκτους· παραμυθεῖσθαι τοὺς ὀλιγοψύχους· ὑπηρετεῖν τοῖς ἀῤῥώστοις, πόδας ἁ-
γίων νίπτειν· ξενοδοχίας, καὶ φιλαδελφίας ἐπιμελεῖσθαι· μετὰ τῶν οἰκείων τῆς πίστεως εἰρηνεύειν·
αἱρετικὸν ἄνθρωπον ἀποστρέφεσθαι· τὰ ἐνδιάθετα βιβλία ἀναγινώσκειν· ἀποκρύφοις ὅλως μὴ ἐντυγ-
χάνειν· περὶ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος μὴ συζητεῖν, ἀλλὰ ἄκτιστον, καὶ ὁμοούσιον τριάδα μετὰ παῤῥη-
σίας λέγειν καὶ φρονεῖν, καὶ τοῖς ἐπερωτῶσι, λέγειν, ὅτι βαπτίζεσθαι δεῖ, ὡς παρελάβομεν· πιστεύειν
δὲ, ὡς βεβαπτίσμεθα, δοξάζειν δὲ, ὡς πεπιστεύκαμεν· ἐν ἔργοις καὶ λόγοις καλοῖς ἀναστρέφεσθαι· μὴ
ὀμνύειν τὸ σύνολον· μὴ διδόναι τὸ ἀργύριον ἐπὶ τόκῳ· μὴ σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, ἐπὶ πλεονασμῷ·

*ἡσυχίας

ἀπὸ

μένης, ἣν ἴσχυσαν ἀνάψαι ναβουχοδονόσορ ὁ βασιλεὺς ἀπειλοῦντι κατετόλμησαν· εἰκόνα χρυσῆν θεο-
ποιουμένην ἀργίαν ἀπέδειξαν· καὶ τὴν ἐν πολλῷ χρόνῳ κατασκευασθεῖσαν ὑπὸ τῆς στα τοις φιφ' ὕ-
βρει τῆς τοῦ θεοῦ δόξης λάφυρα λαβόντος, τῷ ἰδίῳ δεσπότῃ προσενηνόχασιν· αὐτὸν τὸν ἔχθιστον βα-
σιλέα, καὶ ἅπαν τὸ κατὰ τοῦ θεοῦ στρατόπεδον σὺν πάσῃ τῇ κτίσει ὑμνῳδεῖν τὸν θεὸν παρεσκευάκασιν·
καὶ ἵνα πάντα συνελὼν εἴπω, εἰ κρατήσεις γαστρός, οἰκήσεις τὸν παράδεισον· εἰ δὲ οὐ κρατήσεις, γένη-
ναι θανάτου παρανάλωμα· γενοῦ πιστὸς θησαυρὸς τῶν ἀρετῶν, καὶ ἔχε κλεῖδα τὴν τοῦ πνικοῦ σου
περὶ γλῶσσαν· αὐτή σου ἀνοιγέτω τὸ στόμα πρὸς μετάληψιν ἄρτου, καὶ αὐτὴ ἀποκλειέτω· μὴ πα-
ραδέξῃ σύμβουλον τὸν ὄφιν, αὐτίκα λέγω συμβουλίᾳ συλαγωγῆσαί σε θέλοντα μέχρι γλώσσης γεύ-
σεως, φυλάττου λαθροφαγίας ἁμαρτίαν· εἰ γάρ σε ἐν μικρῷ τρέψαι ἴσχυσεν, ἔβαλέ σε τῇ πάλῃ,
καὶ συνέχει σε τοῖς δεσμοῖς· μὴ ὕπεχε τὰ ὦτά σου παντὶ λαλοῦντι, καὶ μὴ ἀποκρίνου παντὶ ἀδολε-
σχοῦντι, ἐν ὁμιλίαις τῷ σκοπῷ τῆς ἀσκήσεώς σου ἐμποδίζειν συμβαινούσαις· ἀγαθῶν διδαγμάτων
γίνου ἀκροατής, καὶ τῇ τούτων μελέτῃ συντήρει τὴν καρδίαν· φύλαττέ σου τὰ ὦτα ἀπὸ κοσμικῶν
διηγημάτων, μήπου ῥαντίσματι βορβόρου τὴν ψυχήν σου ἀπολαύσῃς· μὴ χαίρειν ἐνακροᾶσθαι τὰ παρ'
ἑτέρων λαλούμενα· μὴ δὲ βάλλε κεφαλήν σου ἐν μέσῳ τῶν ὁμιλούντων, ἵνα μὴ καὶ σὺ μυκτηρισθῇς,
καὶ αὐτοὺς καταλάλους ποιήσῃς. μὴ ἔσο περίεργος, μὴ δὲ πάντα βλέπειν θέλε, ἵνα μὴ ἰχώρας
παθῶν τῇ διανοίᾳ σου κατάσχῃς· χρειωδῶς ὅρα, χρειωδῶς ἄκουε, χρειωδῶς λάλει, χρειωδῶς ἀπο-
κρίνου· ἐπὶ μείζονί σου μὴ προπετεύσει καθίσαι· εἰ δὲ καὶ προτραπῇς, μὴ γίνου συγκάθεδρος·
ἀλλὰ ὑπεκκλεψάμενος ὧδε κἀκεῖσε, σπεῦσον ἀφίεσθαι ἀποβαίνουσαν καθέδραν, ἵνα σε δοξά-
σῃ ὁ θεὸς τῇ ταπεινώσει· ἐρωτώμενος ἀποκρίνου πρεπούσῃ φωνῇ, καὶ ταπεινῇ· μὴ ἐρωτώμενος ἡσυ-
χίαν ἄγε· ἑτέρου ἐρωτωμένου, σφίγγε τὸ στόμα σου, μὴ ἐκ προπετοῦς καρδίας συνωθουμένη ἡ
γλῶσσά σου διαδρᾶσα, πλήξῃ τινὰ τῶν ἀκριβούντων τὴν ἄσκησιν, καὶ ὑπὸ τὰ δεσμὰ τῶν ἐγκλημάτων σε κα-
ταστήσῃ· καθεζόμενος δέ, οὐκ ἐπιρρίψεις τῷ ἑτέρῳ ποδὶ τὸ σκέλος σου· ἀπροσεξίας γὰρ τοῦτο, καὶ
μετεωριζομένης ψυχῆς· διαλεγόμενος τῷ ἐλαχιστοτέρῳ σου, ἢ καὶ ἐρωτώμενός τι παρ' αὐτοῦ, οὐ ποιή-
σεις ῥαθύμως τὰς ἀποκρίσεις, ὑπερφρονῶν τοῦ ἀδελφοῦ, ὕβρει θεοῦ· ὁ γὰρ ἀτιμάζων πένητα, πα-
ροξύνει τὸν ποιήσαντα αὐτόν, φησὶν ἡ παροιμία· προπηδάτω ὁ τῆς παρακλήσεως λόγος τῶν λοιπῶν
σου ῥημάτων, κηρύσσων σου τὴν τοῦ πλησίον ἀγάπην· πεπείσθω καὶ μέσος, καὶ πληρέστατος τῆς διαλέξεως ἐν
φαιδρῷ τῷ προσώπῳ, ἵνα δῷς εὐφροσύνην τῷ σοὶ διαλεγομένῳ· ἐν παντὶ κατορθώματι τοῦ πλη-
σίον σου εὐφραίνου καὶ δόξαζε τὸν θεόν, σὰ γάρ εἰσι τὰ ἐκείνου κατορθώματα, ὡς καὶ τὰ σὰ ἐκείνου·
τὰς πρωτοκλισίας, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συνελεύσεσι παραιτοῦ· τὸν ἔσχατον τόπον με-
ταδίωκε, ἵνα ἀκούσῃς μᾶλλον, φίλε προσανάβηθι· τῶν τραπέζης μὴ ἀχρομείτω ἡ χείρ σου ἡ ἀριστε-* ἀτακτείτω
ρά. μὴ δὲ κατουθυντείτω τῆς δεξιᾶς· ἀργείτω δὲ μᾶλλον, εἰ δὲ μὴ καὶ ὑπουργείτω τῇ δεξιᾷ· πά-
σης προσευχῆς σου προσκλήσει, ὑφηχείτω τὸ στόμα σου, καὶ μέχρις ἐσχάτης προσευχῆς παράμενε
τῷ κανόνι, μεγάλην ζημίαν ἡγούμενος τὴν ἀπόλειψιν· εἰ γὰρ σιτούμενος διὰ τὴν τῆς σαρκός σου σύστα-
σιν δυσαποσπάστως ἔχεις πρὸς τὴν τράπεζαν πρὸ τῆς κατὰ χρείαν συμπληρώσεως, καὶ οὐκ ἂν ῥᾳδίως
τοῦτο ποιήσεις ἄνευ πολλῆς ἀνάγκης, πόσῳ δὴ μᾶλλον τῇ πνευματικῇ σε τροφῇ παραμένειν, καὶ τῇ
προσευχῇ ἐνισχύειν τὴν σεαυτοῦ ψυχήν· ὅσον γὰρ διαφέρει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, καὶ τὰ ἐν οὐρανῷ τῶν
ἐν γῇ, τοσοῦτον διαφέρει ψυχὴ σώματος· ψυχὴ, οὐρανοῦ μίμημα, ἐν αὐτῇ γὰρ κατοικεῖ ὁ θεός· σὰρξ
δὲ ἐκ γῆς ὑπάρχει, ἐν ᾗ κατοικοῦσι θνητοὶ ἄνθρωποι, καὶ ἄλογα ζῶα· τοίνυν συμμέτρει πρὸς τὰς ὥρας
τῶν προσευχῶν τὰς χρείας τοῦ σώματος, καὶ ἕτοιμος γίνου μὴ ὑπακούειν λογισμῷ ἀποσπῶντί σε τοῦ
κανόνος· ἔθος γὰρ τοῖς δαίμοσι κατὰ τὰς ὥρας τῶν προσευχῶν προφάσει δῆθεν εὐλογοποιοῦ αἰ-
τίας ἐπάγειν ἡμᾶς πρὸς ἀποχώρησιν ἵνα ἀπαγάγωσιν ἡμᾶς εὐλογοφανῶς τῆς σωτηριώδους εὐ-
χῆς· μὴ εἴπῃς προφασιζόμενος, οἴμοι τὴν κεφαλήν, οἴμοι τὴν κοιλίαν, οὐδαμῶς ἂν ὑπάρχοντος, ἀδήλους
μάρτυρας προϊσχόμενος, καὶ ἀναπαύσεως χάριν ἐνδιδοὺς τῇ εὐτονίᾳ τῆς ἀγρυπνίας, οὐχί, ἀλλὰ καὶ
μᾶλλον ἔχε κρυπτὰς προσευχάς, ἃς βλέπει ὁ θεὸς ἐν τῷ κρυπτῷ, καὶ ἀποδώσει σοι ἐν τῷ φανερῷ·
ἔχε παρεμπόρευμα πολιτείας ἀρίστης, ἵνα εὕρῃς πλοῦτον ἀπόκρυφον ἐν ἡμέρᾳ ἀνάγκης· ἐν ταῖς ἐ-
φημερίαις τῆς διακονίας σου σὺν τῷ κόπῳ τοῦ σώματος· ἔχε παρακλητικὸν λόγον πρὸς ἀγάπησιν
τῶν διακονουμένων, ἵνα γένηται εὐπρόσδεκτος ἡ διακονία σου ἅλατι ἠρτυμένη· μὴ ἐάσῃς τὰ ἐπιβάλ-
λοντά σοι ἔργα ἕτερον ποιῆσαι, ἵνα μὴ καὶ ὁ μισθὸς ἀρθεὶς ἀπὸ σοῦ, ἑτέρῳ δοθῇ, καὶ ἐν τῷ σῷ πλού-
τῳ, ἄλλος δοξασθῇ, σοῦ ταπεινουμένου. ποίει τὰ ἔργα τῆς διακονίας σου εὐσχήμως καὶ ἐπιμελῶς, ὡς
τῷ χριστῷ διακονῶν· ἐπικατάρατος γάρ φησι πᾶς ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς· φοβοῦ τὴν ἐκ περιπλοῦ,
καὶ περιφρονήσεως παράχρησιν, καὶ εὐτελῆ δοκεῖν εἶναι τὰ ἐν χερσί σου διακονήματα ὡς θεοῦ ἐπο-
πτεύοντος· μέγα τὸ τῆς διακονίας ἔργον, καὶ βασιλείας οὐρανῶν πρόξενον· στεγάνη γάρ ἐστι τῶν ἀρετῶν,

τε πείθων τοὺς λογισμοὺς τοῦ οὐδὲν, ἄβατον εἶναι τὴν ὁδὸν παντὸς ἑτέρου τόπου σωτηρίαν δὲ
ἀνάπαυσιν. νέος οὖν ἔτι τὴν σάρκα, ἔτι τὸ φρόνημα, φεῦγε τὴν συνδιαγωγὴν τῶν ὁμηλί-
κων, καὶ ἀποδίδρασκε ἀπ' αὐτῶν, ὡς ἀπὸ φλογός. πολλοὺς γὰρ ἐμπρήσας δι' αὐτῶν ὁ ἐχθρὸς
τῷ αἰωνίῳ πυρὶ παρέδωκε. πνευματικὴν δῆθεν ἀγάπην εἰς τὸ τῶν πενταπολιτῶν μυσαρὸν
βάραθρον ἐγκατακρημνίσας αὐτούς. καὶ τοὺς ἐν τῷ πελάγει καὶ παντὶ ἀνέμῳ καὶ κλύδωνι
διασωθέντας, ἔσω τῶν λιμένων ἀμεριμνοῦντας, σὺν αὐτῷ ἀνδρὶ τῷ σκάφει τῷ βυθῷ πα-
ραδέδωκεν. ἐν καθέδρᾳ περὶ πολλοῦ καθίσθητι ἀπ' αὐτοῦ. ἐν ἀνακλίσει ὕπνου μὴ γειτνία-
ζέ ποσοῦν τοῖς ἐνδύμασι τοῖς ἐκείνου. μᾶλλον δὲ κέχρησο γέροντι μεσίτῃ. ἡνίκα δέοι δια-
λέγεσθαι, ἢ αὐτῷ πρόσωπον ψάλλειν, κάτω νεύων, αὐτῷ φθέγξαι αὐτῷ, μήπως τῇ εἰς τὰ πρό-
σωπα ἀτενίσει σπέρμα ἐπιθυμίας ὑπὸ τοῦ ἐχθροῦ καὶ τῶν κακῶν ἐπισπορέως δεξάμε-
νος, δράγματα φθορᾶς καὶ ἀπωλείας καρποφορήσῃς. ἐν οἴκῳ, ἢ ἐν τόπῳ, οὗ οὐκ ἔστιν ὁ βλέ-
πων τὰ ἔργα ὑμῶν, μὴ ἀρεθῇς μετ' αὐτοῦ προφάσει μελέτης θείων λογίων, μὴ προφά-
σει ἑτέρας ὁποιασοῦν, καὶ ἀναγκαιοτάτης χρείας, οὐδὲν γὰρ ἀναγκαιότερον ψυχῆς, ὑπὲρ
ἧς Χριστὸς ἀπέθανεν. μὴ πίστευε δολουργῷ λογισμῷ ὑποτιθεμένῳ σοι, τὸ ἀσκανδάλιστον εἶναι
αὐτὸ τοῦτο σκάνδαλον εἶναι πληροφορούμενος. πολλῇ τε τῇ πείρᾳ τῶν πεπτωκότων προ*-

προφανέσι ταῦτα φανέωσαν

φανέσι ταῦτα ἀναχόμενος. πίστευε τοῖς ἐμοῖς λόγοις ἐκ φιλαδέλφου καρδίας προφε-
ρομένοις. πρόσεχε γέρουσι δυσεντάκτοις, οἵτινες λόγοις μὲν παροιμιῶν ἀλείφουσι τοὺς νέους
πρὸς τὰς ἐναρέτους πράξεις, βλάπτουσι δὲ τρόπῳ οὐδαμῶς. πάσῃ φυλακῇ τήρει σὴν
καρδίαν. ὥσπερ γὰρ χρυσὸς κατασκοπεῖται μὲν ἀδιαλείπτως ὑπὸ τῶν κλεπτῶν ἐν νυκτὶ
καὶ ἐν ἡμέρᾳ, ἁρπάζεται δὲ ἀπροσδοκήτως, καὶ οὐ γινώσκει ὥρᾳ μιᾷ σε πλανήσῃ ὁ ἐχθρὸς τῇ τῶν
προπατόρων ἁμαρτίᾳ. καὶ τὸ τάχος σε ἐκβάλῃ τοῦ παραδείσου τῆς τρυφῆς. ὁ γὰρ τὸν Ἀδὰμ
τῇ τῆς βρώσεως κλοπῇ ὑφελκύσας τῆς ζωῆς, προσδοκήσας δὲ καὶ ἐκ σοῦ ὑποσκελίζειν,
οὐκ ἐνκρατήσεται. πολλῷ μᾶλλον καὶ σοὶ κεράσαι τὸ πρῶτον αἴτιον τῶν κακῶν, ἰσχυ-
ρὸν δηλητήριον τοῦτο γινώσκων. τὸ γὰρ τῆς γαστριμαργίας πάθος οὐκ ἐν πλήθει βρωμάτων
τὴν ἰδίαν ἰσχὺν ἐπιδείκνυσθαι πέφυκεν, ἀλλ' ἐν ἐπιθυμίᾳ καὶ μικρᾷ γεύσει. ἐν τοίνυν ἐπι-
θυμία βραχείας τινὸς γεύσεως ἰσχύσει τι ὑποβάλλειν τῷ τῆς γαστριμαργίας πάθει, ἀ-
καμάτως σε τῷ θανάτῳ παραδώσει. ὥσπερ γὰρ φύσις* ὕδατος πολλοῖς ὁλκοῖς προσδιαι-

*φύσις

ρουμένη πάντα τὸν πέριξ τοὺς ὁλκοὺς τόπον θάλλειν παρασκευάζει, οὕτω καὶ τὸ τῆς γαστρι-
μαργίας πάθος, ἐν αὐξηθῇ σου τῇ καρδίᾳ, πάσας σου τὰς αἰσθήσεις ποτίζον ὕλην κακίας
ἐν σοὶ καταφυτεῦσαι, θηρίων κατοικητήριον τὴν σὴν ψυχὴν κατασκευάσει. πολλοὺς γὰρ
ἐγὼ πάθεσι κρατηθέντας εἶδον ἐν ὑγείᾳ γενομένους, οὓς δὲ ἐκ παίδων λαθροφάγους, ἢ γαστρί-
μαργον οὐκ εἶδον. ἀλλ' ἢ ἀπορραγέντας τοῦ ἐγκρατοῦς βίου, καὶ τῷ κόσμῳ διαφθαρέντας,
ἢ τοῖς ἐγκρατεύουσιν ἐναποκρύπτεσθαι πειρωμένους καὶ τῷ διαβόλῳ τῇ ἡδυπαθείᾳ συνα-
σπιζομένους. ψεῦσται γάρ εἰσιν οὗτοι, πολύορκοι, ἐπίορκοι, ἀντιστάται, ἀντιπλῆκται, ἀκα-
κράντοι, κρεωσίφαγοι, ἀνελεύθεροι, ἀβδέλυκτοι, μεμψίμοιροι, ἐραυνηταί, σκοτεινοχαρεῖς,
πάσης τῆς ἐναρέτου πολιτείας ἀντεργάται ἑκούσιοι. ἵνα γὰρ τὸ τῆς γαστριμαργίας πά-
θος σκεπάσωσι, τῷ ἑσμῷ τῶν κακῶν περιπίπτουσιν. οἵτινες τῷ μὲν σχήματι εἰσὶν ἐν τοῖς
σωζομένοις, τοῖς δὲ πράγμασιν, ἐν τοῖς κατακεκριμένοις. αὕτη τὸν Ἀδὰμ θανάτῳ παρέ-
δωκε, καὶ τῷ κόσμῳ συντέλειαν ἐπήγαγε· διὰ τὴν τῆς γαστρὸς ἡδονήν, ὁ νῶε γελᾶται, καὶ
χὰμ κατηρᾶται. ἡσαῦ τῶν πρωτοτοκίων ἐκπίπτει, καὶ τοῖς χαναναίοις ἐπιγαμβρεύε-
ται. λὼτ θυγατρόγαμος γίνεται, γαμβρὸς ἑαυτοῦ καὶ πενθερός. ὁ πατὴρ ἀνήρ, καὶ ὁ πάπ-
πος πατήρ, ἑκατέρωθεν τοὺς ὅρους τῆς φύσεως ἐνυβρίζων. αὕτη καὶ τὴν εἰδώλου προσ-
κύνησιν ἐποίησε, καὶ τούτων τὰ κῶλα ἐν τῇ ἐρήμῳ πεσεῖν παρεσκεύασεν. αὕτη καί τινα τῶν
προφητῶν ὑπὸ ἐλέγχῳ ἀνοσιουργοῦ βασιλέως ἀπὸ θεοῦ ἀποσταλέντα, ἀγρίων θηρῶν βορὰν
πεποίηκε. καὶ ὃν οὐκ ἴσχυσεν ἱεροβοὰμ ὁ βασιλεὺς σὺν πάσῃ τῇ βασιλικῇ δυνάμει ἀμύνα-
σθαι, τῇ τῆς γαστρὸς ἀπάτῃ ληφθεὶς, ἐλεεινὸν θάνατον ἀποφέρεται. δανιὴλ δὲ ὁ ἐπιθυ-
μιῶν ἀνὴρ κρατήσας γαστρὸς, βασιλείας χαλδαίων κατεκυρίευσεν, εἰδώλων καθαιρέτης
γενόμενος, καὶ δράκοντος ἀναιρέτης*. λεόντων παιδαγωγὸς, ἐνανθρωπήσεως θεοῦ προαγο-

* ἀναιρέτης

ρευτὴς, καὶ μυστηρίων ἀποκρύφων ἐξηγητής. γαστρὸς ἡδονῆς ἀνώτεροι φανέντες οἱ τρεῖς
ἅγιοι παῖδες, ὀργῆς βασιλικῆς ὑπερεφρόνησαν, καὶ τῆς φοβερᾶς ἐκείνης καμίνου τῆς καιο-
μένης,

γενέσθαι κατὰ τὸν διδάσκαλον αὐτοῦ, θεοῦ φησί, καὶ οὐ διασφαλίσεται. ἀθλητικῷ νόμῳ δεῖ σε πολιτεύεσθαι. εἰ δὲ μή, οὐ στεφανοῦσαι, καθὼς εἶπεν ὁ ἀπόστολος. καὶ ἐὰν ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. εἰ τοίνυν εὕρῃς θεοῦ χάριτι, πάντως γὰρ ζητήσας εὑρήσεις ἀγαθῶν ἔργων διδάσκαλον, τήρησον παρ' ἑαυτῷ, μηδὲν παρὰ γνώμην αὐτοῦ διαπράττεσθαι. ἅπαν γὰρ τὸ ἔξωθεν αὐτοῦ γινόμενον, κλοπή τίς ἐστι καὶ ἱεροσυλία πρὸς θάνατον ἄγουσα, οὐ πρὸς ὠφέλειαν, κἂν δοκῇ σοι ἀγαθὸν εἶναι. εἰ γὰρ ἀγαθόν, τίνος οὕνεκεν λάθρα, καὶ μὴ ἐν τῷ φανερῷ γίνεται; ἐρώτησον τὸν λογισμόν σου τὸν ληστεύοντα διὰ τῶν δεξιῶν μηχανώμενον, διὰ τῶν ἀγαθῶν δῆθεν παρακουσμάτων, τὰς ἀριστεράς σοι πράξεις παρασκευάζει. μὴ θέλε διορθοῦν ἐπαϊσμοὺς θηριοδήκτων, ἄπειρος ὢν τῇ ἐπαείδειν, μήπως ἐπισπασάμενος τὸν ὄφιν, καὶ περιδραχθεὶς ὑπ' αὐτοῦ, εἶτα ἀδυνάτως ἔχων πρὸς τὴν ἀντίστασιν, ἀσυγγνώστως ἀναλωθῇς ὑπ' αὐτοῦ. μὴ ἐπορέγου εὐγενείας σαρκός, καὶ τιμὴν ἐπιζήτει. σαρκικὸς γὰρ οὐ δέχεται τὰ τοῦ πνεύματος. μὴ πειραθῇς τι τῶν ἐν συνηθείᾳ τῆς ἀληθείας παραχαράξαι, καὶ τῇ οἰκείᾳ καινότητι ὑποσκελίζειν μὲν τοὺς ἀγωνιζομένους, ἑαυτῷ δὲ φέρειν ἁμαρτημάτων ἐπισωρείαν. μὴ ἐν φορεσίᾳ ἁπαλωτέρᾳ, μὴ ἐν ἐνδύμασιν, ἢ ὑποδήμασιν, ἢ ἑτέρῳ τινὶ σχήματι, ἢ ἐν βρωμάτων παραλλαγῇ, ἢ τραπέζῃ ὑπὲρ τὸν τῆς ἀποταγῆς σου χρόνον. ἢ ἐν στάσει, ἢ ἐν καθέδρᾳ, ἢ ἐν ἐργοχείρῳ ἀναπαυτικωτέρῳ, ἢ καθαριωτέρῳ. ταῦτα γὰρ πάντα οὐ μόνον ὑποσύρονταί σοι, ἀλλὰ καὶ ἐπιζητούμενα οὐκ ἀγαθὴν ἕξουσιν ἔκβασιν. καὶ γὰρ εἰ μὴ ἐν τάχει ἐπιγνωσκὼς διαβολικὴν εἶναι παιδαγωγίαν ἐκκόψῃς ἐκ τῆς σῆς καρδίας, ἐκπλασῶσί σοι τῆς ἐν Χριστῷ πολιτείας κατασκάζουσιν. ἀλλὰ θέμενος ἐν σεαυτῷ πάντων ἀνθρώπων εἶναι ἀτιμότερον καὶ ἁμαρτωλότερον, ξένον τε, καὶ ἀλήτην, καὶ κατοικτρὸν παρειλημμένον ὑπὸ τῶν πρὸ σοῦ ἀποταξαμένων, σπεῦδε πάντων εἶναι ἔσχατος, καὶ πάντων δοῦλος. ταῦτα γάρ σοι οἴσει τιμήν, καὶ δόξαν ἀληθινήν, οὐ κενήν. ὦτα ἔχων ἡτοιμασμένα πρὸς ὑπακοήν, καὶ χεῖρας ἑτοίμους πρὸς ἐκπλήρωσιν τοῦ ἠκουσμένου. στόμα ἔχε σιγηρόν, καὶ καρδίαν περίβλεπτον. ἔσο ἀργὸς πρὸς ἀργολογίαν. συνετὸς δὲ καὶ ἐπιστήμων πρὸς τὰς σωτηριώδεις τῶν θείων γραφῶν ἀκροάσεις. ἔστω σοι πικρὰ γεῦσις ἡ τῶν κοσμικῶν διηγημάτων ἀκρόασις. κηρία δὲ μέλιτος τὰ τῶν ὁσίων ἀνδρῶν διηγήματα. πρὸς τὴν μίμησιν σπεῦδε τῶν προησκηκότων ἐν τοῖς ἤθεσι, καὶ μὴ ἐνδέχου διδάσκεσθαι ἕκαστον. τοῖς μείζοσι τῶν ἀρετῶν ἐπεκτείνεσθαι ἀγωνίζου, καὶ τῶν ἐλαττόνων μὴ ἀμελεῖν. σφάλματος μὴ ὑπερφρόνει, κἂν μικρότερον παντὸς κινδάλου ᾖ. ἀλλὰ σπεῦδε μᾶλλον πρὸς τὴν διὰ μετανοίας ἐπανόρθωσιν. καὶ πολλοὶ πολλὰ σφάλλονται μικρά τε καὶ μείζονα, καὶ μένουσιν ἀμετανόητοι. μὴ γίνου ἀλλοτρίων πταισμάτων δικαστής, ἔχουσι γὰρ κριτὴν δίκαιον, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα
» αὐτοῦ. σὺ τὸ σὸν κράτει, καὶ κοῦφον ποίει ὅσῃ σοι δύναμις τὸ σεαυτοῦ φορτίον. ὁ γὰρ βα-
» ρύνων τὸν φόρτον αὐτοῦ, αὐτὸς καὶ βαστάσει αὐτόν. μετάνοια σωτηρία, ἄνοια δὲ μετανοίας θάνατος. κρύπτε σεαυτὸν ἀπὸ τῶν εἰκαιοτέρων ἀνθρώπων. φανέρου δὲ σεαυτὸν ὡς τὰ πολλὰ τῷ θεῷ. πᾶσαν προέλασιν παραιτοῦ, ὅσον ἐστὶν ἐν σοί, φεῦγον τὰς τῆς καρδίας διαχύσεις. ἐξῆλθες γὰρ σὺ τῆς κέλλης, ἀπέλιπες τὴν ἐγκράτειαν, ἐνέκυψας τῷ κόσμῳ, συνέτυχες πόρνῃ γυναικί, ἥτις καταγοητεύσασα, τοῖς μὲν ἐρεθιστικοῖς λόγοις τὰς ἀκοάς, τῇ δὲ τοῦ προσώπου ὑπερκαλλείᾳ τὰς ὄψεις. λίχνοις δὲ τοῖς ἐδέσμασι τὰς γεύσεις, ὥσπερ ἀγκίστρῳ ἕλξει πρὸς ἑαυτήν. εἶτα περιπλακεῖσά σου τοῖς μέλεσι, καὶ ἐνστηρίξασα μανία ἐν ἑαυτῇ, καταμαλάσσουσα τὸ στερρὸν τῆς πρὸς τὴν ἐγκράτειαν ἐπιθυμίας. οὕτω τε ἠρέμα ὑφελκύσασά σε τῆς κατ' ἀρετὴν πολιτείας ἐν ἑαυτῇ διαφθείρει. εἰ δὲ καὶ βοηθούμενος ὑπὸ τοῦ θεοῦ διαδράσαι δυνηθῇς τὰ ταύτης δίκτυα, ἐπανῆκες μὲν τῇ κέλλῃ, ἀλλ' οὐχ ὁ αὐτός. πάρετος δέ τις καὶ νενοσηκώς, καὶ πρὸς ἅπαν ἔργον τῶν ἀρετῶν δυσάρεστος. πολλῷ δὲ χρόνῳ ἐπανελθεῖν εἰς τὴν οἰκείαν ἕξιν δυνάμενος. στενοχωρήσει γάρ σε τοῖς λογισμοῖς ἡ πρὸς ἑκάτερον βίον ἐπιθυμία. καὶ πολλῷ καμάτῳ δυνήσῃ δοῦναι τῇ ψυχῇ τὰ νικητήρια. εἰ τοίνυν συμβῇ σε κατὰ περίστασίν τινα ἐκδημῆσαι τῆς κέλλης, περιτεθωρακισμένος τὸν φόβον τοῦ θεοῦ, καὶ ἐνδρασσάμενος τῇ χειρὶ τὴν ἀγάπην τοῦ Χριστοῦ, καταπαλαίσας πάσῃ ἐγκρατείᾳ τὰς τῶν ἡδονῶν προσβολάς, καὶ τῆς χρείας γενόμενος, ἀποπήδησον μὴ ἐγχρονίσῃς, ἀλλ' εὐθὺ τῷ πτερῷ χρησάμενος πρὸς τὴν ἐπάνοδον, ὥσπερ τις ἄκακος περιστερὰ πρὸς τὴν ἐκπέμψασάν σε κιβωτὸν αὐτομολήσας, ἐν στόματι φέρων τὰ ἐλέη Χριστοῦ. οὕτω

στεφανοῦσθαι

*ἐπασμοὺς θηριοδήκτων, ἄπειρος ὢν τοῦ ἐπάδειν

*τὴν μεθοδείαν

*κατ' οἶκον

*οὐκ ἐκεῖνα.

γον, ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω. μὴ τοίνυν ἀναπείσῃς σε οὗτος, ὁ πρὸς κοινωνίαν γυναι-
κὸς περιηρημένος, ὡς ἐπ' ἐξουσίας ἔχων τὸν κόσμον περιβαλέσθαι, πλειόνων γάρ σοι πό-
νων, καὶ φυλακῆς χρεία πρὸς τὴν τῆς σωτηρίας ἐπιτυχίαν, ἅτε δὴ καὶ ἐν μέσῳ τῶν πα-
γίδων, καὶ τῆς κρατίσης τῶν ἀποστατικῶν δυνάμεων οἰκεῖν ἐκλεξαμένῳ, καὶ τοὺς ἐρεθισμοὺς
τῶν ἁμαρτιῶν ἐν ὄψεσιν ἔχοντι, καὶ πρὸς τὴν αὐτῶν ἐπιθυμίαν νύκτωρ τε, καὶ μεθ' ἡμέ-
ραν ἐκμοχλευομένῳ πάσας σου τὰς αἰσθήσεις. γίνωσκε τοίνυν, ὡς οὐ διαδράσεις τὴν
πρὸς τὸν ἀποστάτην παλαίστραν, οὐδὲ τῆς τούτου νίκης καθάψῃ ἄνευ πόνων πολλῶν
τῶν περὶ φυλακὴν τῶν εὐαγγελικῶν δογμάτων. πῶς γὰρ δυνήσει ἀρνήσασθαι τὴν πρὸς τὸν
ἐχθρὸν μάχην ἐν τῷ σκάμματι τῆς μάχης διάγων; ὅπερ ἐστὶ πᾶσα ἡ ὑπ' οὐρανὸν γῆ, ἐν ᾗ
ἐμπεριάγειν τοῦτον καὶ ἐμπεριπατεῖν, ὡς κύνα λυττῶντα τινα καταπιεῖν, ἀπὸ τῆς τοῦ Ἰὼβ
γραφῆς διδασκόμεθα. εἰ τοίνυν ἀρνῇ τὴν πρὸς τὸν ἀνταγωνιστὴν μάχην, μέτελθε εἰς
ἕτερον κόσμον, ἐν ᾧ αὐτὸς οὐκ ἔστι, καὶ ἀποφεύξεταί σοι ἡ τῆς πρὸς αὐτὸν πάλης ἄρνησις, καὶ
*δογμάτων
τῶν εὐαγγελικῶν ῥημάτων ἀκίνδυνος ἀργία. εἰ δὲ τοῦτο ἀδύνατον, σπεῦδε πρὸς τὴν μά-
θησιν τῆς κατ' αὐτοῦ ἀθλήσεως, διδασκόμενος ἀπὸ τῶν γραφικῶν παλαισμάτων τέχνην,
ἵνα μὴ ἐξ ἀγνοίας ἡττηθεὶς ὑπ' αὐτοῦ, τῷ αἰωνίῳ πυρὶ παραδοθῇς. καὶ ταῦτα μὲν ὅ-
μως ἐν παραδρομῇ πρὸς τοὺς ἐν συζυγίαις ἀκινδύνως τῆς τῶν ἐντολῶν τοῦ Χριστοῦ φυλακῆς
καταμελοῦντας εἰρήσθω. σὺ δὲ ὁ τῶν οὐρανίων πολιτευμάτων ἐραστής, καὶ τῆς ἀγγελικῆς
διαγωγῆς πραγματευτής, καὶ τῶν ἁγίων μαθητῶν τοῦ Χριστοῦ συστρατιώτης γενέσθαι ἐπιθυ-
μῶν, τόνωσον σεαυτὸν πρὸς τὴν ὑπομονὴν τῶν θλίψεων, καὶ ἀνδρείως πρόσελθε τῇ συγ-
κλήτῳ τῶν μοναχῶν. καὶ ἐν μὲν τῇ ἀρχῇ τῆς ἀποταγῆς σου ἀνδρίζου, μὴ καθελκυσθῆ-
ναι ἀπὸ τῆς προσπαθείας τῶν κατὰ σάρκα συγγενῶν, τῇ ἀνταλλαγῇ τῶν θνητῶν, πρὸς
τὰ ἀθάνατα ἰσχυόμενος. ἡνίκα δὲ τῶν προσόντων σοι πραγμάτων ποιῇ τὴν ἀπόθεσιν, ἔσο
ἀκαμπής, προπέμπειν αὐτὰ εἰς οὐρανοὺς πληροφορούμενος, τοῖς μὲν κόλποις τῶν πτω-
χῶν ἐναποκρύπτων αὐτά, παρὰ δὲ θεῷ εὑρήσων σὺν πολλῇ τῇ προσθήκῃ. φίλων
δὲ καὶ συνήθων διασπώμενος, μὴ γένου περίλυπος, Χριστῷ συναπτόμενος, τῷ ὑπὲρ σοῦ σταυ-
ρωθέντι. οὗ, τί ἂν λογιστέον ἡμῖν φιλικώτερον; ἡνίκα δὲ συνεργίᾳ θεοῦ τὴν πρώτην ταύ-
την πυγμὴν νικήσῃς τὸν σὸν ἐχθρόν, μὴ ῥίψῃς σεαυτὸν ὥσπερ τι τῶν ἀτίμων σκευῶν. ἤδη
γὰρ τῇ ἀποταγῇ τῶν γηΐνων πραγμάτων τετίμηκας σεαυτὸν παρὰ Χριστῷ, ἀλλ' ἐν πολλῇ
φροντίδι καὶ περινοίᾳ ποίησαι ἀνευρεῖν ἄνδρα πρὸς ὁδὸν τῆς σῆς πολιτείας ἀπλανῆ, καλῶς
ἐπιστάμενον ὁδηγεῖν τοὺς πρὸς θεὸν πορευομένους, κομῶντα ταῖς ἀρεταῖς, ἐκ τῶν οἰκείων ἔργων
τὴν μαρτυρίαν ἔχοντα τῆς πρὸς θεὸν ἀγάπης. γνῶσιν ἔχοντα τῶν θείων γραφῶν, ἀπε-
ρίσπαστον, ἀφιλάργυρον, ἀπράγμονα, ἡσύχιον, θεοφιλῆ, φιλόπτωχον, ἀόργητον, ἀμνησίκα-
κον, πολὺν εἰς οἰκοδομὴν τῶν ἐγγιζόντων αὐτῷ, ἀκενόδοξον, ἀνυπερήφανον, ἀκολάκευτον,
ἀπερίτρεπτον, μηδὲν προτιμῶντα τοῦ θεοῦ. καὶ εἰ εὕροις τοιοῦτον, ἔκδος σεαυτὸν αὐτῷ, ἅ-
παν θέλημα σὸν ἀποπτύσας, καὶ ἔξω ῥίψας, ἵνα εὑρεθῇς ὡς καθαρὸν ἀγγεῖον, τὰ ἐν σοὶ
*ἐν σεαυτῷ
βαλλόμενα ἀγαθὰ διατηρῶν πρὸς ἔπαινον σοῦ καὶ δόξαν. εἰ γάρ τι ἐγκαταλίπῃς ἑαυτῷ
τῶν προϋπαρξάντων ἐν σοὶ παθῶν, εἰς ὀξίνην μεταποιήσας τὰ ἐμβεβλημένα ἐν σοὶ ἀ-
γαθὰ ἔξω βληθήσῃ ὥσπερ τι τῶν ἀτίμων σκευῶν. αὕτη δὲ ἑτέρα πάλη πρὸς τὸν ἀντα-
γωνιστὴν τῆς σωτηρίας ἡμῶν. ἀγαθῶν γὰρ διδασκάλων, ἀγαθὰ τὰ μαθήματα. πάν-
τως που καὶ κακῶν κακά. ὅταν γὰρ μὴ ἰσχύσῃ ὁ πονηρὸς ἡμῶν ἀντίπαλος πεῖσαι ἡμᾶς
ἐναπομεῖναι τῇ τοῦ κόσμου συγχύσει καὶ ἀπωλείᾳ, σπουδάζει πεῖσαι, μὴ ἀκριβεῖ βίῳ ἑαυτοὺς
ἐπιδοῦναι*
ἐκδοῦναι, ἢ ἀνδρὶ πάντα ἡμῶν τὰ ἁμαρτήματα ὑπ' ὄψιν ἄγοντι καὶ διορθουμένῳ,
ἀλλά τινι τῶν δοξομανούντων, καὶ τὰ οἰκεῖα πάθη προφάσει συγκαταβάσεως τῆς πρὸς
τοὺς συζῶντας συνιστῶντι, ἵνα οὕτως ἀσυμφώνως πάλιν μυριοπαθεῖς ἡμᾶς ποιήσας, ἀπὸ
τὰ οἰκεῖα δεσμὰ τῆς ἁμαρτίας ἡμᾶς καταστήσῃ. εἰ δὲ ἐκδῷς σεαυτὸν πολυαρέτῳ ἀνδρί,
γενήσῃ κληρονόμος τῶν ἐν αὐτῷ ἀγαθῶν, μακαριστότατός τε παρὰ θεῷ, καὶ ἀνθρώποις. εἰ δὲ
φειδοῖ τοῦ σώματος ζητοίης πρὸς τὰ ἐν σοὶ πάθη συγκαταβατικὸν διδάσκαλον, ἢ μᾶλλον
εἰπεῖν συγκαταπίπτοντά σοι, μάτην ὑπέστης τὸν τῆς ἀποταξίας ἆθλον, ἐμπαθεῖ βίῳ ἑαυ-
τὸν ἐκδεδωκώς, τυφλῷ ὁδηγῷ χρησάμενος, καὶ εἰς βόθυνον προβιβαζόμενος. ἐὰν γὰρ
τυφλὸς τυφλὸν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται. ἀρκετὸν γὰρ τῷ μαθητῇ
γενέσθαι

Τοῦ αὐτοῦ λόγος ἀσκητικὸς, καὶ παραίνεσις περὶ ἀποταγῆς βίου, καὶ τελειώσεως πνευματικῆς.

Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, φησὶν ἡ θεία φωνή. ἔτι τὴν ἐκεῖ ἀνάπαυσιν, ἔτι τὴν ἐντεῦθεν αἰνιττομένη.* πλὴν οὖν προσκαλεῖται ὑμᾶς, τοῦτο μὲν, τὸν φόρτον τῆς πολυκτησίας, διὰ τῆς εἰς τοὺς δεομένους ἀποδόσεως προτρέπουσα ἀποβαλέσθαι. τοῦτο δὲ, τὸν ἐκ τούτου προσγινόμενον ἡμῖν ἑσμὸν τῶν ἁμαρτημάτων διὰ τῆς εὐποιΐας καὶ ἐξαγορεύσεως ἀπορρίψαντας, προσδραμεῖν τῷ σταυροφόρῳ βίῳ τῶν μοναχῶν. ὁ τοίνυν ὑπακούσας Χριστῷ προειρημένοις, καὶ πρὸς τὸν πτωχὸν καὶ ἀπερίσπαστον βίον ἐπειγόμενος, θαυμαστὸς ὡς ἀληθῶς, καὶ μακαριστός. ἀλλὰ παρακαλῶ, μὴ ἀδοκιμάστως τοῦτο ποιείτω, μηδὲ ἀπογραφέσθω ἑαυτῷ ἀνεκτότητα βίου, καὶ σωτηρίαν ἄμαχον, ἀλλὰ μᾶλλον προγυμναζέτω ἑαυτὸν πρὸς ἀδοκίμησιν ὑπομονῆς θλίψεων σωματικῶν τε καὶ πνευματικῶν. ἵνα μὴ ἀπροσδοκήτοις ἑαυτὸν ἐμβαλὼν παλαίσμασιν, εἶτα ἀδυνατῶν πρὸς τὴν ἀντίστασιν τῶν ἐπερχομένων αὐτῷ δοκιμῶν, ἀρεθῇ παλινδρομῶν πρὸς τὰ, ἀφ᾿ ὧν ἐξελήλυθε, σὺν αἰσχύνῃ καὶ γέλωτι, μετὰ κατακρίσεως ψυχῆς ἐπανερχόμενος τῷ βίῳ. καὶ πολλοῖς σκάνδαλον γινόμενος, ἀδυναμίας ὑπολήψεις πᾶσιν ἐμποιῶν τῆς ἐν Χριστῷ πολιτείας, οὗ τὸν κίνδυνον ἴστε πάντες, οἱ τὰ εὐαγγέλια ἀναγινώσκοντες. ἐν οἷς λέγει ἡ θεία φωνή. » Συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς περίκειται* περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπται* εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. οὐ γὰρ μόνος ὑπεύθυνος ἔσται τῇ καταδίκῃ τῆς λειποταξίου, ἀλλὰ καὶ τῆς τῶν ἀνατρεπομένων ὑπ᾿ αὐτοῦ ἀπωλείας. καὶ δόξῃ φρενοβλαβέσι λογισμοῖς πείθων ἑαυτὸν ἐν τῷ βίῳ διάγοντα ἀγαθοεργίαις ἐξευμενίζειν τὸ θεῖον, ὅπερ ἐστὶν αὐτῷ ἀδύνατον. ὁ γὰρ μὴ ἰσχύσας ἐν τῷ δυσαμαρτήτῳ βίῳ διὰ τὸ ἀπερίσπαστον ἐνεγκεῖν τὰ παλαίσματα τοῦ ἐχθροῦ, πῶς ἐν τῷ πολυαμαρτήτῳ, καὶ ὑπ᾿ αὐτοῦ ἀρχομένῳ βίῳ δυνήσεται κατορθῶσαί τι τῶν ἐναρέτων; ἵνα δὲ καὶ δόξῃ τις διορθοῦν ἑαυτοῦ τὸν οἰκεῖον βίον, τὸ ἔγκλημα τῆς τοῦ Χριστοῦ ἐγκαταλείψεως οὐκ ἐκφεύξεται, καθὰ καὶ οἱ ἐν τῷ εὐαγγελίῳ δηλούμενοι μαθηταί, περὶ ὧν φησὶν ὁ θεῖος εὐαγγελιστής. » πολλοὶ δὲ τῶν μαθητῶν ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι περιεπάτουν μετὰ Ἰησοῦ, λέγοντες, σκληρός ἐστιν ὁ λόγος αὐτοῦ, τίς δύναται αὐτοῦ ἀκούειν; διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος θεὸς κηδόμενος τῆς ἡμῶν σωτηρίας εἰς δύο διεῖλε βίους τὰ* τῶν ἀνθρώπων, συζυγίαν λέγω καὶ παρθενίαν. ἵνα ὁ μὴ δυνάμενος ὑπενεγκεῖν τὸν τῆς παρθενίας ἆθλον, ἔλθοι ἐπὶ τὴν συνοίκησιν γυναικὸς, ἐκεῖνο εἰδὼς, ὡς ἀπαιτηθήσεται λόγον σωφροσύνης καὶ ἁγιασμοῦ, καὶ τῆς πρὸς τοὺς ἐν συζυγίαις, καὶ τεκνοτροφίαις ἁγίους ὁμοιώσεως. οἷος ἦν ἐν μὲν τῇ παλαιᾷ διαθήκῃ Ἀβραὰμ, ὃς τῇ τοῦ θεοῦ προστιμήσει τὸν μονογενῆ θυσιάζων ἀσυμπαθῶς, ἐμεγαλαύχει. καὶ τὰς τῆς σκηνῆς αὐτοῦ θύρας διαπεπετασμένας εἶχε πρὸς ὑποδοχὴν τῶν ἐπιξενοῦσθαι μελλόντων ἑτοιμαζόμενος. οὐ γὰρ ἤκουσε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. καὶ τὰ μείζονα τούτων ἐπεδείξατο Ἰὼβ, καὶ ἕτεροι πλεῖστοι, Δαβίδ τε καὶ Σαμουήλ. ἐν δὲ τῇ νέᾳ διαθήκῃ, οἷος Πέτρος ἦν, καὶ οἱ λοιποὶ τῶν ἀποστόλων. ἀπαιτηθήσεται γὰρ πᾶς τοὺς καρποὺς τῆς πρὸς θεὸν ἀγάπης, καὶ τὸν πλησίον. καὶ τῆς παρατροπῆς τῶν ἐντολῶν τούτων. καὶ παρ᾿ ὧν τίσει δίκας. καθὼς καὶ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις δηλοῖ λέγων. ὁ ἀγαπῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. καὶ ὃς οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής. ἆρά σοι δοκεῖ καὶ τοῖς ὑπογυναίοις πεπεῖσθαι τὰ εὐαγγέλια; ἰδοὺ, σεσαφήνισταί σοι, ὡς πάντες ἄνθρωποι ἀπαιτηθησόμεθα τὴν πρὸς τὸ εὐαγγέλιον ὑπακοὴν, μοναχοί τε, καὶ οἱ ἐν συζυγίαις. ἀρκέσει γὰρ τῷ ἐπὶ γάμον ἐλθόντι ἡ συγγνώμη τῆς ἀκρασίας, καὶ τῆς πρὸς τὸ θῆλυ ἐπιθυμίας καὶ συνουσίας. τὰ δὲ λοιπὰ τῶν ἐντολῶν πᾶσιν ὁμοίως νενομοθετημένα οὐκ ἀκίνδυνα τοῖς παραβαίνουσι. καὶ γὰρ εὐαγγελιζόμενος ὁ Χριστὸς τὰ τοῦ πατρὸς ἐντάλματα, τοῖς ἐν τῷ κόσμῳ διελέγετο. εἰ δέ που συνέβη καὶ κατ᾿ ἰδίαν ἐπερωτηθέντα αὐτὸν ἀποκρίνασθαι τοῖς αὐτοῦ μαθηταῖς, διεμαρτύρατο λέ-

*πλήν γε

*κρεμασθῇ

*ῥιφῇ

*τὴν τῶν ἀνθρώπων διαγωγὴν,

σιν γίνεσθαι, καὶ τὸ στράτευμα τὸ ἑαυτοῦ θελήσῃ συμβαλεῖν τῷ στρατεύματι τῷ ὑπεναν-
τίῳ, ἐνταῦθα σὺ πρὸς πάντα πόνον ἀήττητος ἔσο τῇ παρασκευῇ, καὶ πρὸς κίνδυνον
ἄτρεπτος τῇ ψυχῇ, καὶ γῆν ἐκ γῆς μετανίστασο προθύμως, καὶ θάλατταν ἐκ θαλάττης.
ὅταν γὰρ διώκωσιν ὑμᾶς φησι, φεύγετε ἀπὸ πόλεως εἰς πόλιν, καὶ εἰς δικαστήριον, ὅταν δέῃ
καλεῖσθαι, καὶ πρὸς ἄρχοντας παραστῆναι, καὶ δήμων ἐπαναστάσεις ὑπενεγκεῖν, καὶ δημίου
βλέμμα φοβερὸν ἰδεῖν, καὶ σκληρὰν ἀκοῦσαι φωνὴν, καὶ κολαστηρίων ὄψιν ὑπομεῖναι
χαλεπὴν, καὶ πειραθῆναι βασάνων, καὶ μέχρι θανάτου διαγωνίσασθαι. μὴ ἀπειθήσῃς
πρὸς ἅπαντα ταῦτα, πρὸ ὀφθαλμῶν ἔχων τὸν ὑπὲρ σοῦ ἐν τούτοις γενόμενον χριστὸν, εἰδὼς
ὅτι διὰ τὸν χριστὸν ἐν τούτοις γίνεσθαί σε δεῖ, καὶ νικήσεις ἐν τούτοις. νικητῇ γὰρ ἀκολουθεῖς βα-
σιλεῖ, τῆς νίκης αὐτοῦ βουλομένῳ σε γίνεσθαι κοινωνόν. οὐδὲ γὰρ ἀποθανὼν ἡττήθης, ἀλλὰ
τότε δὴ καὶ τελεώτατα ἐνίκησας ἄχρι τέλους, ἄτρεπτον φυλάξας τὴν ἀλήθειαν σεαυτῷ,
καὶ τὴν ὑπὲρ τῆς ἀληθείας παρρησίαν ἀμετακίνητον σχών. ἀπὸ τοῦ θανάτου πρὸς αἰώ-
νιον ὁδεύσεις ζωὴν, ἀπὸ δὲ τῆς πρὸς ἀνθρώποις ἀτιμίας, ἐπὶ τὴν δόξαν τὴν παρὰ θεοῦ.
καὶ ἀπὸ τῶν ἐν κόσμῳ θλίψεων καὶ κολάσεων, ἐπὶ τὰς αἰωνίους ἀναπαύσεις τὰς σὺν
ἀγγέλοις. γῆ σε πολίτην οὐκ ἀπεδέξατο, ἀλλ' οὐρανὸς ὑποδέξεται. κόσμος ἐδίωξεν,
ἀλλὰ βαστάσουσιν ἄγγελοι παραστῆσαι χριστῷ, καὶ φίλος κληθήσῃ, καὶ τὸν ποθεινότατον ἔ-
παινον ἀκούσεις. εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, στρατιῶτα γενναῖε, καὶ μιμητὰ τοῦ δεσπότου,
βασιλέως ἀκόλουθε, ἰδού σε τοῖς ἐμοῖς ἀμείψομαι δώροις, ἐγὼ τῶν σῶν ἀκούσομαι λό-
γων, ἐπεὶ καὶ σὺ τῶν ἐμῶν. αἰτήσεις ἀδελφῶν σωτηρίαν καταπονουμένων, καὶ τοῖς
μύσταις τῆς ἱερᾶς ἀγάπης. λήψῃ παρὰ τοῦ βασιλέως τὴν τῶν ἀγαθῶν μετ*ουσίαν. χο-
ρεύσεις δὲ τὰς αἰωνίους χορείας, καὶ μεταξὺ τῶν ἀγγέλων στεφανηφορήσεις, βασιλείαν
κτήσεως ὑπὸ τῷ βασιλεῖ, καὶ συνδιαιωνίζων μακαρίως τῷ τῆς μακαριότητος χο-
ρῷ. εἰ δὲ καὶ ἐπὶ κόσμου σε καταλεῖψαι ἔτι μετὰ τοὺς ἀγῶνας θέλοι, ἵνα καὶ πλείο-
νας ἀγῶνας, καὶ ποικίλους διαγωνίσῃ, καὶ στήσῃς ἐκ τῶν ἀοράτων καὶ ὁρατῶν πολέ-
μων πολλοὺς, μεγάλη σου καὶ κατὰ γῆν ἡ δόξα. καὶ παρὰ τοῖς φίλοις ἔσῃ τίμιος,
προστάτην σε, καὶ βοηθὸν, καὶ πρεσβευτὴν ἀγαθὸν αἱρήσουσιν. οὗτοι θρέψουσιν ὡς
στρατιώτην ἀγαθὸν, οὗτοι τιμήσουσιν ὡς ἀριστέα γενναῖον. οὗτοι δεξιώσονται, καὶ με-
τὰ χαρᾶς ὑποδέξονται ὡς ἄγγελον θεοῦ δεχόμενοι, καθὰ Παῦλός φησιν, ὡς χριστὸν ἰη-
σοῦν. ταῦτα καὶ τὰ τοιαῦτα τῆς θείας στρατείας τὰ παραδείγματα. διαλέγε-
ται δὲ οὐκ ἀνδράσι μόνοις ὁ λόγος. στρατεύεται γὰρ καὶ τὸ θῆλυ παρὰ χριστῷ τῇ ψυχικῇ
ἀνδρείᾳ καταλεγόμενον εἰς τὴν στρατείαν, καὶ οὐ διὰ τὴν τοῦ σώματος ἀσθένειαν ἀποδοκι-
μαζόμενον. καὶ πολλαὶ γυναῖκες ἠρίστευσαν ἀνδρῶν οὐκ ἔλαττον. εἰσὶ δὲ, αἳ καὶ μειζό-
νως εὐδοκίμησαν. ἐκ τούτων εἰσὶν, αἱ τῆς παρθενίας πληροῦσαι τὸν χορόν. ἐκ τούτων αἱ
τοῖς ἀγῶσι τῆς ὁμολογίας καὶ ταῖς νίκαις τῆς μαρτυρίας ἐκλάμπουσιν. ἠκολούθουν δὲ
καὶ αὐτῷ τῷ κυρίῳ κατὰ τὴν παρουσίαν, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, καὶ δι' ἀμ-
φοτέρων ἡ λειτουργία τοῦ σωτῆρος ἐπετελεῖτο. τοιούτων, καὶ οὕτως εὐδόξων ἀποκειμέ-
νων τῇ στρατείᾳ τῇ κατὰ χριστὸν, ἐπιθυμησάτωσαν καὶ πατέρες παίδων, καὶ μητέρες θυγατέ-
ρων. προσαγέτωσαν τὰ αὐτῶν γεννήματα χαίροντες ἐπὶ ταῖς αἰωνίοις ἐλπίσιν, ὧν οἱ
παῖδες αὐτοῖς μεθέξουσι, προστάτας ἔχειν παρὰ χριστῷ, καὶ πρεσβευτὰς ἀγαθοὺς ἐπιθυ-
μοῦντες. καὶ μὴ μικρόψυχοι περὶ τὰ παῖδας γινώμεθα. μηδὲ φοβηθῶμεν εἰ πονέσουσιν,
ἀλλ' εὐφρανθῶμεν, ὅτι δοξασθήσονται. παραστήσωμεν τῷ κυρίῳ τὰ δοθέντα παρ' αὐτοῦ, ἵνα
καὶ τῆς εὐδοκιμήσεως τῶν παίδων γενώμεθα κοινωνοὶ, συμπροσάγοντες ἑαυτοὺς
καὶ συμπαριστῶντες. τοῖς δὲ οὕτω προτεθυμημένοις, καὶ οὕτως ἀγωνιζομένοις, καλῶς
» αὖ τις ἐκ τοῦ ψαλμῳδοῦ λέγοι, εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ
» τὴν γῆν. καὶ κατὰ τὸν μωσέα λέξεται περὶ αὐτῶν. *εὐλόγει κύριε κατὰ τὰ ἔργα αὐτῶν.
» κάταξον ὀσφὺν ἀνθεστηκότων αὐτοῖς. ἀνδρίζεσθε ὡς γενναῖοι, δράμετε γενναίως τὸν
δρόμον ἐπὶ τοῖς αἰωνίοις στεφάνοις, ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶ-
νας. ἀμήν.

*κοινωνίαν

*εὐλόγησον κύριε τὰ ἔργα αὐτῶν.

τοῦ αὐτοῦ

ΤΟΥ ἘΝ ἉΓΙΟΙΣ ΠΑΤΡΟ͂Σ ἩΜΩ͂Ν ΒΑΣΙΛΕΊΟΥ ἈΡΧΙΕΠΙΣΚΌΠΟΥ ΚΑΙΣΑΡΕΊΑΣ ΚΑΠΠΑΔΟΚΊΑΣ ἈΣΚΗΤΙΚΆ·

ΠΡΟ͂ΛΟΓΟΣ·

Ἀλλὰ μὲν τοῦ βασιλέως τὰ πρὸς τοὺς ὑπηκόους νομοθετήματα· μείζονα δὲ καὶ βασιλικώτερα τὰ πρὸς στρατιώτας παραγγέλματα. *ἅτε δὴ στρατιωτικῶν παραγγελμάτων κηρυσσομένων, προσεχέτω ὁ τῆς ἄνω καὶ μεγάλης ἀξίας ἐπιθυμῶν, ὁ Χριστοῦ δὲ παραστάτης εἶναι βουλόμενος· ὁ τῆς μεγάλης ἐκείνης ἀκούων φωνῆς, » Ἐάν τις ἐμοὶ » διακονῇ, ἐμοὶ ἀκολουθείτω· καί, ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ διάκονος ὁ ἐμὸς ἔσται· ποῦ Χριστὸς ὁ βασιλεύς; ἐν οὐρανῷ δηλαδή· ἐνταῦθά σε ποιεῖσθαι τὸν δρόμον στρατιῶτα προσήκει· ἐπιλάθου τῆς κατὰ γῆν ἀναπαύσεως πάσης· οὐδεὶς στρατιώτης οἰκίαν κατασκευάζει, οὐδὲ κτήσεις ἀγρῶν περιβάλλεται, οὐδὲ ἐμπορείαις ποικίλαις χρημάτων πορισμοῖς ἐγκατα- » μίγνυται· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολο- » γήσαντι ἀρέσῃ· τροφὰς στρατιώτης ἔχει βασιλικάς, οὐ δεῖ πορίζειν ἑαυτῷ τροφάς, οὐδὲ περὶ τοῦτο ἀσχολεῖσθαι· οἶκος ἀνέῳγεν αὐτῷ πανταχῇ παρὰ τοῖς ὑπηκόοις, ἐκ βασιλέως προστάγματος· οὐ δεῖ περὶ οἰκίας αὐτῷ δὲ πονεῖσθαι· ἐν πλατείαις ἡ σκηνή, καὶ πρὸς ἀνάγκην ἡ τροφή, καὶ ποτὸν ὕδωρ, καὶ ὕπνος τοσοῦτον, ὅσον ἡ φύσις δίδωσιν· ὁδοιπορίαι δέ, καὶ ἀγρυπνίαι πολλαί· καρτερίαι, πρὸς καύματα, πρὸς ψύχος· ἀγῶνες, πρὸς ἐναντίους· κίνδυνοι μέχρι τῶν ἐσχάτων· θάνατος αὖ τύχῃ πολλάκις· ἀλλὰ θάνατος ἔνδοξος. τιμαί τε, καὶ δῶρα βασιλικά· ἐπίπονος ἐν πολέμοις ὁ βίος, λαμπρὸς ἐν εἰρήνῃ· γέρας ἀριστέως, καὶ στέφανος καλῶς βεβιωκότι ἐν κατορθώμασιν, ἀρχὴν ἐγχειρισθῆναι, φίλον βασιλέως κληθῆναι· παραστῆναι πλησίον· δεξιώσεως τυχεῖν, ἐκ χειρὸς βασιλέως τιμηθῆναι, καὶ παρὰ τοῖς ὑπηκόοις περιΐστασθαι, καὶ πρεσβεύειν ὑπὲρ τῶν ἔξωθεν φίλων, ὧν ἂν βούλωνται. ἄγε δὴ στρατιῶτα Χριστοῦ, μικρὰ δὲ ἀνθρωπίνων πραγμάτων λαβὼν παραδείγματα, ἐνθύμησιν λάβε τῶν αἰωνίων ἀγαθῶν· ἄοικός σοι, καὶ ἄπολις, καὶ ἀντίμαχον *προκείσθω βίος· αὐτὸς ἔσο, λελυμένος ἀπὸ πασῶν κοσμικῶν φροντίδων· μήσε δεσμεύσῃ γυναικὸς ἐπιθυμία, μήσε φροντὶς παιδός· ἀδύνατον γὰρ ἐν τῇ θείᾳ στρατείᾳ τοῦτο. τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν, οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ θεῷ· οὐ νικᾷ σε σώματος φύσις, οὐδὲ ἄγχει σὲ μὴ βουλόμενον· οὐ δεσμώτην ἀντ' ἐλευθέρου ποιεῖ· οὐ ζητεῖ ἐν γῇ καταλιπεῖν παῖδας, ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν· οὐ σωματικοῖς προσκολλᾶσθαι γάμοις, ἀλλὰ πνευματικῶν ὀρέγεσθαι· ἄρχειν ψυχῶν, καὶ παιδογονεῖν πνευματικῶς. τὸν νυμφίον μιμοῦ τὸν οὐράνιον· καθάπερ πολεμίων ἀοράτων ἐπαναστάσεις· ἀρχαῖς καὶ ἐξουσίαις πολέμει, ἐξελαύνων αὐτάς· πρῶτον μὲν τῆς ἑαυτοῦ ψυχῆς, ἵνα μηδένα κλῆρον ἔχωσιν ἐν σοί· ἔπειτα τῶν σοὶ προσφυγόντων καὶ σὲ προβαλλομένων ἡγεμόνα καὶ πρόμαχον τῷ δὲ τοῦ σοῦ λόγου φυλαττομένων· καθάπερ λογισμοὺς ἐπανισταμένους τῇ πίστει τοῦ Χριστοῦ· πολέμει δὲ τῷ λόγῳ τῆς ἀσεβείας πρὸς τὸν ἀσεβῆ καὶ πονηρὸν λογι- » σμόν· λογισμοὺς γάρ φησι καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώ- » σεως τοῦ θεοῦ· καὶ μάλιστα μὲν θαρσεῖ τῇ τοῦ μεγάλου βασιλέως χειρὶ φοβούσῃ καὶ τροπουμένῃ τοὺς ὑπεναντίους, ἐπειδὰν μόνον φανῇ· ἐπὰν δὲ καὶ δὲ κινδύνων ἀγαθὸν θελή-

*ἅτε οὖν

*προσκτάσθω

α



SANCTVS. BASILIVS. MAGNVS. P.R.F.

to, quæ te nuper nihil tale cupientem, neq; etiam cogitantem ſplendore huius dignitatis tam legitime, tam rite, tam ſanctè ad ſeipſam inuitauat, ut in tantis perturbationibus fidei, diſſenſionibusq; ac ſcandalis inobe-dientium filiorum aduta, ſicut par eſt, ſtudys ac moribus tuis: ſolidetur in Domino et dirigatur in laudem et gloriam Domini et Saluatoris noſtri IESV CHRISTI: Qui cum patre et Spirituſancto uiuit et regnat Deus per omnia ſeculorũ ſecula Amen.

possidere, consanguineos suos negligere, secularium amicitias fugere, claustrum silentiumq; diligere, publicum euitare, nullo modo à congregatione discedere, Crucem tollere tantumq; amplecti quam sibi elegerunt in partem, eamq; corde & corpore assidue circumferre. Habent Prælati & Episcopi hinc multa quæ hauriant, quibus greges suos optime regant formentq; in CHRISTVM. Habent & Plebes fidelium (quando nullus gradus, uel sexus, nulla est ætas intra Ecclesiam, quam iste non doceat) quid faciant etiam ipsæ, quid ue offerant præpositis suis in obsequium CHRISTI, siue uir, siue mulier, siue liber, siue seruus, siue senex, siue adolescens, siue pater, siue filius, omnibus enim loquitur qui in CHRISTO renati CHRISTVM induerunt, hortando eos post rectam fidem ad patientiam, ad contemptum huius mundi, ad castigationem carnis, ad imitationem Domini & Saluatoris nostri IESV CHRISTI, docens etiam quis habitus, quis uocis modus, quis gestus corporis atq; membrorum, quæ uerba, quæ mores deceant Christianum. Clerici insuper nostri habent ipsi quoq; non pauca quæ discant inter quæ etiam illud, ut non tam facile in priuatorum uel secularium domibus celebrent diuina mysteria. Quin etiam fratres quondam nostri, qui Sathanæ calliditate decepti nuper ab Ecclesia catholica discesserunt, et ipsi profecto inuenient hic multa quibus ad resipiscendum à suis erroribus, ac ad eandem sanctam Matrem Ecclesiam reuertendum plurimum adiuuentur, atq; illud in primis scilicet non esse deserendam Ecclesiam CHRISTI propterea quod intra illam & malos plerunq, homines esse contingat, tum discent quid eos sapere, quid ue sentire oporteat de potestate, & unitate Ecclesiæ, de Ecclesiasticis sacramentis, de fide & operibus, de libero uoluntatis arbitrio, de religiosis Votis, de ieiunio, deq; alijs multis, modo recte ac diligenter attendant quæ legunt, et errores suos uelint magis corrigere q̃ tueri, à quibus olim eos reuocare Tu quoq; scribendo et differendo optime Pater non destitisti priusq̃ uel ipsi te audire, uel tu eos talia docere ob gradum apostolicæ dignitatis tantopere tenereris. Fuisti hactenus membrum corporis iam uero membrum es capitis, hinc itaq; recte intelligis nunc eos quandiu curari possunt ad te multo magis q̃ prius atq; aliter pertinere, Nam quos ante hac ad unitatem corporis redire scribendo hortatus es: postbac exemplis atq; orationibus tibi expugnandi, monendi, sanandiq; sunt, ac benignissime pertrahendi, sic tamen, ut eosdem, ubi opus fuerit etiam arguendo et differendo nihilominus cures, atq; intrare compellas, ut si forte ob mores nostros seipsos ita preciderunt: moribus item nostris, uel saltem alicuius nostrorum reuocentur, subijcianturq; capiti suo ad obediendum fidei in obsequium CHRISTI. Quamobrem uolumen hoc sanctissimi Viri dignum quidem semper ingenio et studijs tuis, istorum causa sit, ut temporibus nostris tibi potissimum debeatur, tuq; in doctrina ipsius ad prædicandum alijs ueritatem sectanda et astruenda inuicem debeas plurimum ocij adhibere et diligentiæ, non pro reparatione eorum modo, qui ceciderunt: uerum etiam pro Ecclesiæ catholicæ ædificatione, omniumq; fidelium fructu, nec non sanctæ sedis istius ornamento et adiumen-

-liter in domo Dei conuersari debeant, ut corpus animumq; exerceant ad paupertatem retinendam, castitatemq; non modo carnis, sed spiritus & cogitationum: nec non ad dimicandum fortiter contra seipsos per obedientiam, ut apposita semel manu ad aratrum retro amplius nunq̃ respiciant. Hinc de religiosorum studijs atq; exercitationibus singillatim loquens docet quomodo & quandiu orandum, quo ordine psallendum, cur & quomodo manibus operandum, item quanto studio cogitationes regere, iram frenare, à risu & crapula abstinere q̃ humiliter fratribus seruire, senioribus obedire, seipsos abnegare, ultimum locum eligere oporteat discipulos & imitatores CHRISTI: addens quomodo infirmiores tolerandi, peccatores corrigendi, ægroti curandi, hospites suscipiendi, quantopere mulierum consortia euitanda, secularium q; et consanguineorum familiaritates fugiendæ in quibus potissimum abscondi solent insidiæ et laquei inimici. Multa quoq; de cibi et potus abstinentia, de ieiunijs, de silentio, de uigilijs alijsq; exercitationibus sanctis, & quid dicam? quando neq; de uestimento, neq; de calciamentis, neq; de zona admonere desistit Philosophus CHRISTI. Verum, ut ad eas uirtutes, quæ sunt propriæ Christiani ueniamus q̃ multa et utilia hic propè semper immo non nisi semper atq; omnia tradit ad ædificandam in nobis fidem, spem, charitatem, asserens ante omnia exercendam quasi fundamentum uitæ spiritualis patientiam, humilitatem, mansuetudinem, deinde cæteras uirtutes, ut in omnibus semper honorificetur Deus, et ædificetur proximus. Multa præterea de oppositis uitijs disseruntur eorumq; periculis ac remedijs quæ facile legentibus patent. Illud autem in hoc Viro mirabile uideri potest ob uitæ sanctitatem, excellentemq; doctrinam ipsius et multiplicem rerum experientiam, quòd quamuis de quacunq; re ei disserere placuisset non nisi sapientissime loqui posset: nihilominus uideas eum omni conatu fugere et quasi formidare, ne quid ipse per se in hoc opere tradere uel seruandum sua authoritate præcipere cupiam uideatur, adeo in omnibus et per omnia solum prædicat CHRISTVM, Præponit enim ferè in singulis, de quibus locuturus est exemplum uel uerbum Domini ex Euangelio uel Apostolo, adeo quòd dum aliud agere uidetur in hoc etiam prodest, quòd supra ducentos scripturæ locos legentibus interpretatur, tam commode, tam opportune, tam uere, ut sensum quidem scripturæ qui per se latebat in littera obseruatum solummodo reuelare, alijsq; ostendere uelle uideatur, non autem ipse inuenire excogitando & disserendo ut fit: nihil omnino neq; a seipso, neq; ab alijs sibi postulans credi quo fit, ut quo magis aliquid asserere uel iubere formidat, tanto persuadeat uerius, iubeatq; uehementius, magisq; legentium animos trahat atq; accendat in amorem sapientiæ, cum omnes ad eam ita hortetur, ut sola iubeat charitas CHRISTI, quæ in ore ipsius loquitur & spirat in pectore. Habent igitur hinc Monachi omnesq; religiosi uiri & mulieres per ea quæ legunt, quo pacto ad Deum conuersi in uia eius tutissime progredi & proficere possint si doctrinam docentis non spernant, præsertim ubi eos monet nihil proprium

re, atq; euitare oporteat, ut apud Deum recte uiuere iudicemur, et in nobisipſis non tam uideri boni, uel dici, q̃ exiſtere ualeamus. Multi enim appetunt rectum non re-cte, faciuntq́; quod bonum eſt non bene, quibus per Moyſen Dominus dicit: iuſte quod iuſtum eſt perſequéris. Primo itaq; loco in tractatu Ethicorum ſtatuit pœniten-tiam iuxta prædicationem Saluatoris, aſſerens ab ea neceſſario incipiendum Chriſtia-no, declarans etiam tempus, locum, modumq́; ipſius et fructus. Deinde diſtinctis di-uerſis fidelium gradibus docet ordines intra Eccleſiam conſtitutos perſequens ſingu-los, plurimisq́; ſententijs noui teſtamenti in unum collectis atq; diſpoſitis, elicit ex ijs uaria argumenta ad formandos mores et ad cognitionem pertinentia lucidiſſimæ ac ſolidiſſimæ ueritatis in obedientiam mandatorum Dei, ubiq; docens authoritate non ſua, ſed ſcripturarum qua in re locus ille maxime excellere uidetur, ubi enumera-tis ferè omnibus ſcripturæ locis quibus Dominus monendo uel præcipiendo, ut ali-quid fiat promittit obedientibus præmium uitam æternam: mox è regione alios ſta-tuit recenſendo, quibus uerbis, quibusue cauſis minetur ſupplicium tranſgreſſoribus, probibendo hoc aut illud ne fiat. per quæ hæc omnia unumquenq; fidelium deducens in finem proprium profeſſionis ſuæ, oſtendit primo quales eſſe oporteat eos quibus prædi-catio uerbi CHRISTI *commiſſa eſt in Eccleſia & cura gregis ipſius, ut ueri præ-poſiti ſint, ueriq́; Epiſcopi: deinde expreſſa imagine ueræ fidei, ac forma cuiuſlibet re-naſcentis in* CHRISTO, *declarat quid proprium fidei, quid proprium Chriſtiani. Hinc interpoſitis quibuſdam Sermonibus perſequens materiam* τῆς ἀσκήσεως *prius non nulla latius diſſerit, deinde preſſius reliqua, ſicut dictum eſt. Incipiens itaq; a duobus præceptis Charitatis, in quibus omnis perfectio religionis conſiſtit, docet ea per quæ corpus animumq́; exercere quis debet ad acquirendam exercendamq́; charitatem Dei et proximi, deducensq́; ex ea uelut ex fonte quid nam facere, uel non facere oporteat militem* CHRISTI *cupientem poſthac in nouitate uitæ ambulare, et ſublata Cruce ſequi Dominum ſuum dicentem, Qui uult uenire poſt me abneget ſemetipſum & re-liqua: oſtendit primum neceſſario renunciandum omnibus, quæ in hac uita poſſiden-tur, declinandumq́; a turba, ut* IESVS *inueniri & retineri poſſit. relinquenda eſt enim patria, cognatio, amici, relinquenda negocia, diuitiæ, occupationes, familiaritates, atq; in primis uoluntas propria, ſæpius reuocans ad memoriam uerbum Domini di-centis, deſcendi de cœlo non ut faciam uoluntatem meam, quam certe ſi feciſſet erra-re non poterat Mox plurimis rationibus commendato inſtituto religionis & propoſito uiuendi in Monaſterio in ſocietate multorum ſub iugo* CHRISTI: *oſtendit quomo-do fratres inſtituendi ſunt, qui ſe Domino offerre per hanc uiam & conſecrare decre-uerunt, quandiu probandi, quibus laboribus exercendi, quando recipiendi, quo ſtu-dio regendi et perficiendi, tradens etiam nonnulla de ſolitarijs, & de ſanctimoniali-bus fœminis quas hic uocat canonicas: quibus in libello de Virginitate ſuppletur quic-quid in hoc deſiderari poſſet Illi quoq; (ubi ſemel recepti fuerint) diſcunt q̃ fides*

quod ignoremus adhuc plurimum loci remanere, in quo sese aliorum industria post cona= tus nostros exercere possit pro CHRISTI gloria, et proximi utilitate: uerum ita commemoramus, ut per ea aliquos excitemus ad æmulandum nos bona æmulatione, pro= uocamusq; fratres nostros ad id cum charitate supplendum et corrigendum in quo lapsi sumus. Igitur hæc ita se habent, nunc cætera explicemus. Opus ipsum diui= ditur in partes plures, sed melius est ut prius totum uolumen diuidamus. In hoc uo= lumine tria opera continentur, inter se quidem diuersa, eiusdem tamen Authoris, uidelicet primum τῶν ἀσκητικῶν Secundum de uirginitate Tertium contra Euno= mium. Primo operi annexus est tractatus Ethicorum collectus potissimum ex Euan= gelio et Apostolo. Secundo de uirginitate adiungitur sermo de Paradiso. Tertio ad= ditur etiam aliquid in fine contra Sabellianos quæ omnia ab hoc Pontifice fuisse composita nemo dubitat. De primo & tertio meminit beatus Hieronymus in libro de Ecclesiasticis scriptoribus De secundo beatus Gregorius Nazanzenus in laudibus Ba= silij sui, quanq nec primum ibi tacet omnino nec tertium: dum alterum προτρεπτικοὺς alterum ἀντιρρητικοὺς λόγους appellat καὶ σοδομιτικὸν πῦρ. Itaq;, ut ad primum re= deamus, post prologum et nonnullos sermones ἀσκητικοὺς καὶ παραινετικοὺς Sequi tur homologia catholicæ fidei Post hanc tractatus Ethicorum quem diximus, cui succedunt etiam alij sermones ἀσκητικοὶ, inde Author persequens tractatum τῆς ἀσκήσεως per interrogationem et responsionem eum bifariam diuidit Nam primo agit rem copiosius per responsiones seu definitiones quasdam latiores, quam partem ipse appellat ὅρους κατὰ πλάτος Secundo contractius per responsiones breuiores. hanc uocat κατ᾽ ἐπιτομὴν Tertio loco ponuntur διατάξεις quas dicere solemus consti= tutiones, ualde quidem utiles & necessariæ tum solitarijs tum etiam Cænobitis. Sequitur deinde Epistola ad Chilonem eiusdem propè argumenti, cum alia ad Mona= chum lapsum Postremo ponuntur Sermones duo de Baptismo Nam et hos inueni= mus in multis exemplaribus Partes igitur operis τῶν ἀσκητικῶν et quasi membra ip= sius ferè hæc sunt. Quantæ autem utilitatis et excellentiæ sit hoc opus facile in= telligemus, si titulum ipsius attenderimus intentionemq; scriptoris Sumitur enim ab ea re in qua uersatur uidelicet ab usu atq; exercitatione uirtutis Si quidem omnis conatus Authoris huc potissimum respicit, ut doceat nos non modo uitia fugere ac uir= tutem eligere, quod ferè omnes faciunt: uerum ipsam exercere, ut scilicet electa se= mel uirtute constanter in ea perseueremus, uiuendo & operando ut decet, neq; enim sufficiebat huic Viro malos tantum corrigere atq; hortari ad bonum, nisi etiam doce= ret iam bonos, quo pacto se exercerent, ut fierent meliores. Quamobrem cum reliqui authores, idemq; iste uir summus in alijs homilijs & tractatibus suis interpre= tando et suadendo uirtutis uiam tantum ostendat: in hoc opere urget nos trahitq; uehementer ad recte uiuendum, ac secundum id quod ostenderat, operandum, do= cens quanto conatu, quo tempore, quibus medijs, quâue intentione singula nos faces

gulariter conferre. Intelliget enim (ut spero) qui ista tentauerit, rem sibi esse cum pluribus Codicibus simul: qui tanquam communicato inter se consilio et iunctis uiri-bus Sextum hunc nostrum non tam adiuuisse & suppleuisse uideri possint, quàm re-stituisse ex integro, ac denuo peperisse. Fuit certe labor noster ingens, sed non in iucundus. Comperiebamus enim quotidie ferè in singulis aliquid deesse, idq; prout cæteri Codices arguebant, diligentius complebamus in nostro, experiebamurq; illo-rum quemlibet, ubi forte socium suppleuisset in uerbo uel in syllaba (ut fit) siue in littera ita affectum, ut non minus ipse alterius auxilio indigeret, nam deerat ple-runq; in eo non littera tantum aut syllaba, sed sententia integra, neq; una tantum, sed plures simul multorum uersuum, fiebatq;, ut plura aliquando quis restitueret cen-sori suo, quam accepisset, plurimumq; adiutum se ille fateretur ab eo quem ipse an-te correxerat. Ad hæc cum Author opus suum in partes diuiserit. (ut dicetur infe-rius) offendimus quendam sermonem in medium duarum partium obrepsisse: quem alij Codices, neq; in eo loco, neq; alibi omnino habebant, cumq; arguebat illegiti-mum quasi alienos fines occupasset, et operis ipsa diuisio et præfatio Authoris, nec non absoluta præceptio & disceptatio præcedentis partis et proœmium subsequentis, quin etiam genus scribendi et differendi diuersum à reliquis scriptis beati Basilij, modusq; alius citandi scripturas apparebat in eo manifestius. hoc idem euenit in canonicis pœ-nis quæ hic appellantur ἐπιτίμια. Nam multo plures inueniebantur descriptæ in uno Codice q̃ in reliquis tribus, apparebatq; in pœnis illis diuersitas loquendi a primis, & nonnullarum dictionum nouitas, nec non uocabula quædam peregrina et uulgaria ab eo loco legere incipiebamus, ubi aliorum Codicum pœnæ desinebant, hæc tamen sicut in illo Codice inuenimus in fine posita sunt, ne quid deesset his qui etiam ta-libus recte uti nouerunt. Obseruabatur insuper nonnulla diuersitas nunc uerborum, nunc sententiarum inter ipsa exemplaria, qua in re quamuis tutius uideretur propo-situm utrunq; seruandi, et in margine describendi, ut libera facultas daretur lecto-ri eligendi quod uellet: quia tamen hoc in primis huius uoluminis paginis nimis an-xie seruatum fuisse quibusdam uidebatur, rem ita deinceps temperauimus, ut adhi-bita maiori diligentia, minus sæpe in reliquis hoc facere cogeremur. Verumtamen neq; in his, neq; in alijs unq̃ suppletionibus nostris aut emendationibus etiam sylla-barum uel elementorum proprium sensum secuti sumus, sed exemplariorum tantum fidem atq; consensum. Sed et in quibusdam eorum, si qua aliquando nobis exorta dif-ficultas, uel quæ non ad modum leuis uideretur dubitatio occurrisset, idem seruaui-mus: Nam confestim recurrebamus ad uiua exemplaria hoc est ad uiros eruditos non solum litteris, ac linguarum peritia, uerum etiam sub iugo CHRISTI & in reli-gione assidua exercitatione uersatos: quos optime nouit diligitq; etiam Paternitas tua. Hæc tamen non ideo dicimus quia arbitremur nos tali diligentia omnia assecutus, uel

REVERENDISS IN CHRISTO PATRI D GASPARI CONTARENO TIT S VITALIS S R E PRES-BYTERO CARDINALI

SALVT IN DOMINO

GRATIA Domini nostri IESV CHRISTI & diligentia tua Reue-
rendissime pater effectum est, ut beati Basilij Ἀσκητικὸν (quod opus au-
thor ipse Episcoporum sanctissimus & doctissimus pro communi utilitate
Ecclesiæ studiose elaborauit) nunc primum editum, nunc primum catholicorum de-
siderijs uirorum & mulierum donatum censeri possit: quando antehac tam rari habe-
bantur huiusmodi libri, adeoq; difficilis erat eorum inspiciendorum nedum descri-
bendorum facultas: ut paucis quibusdam exceptis diligentioribus forte, uel fœlicio-
ribus, reliqui omnes quamuis docti & pij, uix famam operis huius uel nomen agno-
scerent Erant quippe pauci (ut diximus) presertim apud nos, & ij pauci multa cura
seruabantur in Bibliothecis publicis, & in nonnullis Monasterijs. Addebatur huic,
etiam alia difficultas, seu potius negligentia, Multi enim cum legissent illa fragmen-
ta a Rufino presbytero Aquilegiensi translata sub appellatione ac titulo Regulæ bea-
ti Basilij, nihil amplius cogitantes neq; melius quicquam nec aliter de ea re sen-
sisse, uel scripsisse hunc Virum arbitrantes quàm quod ipsi in paruo illo ac diminuto
libello translatum legerent: ilico frigescebant, adeo ut suamet cogitatione decepti,
quasi consumpta iam spe, remitterent omne studium diligentius inquirendi. Inter hæc
incommoda refulsit nobis gratia Domini per amplitudinem tuam, Ipse enim te, ut ne-
gocio tam pio & utili opem ferres induxit, uoluitq; tam probitate & humanitate ista
tua omnibus prodesse ut uelis: quàm authoritate ut possis. Itaq; ope atq; industria
tua tria antiqua exemplaria ex Bibliotheca publica ciuitatis tuæ, hoc est Reipublicæ
Venetorum liberalissime nobis concessa sunt quibus ad hanc rem quoad uellemus
uti liceret: Quartum obtinuimus ex Monasterio sanctæ Iustinæ Congregationis Cas-
sinensis, studio & diligentia Nobilissimi uiri atq; doctissimi Rainaldi Poli Britanni,
qui etiam ex his omnibus Codicibus studiose inter se collatis unum elegit, ac per fa-
miliarem suum optimum iuuenem, quintum nobis describendum diligentissime cura-
uit; quem nos sexto loco acceptum postea non minori diligentia usi, ad hunc mo-
dum quem uides, imprimendum curauimus. In collatione autem quatuor exemplario-
rum uniusq; descriptione (ut diximus) quantum fuerit laboratum, quantumúe profe-
cerimus, facile iudicabit quisquis uoluerit hunc nostrum cum quouis alio Codice fue-

OPERA QVÆDAM BEATI BASILII CÆSARIENSIS EPISCOPI

Tractatus Ethicorum
Regula, siue τὰ ἀσκητικά
De Virginitate
Contra Eunomium
Item Sermones & Epistolæ non nullæ insertæ in regula: Quæ omnia diligēter recognita nunc primum impressa sunt.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ τῆς Καισαρείας τῆς Καππαδοκίας ἀρχιεπισκόπου συγγράμματά τινα.

Βιβλίον ἠθικῶν
Διάταξις τοῦ τῶν μοναχῶν βίου, ἤτοι τὰ ἀσκητικά.
Περὶ Παρθενίας.
Κατὰ Εὐνομίου.
Πρὸς τούτοις, λόγοι καὶ ἐπιστολαί τινες τοῖς ἀσκητικοῖς παρεμβεβλημένοι. ἃ πάντα ἐπιμελῶς ἐπανορθωθέντα νῦν πρῶτον ἐντετύπωται.

ΣΤΕΦΑΝΟΣ ΣΑΒΙΟΣ

Venetiis anno Salutis M D X X X V Mense Nouembri